ἐστὶν ἡ γένεσις τῆς μελαίνης χολῆς ἤτοι τῆς ξανθῆς ὑπερωπτημένης ἢ
τοῦ παχέος αἵματος· ὑπεροπτᾶται δὲ διὰ θερμασίαν ἰσχυράν. εἰκότως
οὖν ἔν τε τοῖς καύσοις ὀνομαζομένοις πυρετοῖς οὐρεῖται κἀν ταῖς
φρενίτισιν τὰ τοιαῦτα· θερμὰ γὰρ καὶ ξηρὰ τὰ πάθη ταῦτα. χείρω δὲ
513 τῶν οὔρων ἐστὶ τὰ δι᾽ ὅλων αὐτῶν μέλανα τῶν ἐναιώ|ρημα μόνον
ἐχόντων μέλαν. ἀλλὰ κατὰ τὴν προκειμένην λέξιν οὐδὲ τοῦτο διήρ-
θρωται σαφῶς, εἴθ᾽ ὅλα λέγει τὰ οὖρα μέλανα εἴτε μόνα τὰ ἐναιωρή-
ματα. βούλεται οὖν ὁ γράψας τὴν προκειμένην ῥῆσιν, ὅστις ἂν ᾖ, τὰ
τοιαύτην ἔχοντα χροιὰν οὖρα γινόμενα ταραχώδεσί τε καὶ ἀγρύπνοις
φρενῖτιν σημαίνειν, ταραχώδεις ἀκουόντων ἡμῶν τοὺς ἀλόγως ταραττο-
μένους, ὃ γίνεται βεβλαμμένης ἐπ᾽ ὀλίγον τῆς διανοίας. αὐξηθείσης
δὲ τῆς ὀλίγης ταύτης βλάβης οὐ ταραχώδεις ἁπλῶς, ἀλλ᾽ ἤδη παρα-
φρονοῦντες λέγονταί τε καὶ γίνονται.

περὶ δὲ τῆς ἀγρυπνίας τί δεῖ καὶ λέγειν ὡς ἕν τι τῶν φρενι-

1 Ἀφορισμῶν] *IV 458 sqq. L.*

3 γέ R: τε L: τ᾽ T   μετὰ τοῦ καὶ L: μετὰ καὶ τοῦ RT   7 τὰ ἐναιωρούμενα λέλεκται L   λέλεκται κτλ. *extat f.* 197^r *post* ὡς τὰ πολλὰ δὲ καὶ *(extrema f.* 196^v *= 11, 26)* T   10 ἀγρύπνοις RT   μέλασιν *sic* RL *(cf. 523, 4)*; μέλανα *fuisse coniecturam,* μέλασιν *traditum in Galeni Hippocrate (ut in nostris Hipp. codd.) recte docuit Littré*   ἐνεωρούμενα R   11 ἔνι RT: ἔνια L   δ᾽ οὖν *Kalbfleisch:* γοῦν RLT: γε μὴν *Wilamowitz*   14 ἤτοι σημαίνοντα RL: ὑγιαίνοντα T   16 εἰ δὲ σημαίνει] *distinxi*   αὐτῇ *hiat:* τῷ *Wilamowitz*   αἰτίᾳ *transponam post* φρενῖτιν   τὴν φρενῖτιν *om.* T   17 κοινωνεῖν RLT: κοινωνεῖν ⟨σημαίνει⟩ *Cornarius:* κοινωνεῖ *a Charterio edd.*   18. 19 τοῖς . . . χολῆς *om.* LT   19 ἤτοι LT: ἢ R   21 πυρετοῖς κἀν ταῖς φρενίτισιν οὐρεῖται L   22 τὰ τοιαῦτα L: ταῦτα τοιαῦτα RT   *post* τοιαῦτα *addita* κἂν ταῖς φρενίτισι *delevit ipse* T   23 οὔρων *om.* T   ὅλου R   αὐτὰ T   24 προειρημένην T   28 ταραχώδη R   29 ἐπ᾽ RLT: μετ᾽ *ab Aldo edd.*

τικῶν ἐστι cυμπτωμάτων; ἐκ περιττοῦ δὲ πρόcκειται κατὰ τὴν ῥῆcιν
τὸ ἄχροον ἐπὶ τῶν οὔρων· cυνεδηλοῦτο γὰρ τῷ μέλαcι. τὸ δ᾿
ἐφιδρῶcι δηλοῖ μὲν ἱδρῶταc γίνεcθαι περὶ τὴν κεφαλὴν cημαίνονταc
αὐτὴν ὑπὸ πλήθουc ἐνοχλεῖcθαι· καὶ εἴη ἂν καὶ ἐν τοῖc ἄλλοιc καὶ
τοῦτο φρενιτικὸν cημεῖον. ἀκύρωc δ᾿ ἡρμήνευται, μὴ δυναμένων ἡμῶν
ἐφευρεῖν, τί νοῆcαι δεῖ ἐφιδρῶcι, πότε|ρον οὖρα (πιθανώτατον γοῦν 514
τοῦτο δόξειεν ⟨ἂν⟩ ἀκούεcθαι κατὰ τὴν ἀκολουθίαν τῆc ὅληc ἑρμηνείαc) ἢ
τὰ πεπονθότα cώματα καὶ πρὸc τούτοιc ἔτι τὰ πάθη. ὅπωc δ᾿ ἄν τιc
ἀκούῃ, τό γε τῆc ἑρμηνείαc ἄκυρον οὐκ ἔcτιν ἐκφυγεῖν, ἀλλὰ καταλι-
πόντεc ταύτην, ὅπωc ἂν ἔχῃ, περὶ τῶν γεγραμμένων ἐπιcκεψώμεθα.

τὰ μὲν οὖν τῆc ἀγρυπνίαc τε καὶ ταραχῆc τῶν καμνόντων ὄντωc
φρενιτικά, τὰ δὲ τῶν οὔρων τε καὶ τῆc ἐφιδρώcεωc οὐδαμῶc. τῶν
γὰρ κατὰ τὰc ἀρτηρίαc τε καὶ τὰc φλέβαc χυμῶν ὅπωc ἔχουcιν γνω-
ρίcματ᾿ ἐcτὶν τὰ οὖρα, τὰ δὲ φρενιτικὰ cημεῖα τὴν περὶ τὸν ἐγκέφαλον
ἐνδείκνυται διάθεcιν, ὥcπερ γε καὶ τὰ κατὰ τοὺc ἱδρῶταc ἄλλων μέν
τινών ἐcτι διαθέcεων γνωρίcματα, περὶ ὧν εἴρηται πολλάκιc, οὐ μήν,
ὅπωc ἔχει τὰ κατὰ τὸν ἐγκέφαλον, ἱκανὰ δηλοῦν ἐcτιν.

ἔνιοι δὲ τῶν ἐξηγηcαμένων τὸ βιβλίον ἐκ τῶν ἐν ταῖc Ἐπιδημίαιc
γεγραμμένων ἀρρώcτων ἐκλέγουcιν τοὺc παραφρονήcανταc, οἷc cυνέβη
ἴcχειν τι τῶν ἐνταῦθα λεγομένων cυμπτωμάτων τε καὶ cημείων ἢ ἐν
διαχωρήμαcιν ἢ ἐν οὔροιc ἢ ἐμέτοιc ἢ ἱδρῶcιν ἢ ἐξανθήμαcιν | ἢ πτύ- 515
cμαcιν ἢ κατά τι μέροc ἐνοχλούντων, ⟨μὴ⟩ μέντοι γ᾿ ὄντων φρενιτικῶν
τῶν τοιούτων cημείων, ὑπαρχόντων δὲ τοῖc ἀρρώcτοιc ἐξ ἀνάγκηc.
ἀδύνατον γὰρ ἦν ἐν αὐτοῖc μηδ᾿ ὅλωc εὑρεῖν μὴ ⟨οὐ⟩ τοῖον ἢ τοῖον
οὐρεῖν· ὡcαύτωc δὲ κἀπὶ τῶν διαχωρημάτων καὶ πτυcμάτων καὶ τῶν
ἄλλων ἁπάντων. ἐὰν οὖν ἅμα τοῖc φρενιτικοῖc cημείοιc ἐπ᾿ ἀρρώ-
cτου τινὸc ὀφθῇ διαχώρημα τοῖον ἢ τοῖον ἄλλοτε, κἄπειτα φρενιτικὸc
ὁ ἄνθρωποc γένηται, μοχθηρῶc ἄν τιc ἀποφαίνοιτο τὰ γενόμενα cημεῖα
πάντα φρενίτιδοc εἶναι δηλωτικά. δυοῖν γὰρ θάτερον ὑπάρχειν δεῖ
τοῖc ἰδίοιc τῶν νοcημάτων cημείοιc, ἤτοι διὰ παντὸc ἢ μόνοιc cυμβαί-
νειν. ὅταν δὲ μήτε μόνοιc ὑπάρχῃ μήτε διὰ παντόc, οὐκ ἔcτιν ἐκείνων
ἴδια. καὶ τοίνυν καὶ τὰ φρενιτικὰ cημεῖα βεβαιότατα μέν ἐcτιν, ὅcα

18 Ἐπιδημίαιc] *cf. I 9 (II 652, 2. 8)*

2 τῷ *scripsi:* τοῖc RLT 5 ἀκαίρωc L 6 ἐφ᾿ ἱδρῶτι *hic* RLT; *cf. ad 13, 26* δεῖ RT: δὴ L *ante* οὖρα *add.* τὰ L πιθανώτατα L 7 ἂν *add. Helmreich* *post* κατὰ *add.* δὲ L 8—10 δ᾿ ἄν . . . ὅπωc *om.* L 9 ἀκούῃ *scripsi:* ἀκούοι R: ἀκούει T 12 φρενιτικὰ ⟨cημεῖα⟩ *Mewaldt* τε *om.* LT τῆc RLT *Aldus: om. a Basil. edd.* 13 ἔχωcι L 15 διαθέcει R 16 εἴρηκε T 22 μὴ μέντοι γε *Aldus; mirum si 'barbaram' formam* μέντον *propter hiatum praetulisset Gal.:* μέντοι R: μὲν τον L: μὲν τὸν T 24 μὴ οὐ τοῖον ἢ τοῖον *scripsi (cf. v. 27):* ἢ τοῖον ἢ μὴ τοῖον RT: ἢ τοῖον ἢ τοῖον L, *suprascr.* ἢ τοῖον μὴ ἢ τοῖον ἢ τοῖον ἢ μὴ τοῖον *(sic)* L[1], *ubi verae lectionis vestigium inter discissa membra vulgatae servatum videtur* 28 ἀποφαίνοιτο LT: ἀποφαίνηται R γινόμενα T 30 cυμβαίνειν RT: cημαίνειν L 31 ὑπάρχῃ *scripsi:* ὑπάρχει LT: ὑπάρχειν R

διὰ παντός τε καὶ μόνοις ὑπάρχει τοῖς φρενιτικοῖς, εἶθ᾽ ἑξῆς ὅσα διὰ παντὸς μέν, ἀλλ᾽ οὐ μόνοις.

ὑφ᾽ ἡμῶν μὲν οὖν ἐν ταῖς περὶ τούτων πραγματείαις διώρισται ταῦτα καὶ δέδεικται μήτ᾽ ἐν οὔροις μήτ᾽ ἐν διαχωρήμασι μήτ᾽ ἐν ἱδρῶσι
516 μήτ᾽ ἐν πτύσμασι μήτ᾽ ἐν τοῖς ἐμουμένοις | φρενιτικὰ γενέσθαι σημεῖα· τοῖς δ᾽ ἐξηγησαμένοις τὸ βιβλίον ὀλίγου δεῖν ἅπασιν ἔθος ἐστίν, ὡς ἔφην, παραγράφειν τοὺς ἐκ τῶν Ἐπιδημιῶν ἀρρώστους οὐ μόνον ἐπὶ τῆς προκειμένης ῥήσεως, ἀλλὰ καὶ τῶν ὁμοίων αὐτῇ πασῶν. διὰ τοῦτ᾽ οὖν αὐτῶν οἱ ζηλωταὶ πολυλόγοι μὲν γίνονται καθ᾽ ἑκάστην ἡμέραν ἐπὶ τῶν ἀρρώστων, ἰδιώταις δὲ ὅμοιοι φαίνονται προγνώσεως ἕνεκα. τὸ γὰρ συνέχον ἐστὶν ἐν ἅπασι τοῖς προγνωστικοῖς τῆς τῶν νοσημάτων ἰδέας σημείοις, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων μεθόδῳ γεγυμνάσθαι, περὶ ἧς ἰδίᾳ μοι γέγραπται, καθάπερ γε καὶ περὶ τῶν τὰς κρίσεις σημαινόντων, ὧν ἀγύμναστοί τινες ὄντες ἐξηγεῖσθαι τολμῶσιν τὰς τῶν παλαιῶν ἀνδρῶν βίβλους οὐκ εἰδότες, ὅτι τὸν ἀγαθὸν ἐξηγητὴν ἱκανὸν εἶναι χρὴ κρίνειν πρότερον αὐτόν, ὅσα καλῶς ἢ μὴ καλῶς εἶπεν ὁ συγγραφεύς, ἵνα μὴ τοῖς κακῶς εἰρημένοις συναγορεύων ἀγνοίας ἢ φιλονεικίας ἀπενέγκηται δόξαν. ἐπεὶ δὲ οὐ μόνον ἐν αὐτῇ τῇ ῥήσει τῇ νῦν προκειμένῃ παρατίθενται τοὺς ἐκ τῶν Ἐπιδημιῶν ἀρρώστους,
517 ἀλλὰ καὶ δι᾽ ὅλου τοῦ | βιβλίου τοῦτο πράττουσιν, ἄμεινον εἶναί μοι δοκεῖ τελέως ὅλον ἐκπληρῶσαι τὸν ἐνεστῶτα λόγον. ἐὰν δέ τις ἄχθηται τῷ μήκει νομίζων τῆς προκειμένης ῥήσεως ἴδιον αὐτόν, οὐ κοινὸν ὑπάρχειν ὅλου τοῦ βιβλίου, παρ᾽ ἡμῶν ἀκούσας, ὡς τοῖς μὲν ἐξηγηταῖς ἐν ἁπάσαις σχεδὸν ταῖς ἐξηγήσεσιν, ἐξ ὧν κακῶς παρατίθενται ῥήσεων, οὐ μόνον μακρός, ἀλλὰ καὶ βλαβερὸς τοῖς μανθάνουσιν ὁ λόγος γίνεται, τὰ δ᾽ ὑπ᾽ ἐμοῦ νῦν ἅπαξ ῥηθέντα χρησιμώτατά ἐστιν καὶ τὴν τῶν μελλόντων ἁπάντων ἐξήγησιν σύντομον ποιεῖται, παύσεται μὲν ἐγκαλῶν τῷ μήκει, χάριν δ᾽ εἴσεταί μοι τῆς τῶν διδαχθέντων ὠφελείας ἕνεκα καὶ τῆς τῶν μελλόντων λεχθήσεσθαι συντομίας. γενήσεται δ᾽ ὁ λόγος ὡς ἐπὶ παραδείγματος τῆς φρενίτιδος, ἁπάντων νοσημάτων κοινὸς ὤν.

ἐπεὶ τοίνυν πρόκειται μεθόδῳ τὰ φρενιτικὰ σημεῖα πάνθ᾽ εὑρεῖν, ἀπὸ τῆς τοῦ πάθους ἐννοίας ἀρξώμεθα. δέδεικται γὰρ ἐν τοῖς Περὶ ἀποδείξεως ἀρίστη πάντων τῶν ῥηθήσεσθαι μελλόντων ἀρχὴ τοῦ ζητου-

7 ἔφην] *15, 18* 12 Περὶ τῶν πεπονθότων τόπων] *(VIII 1—452 K.)* 13 Περὶ τῶν τὰς κρίσεις σημαινόντων] Περὶ κρίσεων *ll. III (IX 640—768 K.)* 33—34 Περὶ ἀποδείξεως] *cf. I. Müller Über Gal. Werk vom wissensch. Beweis Abh. d. bayr. Ak. (1895) I Cl, XX, II p. 444—526*

10 ἰδιῶτες RT 11 συνέχον RL: συνεχὲς T, *a Basil. edd.*: συνεχὲν *Aldus* 13 *post* καθάπερ *inseritur f. 198*^{r} τῆς αἱματοποιητικῆς *(11, 26), series restituitur f. 199*^{r} (γε καὶ περὶ κτλ.) T 18 ἀπενέγκοιτο T 21 τελέως L: τέλειον ($τ^{ελ}$′ T) RT 23 ἀκούσης T 26 τὰ δ᾽ . . . ἐστι *om.* L 29 καὶ τῆς . . . συντομίας *om.* L 33 εὐνοίας L Περὶ] περ T 34 ῥηθήσεσιν T

μένου πράγματος ἡ ἔννοια. φρενῖτιν | οὖν ὀνομαζόντων πάντων ἀν- 518
θρώπων τὴν τοιαύτην διάθεςιν, ἐν ᾗ τὰς φρένας ὁρῶςι βεβλαμμένας,
ἃς δὴ καὶ νοῦν καὶ διάνοιαν ὀνομάζουςιν, εὑρῆςθαι χρὴ πρότερον ἐν
ᾧ τοῦ ςώματος μορίῳ τὸ φρονοῦν τῆς ψυχῆς ἐςτιν. ἐπιδέδεικται δ᾽
ἡμῖν πρῶτον τοῦτο ἐν τοῖς Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος
δογμάτων, ὥςτε ἀπ᾽ αὐτοῦ νῦν ἀρξάμενοι διὰ κεφαλαίων εἴπωμεν
οἷον ἐπιτομήν τινα τῶν ἐν τῇ Περὶ τῶν πεπονθότων τόπων πραγμα-
τείᾳ γεγραμμένων. ἀναγκαῖον γὰρ εἶναί φημι τῇ τε βλάβῃ τῶν ἐνερ-
γειῶν τοῦ πεπονθότος μορίου καὶ τοῖς κατ᾽ αὐτὸ φαινομένοις εὑρί-
ςκεςθαι τὴν διάθεςιν ἤτοι γ᾽ ἀρχομένην ἢ ςυντετελεςμένην. εἴρηται
δέ μοι καὶ πρόςθεν, ὡς τὰ τῆς ἀρχομένης γνωρίςματα προγνωςτικὰ
ςημεῖα τῆς ἤδη ςυμπεπληρωμένης ἐςτί. τίνα τοίνυν ἔργα τοῦ ἐγκεφά-
λου κατὰ φύςιν ἔχοντός ἐςτιν ὁ γνοὺς ἐκ τῆς βλάβης αὐτῶν εὑρίςκειν
δυνήςεται πρῶτον μὲν ὅτι πέπονθεν, εἶθ᾽ ὁποῖόν τι τὸ πάθος ἐςτὶν
αὐτό. εὑρέθη δὲ ἡμῖν ταῦτα ἥ τε κατὰ προαίρεςιν ἐνέργεια καὶ δια-
νόηςις αἴςθηςίς τε καὶ μνήμη.

τούτων οὖν αἱ βλάβαι τὸν | ἐγκέφαλον ἐνδείξονται πάςχοντα τοι- 519
οῦτον πάθος, οἷον ἂν εἴη τὸ τῆς βλάβης εἶδος. οἷον αὐτίκα τῶν κατὰ
προαίρεςιν ἐνεργειῶν ὄργανα μὲν οἱ μύες εἰςίν· γίνονται δ᾽ αὗται τοῖς διά
τε τῶν χειρῶν καὶ ςκελῶν ἐνεργοῦςιν καὶ τὴν κεφαλὴν καὶ ῥάχιν κινοῦςιν
διαλεγομένοις τε καὶ φωνοῦςιν καὶ ἀναπνέουςιν. ἐδείχθη γὰρ καὶ ἥδε ἡ
ἐνέργεια τὴν πρώτην ἀρχὴν τῆς κινήςεως ἔχουςα διὰ τῶν ἀπ᾽ ἐγκεφάλου
νεύρων ἐπὶ τοὺς τοῦ θώρακος μῦς ἀφικνουμένων. ὅταν οὖν τις ἐνέργεια
τῶν εἰρημένων φαίνηται βεβλαμμένη, ζητητέον ἐςτί ςοι, πότερον ἴδιον τὸ
πάθος ἐςτὶ τῶν ἐργαζομένων αὐτὴν μυῶν ἢ διὰ τὴν ἀπὸ τῆς ἀρχῆς ἀφι-
κνουμένην ἐν αὐτοῖς δύναμιν ἡ βλάβη γίγνεται· εἶτ᾽ ἂν εὕρῃς, ὅτι διὰ τὴν
ἀπὸ τῆς ἀρχῆς, ὑπόπτευε εὑρεθήςεςθαί τι νόςημα τῆς ἀρχῆς αὐτῆς, ἐὰν ἡ
φαινομένη βλάβη μὴ μικρὰ καὶ τὴν αὔξηςιν ἀξιόλογον ἔχῃ, οἷον, ἵνα
ςαφὴς ὁ λόγος γένηται, τῆς ἀναπνοῆς ὑπὸ τῶν κατὰ τὸν θώρακα μυῶν
γιγνομένης, ὅταν ἀπαθεῖς ὦςιν οἱ τοιοῦτοι, ζήτηςον, μή τι τῶν ἄλλων

5 Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων] *cf. inprimis II 7 sqq. (V 267 K., p. 230, 7 Müll.)* 7 Περὶ τῶν πεπονθότων τόπων] *I 1 (VIII 19 K., ubi libri v. 5 citati meminit)* 11 πρόςθεν] *p. 4, 14 sqq.*

1 πράγματος ἡ ἔννοια *om.* L ἀνθρώπων *om.* L 3 καὶ διάνοιαν *om.* L εὑρῆςθαι RT *(cf. v. 9. 13. 15)*: εἰρῆςθαι L 4 τῆς ψυχῆς *om.* L 6 ὥςτε . . . γεγραμμένων *om.* L αὐτοῦ T: αὐτῶν R 7 πεπονθότων (*om.* τόπων) T πραγμάτων T 9 αὐτὸν T 10 ἤτοι γ᾽ . . . ςυντετελεςμένην *om.* L 11 καὶ *om.* T 12 πεπληρωμένης T 13 αὐτῶν *om.* L 14 εἶθ᾽ ὁποῖον] εἶθος ποῖον T ἐςτὶ τὸ πάθος αὐτῶν L 15 αὐτοῦ T *post* διὰ *continuat f. 199ᵛ 1* μυῶν γιγνομένης . . . ὑπο-(νόηςις) *f. 199ᵛ 14 (= p. 17, 29—18, 13* ὑπο-μνήματα), *quo loco* νόηςις . . . θώρακα *(p. 17, 16—29) inserit* T 16 αἴςθηςίς τε καὶ μνήμη *om.* L 18 οἷον *prius om.* L 19 μὲν *om.* T γίνονται δ᾽ αὗται τοῖς *om.* L 20 καὶ τῶν ςκελῶν T 21 καὶ ἀναπνέουςιν *om.* L 23 ἀφικνουμένων *om.* L 24 φαίνηται *Helmreich*: φανῆται RL: φανεῖται T τὸ ἴδιον πάθος, *sed corr.* R 25 αὐτὴν] αὐτῇ T 26 εἶτ᾽ . . . αὐτῆς *om.* L εὕρῃς *scripsi*: εὕροις RT 27 αὐτῆς T: αὐτοῦ R 28 μὴ *om.* T καὶ μὲν τὴν L: καὶ μὴ τὴν T ἔχει RLT: *corr. Kühn* ἵνα . . . γένηται *om.* L 29 τῆς RT: εἰ τῆς L 30 ὦςιν οὗτοι L ζήτηςον L: ζήτηςαι RT

520 μορίων πέπονθεν, δι' ὧν τὸ πνεῦμα κατὰ τὰς ἀναπνοὰς | εἴσω τε καὶ ἔξω φέρεται, καὶ μηδὲν εὑρὼν ἐκείνων βεβλαμμένον ὑπόπτευε τὸν ἐγκέφαλον πεπονθέναι.

ἵνα δὲ ἀκριβὴς ὁ διορισμὸς ᾖ, καὶ τὰ συγκινούμενα τῷ θώρακι μόρια συνεπίσκεψαι. δέδεικται γὰρ ἐν τοῖς Περὶ δυσπνοίας καὶ ταῦτα βλάπτοντα τὴν ἀναπνοήν. ἐὰν οὖν ἅπανθ' εὕρῃς αὐτὰ τελέως ἀπαθῆ, τηνικαῦτα τὸ τῆς δυσπνοίας εἶδος ἐπίσκεψαι, τίνα δύναται διάθεσιν ἐνδείξασθαι τῶν κατὰ τὸν ἐγκέφαλον, οἷον, ἵνα πλῆρες ᾖ τὸ παράδειγμα, φησὶν Ἱπποκράτης ἐν τῷ Προγνωστικῷ „πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην δηλοῖ." ὀνομάζει δὲ τὸ διὰ πολλοῦ τοῦτο πνεῦμα καὶ 'ἀραιὸν' αὐτός, ὡς ἐπιδέδεικταί μοι κατὰ τὰ Περὶ δυσπνοίας ὑπομνήματα. τὸ μὲν γὰρ ἀραιὸν ἴδιόν τε ἅμα καὶ ἀχώριστον παραφροσύνης σημεῖον. ἐπιδέδεικται δὲ καὶ κατὰ τὰ τῶν Ἐπιδημιῶν βιβλία, ὡς ἅπαντες οἱ μέγα καὶ ἀραιὸν ἀναπνέοντες παρεφρόνησαν.

521 εἰ μὲν οὖν τις ἐν οὔροις ἢ δια|χωρήμασιν ἢ πτύσμασιν ἢ ἐμέτοις ἢ ἱδρῶσιν ἤ τινι τῶν ἄλλων δύναται δεῖξαί τι σημεῖον, εἴτε ἰδίᾳ μόνης τῆς παραφροσύνης ἐστὶν ἴδιον ἢ εἰ καὶ μὴ μόνης, ἀλλ' ἀχώριστον αὐτῆς, εἰκότως ⟨ἂν⟩ αὐτὸ τοῖς φρενιτικοῖς συναριθμήσειε σημείοις. εἰ δ' οὔτ' ἐκ τῆς τῶν πραγμάτων φύσεως ἀπόδειξιν εἰπεῖν αὐτῷ τινα δυνατόν ἐστιν οὔτ' ἐν τοῖς τῶν Ἐπιδημιῶν δεῖξαι παραφροσύναις ἁπάσαις ἤτοι διὰ παντὸς ὑπάρχον, ἢ εἰ καὶ μὴ διὰ παντός, ἀλλὰ μόναις ὑπάρχον αὐταῖς, οὐκ εὐλόγως τὸ τοιοῦτον σημεῖον ἐν τοῖς φρενιτικοῖς τάττει, τοῦτ' ἔχων ἓν μόνον εἰπεῖν, ὅτι τεθέαταί ποτε φρενιτικοῖς τισιν ὑπάρξαν αὐτό. κατὰ γοῦν τὸν λόγον αὐτῶν τἀναντία τοῖς φρενιτικοῖς νοοῦμεν σημεῖα εἶναι. φέρε γάρ· εἰκὸς ἡμῖν ἑωρᾶσθαι φρενιτικούς, ὧν τοῖς μὲν τὰ κατὰ τὴν κοιλίαν ἐπεσχῆσθαι, τοῖς δὲ ἄλλοις καὶ πλείω τῶν κατὰ φύσιν ἐκκρίνεσθαι (ἔγραψε δή πού τις σὺν τοῖς φρενιτικοῖς σημείοις

5 Περὶ δυσπνοίας] *Gal. I 18 (VII 803 sqq. K.)* 9 Προγνωστικῷ] *c. 5 (II 122, 11 L.)* 13 Περὶ δυσπνοίας] *VII 758, 3 sqq. 932, 3 sqq. K.* 15 Ἐπιδημιῶν] *I 13, 1 (II 682 sq. L.) ib. 2 (II 684 sqq.) 11 (II 708 sq.) IV 14 (V 152)* 22 Ἐπιδημιῶν] *v. ad v. 15*

1 εἴσω τε καὶ ἔξω *om.* L 2 φέρηται *ex Aldo edd.* 3 πεπονθέναι τὸν ἐγκέφαλον L 4 ἵνα . . . συνεπίσκεψαι *om.* L 5 τοῖς LT *(cf. 13):* τῷ R 6 οὖν . . . ἀπαθῆ *om.* T 8 ἵνα πλῆρες ᾖ *om.* L 10 ἢ . . . χωρίοις *om.* L 13 περὶ] τῆς L 14 ἀχώριστον ἐστι παραφρ. L ἐπιδέδεικται . . . βιβλία *om.* L 15 τὰ *om.* T 17 ἐμέτοις ἢ ἱδρῶσιν ἢ *om.* L εἴτε . . . ἴδιον *om.* T 18 ἰδίᾳ *supervacaneum videtur* 19 ἢ εἰ καὶ μὴ μόνης *Kalbfleisch:* ἢ εἰ μὴ καὶ μόνης RT: εἰ (*corr.* εἴτε L²) μὴ καὶ μόνης L *post* ἀχώριστον *add.* ἐστὶν L 20 ἂν *addidi* αὐτὸ *om.* L 22 πάσαις RT: *om.* L 23 εἰ καὶ μὴ LT: εἰ μὴ R 24 ἀλόγως L ἐν τοῖς φρενιτικοῖς *om.* L 25 ἔχον R: ἔχων *post* μόνον *transp.* L ὑπάρχον L 26 γοῦν *om.* LT λόγον αὐτῶν R: λόγον αὐτὸν L: λόγον ταὐτὸν T: αὐτὸν λ. *a Basil. edd.*: λόγον τοῦτον *Kalbfleisch* τἀναντία RL: τρία T τοῖς φρενιτικοῖς R: τὰ φρενιτικὰ LT νοοῦμεν . . . ἑωρᾶσθαι RT: νομιοῦμεν εἶναι σημεῖα L 27 φέρει γὰρ ⊾κ̅ (*i. e.* ἑκὼν) ἡμῖν ἑωρᾶσθαι L: φέρε γὰρ οἶκον ἡμῖν ἑ. T 28 ἐπεσχῆσθαι T: ἐπισχῆσθαι RL: ἐπισχεῖσθαι *ex Aldo edd.; fortasse* ἐπεσχῆσθαι ⟨συμβαίνει⟩ 29 ἔγραψε δέ που σὺν τοῖς φρ. T: ἔγραψεν οὖν τοῖς φρ. L

καὶ τὴν τῆc γαcτρὸc ἐπίcχεcιν), εἶτα τούτου μαρτύριον εἶναι νομίζειν τῶν φρενιτιcάντων ἐκείνουc, οἷc προcεπεcχέθη γαcτήρ· προπετοῦc γάρ τινοc ἐν ταῖc ἀπο|φάcεcι γράψαντοc ἐπιcχεθεῖcαν κοιλίαν φρενιτικὸν 522 εἶναι cημεῖον, ἔνεcτιν ἄλλῳ προπετεῖ μὴ μαρτυρεῖν τῷ λόγῳ, φάcκοντι καὶ τούcδε φρενιτικούc, ὧν ἐκταραχθεῖcαν ἐθεάcατο τὴν γαcτέρα.

γράφοντοc οὖν Ἱπποκράτουc ἐπὶ τῶν Ἐπιδημιῶν ἅπαντα τὰ cυμβαίνοντα τοῖc ἀρρώcτοιc ἀναγκαῖόν ἐcτιν ὥcπερ τοῖc φρενιτικοῖc, οὕτω καὶ τοῖc περιπνευμονικοῖc καὶ τοῖc κυναγχικοῖc ἅπαcί τε τοῖc ἄλλοιc, ἤτοι γ᾽ ἐπιcχεθείcηc τῆc γαcτρὸc ἢ ὑπελθούcηc ἐκεῖνον μὲν γράψαι cὺν τοῖc ἰδίοιc τῶν παθῶν καὶ ταῦτα, τοὺc δ᾽ ἐξηγητὰc ἡγεῖcθαι τοῦ νοcήματοc αὐτὰ εἶναι cημεῖα μὴ γινώcκονταc ἄλλα μὲν εἶναι τὰ παθογνωμονικὰ καὶ προγνωcτικὰ νοcήματοc ἴδια, ἄλλα δὲ καὶ ἀχώριcτα cημεῖα, καθάπερ ὀλίγον ἔμπροcθεν ἔφην ἐπὶ τῆc ἀναπνοῆc μεγάληc καὶ ἀραιᾶc γιγνομένηc. ὅταν δὲ τούτων μὴ εὐπορῶμεν τῷ μηδ᾽ ἴδιόν τι ζητεῖν ἢ ἀχώριcτον τοῦ πάθουc γνώριcμα, ἀλλὰ πότερον ὀλεθρίωc ἢ cωτηρίωc ὁ κάμνων ἔχει, τότε πάντων τῶν κατὰ τὸ cῶμα φαινομένων αὐτῷ cημείων τε καὶ cυμπτωμάτων ἡ ἐπίcκεψιc ἀναγκαία γίγνεται. περιέ|χεται δ᾽ ἐν αὐτοῖc καὶ τὰ τῶν κρίcεων δηλωτικά. 523

πάλιν οὖν ἐπ᾽ ἀρχὴν ἀναγαγόντεc τὸν λόγον εἴπωμεν, ὡc κατὰ τὴν προκειμένην ῥῆcιν ὁ γράψαc 'τὰ ἐπὶ ταραχώδεcιν ἀγρύπνοιc οὖρα ἄχροα, μέλαcιν ἐναιωρούμενα, ἐφιδρῶcι φρενιτικά' τῶν μὲν ἰδίων τε καὶ ἀχωρίcτων φρενίτιδοc ἔγραψεν ἐν τῷ φάναι τὰ ἐπὶ ταραχώδεcιν ἀγρύπνοιc, τῶν δ᾽ οὔτ᾽ ἀχωρίcτων οὔτε μόνηc αὐτῆc ἰδίων τὴν ἐφιδρῶcιν, ἀλλ᾽ ὅμωc αὐτὴ κατὰ τὸν πεπονθότα γιγνομένη τόπον cυνενδείκνυcθαι δύναται τοῖc προειρημένοιc. τὰ δὲ περὶ τῶν οὔρων cυνημμένα κεχώριcται μὲν τῶν φρενιτικῶν, εἰc γοῦν τὴν ἐπίcκεψιν τοῦ πότερον ὀλεθρίωc ἢ cωτηρίωc ὁ κάμνων ἔχει cυντελεῖ, εἴ γε προcήκει πρῶτον ἁπάντων ἐν ταῖc πρὸc τοὺc ἀcθενοῦνταc εἰcόδοιc εὑρεῖν, εἴτε μιᾶc ἐκ τῶν τριῶν ἀρχῶν νοcούcηc εἴτε δυοῖν ἢ καὶ παcῶν ὁ κάμνων ἔχει μοχθηρῶc, ἢ τῶν μὲν ἀρχῶν οὐδεμία πέπονθεν, τῶν δ᾽ ἀπό τινοc αὐτῶν ἐκπεφυκότων ἢ ὁπωcοῦν ᾠκειωμένων τι. ἐὰν

6 Ἐπιδημιῶν] *v. ad p. 18, 15* 13 ἔμπροcθεν] *p. 18, 14*

1 τῆc *om.* L εἶτά τινα R εἶναι *om.* L νομίζειν *(pendens ab* εἰκὸc *18, 27)* R: νομίζει LT 2 γαcτήρ *om.* L 4 προπετῆ T μαρτυρεῖν LT: μαρτυρεῖ R φάcκοντα R 5 ἐθεάcαντο T 6 γράφοντοc . . . ἀρρώcτοιc *om.* L 9 μὲν γὰρ γράψε L 11 cημεῖα *ante* τοῦ νοcήματοc L εἶναι αὐτὰ *coll.* LT 14 γιγνομένηc RT: γενομένηc L εὐπορῶμεν T: ἀπορῶμεν RL τῶι LT: τὸ R μηδ᾽ *scripsi:* μήτ᾽ RT: μήτε L 15 ἢ ἀχώριcτον *om.* L 16 ὁ κάμνων RT: ὀνομάζων L πάντων *om.* L 17 αὐτοῦ LT ἀναγκαία γίγνεται *om.* L 19 ἐπ᾽ . . . λόγον *om.* L ὡc LT: ὡc πρὸc R 21 μέλαcιν LT: μέλανα R *cf. ad 14, 10* ἐφιδρῶcι *scripsi (cf. v. 24 et p. 13, 26):* ἐφ᾽ ἱδρῶτι RLT τῶν μὲν RL: περὶ μὲν τῶν T 23 οὐδὲ (*ante* μόνηc) LT 24 ἐφιδρῶcιν *scripsi (cf. ad 13, 26):* ἐφ᾽ ἱδρῶcιν L: ἐφ᾽ ἱδρῶcιν T: ἐφίδρωcεν R ὅμωc καὶ αὐτὴ L 24. 25 τόπον γιγνομένη L 26 μὲν LT: μὲν μὲν *sic* R γοῦν] *conicio* δ᾽ οὖν *cf. 14, 11* 27 τοῦ πότερον . . . cυντελεῖ *om.* LT εἴ R: ἓν T: ᾗι L 28 πάντων L εἰcόδουc L 29 μιᾶc . . . δυοῖν ἢ *om.* L ἀρχῆc T 31 τι *om.* L

οὖν ἐπὶ ταραχώδεϲιν ἀγρύπνοιϲ ἐπιϲκεπτομένῳ ϲοι τὰ οὖρα 524 μηδὲν ἐν αὐτοῖϲ ϲημεῖον μοχθηρὸν φαίνηται, ἀλλὰ μηδ' ἐν τοῖϲ ϲφυγμοῖϲ (ἕνεκα γὰρ ἀκριβεϲτάτηϲ διαγνώϲεωϲ ἀναγκαῖόν ἐϲτι καὶ τοῦτο προϲθεῖναι), φρενιτικὸν μὲν οὐδὲν ἧττον ἐγχωρεῖ γενέϲθαι τὸν οὕτωϲ διακείμενον ἄνθρωπον, ἐπειδὴ τὰ τῆϲ φρενίτιδοϲ αὐτῷ πάρεϲτι ϲημεῖα, κινδυνεῦϲαι δ' ἧττον ἐκείνων ἀβλαβεῖϲ τὰϲ κυριωτάταϲ ἐνεργείαϲ τῶν ὑπολοίπων δυοῖν ἀρχῶν ἔχοντα. ταῦθ', ὡϲ ἔφην, ἅπαξ μὲν εἰρήϲθω μοι, μνημονευέϲθω δὲ καθ' ὅλον τὸ βιβλίον, ἵνα μὴ πολλάκιϲ ἀναγκάζωμαι λέγειν τὰ αὐτά.

I 5 [I 5. V 512,1] Ἐνύπνια τὰ ἐν φρενιτικοῖϲιν ἐναργέα.

Τοῦτο Cάτυροϲ ὁ Κοΐντου μαθητήϲ, ὃν ἐγὼ πρότερον ἔϲχον διδάϲκαλον Πέλοποϲ, οὕτωϲ ἐξηγεῖτο· "τῶν ἐν τοῖϲ φρενιτικοῖϲ ἐναργῶϲ ὁρωμένων τε καὶ πραττομένων πρὸϲ αὐτῶν, ὅϲα ὁρᾶϲθαί τε καὶ πράττεϲθαι δοκεῖ ἡμῖν, οὐκ ἔϲτιν κατ' ἀλήθειαν ὕπαρ, ἀλλ' ἐνύπνια πάντ' 525 ἐναργῆ". ὅτι | μὲν οὖν καὶ ἄλλοι τινὲϲ ἐκ τῶν ὕπνων ἀνιϲτάμενοι περιέρχονται, κοιμώμενοι μέν, ἀναπεπταμένουϲ δὲ τοὺϲ ὀφθαλμοὺϲ ἔχοντεϲ ὁμοίωϲ τοῖϲ ἐγρηγορόϲιν, ἐν πολλοῖϲ ἱϲτόρηταί τε καὶ γέγραπται· εἰ δὲ τοιαῦτά ἐϲτι τοῖϲ φρενιτικοῖϲ τὰ πραττόμενα, τῶν ἀδήλων ἡμῖν ἐϲτιν. ὅπωϲ δ' ἂν ἔχῃ τὸ ἀληθέϲ, οὐδὲν εἰϲ πρόγνωϲιν ὀνίνηϲιν ἡ ἐξήγηϲιϲ αὕτη. εἰ δ' ἐγὼ τὰ προηγούμενα τῶν φρενιτικῶν ἐνύπνια λέγω βλέπεϲθαι ϲαφῶϲ οὕτωϲ, ὡϲ ἐκθροεῖϲθαι τῶν ὕπνων αὐτοὺϲ ἀναπηδῶνταϲ ἢ φθεγγομένουϲ διὰ τὴν ἐνάργειαν τῶν φαντaϲμάτων, χρήϲιμον εἰϲ τὴν τοῦ πάθουϲ τούτου πρόγνωϲιν· ἡ γὰρ ξηρότηϲ αὐτὴ τῆϲ ἀγρυπνίαϲ ἐϲτὶν αἰτία καὶ τῆϲ τῶν ὀνειράτων ἐμφάϲεωϲ. οὕτω γοῦν καὶ τοῖϲ μελαγχολικοῖϲ διὰ τὴν ξηρότητα πάντωϲ ἐναργῆ φαίνεται τὰ κατὰ τοὺϲ ὕπνουϲ φαντάϲματα. καὶ τῶν ὑγιαινόντων δὲ τοῖϲ μὲν ἐνδεῶϲ διαιτηθεῖϲιν ἐναργεῖϲ οἱ ὄνειροι γίνονται, τοῖϲ δ' ἐμπεπληϲμένοιϲ ἢ μεθύουϲιν οὕτωϲ, ὡϲ ἀφάνταϲτοι δοκεῖν εἶναι διαρρεόντων αὐτοῖϲ τῶν φανταϲμάτων ὑπ' ἀμυδρότητοϲ, ὡϲ μηδὲ ἴχνοϲ αὐτῶν καταλιπεῖν

10 *schol.* R: ἐνύπνια λέγονται τὰ ϲυμβαίνοντα ἐν τοῖϲ ὕπνοιϲ. — τὰ ἐν φρενιτικοῖϲ ἐνύπνιά εἰϲιν ἐναργῆ ⟨ἢ⟩ δῆλα, τοῦτ' ἔϲτιν μετὰ ταραχῆϲ, μετὰ κραυγῆϲ, μετὰ θορύβου, μετὰ βοῆϲ, τὰ δὲ ϲυμβαίνοντα ἐπὶ τῶν ἐχόντων τὸν ἐγκέφαλον πεπληρωμένον διαρρέουϲιν καὶ διὰ τοῦτο οὐκ εἰϲὶν ἐναργῆ, ϲημαίνουϲιν δὲ καὶ ἐπὶ τῶν ἐχόντων καλῶϲ ἃ μνημονεύονται μέν, οὐκ εἰϲὶν δὲ δῆλα.

2 μηδὲν ... φαίνηται *om.* L 7 ἔχονταϲ R 8 μνημονεύϲω L 10 τὰ *Hipp. Prorrh. et Coac. 89:* τε LT: τε τὰ R ἐναργέα *Hipp. Prorrh.:* ἐναργῆ R *Hipp. Coac.:* ἐναργεῖ T: ἐνεργεῖα L 11 *Satyri Galenique controversiam exponit Littraeus V p. 512* 12 τῶν *om.* R 14 δοκεῖ] *hiatum non fugit Satyrus* ἡμῖν δ' οὐκ L 18 φρενικοῖϲ T 19 ἔχηι LT: ἔχει R *et edd.* οὐδὲν ... αὕτη *om.* L 21 βλέπεϲθαι λέγω T: βλάπτεϲθαι λέγω L οὕτωϲ *om.* L 22 χρήϲιμον T: χρήϲιμοϲ R: ἀχρήϲιμον L 23 *praetulerim* τοῦτο αὐτὴ *Aldus:* αὐτή R: αὐτοῦ LT 24 καὶ ... ἐμφάϲεωϲ *om.* L ἐμφάϲεωϲ R: ἐναργείαϲ T οὕτωϲ οὖν L 25 τὴν *om.* L πάντωϲ RLT: πάντῃ *ab Aldo edd.* 28 ἢ μεθύουϲιν *om.* T ὡϲ *om.* T *et a Basil. edd.* δοκοῦϲιν *a Basil. edd.* 29 ὡϲ ... μνήμην *om.* L

εἰc μνήμην. οὕτω καὶ τῶν | παθῶν, ὅcα μεθ᾽ ὑγρότητος ἐγκεφάλου 526
γίνεται, κωματώδη τέ ἐcτι καὶ ὑπνώδη καὶ ἀφάντακτα.

μοχθηρὸc οὖν ἐcτιν ὁ λόγοc τῶν οἰομένων οὐδ᾽ ἐνύπνιον ὁρᾶcθαι τοῖc φρενιτικοῖc ἐναργέc, εἴ γέ φαcιν, ὡc μηδ᾽ ὅλωc ὁρῶcιν ἐνύπνιον ὡc ἂν μὴ κοιμώμενοι. πρῶτον μὲν γὰρ ἑτοίμωc λαμβάνουcι τὸ τὰ cυμπεπληρωμένα cὺν τοῖc οἰκείοιc μεγέθεcι πάθη μόνα καλεῖcθαι ταῖc ἰδίαιc προcηγορίαιc, ὑπεριδόντεc οὐ cμικροῦ λόγου τοῦ κατ᾽ ἀρχὰc ἡμῖν ῥηθέντοc, ὡc οὐδὲ προγινώcκεταί τι τοῖc ἰατροῖc μέλλον πάθημα τῶν ἤδη μὲν ἀρχὴν γενέcεωc ἐχόντων, οὐδέπω δὲ τοῖc πολλοῖc διὰ τὴν cμικρότητα γνωριζομένων, ἡ γενομένη δὲ τοῖc τεχνίταιc διάγνωcιc ἀπαγγελθεῖcα τοῖc ἰδιώταιc πρόγνωcιc ὡc πρὸc ἐκείνουc ἐcτίν, ὥcτε καὶ τοὺc φρενιτικοὺc ἤδη τοῖc τεχνίταιc γνωρίζεcθαι τῆc κατὰ τὸν ἐγκέφαλον διαθέcεωc ἄρτι cυνιcταμένηc. ἔπειτα δέ, εἰ καὶ μὴ cυγχωρεῖ τιc ὀνομάζειν φρενιτικοὺc ἤδη τοὺc μηδέπω cαφῶc παρακόπτονταc, ἀλλ᾽ ὅτι γε φρενιτικοὶ γενήcονται, προγνῶναι δυνατόν ἐcτιν ἐκ τῶν ἐνυπνίων, ὡc κατὰ τὴν προκειμένην ῥῆcιν ἐγχωρεῖ λε|λέχθαι τὰ ἐν 527
τοῖc φρενιτικοῖc ἐcομένοιc ἐνύπνια προηγούμενα πᾶcιν αὐτοῖc ἐναργῶc ὁρᾶcθαι.

I 6 [I 6 V 512, 2] Ἀνάχρεμψιc πυκνή, ἣν δή τι καὶ ἄλλο cημεῖον προcῇ, φρενιτικά.

Βέλτιον ἦν ἴcωc προcκεῖcθαι τῷ λόγῳ τὸ ʽμηδενὸc ἀποπτυομένου κατ᾽ αὐτήν᾽, ὡc, εἴ τι ἀποπτύοιτο, καθάπερ ἐν κατάρροιc ἐνίοτε cυμπίπτει, διὰ τὸ cυρρέον εἰc τὸ cτόμα διὰ τῶν εἰc τὴν ῥῖνα cυντρήcεων εἴωθε γίνεcθαι τοῦτο. cυμβαίνει δ᾽ ἐνίοτε καί τινοc ἔξωθεν τῇ ῥώμῃ

7 κατ᾽ ἀρχὰc] *p. 4, 11 sqq.* 19 *schol.* R: ἡ ἀνάχρεμψιc γίνεται κατὰ πολλοὺc τρόπουc· γίνεται γὰρ καὶ δι᾽ ὑγρὸν καταρεῦcαν ἀπὸ τῆc κεφαλῆc εἰc τὸ cτόμα διὰ τῶν cυντρήcεων τῶν εἰc τὴν ῥῖνα, γίνετα δὲ ἐνίοτε καὶ διὰ τὴν ῥώμην τῆc ἀναπνοῆc ἑλκούcηc ὑγραcίαν τινὰ ἀπὸ τῶν ἐκτὸc καὶ cφινοῦcαν [*l.* cφηνοῦcαν] αὐτὴν τοῖc κατὰ τὴν ῥῖνα πόροιc. ὅταν οὖν χωρὶc τούτων γένηται ἀνάχρεμψιc, δηλοῖ βεβλάφθαι τὴν γνώμην, ὥcπερ καὶ τὸ βλαβῆναι ἑτέραν τῶν προαιρετικῶν ἐνεργειῶν, ὥcπερ καὶ ἡ φῦcα ἐκκριθεῖcα δηλοῖ τὴν γνώμην νοcεῖν, τουτέcτιν, ἐὰν πρότερον ὁ ἄνθρωποc ἦν [*l.* ᾖ ?] κόcμιοc διὰ παντὸc ἔμπροcθεν ποιούμενοc φυλάττεcθαι, ⟨φυλάττεται⟩ νῦν διὰ τοῦτο ἐκδήλωc. ἡ δὲ πυκνὴ ἀνάχρεμψιc, ἐὰν ἔχει καὶ ἕτερόν τι cημεῖον προcυπάρχον ἀπὸ τῶν δηλούντων φρενῖτιν ὡc ἡ ταραχώδηc ἀγρυπνία, φρενιτικόν.

2 γίνεται T: γένηται RL ἐcτὶ L: εἰcὶν RT 3 ἐcτιν *om.* L οὐδ᾽ RT: οὐδὲν L 4 εἴ γε RT: εἶναι L ὡc *om.* LT 5 κοιμωμένοιc L ἑτοίμην L 6 μεγέθεcι *om. in lac. 7 litt.* T καλεῖcθαι RT: καλεῖται L 9 *post* τῶν *transp. ex v. 10* δὲ *Aldus* 10 τὴν *om.* L γνωριζόμενον ἡ γιγνομένη L διάγνωcιc L *(cf. Gal. l. c.)*: γνῶcιc RT 11 ἀπαγγελθεῖcα RT: ἀπαγγελθείcηc L: ἐπαγγελθεῖcα *perperam a Basil. edd.* 13 εἰ καὶ μὴ LT: εἰ μὴ R 14 ἤδη φρενιτικοὺc L 16 ὡc RT: ὥcτε L 17 τοῖc *om.* R προηγούμενα LT: προηγούμενοc R: *praetulerim* προηγούμενα *post* τὰ *collocatum ut p. 20, 20* 19 ἀνάχρεψιc L *ut solet* πυκνή γε *Hipp. Prorrh., at* γε *om. Coac. 239* 20 προcῇ φρενιτικά *om.* L 21 ἦν *om.* L ἀναπτυομένου T 22 αὐτά LT εἴ ⟨γε⟩ *Helmreich* 23 διὰ . . . ἑλχθέντοc *om.* L

τῆς ἀναπνοῆς ἑλχθέντος, εἶτ᾿ ἐν αὐτοῖς τοῖς κατὰ τὴν σύντρησιν πόροις ἐμπλασθέντος ἢ σφηνωθέντος ἀνάχρεμψιν γίγνεσθαι πυκνήν. ἀλλ᾿ ὅπερ ἔμπροσθεν ἔφην ὑπὲρ τῶν ἀμελέστερον ἢ ἁπλοϊκώτερον ἑρμηνευόντων ἄνευ διορισμοῦ, χρὴ μεμνῆσθαι τὰ λεγόμενα πάντα κατὰ
528 τὰς τοιαύτας διδασκαλίας | ὑπεξῃρημένων τῶν ἔξωθεν αἰτίων λέγεσθαι. διὰ τοῦτο οὖν καὶ ἡ ἀνάχρεμψις ἕν τι τῶν προαιρετικῶν οὖσα ἔργων γίγνεται πυκνὴ βλαβέντος τοῦ λογισμοῦ καθάπερ καὶ ἄλλη τις τῶν προαιρετικῶν ἐνεργειῶν, ὡς ἔνιοι μέν γε μετὰ ψόφου φῦσαν ἐκκρίνουσιν, περὶ παντὸς τὸ φυλάττεσθαι δρᾶν τοῦτο ἔξωθεν ποιούμενοι, καὶ μάλιστα ἀκούοντός τινος, ἔνιοι δὲ χεῖρα κινοῦσιν ἀλόγως ἢ σκέλος ἢ ὁτιοῦν ἄλλο τοιοῦτον πράττουσιν ἢ λέγουσιν. κατὰ τὸν κοινὸν οὖν λόγον ἁπασῶν τῶν προαιρετικῶν ἐνεργειῶν ἀλόγως πλεοναζουσῶν ἢ ἐλλειπουσῶν καὶ ἡ ἀνάχρεμψις ἐν τοῖς φρενιτικοῖς σημείοις ἐστίν. οὐ μὴν οὕτω γε ἰσχυρὸν ὡς ἡ ἀγρυπνία, καὶ μάλιστα ἡ ταραχώδης· αὕτη γὰρ ἴδιος τῶν φρενιτικῶν. ἔστιν δὲ ταραχώδης, ὡς ἔφην, ἣν ἐν φαντασίαις ἐκβοῶσιν ἢ ἀναπηδῶσιν καὶ μόλις γνωρίζωσι τοὺς οἰκείους. καλῶς οὖν προσέθηκεν ἐπὶ τῆς ἀναχρέμψεως ʽἣν δή τι καὶ ἄλλο σημεῖον προσῇ᾿· μικρὰν γὰρ ἔχον τὴν δύναμιν τοῦτο τὸ σημεῖον ἑτέρων
529 δεῖται μαρ|τυρούντων αὐτῷ. γιγνομένης δέ ποτε πυκνῆς ἀναχρέμψεως καὶ διὰ γλίσχρον πτύελον ἐμπεφραγμένον τοῖς εἰς τὸ στόμα πόροις ἐκ τῆς ῥινὸς οὐκ ἀδύνατον οὐδ᾿ οὕτως τισὶ τῶν φρενιτίζειν μελλόντων συμπίπτειν αὐτὴν διὰ τὴν κατὰ τὸν ἐγκέφαλον διάθεσιν ξηρὰν καὶ θερμὴν οὖσαν. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον οὐχ ἑνικῶς φρενιτικόν, ἀλλὰ πληθυντικῶς φρενιτικά πάντως μὲν πρὸς τὰ σημεῖα τὴν ἀναφορὰν ἢ πρὸς τὰ πάθη λήψεται, καθ᾿ ἑκάτερον δὲ τὴν ἑρμηνείαν ἀλλόκοτον ἐργάζεται.

I 7 [I 7. V 512, 3] Τὰ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχονδρίῳ πυρετοῦ περιψυχθέντος κακόν, ἄλλως τε κἂν ἐφιδρῶσιν.

Ἀσφαλῶς εἶπε· ʽʽπυρετοῦ περιψυχθέντος᾿᾿· οὐ γὰρ ἀληθὲς ἦν φάναι ʽπυρετοῦ παυσαμένου᾿. διαμένει γοῦν ἐν τοῖς κυρίοις μέρεσιν,

3 ἔμπροσθεν] *p. 16, 31 sqq.? an potius ante p. 3, 5?*

1 εἶτ᾿ *om.* T 2 πόνοις L ἐμπλασθέντα R σφηνωθέντος T: σφινωθέντος L: σφινωθέντα R 3 ὑπὲρ *Basil.*: ὑπὸ RT *Ald.*: ἐπὶ L ἢ ἁπλοϊκώτερον *om.* L 4 μεμνῆσθαι χρὴ L πάντα . . . διδασκαλίας *om.* L 6 *ante* διὰ *ins.* καὶ L ἔργων οὖσα γίνεται L 7 ἄλλό τι τῶν L 8 φύσσαν R 9 περὶ παντὸς τὸ *(supra scr.)* φυλάττεσθαι δρᾶν τοῦτο ἔξωθεν ποιούμενοι καὶ μάλιστα ἀκούοντος τινός R: περὶ παντὸς ἔξωθεν ποιούμενοι φυλάττεσθαι τοῦτο δρᾶν ἀκούοντός τινος L: περὶ παντὸς ἄνωθεν ποιούμενοι τοῦτο δρᾶν ἀκούοντός τινος T ἔξωθεν] *i. e. in publico* 11 ἢ λέγουσιν *om.* L 14 αὕτη . . . ταραχώδης *om.* T 15 γὰρ R: γὰρ ἡ L ἣν *scripsi (cf. ad p. 565, 13 K.)*: ἢ T[1]: ἡ L: οἱ R: εἰ T[2] 16 γνωρίζωσι LT: γνωρίζουσι R 17 εἰ δὴ RT: εἰ δέ L; *cf. 21, 19* 19 δὲ RT: δὴ L 20 καὶ *del. Basil.* ἐμπεφραγμένης T 22 διαθέσεως *(compendiose)* R 24 πάντως μὲν πρὸς L: πάντως πρὸς R: *inter* πάντως *et* τὰ *lac. 5 litt. rel.* T 29 ἐφιδρῶσιν *scripsi (cf. p. 23, 8 et ad 13, 26. 19, 24)*: ἐφ᾿ ἱδρῶσιν RLT

εἰ καὶ κατὰ τὴν ἐπιφάνειαν ἐπαύσατο, πυ|ρέττειν ἡμῶν λεγόντων οὐ 530 μόνον τὸν κατὰ τὸ δέρμα καὶ τὴν ἐκτὸς ἐπιφάνειαν ἔχοντα πυρώδη θερμαcίαν, ἀλλὰ καὶ πολὺ μᾶλλον τούτου τοὺς ἐν τῷ βάθει τε καὶ τοῖς cπλάγχνοις. ὁ μὲν οὖν ὀλέθριος καῦcος τὰ μὲν ἔνδον ἐκκαίει, τὰ δʼ ἔξωθεν οὐδὲ μετρίως θερμαίνει. καὶ μέμνηται τοῦ τοιούτου πυρετοῦ κατὰ τοὺς Ἀφορισμοὺς αὐτὸς ὁ Ἱπποκράτης, ἐν ᾧ φησιν· "ἢν ἐν μὴ διαλείποντι πυρετῷ τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δʼ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον". τὸ δʼ ἐφιδροῦν, ἐπειδὴ ποτὲ μὲν ἐπὶ ⟨τῶν ἐν⟩ τοῖς κατὰ κεφαλὴν ἢ θώρακα χωρίοις ἱδρώτων γιγνομένων εἰώθαcι λέγειν, ἐνίοτε δὲ ἐπὶ τῶν διʼ ὅλου μὲν τοῦ cώματος, ἀλλʼ ὀλίγων, ὁποτέρως δὰν εἴη νῦν εἰρημένον, οὐκ ἀγαθόν ἐστι cημεῖον· οἱ μὲν γὰρ διʼ ὅλου τοῦ cώματος ἱδρῶτες † ἤτοι ἐπʼ ὀλίγον οὕτω γιγνόμενοι, διότι μὴ λύουcιν τὴν καθʼ ὑποχόνδριον φλόγωcιν, οὐκ ἀγαθόν, οἱ δʼ ἐν τοῖς ἄνω μέρεcιν, ἐπειδὴ κατὰ διττὸν γίγνονται τρόπον ἢ ἀρρωcτούcης τῆς δυνάμεως ἢ βαρυνομένης ὑπὸ πλήθους | * * *

I 8 [I 8. V 512, 4] Αἱ προεξαδυνατηcάντων παραφροcύναι 531 κάκιcται, οἷον καὶ Θραcύνοντι.

Οὕτως εἰcὶν αἱ προεξαδυνατηcάντων παραφροcύναι κάκιcται, ὡς οὐκ ἂν ἐλπίcαις cωθῆναί τινα ἐξ αὐτῶν· ἀκούειν δὲ δηλονότι περὶ τῶν παραφροcυνῶν ἐκείνων προcῆκον, ὅcαι κατὰ διάθεcιν νοcώδη γίγνονται τοῦ φρονοῦντος ἐν ἡμῖν μορίου. πρόcκαιροι γὰρ ἕτεραί τινες cυμπίπτουcιν ἀπὸ τῶν ἔξωθεν αἰτίων, οἷον ἀνθράκων θέρμης ἢ οἴνου πόcεως ἢ οἴκου τὴν ἐκ τῆς τιτάνου διαcῴζοντος ποιότητα· βλαβεραὶ μὲν γὰρ καὶ κινδυνώδεις εἰcὶν καὶ αἱ τοιαῦται προεξαδυνατηκόcι cυμπίπτουcαι· παντάπαcιν δʼ ὀλέθριαι τῶν κατὰ διάθεcιν ἐγκεφάλου φρενιτικὴν παρακοπτόντων. μέγεθος γάρ τι τῆς κατὰ τὴν δύναμιν ἀρρωcτίας ἐνδείκνυται τὸ προεξαδυνατηcάντων ὄνομα προcκειμένης τῆς 'ἐξ' προθέcεως τῷ 'προαδυνατηcάντων', ὃ καὶ

6 Ἀφοριcμοὺς] *IV 48 (IV 520 L.)*

2 τὸν] τῶν T 3 τούτου LT: τούτους R 5 τοῦ *om.* LT 6 ἐν ᾧ] ἔνθελ *sic* L 7 ἐν (*post* ἢν) *om.* L ἐν τοῖcι μὴ διαλείπουcιν πυρετοῖς ἢν τὰ μὲν κτλ. *Hipp.* ἔνδι L 8 ἔχει R ἐφιδροῦν *sic* RLT: ἐφʼ ἱδρῶcιν *ab Aldo edd.* 9 τῶν ἐν *suppl. Schoene* γενομένων L 10 ἀλλʼ . . . 12 cώματος *supplevit post* φλόγωcιν (13) L ὀλίγων *Cornarius:* ὀλίγον RLT 11 ὁποτέρως RLT: ὁπότερον *Aldus* δὰν (*i. e.* δὴ ἂν) *scripsi:* δʼ ἂν RT: ἂν L εἰρημένον RL: εἰρηνικον T ἐcτι *om.* L 12 γὰρ *om.* T cώματος ἱδρῶτες ἤτοι ἐπʼ ὀλίγον οὕτω R: cώματος ἱδρῶτες οὕτω L: cώματος ἱ *(lac. postea 5 litt.)* οὕτω T; *pro* ἤτοι *conicio* καίτοι 13 ἀγαθόν R: ἀγαθοί LT: οἱ δʼ RT: οὐδʼ L 15 *lacunam indicavi; interciderunt velut haec*: ὁμοίως κακόν 16 *lemma 8 cum commentario (23, 16—24, 16) om.* L προεξαδυνηcάντων] *cf. ad v. 27* 17 θραcύνοντα T 19 ἐλπίcῃς RT: *correxi* 21 νοcώδη R[1]T: νοcώδεις R[2] 24 γὰρ *om.* T 25 ὀλέθριαι ⟨αἱ⟩, *quamvis hiet, suadet Kalbfleisch* 27 προεξαδυνατηcάντων] *Gal. etiam 715, 15; consentiunt Hipp. Prorrh. et Coac. 99, at* προαδυνατηcάντων *Gal. legit in codd. nonnullis (cf. p. 24, 1); memorabile est Erotiani ad eundem locum attinens lemma p. 105, 7 Kl.* προαπαυδηcάντων, *quod genuinum videtur*

αὐτὸ καθ᾽ αὐτὸ βλάβην ἱκανὴν cημαίνει τῆc δυνάμεωc, καὶ κατά τινα
532 τῶν ἀντιγράφων | οὕτωc εὑρίcκεται γεγραμμένον. οὐ μόνον δὲ αἱ παραφροcύναι δέονται δυνάμεωc ἐρρωμένηc, ἵνα ὁ κάμνων ἐξαρκέcῃ τῇ πέψει τοῦ νοcήματοc, ἀλλὰ καὶ περιπνευμονία καὶ πλευρῖτιc καὶ κυνάγχη καὶ τἆλλα τὰ μεγάλα πάθη. προcέρχεται δὲ ἐξ ἐπιμέτρου τῇ παραφροcύνῃ καὶ ἀγρυπνία καταλύουcα τὴν δύναμιν οὐδὲν ἧττον τῶν αἰcθητῶν ἐκκρίcεων ἥ τ᾽ ἐν κινήcεcι πολλαῖc καὶ ἀτάκτωc γινομέναιc πλημμέλεια.

τὸ δ᾽ οἷον καὶ Θραcύνοντι μᾶλλον ὑπομνήματι πρέπον ἐcτὶν ἢ cυγγράμματι. κατὰ γοῦν τὸ Προγνωcτικὸν καὶ τοὺc Ἀφοριcμοὺc καὶ τὸ Περὶ ἀγμῶν καὶ ἄρθρων, ὁμοίωc δὲ καὶ κατὰ τὸ Περὶ διαίτηc ὀξέων, ἔτι τε τὸ Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων οὐδαμόθι φαίνεται μεμνημένοc ὀνόματοc, ὥcπερ γε οὐδὲ ἐν τοῖc ἄλλοιc, ὅτι μὴ μόνοιc τοῖc τῶν Ἐπιδημιῶν, ἐν οἷc αὐτὸ τοῦτο μόνον προκείμενόν ἐcτιν ἐξετάcαι τὰ καθόλου διδαχθέντα διὰ τῶν κατὰ μέροc φαινομένων ἐφ᾽ ἑκάcτηc ἀρρωcτίαc. |

533 **I 9** [I 9. V 512, 6] Τὰ φρενιτικὰ νεανικῶc τρομώδεα τελευτᾷ.

Τὸ νεανικῶc δηλονότι ἀντὶ τοῦ γενναίωc ἢ cφοδρῶc ἢ ἰcχυρῶc εἴρηκε. μέcον δὲ τεταγμένον τοῦ τε φρενιτικά καὶ τοῦ τρομώδεα δύναται μέν, ὅcον ἐπὶ τῇ τάξει, μεθ᾽ ἑκατέρου λέγεcθαι, κατὰ δὲ τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξεταζόντων τὸν λόγον οὐ δύναται τῷ τρομώδεα cυντάττεcθαι· γενήcεται γὰρ ἡ διάνοια τοιαύτη, ὅτι τὰ φρενιτικὰ πάθη τελευτᾶν εἴωθεν εἰc τρόμον cφοδρόν, ὃ προφανῶc ψευδέc ἐcτι, μόναιc ταῖc cφοδροτάταιc φρενίτιcιν ἑπομένου τοῦ cυμπτώματοc· αἱ γὰρ εὐτονίαι τῶν νεύρων διὰ τὴν τοῦ πάθουc ξηρότητα τοῖc φρενιτικοῖc ὑπάρχουcιν ἄχρι πλείcτου, καταλυθείcηc δὲ τῆc δυνάμεωc ἀγρυπνίαιc τε καὶ πολλαῖc κινήcεcιν, ἅμα δὲ καὶ τῶν νεύρων ὑπερξηρανθέντων οἱ τρόμοι γίγνονται. |

534 **I 10** [I 10. V 512, 6] Τὰ ἐν κεφαλαλγίῃcιν ἰώδεα ἐμέcματα μετὰ κωφώcιοc ἀγρυπνώδεα ταχὺ ἐκμαίνει.

Μεμνημένῳ cοι τῆc τῶν χυμῶν γενέcεωc τῶν τε ἄλλων καὶ τῆc μελαίνηc χολῆc οὐ χαλεπὸν ἐννοῆcαι περὶ τῶν ἰωδῶν ἐμεcμάτων, ὡc

14 Ἐπιδημιῶν] *universe*

3 ὁ RT: *om. Aldus* 5 προcέρχεται *Cornarius:* προέρχεται RT δὲ T: *om.* R 11 ἀκμῶν T διαίτι T 12 τὸ (*post* τε) *om.* T οὐδαμόθι *Chartier:* οὐδαμο^θ´ *ambigue* T: οὐδαμόθεν R 14 μόνον *del. Chartier, falso, cf. Sext. adv. math. VIII 296* 15 ἑκάcτου ἀρρώcτου T 17 τὰ ἐν φρενιτικοῖcι νεανικῶc τρομώδεα θανάcιμα *Hipp. Coac. 96* 19 μέcον RT: μόνον L δὲ RL: τε T 20 μεθ᾽ ἑκατέρου RT: μὴ δὲ καθ᾽ ἑτέρου L 22 cυντάccεcθαι RLT ὅτι *om.* L 23 τελευτᾶν εἴωθεν *om.* L 24 μόνεc T: μόνον L 25 εὐτονίαι L: ἀτονίαι RT 26 καταλυθείcηc . . . πολλαῖc *om.* L 30 κωφώcιοc RT: κωφώcεωc L ἀγρυπνώδεα RLT: ἀγρύπνῳ *Hipp. Prorrh.*: ἀγρύπνοιcι *Hipp. Coac. 165* ἐκμέναι L 31 γενέcεωc LT: *om.* R τε LT: γε R

κατὰ τὴν ἐπὶ τὸν μέλανα χυμὸν ὁδοιπορίαν γίγνεται. μεμάθηκας γὰρ ἔκ τε τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης καὶ τοῦ παχέος αἵματος γεννᾶcθαι τὴν μέλαιναν. ἡ ξανθὴ χολὴ δ' ὑπεροπτωμένη πρῶτον μὲν εἰς τὸν ἰώδη τρέπεται χυμόν, ἔπειτα εἰς τὸν μέλανα· ὑπεροπτᾶται δὲ διὰ μέγεθος πυρετοῦ. κατειληφυίας οὖν τὸν ἐγκέφαλον χολῆς ξανθῆς ἐν τοῖς φρενιτικοῖς πάθεσιν, ὅταν ἡ τοῦ πυρετοῦ σφοδρότης ὀπτῶσα τὸν χυμὸν τοῦτον ἐργάζηται μελαγχολικόν, αἱ παραφροσύναι γίγνονται σφοδραὶ διὰ τὴν κακοήθειαν τῆς μελαίνης χολῆς, ἃς μανιώδεις κἀν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις Ἱπποκράτης ὠνόμασεν. αὐτὸς οὖν ὁ ἰώδης χυμός, ἄν τε δι' ἐμέτων ἄν τε διὰ τῆς κάτω γαστρὸς | ἄν τε διὰ 535 πτυσμάτων ἄν τε δι' οὔρων ἐπιφαίνηται, τόν τε χυμόν, ἐξ οὗ γεννᾶται, δηλώσει καὶ τὸ νόσημα θερμόν τ' εἶναι καὶ ξηρὸν ἰσχυρῶς. ἀδήλου δ' ὄντος, ὅσον ἐπὶ τῷ κενουμένῳ χυμῷ, πότερον ἄνευ τόπου πεπονθότος τινὸς ἐξαιρέτου ἢ μετά τινος κυρίου μορίου φλεγμονὴν ἐρυσιπελατώδη ἔχοντος ἡ γένεσις αὐτῷ γέγονεν, διαγινώσκεται καὶ διορίζεται τοῦτο τοῖς συνεζευγμένοις συμπτώμασι. καὶ γὰρ καὶ δι' ἧπαρ οὕτω φλεγμαῖνον ἰώδης γεννᾶται χυμός, οὗ νῦν μνημονεύει.

τῇ κοινωνίᾳ γοῦν τῶν ἄλλων συμπτωμάτων, ὅσα τῶν εἰρημένων μορίων τε καὶ παθῶν ἐστιν ἴδια, τὴν διάγνωσιν αὐτῶν ποιητέον· ἥ τε γὰρ ἀγρυπνία καὶ ἡ κεφαλαλγία καὶ ἡ κώφωσις ἐν τῇ κεφαλῇ δηλοῖ τὴν διάθεσιν εἶναι· χαλεπῶς δ' ἔχοντος τοῦ ἐγκεφάλου, πρὸς ἔμετον ὁρμᾶν τὸ στόμα τῆς γαστρὸς ἴσμεν· εἴρηται γὰρ ὑπὲρ τούτων πολλάκις. εὔλογον οὖν ἐστιν παρακόψαι σφοδρῶς τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ ξηρᾷ καὶ θερμῇ κατὰ τὴν κεφαλὴν δυσκρασίᾳ διὰ ξανθῆς χολῆς πλεονεξίαν ὑπεροπτωμένης. ἐν τάχει δὲ γενήσεσθαι τοῦτο διά | τε τὸ 536 μέγεθος τῆς διαθέσεως καὶ τὴν ἰδέαν τοῦ πλεονεκτοῦντος χυμοῦ. ὅσα μὲν γὰρ ἐπὶ ψυχροῖς ἢ παχέσιν ἢ γλίσχροις ἢ ὅλως δυσκινήτοις χυμοῖς παθήματα γίγνεται, βραδεῖαν ἴσχει τὴν ἐπὶ τὴν ἀκμὴν ἀνάβασιν· ὅσα δ' ἐν λεπτοῖς μὲν τῇ συστάσει, θερμοῖς δὲ τῇ κράσει, δακνώδεσι δὲ τῇ ποιότητι, χρόνον οὐ περιμένει πλείονα, καθάπερ οὐδὲ τὰ Φιλίστῳ

1 *schol.* T: ση(μείωσαι) τὴν μέλαιναν χολὴν λέγ(ει) 5 *schol.* R: ση(μείωσαι) ὅτι ἡ ξανθὴ χολὴ ὑπεροπτωμένη εἰς τὸν ἰώδη τρέπεται χυμόν, ἔπειτα εἰς τὸν μέλανα 9 Ἐπιδημιῶν] *V 2 (V 204, 8 L.)* μαινόμενος δὲ ὑπὸ χολῆς μελαίνης ἔπιε τὸ φάρμακον

2 ὑπεροπτηθείσης LT: ὑπεροπτῆσθαι R 3 ἡ δ' ὑπεροπτημένη ξανθὴ χολὴ T χολὴ *om.* L *post* μὲν *add.* εἴωθεν L 4 ἰώδεα T τρέπεσθαι L 5 ξαντῆς *(sic)* χολῆς LT 7 ἐργάζεται T 10 ἄν τε διὰ πτυσμάτων *om.* L 11 ἐπιφανῆται RLT: *correxi* 14 κυρίου *om.* L *post* μορίου *add.* κοινοῦ L 15 γέγονεν RT: γεγονέναι L διαγινώσκεται δὲ T 16 καὶ *alterum om.* L 17 οὗ νῦν ⟨οὐ⟩ μνημονεύει *Cornarius* 18 ἡ κοινωνία τοίνυν L τῶν *et* μορίων τε καὶ *om.* T 19 διάγνωσιν RT: διάθεσιν L ποιητέον RL: ποιεῖται T 21 δ' ἔχοντος LT: χοτ (*lacuna unius litt. antea relicta*) R 22 γαστρὸς RT: σαρκὸς L τούτου LT 24 δυσκρασίᾳ *(compend.)* διὰ RT: κραείδια L 25 ὑπεροπτημένης T: ὑπερωπτημένης *Cornarius, at cf. v. 3* 27 ἢ παχέσιν *om.* T 30 φιλίστωι L: φιλίστω RT: Φιλίστης *Hipp. l. c. et Gal. in eum loc. (XVII A 585. 586)*

γενόμενα τῷ γεγραμμένῳ κατὰ τὸ τρίτον τῶν Ἐπιδημιῶν, ὃν ἐμέςαι μὲν ἔφη χολώδεα ὀλίγα ξανθὰ πρότερον, μετὰ δὲ ταῦτα ἰώδεα πλείω· εἶτα εἰπών, ὅτι κώφωςις αὐτῷ ςυνέπεςεν, ἐφεξῆς φηςιν ‘ἐξεμάνη’. καὶ νῦν οὖν ὀρθῶς οὐ μόνον ὅτι παρακόψουςιν οἱ οὕτως ἔχοντες, ἀλλὰ καὶ ὅτι ςφοδρῶς, ἐδήλωςε προςθεὶς τὸ ἐκμαίνει, μεγάλης παρακοπῆς δηλωτικὸν ῥῆμα.

I 11 [I 11. V 512, 8] Τὰ ἐν ὀξέςι κατὰ φάρυγγα ὀδυνώδεα ἰςχνά, ςμικρά, πνιγώδεα, ὅτε χάνοι, μὴ ῥηϊδίως ςυνάγοντι
537 [καὶ κλείειν | τὸ ςτόμα] παρακρουςτικά· ἐκ τοιούτων φρενιτικοὶ καὶ ὀλέθριοι.

Ὅτι μὲν οὖν ἐπὶ τοιούτοις ςυμπτώμαςιν ἐνίοτε γίνεται φρενῖτις, ὅτι τε γιγνομένη πάντως ἐςτὶν ὀλέθριος, ὀρθῶς εἴρηται· μὴ μέντοι παρυπονοήςῃς ἕπεςθαι τοῖς εἰρημένοις ςυμπτώμαςιν ἐξ ἀνάγκης φρενῖτιν· οὐδὲν γὰρ πρόςκειται τῇ ςυνδρομῇ τῶν ςυνενδεικνυμένων πεπονθέναι τὸν ἐγκέφαλον. ἐκ δὲ τοῦ τὰ κατὰ τὸν φάρυγγα κακῶς διακείμενα τὸν τοιοῦτον ἄνθρωπον ἔχειν ἄνευ τινὸς ὄγκου παρὰ φύςιν οὐ δυνάμενον, ὁπότε χάνοι, ςυνάγειν ἑτοίμως τὴν γένυν καὶ κλείειν τὸ ςτόμα, τεκμαίροιτ᾽ ἄν τις ἐνίοτε πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων. ἄρχεςθαι γὰρ εἰκός ἐςτιν ὡς ἐπὶ τῶν φαινομένων μορίων τὰς διαθέςεις οὐκ ἀθρόως ὅλων ἤτοι φλεγμαινόντων ἢ οἰδιςκομένων ἢ ἐρυςιπέλατα ἰςχόντων, ἀλλὰ ἐφ᾽ ἑνός τινος αὐτῶν τόπου, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἐν τῷ βάθει κειμένων. μέγεθος οὖν ἀξιόλογον ἔχον-
538 τος τοῦ ἐγκεφάλου καὶ πολλὰς νεύρων ἐκφύ|ςεις εἰκός ἐςτιν ἄλλοτ᾽ ἀπ᾽ ἄλλων αὐτῶν πρώτων ἄρχεςθαι τὴν φλεγμονὴν αὐτοῦ, καθ᾽ ὅ τι δ᾽ ἂν μέρος πάθῃ, κατ᾽ ἐκεῖνο καὶ τὰς τῶν νεύρων ἐκφύςεις παςχούςας ἀδυνάτους γίνεςθαι κινεῖν τοὺς μῦς, εἰς οὓς ἐμφύονται. τὴν τοίνυν κάτω γένυν, ἑτέρων μὲν μυῶν ἀνοιγνύντων, ἑτέρων δὲ κλειόντων, ὅταν μὲν ἐν τοῖς τῶν διανοιγόντων μυῶν νεύροις ἡ διάθεςις γένηται,

1 κατὰ τὸ τρίτον τῶν Ἐπιδημιῶν] *III 2, 4 (III 44, 11 L.)*

5 ἐκμανεὶς T 7 *lemma cum commentario 26, 7—27, 20 om.* L ὀδυνώδεα ἰςχνὰ ςμικρὰ R: ὀδυνώδεα ςμικρὰ ἰςχνὰ T: ὀδυνώδεα ςμικρὰ *Hipp. Prorrh.*: μικρὰ ὀδυνώδεα *Hipp. Coac. 269* 8 πνιγώδεα T: πνιγῶ^δ^ *ambigue* R: *om. Hipp. Coac.* χάνοι T: χάνῃ R ςυνάγοντι T *Hipp. Prorrh. Coac.*: ςυνάγειν τε R *(cf. v. 17)* 9 καὶ κλείειν *(sic scripsi)* τὸ ςτόμα *delevi:* καὶ ἐκλείειν τὸ ςτ. R: κλύειν τὸ ςτ. T. *intrusum glossema ex paraphrasi Galeni v. 17 (cf. Hipp. cod. D ap. Littré)* ςυνάγοντι ἰςχνῷ *Hipp. Prorrh. et Coac., hinc* ἰςχνὰ *in priora migrasse videtur* τοιούτων T: τοιουτέων R: τουτέων *Hipp. Prorrh. et Coac.; illud natum videtur ex paraphrasi* τὸ τοιοῦτον φρενιτικὸν καὶ ὀλέθριον *(simile est in Hipp. D schol.)* 10 καὶ R: τε T 13 παρυπονοήςῃς R: παρυπονοήςας T, *unde* παρυπονοήςαις *ab Aldo edd.* ἕπεςθαι *Helmreich*: ἔςεςθαι RT 15 τὰ *om.* T τὸν R: τὴν T *(cf. p. 27, 7. 8)*

17 χάνοι T: χα^ν^ R (χάνῃ *Ald.*) κλείειν *scripsi:* ἐκλείειν R: κλύειν T 21 ἐςχόντων T 22 τῷ *om.* T 24 πρώτην T: πρῶτον *Cornarius* 26 ἐμφύονται R: ἐκφύονται T 27 ἀνοιγόντων *Aldus*

δυσκόλως ἀνοιγνύουσιν, ὅταν δὲ ἐν τοῖς τῶν κλειόντων, οὐ ῥᾳδίως κλείουσιν.

ἐνδεχομένου δὲ ὄντος αὐτοὺς μόνους ἐνίοτε τοὺς μῦς πεπονθέναι χωρὶς τῆς τῶν νεύρων ἀρχῆς, οὐκ ἀναγκαῖόν ἐστιν τοῖς εἰρημένοις συμπτώμασιν ἀκολουθεῖν φρενῖτιν. οὐδὲ γὰρ ὃ μάλιστα αὐτὸν ἔπεισεν ὑποπτεῦσαι πεπονθέναι τὴν ἀρχὴν τῶν μυῶν (ἔστι δὲ τοῦτο τῶν κατὰ τὸν φάρυγγα χωρίων ἡ ἰσχνότης), τῶν ἀναγκαίων ἐστίν. ἐγχωρεῖ γὰρ τοὺς ἐν τῷ φάρυγγι μῦς φλεγμαίνοντας τὸ πνιγῶδες ἐργάζεσθαι σύμπτωμα μὴ δυναμένους φανῆναι, μηδ' ἂν ἐπὶ πλεῖστόν τις διανοίξῃ τὸ στόμα, ὡς εἴ γε χωρὶς τῆς τούτων φλεγμονῆς γίγνοιτο τὰ εἰρημένα συμπτώματα, σκοπεῖσθαι χρή, μή τις τῶν μυῶν μόνων τῶν κινούντων 539
τὴν κάτω γένυν ἰδία τίς ἐστιν διάθεσις. ἐὰν γὰρ μήθ' οὗτοί τι πεπονθότες ὦσι μήθ' οἱ τοῦ λάρυγγος, εὐλόγως ἄν τις αἰτιάσαιτο τὴν ἀρχὴν τῶν νεύρων· ἐὰν μέντοι διὰ τὴν ἀρχὴν ᾖ τὰ τοιαῦτα συμπτώματα γεγονότα, χαλεπωτάτην εὔλογον εἶναι τὴν διάθεσιν, ὡς καὶ σπασμὸν ἀκολουθῆσαι. μεμαθήκαμεν γὰρ ἐπὶ ταῖς τῶν μυῶν τάσεσι διὰ τὴν ἀρχὴν γινομέναις ἕπεσθαι σπασμόν. οὐκ ἐμνημόνευσα δὲ ἐν ᾧ διῆλθον λόγῳ τῶν ἐπὶ τοῖς τοῦ τραχήλου σπονδύλοις εἰς τὸ πρόσω ῥεύσασι κυναγχικῶν διά τε τὸ σπάνιον τῆς διαθέσεως, ὅτι τέ μοι δοκοῦσι καὶ τότε συμφλεγμαίνειν οἱ τοῦ λάρυγγος μύες.

I 12 [I 12. V 514, 2] Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιεικές, πυκνὰ δὲ μεταπίπτειν, κακὸν τὸ τοιοῦτον. καὶ πτυελισμὸς κακόν. |

Οὐδὲν ἐξαίρετον ἐπὶ φρενίτιδος ὁ λόγος ἔχει· καὶ γὰρ κἀπὶ τῶν 540
ἄλλων παθῶν, εἰ μεταπέσοι τὸ ἐπιεικές, ἐνδείκνυται τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι. τὸ δ' ἐν ἀρχῇ πρόσκειται, τάχα μηδ' ἄλλως γενήσεσθαι δυνάμενον. ἐν ἀρχῇ γὰρ ὁρῶνται συνεχεῖς μεταπτώσεις,

21 *schol.* R ἐν τοῖς φρενιτικοῖς ἐν τῇ ἀρχῇ ἔνι [*i. e.* ἐστι] τὸ ἐπιεικές, τουτέστιν τὸ ἀκατάστατον. τοῦτο οὖν ἔνι κοινὸν ἐπὶ πάντων τῶν νοσημάτων, τὸ ἐν τῇ ἀρχῇ εἶναι ἐπιεικές. λέγει γὰρ καὶ ὁ ἱπποκράτης κατὰ τὰ [*l.* κατά τε] τὰς ἀρχὰς καὶ τὰ τέλη πάντως ἀσθενέστατα, κατὰ δὲ τὰς ἀκμὰς ἰσχυρότατα. τὸ δὲ μεταπίπτειν ἀπὸ τόπων εἰς τόπον κακόν· ἐνδείκνυται γὰρ ἀσθένειαν τῶν μυῶν μὴ δυναμένων ἐνεργεῖν περὶ ἓν εἶδος κατακλίσεως ἔχουσι ῥιπτασμούς. καὶ πτυελισμὸς κακόν· ἐνδείκνυται γὰρ μέγεθος διαθέσεως ἐν τῷ ἐγκεφάλῳ· γίνεται γὰρ ὁ πτυελισμὸς * * * [*versiculus abscissus? cf. 28, 8 sqq.*] ⟨π⟩επληρωμένου τοῦ ἐγκεφάλου γίνεται ὁ πτυελισμός. γίνεται δὲ καὶ διὰ τὰ σιαλοχόα ἀγγεῖα καὶ τοὺς ἀδένας γεννῶντας ὑγρὸν πολύ. γίνεται καὶ διὰ τὸ στόμα τῆς γαστρὸς περιέχον ὑγρὸν πολύ. ἐν ἄλλοις δὲ μορίοις ἐκκρίνεται καὶ διὰ τὸ τὰ μόρια εἶναι ἀραιὰ καὶ τὰ ὑγρὰ λεπτά.

1 ἀνοίγνυσιν T 3 δὲ T: *om.* R 7 τὸν R: τὴν T χωρίων R: μορίων T *quod post* ἐστὶν (7) *interpolavit Aldus* γὰρ *om.* T 8 τῷ R: τῇ T 9 διοίξῃ T 11 τις *delendum, cf. v. 13* 13 τις *om.* T 18 ῥεύσασι T: ῥεύμασι R 21 ἐν τῆσι φρ. T ἐν ἀρχῆσι *Hipp. Prorrh. et Coac. 91* 22 δὲ RT: *om.* L: τε *Coac. l. c.* 24 κἀπὶ *om.* L 25 μεταπέσοι LT: μεταπέσῃ R 26 ἄλλως RL² *mrg.*: ὅλως L¹T 27 δυνάμενον RLT: δυναμένου *ex Ald. edd.* ὁρῶνται LT: ὁρῶντες R

οὐχ ὅταν χρονίζῃ τὰ νοσήματα, καὶ ταῦτ᾽ εἰκὸς συμβαίνειν ἐν ταῖς κατὰ πλῆθος ἢ ποιότητα μοχθηρῶν χυμῶν διαθέσεσιν ἄλλοτ᾽ εἰς ἄλλο μόριον, ἐνίοτε μὲν εἰς κύριον μεθισταμένων, ἐνίοτε δὲ εἰς ἄκυρον· αἱ μὲν οὖν εἰς τὰ κύρια μέρη μετάρροιαι διαφθείρουσι τὸ ἐπιεικές, αἱ δ᾽ εἰς τὰ μὴ κύρια δηλοῦσιν, ἐν ᾧ καιρῷ μάλιστα χρὴ τὸν ἰατρὸν ἐπὶ τὰς κενώσεις ἰέναι τῶν λυπούντων χυμῶν ἢ κατὰ πλῆθος ἢ ποιότητα. τοῦτο μὲν οὖν, ὡς ἔφην, ἁπάντων νοσημάτων κοινόν.

ὁ πτυελισμὸς δὲ γίνεται μὲν καὶ διὰ τὸ στόμα τῆς γαστρὸς ἀρρωστοῦν ἐφ᾽ ὑγρότητι, γίνεται δὲ καὶ διὰ τὸν ἐγκέφαλον ἐμπεπλησμένον ὑγρῶν, ἐξ ὧν συρρεῖ τι καὶ εἰς τὸ στόμα παραπλησίως τῷ κατὰ τοὺς φλεγμαίνοντας ὀφθαλμοὺς δακρύῳ λεπτῷ. νῦν οὖν ἐπειδὴ τοῖς
541 φρενιτικοῖς ἔφη γίνεσθαι τὸν | πτυελισμόν, ἐγκεφάλου κακοπραγοῦντός ἐστι σημεῖον.

I 13 [I 13. V 514, 4] Ἐν φρενιτικοῖσι λευκὴ διαχώρησις κακόν· ὡς καὶ Ἀρχεκράτει. ἆρά γε ἐπὶ τούτοις καὶ νωθρότης γίνεται; ῥῖγος ἐπὶ τούτοις κάκιστον.

Αἱ λευκαὶ διαχωρήσεις, ὅτι καὶ δι᾽ ἐδεσμάτων χρόαν γίνονται, πρόδηλον· ὁρῶμεν γάρ, ὅσοι γάλα προσηνέγκαντο μόνον ἢ ἄρτον καθαρὸν ἢ χόνδρον ἢ θέρμους ἤ τι τοιοῦτον, τὴν διαχώρησιν αὐτῶν λευκὴν γινομένην, εἰ παραβάλλοιτο τοῖς φακῆν ἐδηδοκόσιν ἢ κράμβας

6 *schol.* R: οἱ χυμοὶ ἢ πλῆθος ἔχουσιν ἢ ποιότητα ἀνοίκειον καὶ δέονται ἀμφότεροι τῆς κενώσεως. καὶ πῶς οἱ κατὰ ποιότητα ἀνιῶντες δέονται τῆς κενώσεως; τὸ αἷμα ἢ κατὰ τὸ ποσόν ἐστι πολὺ ἢ κατὰ τὸ ποιὸν διεφθαρμένον, καὶ δέονται κενώσεως· τὸ γὰρ διεφθαρμένον ἀποκενωθέν, νὰ κρατήσει [*i. e.* ἵνα κρατήσῃ] ἡ φύσις τοῦ λοιποῦ καλῶς· ὅπερ οὐκ ἔστιν ἕτερόν τι ἄλλο ἢ τὸ συμπέψαι. διὰ τοῦτο λέγομεν καὶ συμπεπτικὰ τὰ σὺν τῇ φύσει πέττοντα· τὸ γοῦν διεφθαρμένον ἢ πάντως ἐστὶν διεφθαρμένον, οὐδ᾽ ὅλως δὲ οἰκεῖον καὶ φίλιον τῇ ἡμετέρᾳ φύσει καὶ δεῖται κενώσεως πολλῆς, ἢ τὸ μὲν ἀλλότριόν ἐστι πολύ, τὸ δ᾽ οἰκεῖον ὀλίγον καὶ δεῖται τῆς κενώσεως ὀλιγωτέρας παρὰ τῆς [*l.* τὴν] πρόσθεν, ἢ ἐπ᾽ ἴσης ἔχει τὸ ἀλλότριον τῷ οἰκείῳ καὶ ἔστι [*l.* ⟨δεῖται⟩ ἔτι] μᾶλλον ὀλιγωτέρας.
7 ἔφην] *p. 27, 24*
14 *schol.* R: ἐν φρενιτικοῖς εἰ γένηται λευκὴ διαχώρησις κακόν ἐστιν· ἐνδείκνυται γὰρ μέγεθος διαθέσεως ὡς ἅπαντος τοῦ χολώδους ἀναφερομένου ἅμα τῷ αἵματι ἐν τῷ ἐγκεφάλῳ. τὰ γὰρ λευκὰ διαχωρήματα γίνονται δι᾽ αἰτίας πολλάς· τῷ γὰρ Ἀρχεκράτει συνέβη λευκὴ διαχώρησις φρενιτικῷ ὄντι. ἆρά γε ἐπὶ τούτοις, λέγω δὴ τοῖς φρενιτικοῖς, γίνεται νωθρότης, τουτέστι γίνονται αἱ φρενιτικοὶ κωματώδεις; ἡ γὰρ νωθρότης γίνεται ἐπὶ ψυχροῖς καὶ παχέσι καὶ γλίσχροις καὶ ὅλως δυσκινήτοις χυμοῖς. εἰ δὲ ἐπὶ θερμῆς [*l.* θερμοῖς] γένηται, ἐνδείκνυται θάνατον ὡς νεκρώσεως γεγονυίας· ῥῖγος ἐπὶ τούτοις κρίσιμον· εἰ ἐπιγένηται, λύει τὴν νόσον.

2 κατὰ τὸ πλ. T   ποιότητος T   διαθέσεσι T: διάθεσις R: διάθεσιν L   5 ἐς L   δηλοῦσιν T: γεννῶσιν RL; *quod si verum sit, interciderit velut* πληθώραν   6 ἢ κατὰ ποιότητα L   9 ἀρρωστοῦν ἐφ᾽ RT: ἀρρωστοῦ ἐν L   13 σημεῖον LT: νόσημα τουτέστι πεπληρωμένου ὄντος R; *glossema indicatur et hiatu et formae cum scholio (v. supra) concordia*   14 φρενιτικοῖς T   15 τῷ Ἀρχεκράτει· ἦρά γε ἐπὶ τούτοισι *Hipp.; cf. infra p. 29, 20 sqq. 575, 16 K.*   τούτοις RLT: τούτοισι *Hipp.*   16 ἐπιγίνεται καὶ *Hipp. plerique codd.*   τούτοισι L: τουτέοισι *Hipp.*   17 ὅτι L: ὅτε R: ὅτι *iterat* T

ἢ ἑφθὸν αἷμα λαγωῶν ἢ ζωμὸν μέλανα τῶν διὰ σιραίου πολλοῦ σκευαζομένων. ἀλλ᾽ ὅμως καὶ τοῖς ἐδέσματα λευκὰ προσενεγκαμένοις προσαπερχόμενόν τι τῆς ξανθῆς χολῆς χρώννυσι τὴν διαχώρησιν, ὡς ὠχροτέραν φαίνεσθαι τῶν ἐδηδεσμένων. ὅταν οὖν ἀκούσῃς τινὸς τῶν ἰατρῶν ἐπὶ τῶν ἰκτεριώντων λέγον|τος λευκὰ γίνεσθαι τὰ διαχωρήματα, δεῖ 542
πρὸς τὰ κατὰ φύσιν ἔχοντα αὐτοῦ παραβάλλειν καὶ πρὸς παραβολὴν τούτων γεγονέναι τὸν λόγον αὐτῷ. καὶ καθάπερ ἄλλοι πολλοὶ τῶν ἰατρῶν ἔγραψαν λευκὰ διαχωρήματα γίγνεσθαι τοῖς ἰκτεριῶσιν, οὕτω καὶ νῦν οὗτος ἐπὶ τῶν φρενιτικῶν εἶπεν, ὡς εἰ καὶ μηδ᾽ ὅλως ἔχοντα τὴν ξανθὴν χολὴν εἰρήκει. γίγνεσθαι δὲ τοῦτο μηκέτ᾽ αὐτῆς εἰς τὴν γαστέρα συρρεούσης, ἀλλὰ τῷ πρὸς ὅλον τὸ σῶμα φερομένῳ κατὰ τὴν ἀνάδοσιν αἵματι συναναφερομένης διὰ στέγνωσίν τινα τοῦ καταφέροντος αὐτὴν εἰς τὴν γαστέρα πόρου, καθάπερ ἐπὶ τῶν ἰκτεριώντων, ἢ διὰ σφοδρὰν πύρωσιν ἐν τοῖς ἄνω τοῦ ἥπατος μορίοις ἀναρπάζουσαν τὸ αἷμα σὺν τῇ χολῇ. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον ἀναφερομένης εἰς ὅλον τὸ σῶμα τῆς χολῆς ἡ βλάβη γίγνοιτ᾽ ἂν ἐξ αὐτῆς τοῖς κατὰ τὸν ἐγκέφαλον, ἤδη καὶ πρόσθεν ἐκκεχολωμένοις, κατὰ δὲ τὸν δεύτερον τρόπον οὐ μόνον αἴτιον βλαβερὸν ἡ τῆς χολῆς ἀνάδοσις, ἀλλὰ καὶ σημεῖον ἔσται θερμασίας παμπόλλης ἐνδεικνυμένης ὑπάρχειν ἐν αὐτῷ.

τὸ δ᾽ "ὡς καὶ Ἀρχεκράτει" | πρόσκειται, συγγράμματι μὲν οὐ 543
πάνυ προστιθέμενον, ὡς ἔφην, ὑπομνήματι δὲ πρέπον, καὶ μάλισθ᾽ ὅταν ἑαυτὸν ὁ γράφων ἀναμιμνῄσκειν ἐθέλῃ. τῶν δ᾽ ἑξῆς εἰρημένων τὸ μὲν "ἆρά γε ἐπὶ τούτοις καὶ νωθρότης γίνεται;" δοκεῖ μοι προσγεγράφθαι, ὡς τοῦ Ἀρχεκράτους οὕτως διατεθέντος. ἀλλ᾽, ἐπειδὴ μὴ διὰ παντὸς ἥ τε πεῖρα δείκνυσιν ὅ τε λόγος ἐνδείκνυται λέγεσθαι δεῖν ἐπὶ τοῖς εἰρημένοις νωθρότητα, οὐ προσηκόντως· νωθρότης γὰρ ἐπὶ ψυχροῖς καὶ παχέσι καὶ γλίσχροις καὶ ὅλως δυσκινήτοις χυμοῖς, οὐκ ἐπὶ θερμοῖς καὶ λεπτοῖς καὶ δριμέσιν, οἷος ὁ τῆς ξανθῆς χολῆς, εἴωθε γίγνεσθαι, πλὴν εἰ θανάτου πλησίον ἥκοιεν, ὡς διὰ νέκρωσιν ἤδη τῆς δυνάμεως ἡσυχάζειν. ἀδύνατον δὲ τοὺς οὕτω γενομένους νωθροὺς σω-

18 *schol.* RT: Σ(ημείωσαι) τὸ ὅλον· τοῦτο ὧδε (Τοῦτο ἐν αὐτοῖσι T) μόνον ἐρρέθη καὶ ἐν τῇ Ὑγιεινῇ [Ὑγιεινῶν *I 14. VI 74 K.?*] 21 ὡς ἔφην] *p. 24, 9*
29 *schol.* R: ὡραῖον· ὅτι, εἰ ἐπὶ χολῶσι χυμοῖς γένηται νωθρότης, ἀδύνατον σωθῆναι τὸν ἄνθρωπον. *item oblitteratis prioribus* T *qui addit* καὶ γὰρ διὰ νέκρωσιν δυνάμεως, οὐ διὰ τὸν χυμὸν γέγονεν. *[cf. ad v. 30 adnotata]*

1 πολλοῖς T 5 λευκὰ λέγοντος *transp.* L δεῖ RT: δ᾽ οὖν L 6 ἔχοντα *Aldus*: ἔχοντος LRT αὐτοῦ RLT: αὐτὰ *a Basil. edd.*: αὐτὸν *Cornarius* 7 τούτου L καὶ *om.* LT *post* καθάπερ *add.* οὖν T 8 γίνεσθαι τὰ διαχωρήματα L 9 οὗτος LT: οὕτως R 10 εἴρηκε RLT: *correxi, cf. 695, 15. 697, 10. 729, 10. 784, 8* γίγνεται L 11 ἀλλὰ καὶ L τῷ LT: τὸ R 13 διὰ *om.* L 14 ἐν τοῖς *iterat* L 19 παμπόλλου R ἐνδεικνύμενον RLT: *corr. Chartier;* θερμασίας παμπόλλας ἐνδεικνύμενον *coni. Cornarius* 20 ἀρχεκράτη T πρόκειται L συγγράμματα, *sed corr.*, R 22 αὐτὸν T 25 ἐπεὶ LT 26 λέγεσθαι] γενέσθαι *Kalbfleisch* νωθρότητα L: νοθρώτητα *(ut solet)* T: νωθρότης R οὐ *om.* L 29 εἰ μὴ T θανάτου R: θανάτῳ LT ἤδη RT: γίνεσθαι ἤδη L 30 *post* ἡσυχάζειν *in textu continuat* καὶ γὰρ διὰ νέκρωσιν τῆς δυνάμεως, οὐ διὰ τὸν χυμὸν γέγονεν R, *quod om.* LT *(text.), in scholio (cf. supra) exhibet* T

θῆναι, καὶ κοινὸν τοῦτό ἐστι σύμπτωμα τῶν κατὰ δυσκρασίαν ἄμετρον ἀποθνῃσκόντων ἁπάντων, οὐκ ἴδιον τῶν φρενιτικῶν. εἴπερ οὖν ἐγένετο
544 νωθρότης τῷ Ἀρχεκράτει, κατὰ τοῦτον ἂν ἐγένετο τὸν λό|γον καὶ πάντως ἀπέθανεν, οὐχ ὅτι λευκὰ διεχώρησεν ἢ τῆς νωθρότητος ἢ τοῦ θανάτου συμβάντων, ἀλλὰ διὰ τὸ μέγεθος τοῦ νοσήματος, οὗ σημεῖον ἡ λευκὴ διαχώρησις ἦν.

τὸ μέντοι ῥῖγος αὐτοῖς εἶναι κάκιστον οὐχ ἁπλῶς ἀκουστέον. ἐπιφαίνεται γὰρ ἐνίοτε καὶ κρίσιμον ῥῖγος τοῖς φρενιτικοῖς ἱδρῶσι λῦον τὴν νόσον. ἀλλὰ καὶ τὸ κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥῖγος εἰρῆσθαι χρὴ νομίζειν ὀλέθριον, ἐν ᾧ διαχωροῦσιν λευκά· δέδεικται γὰρ ἐν τοῖς Περὶ κρίσεων ἐν ἀπέπτῳ νοσήματι μὴ δύνασθαι γενέσθαι κρίσιν ἀγαθήν· ἄπεπτον δέ ἐστιν ἐν ᾧ συναναφέρεται τῷ αἵματι χολή, καθ᾽ ὃν ἂν χρόνον τοῦτο γίνηται, καὶ μᾶλλόν γε ὅταν ἀμετρίᾳ πυρώδους θερμασίας ἠθροισμένης ἐν ἐγκεφάλῳ συμβαίνῃ τι τοιοῦτον.

I 14 [I 14. V 514, 6] Τοῖσιν ἐξισταμένοισιν μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόηθες. |

545 Μελαγχολικὴν ἔκστασιν ἀκουστέον τὴν σφοδρὰν καὶ θηριώδη· γίνεται δ᾽ αὕτη διαβρεχούσης τὸν ἐγκέφαλον ξανθῆς χολῆς κατοπτηθείσης· ἐμάθομεν δὲ ἐν τῷδε τὴν μεταβολὴν αὐτῆς εἰς τὴν μέλαιναν ποιεῖσθαι. ὅταν οὖν ἐπὶ τῇ τοιαύτῃ διαθέσει τρόμος γίνηται, μεγάλως ὑπερεξηράνθαι δηλοῖ τὰ νεῦρα καὶ διὰ τοῦτο τὸν ἄνθρωπον ὀλεθρίως ἔχειν. οὐ καλῶς οὖν ἡρμήνευσεν εἰπὼν κακόηθες· ἐσχάτως γὰρ ὀλέθριον ὂν τὸ σύμπτωμα προσηγορίας ἑτέρας ἐδεῖτο. τὸν γοῦν ἐκστάντα μελαγχολικῶς ἐπιγινομένου τρόμου βεβαίως τις ἀποθανεῖσθαι λέγων οὐκ ἂν ἁμάρτοι. κακοήθη δὲ νοσήματα καλοῦμεν, ὅσα κίνδυνον ἀπειλοῦντα τοῖς κάμνουσιν οὐκ ἀποκόπτει τὴν τῆς σωτηρίας ἐλπίδα. βέλτιον οὖν εἰρῆσθαι τὴν γεγραμμένην συνδρομὴν ὀλέθριον ἢ θανατικὴν ἤ τι τοιοῦτον.

10 Περὶ κρίσεων] *I 15 (IX 616, 12 K.)* 13 *schol.* R: ὅτι ἐπὶ τῆς πυρώδους θερμασίας τῶν ἄνω μερῶν τοῦ ἥπατος, ὁπότε διὰ τὴν ἄμετρον θερμασίαν ἀναφέρηται τὸ αἷμα σὺν τῇ χολῇ καὶ διὰ ταῦτα λευκά εἰσιν τὰ διαχωρήματα, εἰ ἐπιγένηται ῥῖγος, ὀλέθριόν ἐστιν. *item fere* T 15 *schol.* R: τοῖς ἐξισταμένοις μελαγχολικῶς· τουτέστιν θηριωδῶς. γίνεται δὲ τοῦτο διὰ χολώδη χυμὸν ἠθροισμένον ἐν τῷ ἐγκεφάλῳ, οἷς ἐπιγίνονται τρόμοι. κακόηθες· τί δὲ λέγω κακόηθες; θανάσιμον τὸν [*l.* τὸ] τοιοῦτον διὰ τὸ μέγεθος τῆς διαθέσεως. εἰκότως οὖν εἶπε μελαγχολικῶς· ἡ γὰρ μανία, ὃ δή ἐστιν πρὸ τῆς μελαγχολίας, εἰ ἐπὶ πλέον ὑπεροπτηθῇ, ποιεῖ τὴν μελαγχολίαν. (*om.* T).

3 ἂν R: *om.* L: οὖν T 4 οὐχ RT: οὐδ᾽ L λευκὸν *itemque v. 10* L 5 συμβάντων *scripsi*: συμβάν R: συμβάντος LT: συμβάντι *Aldus* 8 κρίσιμος R λύον LT: λύων R 9 καὶ *om.* T χρὴ RT: δεῖ L 13 γίνεται L 14 συμβαίνει RL: συμβαί/ T: *correxi* 15 τοῖς T 17 ἀκοστέον T 19 τὴν LT: τὸ R 20 τῇ LT: *om.* R γένηται L ὑπεξηράνθαι RLT: *corr. ex 24, 27 Kalbfleisch* 26 βέλτιον οὖν ἦν ὀλέθριον εἰρῆσθαι (*om. postea* ὀλέθριον) L *(cf. 551, 1 K.)*

I 15 [I 15. V 514, 8] Οἱ ἐκστάντες ὀξέως ἐπιπυρέξαντες σὺν ἱδρῶτι φρενιτικοὶ γίνονται. |

Ἀσύμφωνον μὲν καλοῦμεν τὴν τοιαύτην ἑρμηνείαν. ἀσαφὴς δ' 546 αὐτῆς ἡ διάνοια γίνεται δυναμένων ἀλλήλοις ἁπάντων τῶν ὀνομάτων συνάπτεσθαί τε καὶ χωρίζεσθαι· μία μὲν γάρ ἐστι σύνθεσις αὐτῶν οἱ ἐκστάντες ὀξέως, εἶτ' ἀπ' ἄλλης ἀρχῆς ἐπιπυρέξαντες ὀξέως. ἄλλη δ' αὖ πάλιν σύνθεσις τὸ σὺν ἱδρῶτι, ποτὲ μὲν τῷ πρὸ αὐτοῦ, ποτὲ δὲ τῷ μετ' αὐτὸ συνταττόμενον· δύναται γὰρ καὶ οὕτως ἡ ῥῆσις ἀναγνωσθῆναι ἐπιπυρέξαντες σὺν ἱδρῶτι, κἄπειτα ἀφ' ἑτέρας ἀρχῆς φρενιτικοὶ γίνονται· δύναται δὲ καὶ σὺν ἱδρῶτι φρενιτικοὺς αὐτοὺς γίνεσθαι λέγειν ὁ γράψας ταῦτα. δῆλον οὖν ἐστιν, ὅπερ ἀεὶ λέγω, τὰς ἀσαφεῖς ἑρμηνείας οὐδὲν διδάσκειν. ἐννοήσαντας γὰρ ἡμᾶς τὸ ἀληθὲς ἐφαρμόσαι χρὴ δυναμένῃ λέξει προέσθαι τὸν λόγον ἢ κατατριβῆναι μὲν χρόνου πάμπολυ, οὐδὲν δ' ἡμᾶς ἐπιμαθεῖν. ἐν ᾗ γὰρ χρήσει παρ' αὐτοῦ χρὴ φέροντα τὸ ἀληθὲς ἐφαρμόζειν πειρᾶσθαι ταῖς κατὰ μέρος λέξεσιν, ἐν ταύτῃ βοήθεια μέν τις ἐξ ἡμῶν τῇ ῥήσει γίνεται κινδυνευούσῃ φανῆναι μοχθηρᾷ, | διδασκόμεθα δὲ οὐδὲν ἐξ αὐτῆς. ἀλλὰ 547 καίτοι τούτων οὕτως ἐχόντων καὶ φαινομένης ἐναργῶς τῆς τῶν ἀσαφῶν ἀχρηστίας, ὅμως οὐκ ὀλίγοι τῶν σαφῶν συγγραμμάτων ἥδιον ὁμιλοῦσι τοῖς ἀσαφέσι. μὴ τοίνυν ἐμὲ τοῦ μήκους τῆς ἐξηγήσεως μέμψηταί τις, ἀλλ' ἢ * * * τὴν ἑαυτῶν ἄλογον ἐπιθυμίαν, ὅσοι τὰ τοιαῦτα βιβλία προθύμως ἀναγινώσκουσιν. ἐγὼ μὲν γὰρ ὅτι οὐχ ἑκὼν ἐπὶ τὰς ἐξηγήσεις αὐτῶν ἥκω, οἱ ἑταῖροι πάντες ἴσασιν καὶ μάλιστα οἱ τῶν νῦν γραφομένων αἴτιοι. μοχθηρῶς δὲ πάντων ἐξηγησαμένων τὸ σύγγραμμα τοῦτο κἀγὼ τοῖς ἀναγκάσασί με πεισθεὶς ἐπὶ τὴν ἐξήγησιν ἧκον, ἧς αὖθις ἀρξάμενοι λέγωμεν.

ἐὰν μὲν συνάψαντες ἀλλήλοις τό τ' ἐκστάντες καὶ τὸ ὀξέως, ἔπειτα δὲ σιωπήσαντες εἴπωμεν ἐπιπυρέξαντες σὺν ἱδρῶτι καὶ πάλιν ἐφεξῆς φρενιτικοὶ γίνονται, τὴν ἐξήγησιν ποιησόμεθα τοιάνδε. πρῶτον μὲν ἐπισκεψόμεθα τὸ κοινὸν ἄπορον ἁπασῶν τῶν ἀναγνώσεων. ἐκστάντας γὰρ ὀξέως εἶπεν ἐν ἀρχῇ, οὓς κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἔφη φρενιτικοὺς γίνεσθαι, ὥσπερ οὐχὶ καὶ τῶν ἐκστάντων

2 ἱδρῶσι L 3 καλοῦσι L 4 αὐτῆς LT: αὐτῶν R 5 συγχωρίζεσθαι L 6 ἐπιπυρέξαντες R: οἱ πυρέξαντες LT 7 τὸ σὺν] τῶ σὺν T ἱδρῶσι L 8 μετ' αὐτῶ, *sed corr.* R συναπτωμένω T 11 γίνεσθαι RL: δύνασθαι T ὁ RT: οὐ L 13 ἢ κατατριβῆναι RL: καὶ τοῦτω *(sic)* τριβῆναι T 14 χρόνον πάμπολυν LT 15 αὐτοῦ *scripsi*: αὐτοῦ RLT φέροντας R 17 οὐδὲν RL: μηδὲν T 18 φαινομένων L ἐναργοῦς LT 19 συγγραμμαν *sic* L ἥδιον LT: ἴδιον R 20 τῷ μήκει L μέμψηταί τις *scripsi*: μέμψαιτό τις RL: μέμψαιτ' ἄν τις T 21 ἀλλ' ἢ LT: ἀλλὴ R: ἀλλὰ *Aldus* *lac. signavit Kalbfl.; suppleam* τὴν τοῦ γράψαντος ἀσάφειαν αἰτιατέον ἢ 22 ἐγὼ μὲν γὰρ ὅτι R: ἐγὼ μὲν γὰρ ὅτι μὲν T: ἐγὼ γὰρ ὅτι μὲν L ἑκὼν RL: ἱκανὸν T 25 ἀναγκάζουσι L 26 λέγομεν RT 27 τό τε ἐνστάντες L 28 δὲ *scripsi*: δὴ RLT σιωπήσαντες *i. e. pausa facta* εἴπομεν L 29 ποιησώμεθα R 30 πρῶτον μὲν γὰρ T ἐπισκεψόμεθα *scripsi*: ἐπισκεψώμεθα RLT 31 εἶπομεν LT

548 ἤδη φρενι|τικῶν ὄντων. ἐροῦμεν οὖν κατεσπάσθαι τὴν λέξιν, ἐνδει-
κνυμένην διὰ τοῦ ἐπιπυρέξαντες τὸ δὴ καὶ πρότερον αὐτούς, οἵπερ
ἐξέστησαν, ὀξέως πυρέττοντας ὕστερον παύεσθαι, κἄπειτα πάλιν ἐξ
ὑποστροφῆς πυρέξαι σὺν ἱδρῶτι· τούτους οὖν φησι φρενιτικοὺς γίγνεσθαι,
τὸ μὲν [οὖν], ὅτι γενήσονται φρενιτικοί, λογισάμενος ἐκ τῆς ἔμπροσθεν
αὐτοῖς γενομένης παρακοπῆς σφοδρᾶς, ἣν διὰ τῆς ἐκστάντες ἐδήλωσε
φωνῆς, ἐκ δὲ τοῦ σὺν ἱδρῶτι τὴν ὑποστροφὴν γίγνεσθαι βεβαιούμενος
τὴν ὑπόνοιαν, ἐπειδὴ τὰς τοιαύτας εἰσβολὰς τῶν πυρετῶν, ἄν τ' ἐξ
ἀρχῆς ἄν τε μεθ' ὑποστροφῆς γίγνωνται, πλῆθος ἴσμεν ἐνδεικνυμένας.
ἐπεὶ τοίνυν, ὅσα περιττὰ κατὰ τοὺς χυμοὺς ἢ ἐν ποσότητι ἐν αὐτοῖς
ἢ ἐν ποιότητι, ἀθροίζεται κατὰ τὸ σῶμα, ταῦτα ἐπὶ τοὺς πεπονθότας
εἴωθε ῥεῖν τόπους, ἐπεπόνθει δὲ τούτοις ὁ ἐγκέφαλος (οὐκ ἂν γὰρ
ἐξέστησαν ὀξέως, ἂν ἐπιπυρέξωσι καὶ μάλιστα μεθ' ἱδρῶτος), εὔλογόν
ἐστιν ἐλπίσαι φρενιτικοὺς οὕτως ἔσεσθαι. γνωσθήσεται γὰρ ἡ διάθεσις
549 αὐτῶν ὅλη τοιάδε τις οὖσα· πλήθους χολωδῶν δριμέων εὐθὺς | ἐν ἀρχῇ
ῥυέντος ἐπὶ τὸν ἐγκέφαλον ἐκστῆναί τινι συμβαίνει, τούτου δ' αὖθις
εἰς ἕτερόν τι μόριον μεταρρυέντος παύσασθαι τὴν ἔκστασιν, ἂν δ' ἐπι-
πυρέξωσιν οὗτοι μεθ' ἱδρῶτος, ἐπὶ τὸ πεπονθὸς αὐτοῖς παλινδρομῆσαι
τὸ χολῶδες πλῆθος, ὡς γενέσθαι φρενιτικούς. ἐὰν δὲ τὸ ὀξέως τῷ
ἐπιπυρέξαντες συντάξωμεν, ὁ λόγος ἔσται τοιοῦτος· 'οἱ ἐκστάντες
εἶτα παυσάμενοι καὶ πάλιν ἐπιπυρέξαντες ὀξέως σὺν ἱδρῶτι φρενιτικοὶ
γενήσονται', τῆς προρρήσεως καὶ ταύτης καὶ τῆς προειρημένης οὐκ ἐχού-
σης τὸ διηνεκές, ἀλλ' ὥσπερ καὶ ἄλλαι πολλαὶ τὸ πλειστάκις. ἐὰν δὲ
τῷ σὺν ἱδρῶτι τὸ φρενιτικοὶ γίνονται συντάξωμεν, ὁ λόγος ἔσται
καθ' ἑκατέραν ἀνάγνωσιν τῶν προειρημένων κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως
τοιόσδε· κατὰ μὲν τὴν προτέραν 'οἱ ἐκστάντες ὀξέως, εἶτα ἐπιπυρέξαντες,
φρενιτικοὶ σὺν ἱδρῶτι γίγνονται', κατὰ δὲ τὴν δευτέραν 'οἱ ἐκστάντες,
⟨εἶτ' ὀξέως ἐπιπυρέξαντες,⟩ φρενιτικοὶ σὺν ἱδρῶτι γίγνονται'. καὶ δύ-
ναται μὲν ὁ γράψας ταῦτα τοιοῦτον ἄρρωστον ἑωρακέναι, τὸ πολλά-
κις δὲ προειρημένον οὐχ ἕξει.

550 πολλὰ μέντοι καὶ | ἄλλα τῶν κατὰ τὸ βιβλίον τοῦτο γεγραμμένων
οὐκ ἔστιν ὡς ἐπὶ τὸ πολὺ γιγνόμενα, τοῦ γράψαντος αὐτὰ θεασαμένου
μέν τινας ἀρρώστους τοιούτους, οὔπω δὲ γιγνώσκοντος εἴτε τὸ διηνεκὲς
ἔχουσιν εἴτε τὸ πλειστάκις. ἔοικε γὰρ ἐκ τηρήσεως μᾶλλον, οὐ τῆς τῶν

1 κατεσπάσθαι *(contortam esse lectionem?)* L: κατεσπεῦσθαι RT ἐνδεικνυμένην *iteravit* R 2 ἐπιπυρέξαντος R τὸ δὴ *scripsi*: τὸ δὲ R: τὸ LT 5 οὖν *del. Cornarius* 6 αὐτῆς T 7 ἐπιστροφὴν L 8 ἄν τ' ἐξ RT: ἄν τις ἐξ L 9 γίνωνται RT: γίγνονται L: *in mrg. iteratur* Γρ. γίνωνται T 10 *ante* κατὰ *add.* μὲν L ἣν ἢ ποσότητι ἐν αὐτοῖς ἢ ποιότητι *conicio* ἐν αὐτοῖς] ἢ ἐν αὐτῷ L 13 *post* εὔλογον *add.* οὖν L 14 ἡ μὲν διάθεσις L 16 ἐπὶ τὴν T 18 πεπονθὸν T παλινδρομῆσαι T: παλινδρομήσει R: παλινδρομήσῃ L 19 τῷ ὀξέως τὸ L: τὸ ὀξέως τὸ T 24 γενήσωνται R *(ex v. 22)* ἐστὶ L 25 ἑτέραν RLT: *corr. Kalbfl.* 27 κατὰ . . . γίγνονται *om.* T 28 εἶτα ὀξέως ἐπιπυρέξαντες *add. Cornarius* 31 τὸ R: αὐτὸ τὸ LT γεγραμμένων RT: γιγνομένων L 32 ἔστι τῶν ὡς ἐπὶ τὸ πολὺ L γιγνόμενα R: γιγνομένων L: λεγόμενα T αὐτοῦ T 33 γιγνώσκοντος RL: διαγνόντας T: *an* διαγνόντος? *post* εἴτε *ins.* τε *errore Kühn*

παθῶν οἰκείας καταcκευῆc ὁ γράψαc ταύταc τὰc ἀποφάcειc ἐθέλειν ποιεῖcθαι. τῷ δ' οὕτωc ἀθροίζοντι τὴν ἰατρικὴν θεωρίαν οὐχ ἑκατόν, ἀλλὰ χιλίων ἐτῶν ἐcτι χρεία καὶ διὰ τοῦτο τὴν μικρὰν καὶ ταπεινὴν ὁ Ἱπποκράτηc ηὔξηcεν ἐπὶ πλεῖcτον, οἷc ἔκ τε τῆc ἱcτορίαc ἔμαθε καὶ αὐτὸc ἐθεάcατο, τὴν λογικὴν κρίcιν προcθείc. ἐκ πολλῶν οὖν ὑπονοήcειεν ἄν τιc οὐκ εἶναι τοῦ Ἱπποκράτουc cύγγραμμα τὸ βιβλίον τοῦτο· πολυλογεῖ γὰρ ἐμπειρικῶc ⟨ὁ⟩ αὐτὸ cυνθεὶc μὴ δυνάμενοc εἰc τὸ καθόλου λογικῶc ἀναγαγεῖν τὰ θεωρήματα.

I 16 [I 16. V 514, 9] Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεεc. |

Οὐκ 'αὐτοὶ ψόφου καθαπτόμενοι' βέλτιον ἦν εἰπεῖν, ἀλλ' 'ὧν ὁ 551 ψόφοc καθάπτεται'. τὸ μέντοι λεγόμενον ἀληθέc ἐcτιν· ὑπὸ γὰρ τῶν ψόφων θορυβοῦνται παραπληcίωc τοῖc δειλοῖc, ὅταν ἐξαίφνηc ἀκούcωcι μεγάληc βροντῆc ἢ θηρίον τι θεάcωνται πληcίον. ἀλλὰ καὶ βραχυπόται πάντεc εἰcὶν οἱ φρενιτικοί, καίτοι διάθεcιν ἔχοντεc θερμὴν καὶ ξηράν, ὥcτε καὶ τὴν γλῶτταν ἔχειν διὰ τὴν πολλὴν ξηρότητα τραχεῖαν. ἐδίδαξε δὲ ὁ Ἱπποκράτηc ἡμᾶc, ὅτι τούτοιc ἡ γνώμη νοcεῖ, κατὰ τὸν Ἀφοριcμόν, ἐν ᾧ φηcιν· "ὁκόcοι πονέοντέc τι τοῦ cώματοc τὰ πολλὰ τῶν πόνων μὴ αἰcθάνονται, τουτέοιcιν ἡ γνώμη νοcεῖ". καὶ μέντοι κἀν τῷ τρίτῳ τῶν Ἐπιδημιῶν ἐν τῇ λοιμώδει καταcτάcει περὶ τῶν φρενιτικῶν αὐτὸc εἶπεν· "ἄδιψοι δὲ οὗτοι πάνυ ἦcαν". τρομώδειc δὲ οὐ πάντεc ἐγίνοντο οἱ φρενιτικοί, ἀλλ' οἱ χείριcτα διακείμενοι, καθάπερ εἴρηται καὶ πρόcθεν. ἔνιοι δὲ βραχυπόπται γράψαντεc ἀξιοῦcιν ἀκούειν τοὺc ὑποτοπουμένουc τὰ βραχύτατα· καὶ τοῦτο μαρτυρεῖν φαcι τὸ ψόφου καθαπτό|μενοι, τουτέcτι ταραττόμενοι διὰ τὸ καὶ βραχύτατα ὑπο- 552 τοπεῖcθαι, τουτέcτιν ὑποπτεύειν.

18 Ἀφοριcμόν] *II 6 (IV 470 L.) cf. infra p. 634, 5 K.* 20 τρίτῳ τῶν Ἐπιδημιῶν] *III 3, 6 (III 82, 15) cf. p. 5, 13* 22 εἴρηται καὶ πρόcθεν] *30, 20 sqq.*

1 ταῦτα T τὰc RT: *om.* L 2 ἑκτὸν T 3 τοῦτο ⟨τηνικαῦτα οὖcαν αὐ⟩τὴν *coni. Kalbfleisch* 4 ἐπὶ *om.* T 5 ὑπονοήcαιεν RL 7 πολλυλογεῖ R: πολυολογεῖ L ὁ *add. Schoene* cυντιθείc L 8 τὸ θεώρημα L 9 *lemma cum commentario (33, 9—26) om.* L βραχύ ποτε T *cf. v. 23* 11 ἀλλὰ *ante* βέλτιον *transp. Kalbfleisch* 14 βραχυπότε R: βραχύ ποτε T 15 πάντεc RT *(cf. v. 21/2)*: πάντωc L *Aldus (cf.* πάνυ *21)* θερμὴν . . . ἔχειν *om.* T 19 μὴ] *cf. ad p. 634, 7* γνώμηc R 22 γίνονται T 23 βραχυπόπται *L. Dindorf Thes. II 401*: βραχυπῶπαι T: βραχϋπότε R: βραχυτόπαι *Aldus* 24 ὑποτοπουμένουc R²: ὑποτωπουμένουc R¹: ὑπονοουμένουc T φαcὶ R: φηcὶ T τὸ T: τῷ R 25 διὰ τὸ R: *om.* T καὶ ⟨τὰ⟩ *Mewaldt* ὑποτοπεῖcθαι T: ὑποτοπᾶcαι R *(at aoristus* ὑποτοπάcαι *glossemate non explicatur)*

I 17 [I 17. V 514, 10] Τὰ ἐξ ἐμέτου ἀcώδεος, κλαγγώδης φωνή, ὄμματα ἐπίχνουν ἔχοντα, μανικά· οἷον καὶ ἡ Ἑρμοζύγου ἐκμανεῖcα ὀξέως ἄφωνος ἀπέθανεν.

Εἴ τινάς που θέρους ὥρᾳ καύματος ἰcχυροτάτου διὰ κόνεως ὁδοιπορήcαντας τεθέαcαι ξηροὺς ἱκανῶς ἔχοντας τοὺς ὀφθαλμούς, ὡς δοκεῖν τοῦ καλουμένου χνοῦ μεcτοὺς εἶναι, τούτους ἐν νῷ λαβὼν νοήcεις ὃ βούλεται δηλοῦν ἡ προκειμένη ῥῆcις· ἔcτι γὰρ τῶν κατ᾽ αὐτὴν εἰρημένων τὸ κυριώτατον τοῦτο, κοινὸν μὲν ὂν τῶν τε μαραινομένων καὶ τῶν cφοδρότατα φρενιτιζόντων, οὐ μὴν δυcχερῆ τὴν γνῶcιν ἔχον τῶν μαραινομένων ἑωρακότι ποτὲ κἂν ἕνα· τοῖc μὲν γὰρ μαραινομένοις ἐκτέτηκε πᾶν ὅcον ἐcτὶ κατὰ τὸ πρόcωπόν τε καὶ τοὺc κροτάφους
553 cαρκῶδες ἅμα τῷ καὶ | τοὺc ὀφθαλμοὺc κοίλους ἱκανῶc γεγονέναι, οἱ φρενιτικοὶ δὲ χωρὶc τούτων τὸν ὀφθαλμὸν ἐπίχνουν ἴcχουcιν πρὸc τῷ καὶ τὸ βλέμμα θραcὺ μὲν τοῖc φρενιτικοῖc, δειλὸν δ᾽ εἶναι τοῖc μαραινομένοιc. ὁ δὲ ἀcώδηc ἔμετοc κοινὸν μὲν cύμπτωμα τοῖc τοιούτοιc ἐcτὶ πρόc τινας τῶν κακοήθων πυρετῶν ὥcπερ γε καὶ ἡ κλαγγώδηc φωνή. γίνεται δὲ ὁ μὲν ἀcώδηc ἔμετοc ἐπί τε χολώδει καὶ δακνώδει χυμῷ, ἡ φωνὴ δὲ κλαγγώδηc διὰ ξηρότητα τῶν φωνητικῶν ὀργάνων, ὡc ἐν τοῖc Περὶ φωνῆc ὑπομνήμαcι δέδεικται. ὅταν οὖν τοῖc φρενιτικοῖc ταῦτα cυμπέcῃ, μανιωδῶc παραπαίουcιν * *, ὅπερ ταὐτὸν βούλεται cημαίνειν τῷ cφοδρῶc· καὶ γίνεται τοῦτο διά τε τὴν κακοήθειαν τοῦ χυμοῦ καὶ τὴν ἄμετρον ξηρότητα· διὸ καὶ ἄφωνοι γίνονται.

1 *schol.* R: ἐὰν γένηται ἔμετοc χολώδηc τοῖc φρενιτικοῖc καὶ ἐπὶ τῷ ἐμέτῳ ἔχουcιν ἄcιν ἥτιc ἐcτὶν ἄρρετοc [*l.* ἄρρητοc] καὶ ἄλογοc ἀδημονία· γίνεται οὖν ἡ ἄcιc καὶ διὰ χολώδη χυμὸν καταρρεύcαντα εἰc τὸ cτόμα τῆc γαcτρὸc ἀπὸ τοῦ ἐγκεφάλου καὶ ἐπὶ τῶν πυρεccόντων καυcωδῶc. ἔνι δὲ καὶ κλαγγώδηc φωνή, ἥτιc γίγνεται διὰ ξηρότητα τῆc τραχείαc ἀρτηρίαc. εἰcὶ δὲ καὶ ὄμματα ἐπίχνουν ἔχοντα μανικά, τουτέcτιν· οἱ οὕτωc ἔχοντεc cφοδρῶc παραπαίουcιν διὰ τὸ μέγεθοc τῆc διαθέcεωc· τὰ γὰρ τοιαῦτα πάντα γεγονότα μεγάλην ἐνδείκνυνται τὴν διάθεcιν· οἷον πέπονθεν καὶ ἡ γυνὴ τοῦ Ἑρμοζύγου, καὶ ἐκμανεῖcα ὀξέωc ἄφωνοc ἀπέθανεν T: καὶ γρ. „τὰ ἐξ ἐμέτου ἀcώδεοc κλαυcῶδ' ὄμματα ἐπίχνουν ἔχοντα." 19 Περὶ φωνῆc] *de voce et anhelitu (Junt. 1625, VII) p. 62 D*

1 κλαγγώδηc RT*(text.)*: κλαυcώδεα LT*(schol.; cf. supra)* 2 φωνή RT *(text.)*: *om.* LT *(schol.)*: φωνὴ *ante* κλαγγώδηc *pon. Hipp. codd. FGHJK* ἴcχοντα *Hipp. codd. DHKP*¹: ἔχοντα RLT *cf. ad v. 13* 7 *post* βούλεται *add.* τι L 8 ὂν *Kalbfleisch*: οὖν RLT 9 *conicio* διάγνωcιν ἔχον τῶν R: ἐχόντων LT 10 μαραινομένων R: φαινόμενον L: τῷ φαμένῳ T ἑωρακότι R: ἑωρακέναι LT 11 ἐκτέτοκε T 12 γεγονέναι] ἔχειν T 13 ἐπίχνουν *hoc loco pro adiectivo est aliter atque in Hippocratis lemmate et in Galeni lexico, at cf. schol. Hipp. D (V 515 not. L.)* ὄμμα ἐπίχνουν κτλ. *et Hesych. s. v.* ἴcχουcιν RL: ἔχουcι T: *etiam in Hipp.* ἴcχοντα *codd. DH al.* 14 τοὺc φρεν. T δεινὸν L 15 *post* τοιούτοιc *add.* φρενιτικοῖc R 16 ὥcπερ γε RL: ὥcπερ T 17 δακνώδει καὶ χολώδει L 18 τῶν *om. ab Aldo edd.* 19 ὅταν] ὅτ᾽ T 20 cυμπέcοι R *ante* ὅπερ *lacunam statui qua hausta sint velut* καὶ ὀξέωc *cuius explicatio insequitur*

I 18 [I 18. V 514, 12] Ἐν πυρετῷ καυςώδει ἤχων προςγενομένων μετὰ ἀμβλυωςμοῦ καὶ κατὰ τὰς ῥῖνας προςελθόντος βάρεος ἐξίςτανται μελαγχολικῶς. | .

Γίνεται μὲν ὁ καυςώδης πυρετὸς καὶ δι' ἄλλας αἰτίας, ὡςαύτως 554 δὲ καὶ διὰ τὸν ἐγκέφαλον φλεγμαίνοντα. τούτῳ γὰρ ἕπεται καὶ ἡ διηνεκὴς παραφροςύνη * ἐκ τῶν οἰκείων τῆς φρενίτιδος ςημείων. ἐκ δὲ τοῦ πλεονάζοντος ὑγροῦ τῇ κεφαλῇ γεννᾶται πνεῦμα φυςῶδες· διὸ καὶ οἱ ἦχοι γίνονται. ὡςαύτως καὶ ὁ ἀμβλυωςμὸς παχέος τινὸς ὑγροῦ ἢ πνεύματος ἐμπίπτοντος τοῖς ὀφθαλμοῖς. ἀλλὰ καὶ κατὰ τὰς ῥῖνας ἐμπεςὸν ὑγροῦ πλῆθος αἴςθηςιν ποιεῖ βάρους ἐν αὐταῖς. εἰκὸς δ' ἔςθ' ὅτε γίνεςθαι τὴν τῶν εἰρημένων ςυμπτωμάτων ςυνδρομὴν καὶ διὰ ςυνεχῆ πυρετὸν χολώδους ὕλης ἐμφερομένης ταῖς φλεψὶ καὶ ςτεγομένης ἐκεῖςε, ἐξ ἧς καὶ πνεύματα φυςώδη πρὸς τὴν κεφαλὴν πέμπονται πρὸς ὦτά τε καὶ ὀφθαλμούς, πλῆθός τε κατὰ τὰς ῥῖνας ὑγροῦ. εἰ δέ που ἐγκαυθῇ εἴτ' ἐν τῇ κεφαλῇ ἡ ξανθὴ χολὴ εἴτ' ἐν ὅλῳ τῷ ςώματι, πρὸς τὸ μελαγχολικώτερον ῥέπει, κἀκεῖθεν πρὸς αὐτὸν * ἐκπέμπεται, καὶ διὰ τοῦτο ἐξίςτανται μελαγχολικῶς. |

I 19 [I 19. V 514, 14] Αἱ παρακρούςιες ςὺν φωνῇ κλαγγώδει, 555 γλώςςης ςπαςμοὶ τρομώδεες, καὶ αὗται τρομώδεες γενόμεναι ἐξίςτανται· ςκληρυςμὸς τουτέοιςιν ὀλέθριον.

Ὅταν ἐπὶ φρενίτιδι παραφροςύνη γένηται θερμὸν οὔςῃ καὶ ξηρὸν πάθος, ἡ ἐν αὐτῇ δὲ ξηρότης μεταδοθῇ τῇ τραχείᾳ ἀρτηρίᾳ, γίνεται ἡ φωνὴ κλαγγώδης, ὥςπερ ἐπὶ ταῖς ὑγρότηςιν ἀναποθείςαις βραγχώδης, ἀλλ' οὐχ ὡς ἴδια τῆς φρενίτιδος· γίνονται γὰρ καὶ ἑτέροις νοςήμαςιν· οὐδὲ γὰρ ςυνυπάρχουςι διηνεκῶς τῇ φρενίτιδι. ὁ γοῦν τρόμος γίνεται τῇ γλώςςῃ διὰ τὴν ἐκ τοῦ προειρημένου πάθους ξηρὰν δυςκραςίαν ἀτονηςάςης τῆς ψυχικῆς δυνάμεως. ςπαςμοὶ δὲ τῇ τῶν ἐν αὐτῇ μυῶν ξηρότητι ἕπονται τῇ κεφαλῇ ςυμπαςχόντων, ὥςπερ καὶ ἡ φωνὴ τρομώδης δι' ἀτονίαν ὑπὸ τῆς αὐτῆς δυςκραςίας. ταῦτα δὲ ςύμπαντα τὰ

1 *lemmata 18—23 cum commentariis om.* LR: *servavit unus* T προγενομένων *Hipp. codd. et similiter* προελθόντος *(2)* 2 ἀμβλυωςμοῦ T[1], *Hipp. FHIJK*: ἀμβλυωγμοῦ T[2], *Hipp. vulg.; cf. infra v. 8 et Gal. lex. XIX 77 K.* 6 *post* παραφροςύνη. *(sic) intermittit spatium 6 litt.* T: *intercidit fortasse* ἢ γνωρίζεται *cf. p. 5, 9* 8 ὁ ἀμβλυοςμὸς T: ἀμβλυωγμὸς *Aldus* 10 ἐμπεςῶν T 13 ἐξῆς *sic* T: ἐξῆς *vulgo* πέμποντα T: *correxi* 14 εἰ κτλ.] *initium enuntiati graviter laborat; fortasse* εἰ δ' ὑπερκαίεται; *cf. p. 25, 1 sqq.* 16 *lacunam, quam Cornarius suppleto* ἐγκέφαλον *sarciebat, sic ego expleverim* πρὸς αὐτὸν ⟨τὸν⟩ ἐγκ⟨έφαλον⟩ πέμπεται 18 παρακρούςεις, *sed corr. m.*[2] T 19 *prius* τρομώδεις, *sed corr. m*[2] T καὶ αὗται τρομώδεες *casu om. Hipp. codd. simul* γενόμενοι *tradentes;* καὶ αὐδαὶ τρ. γ. *Cornarius; fortasse* καὶ αὐτοὶ *(sc. aegroti)* τρ. γενόμενοι *ut Coac. 98 (V 604, 5 praeter A)* 22 ἡ ἐν αὐτῇ δὲ ξηρότης μεταδοθ῀ T: τῇ ἐν αὐτῇ δὲ ξηρότητι μεταδοθεῖςα *(sic) interpol. Aldus* 23 ἐπὶ T: τῷ *Ald.* βραγχώδες (-δεις) T 27 ψυχ῀ (= ψυχικῆς) *sic* T: ψυχῆς *legerat Aldus* 29 αὐτῆς *Aldus*: αὐτὸ T

προειρημένα συμπτώματα δι᾽ ἐπίτασιν γινόμενα τῆς ἐν τῇ κεφαλῇ ξηρό-
556 τητος ἔκστασιν δηλοῦσι γενέσθαι. τούτοις δὲ | πᾶσι σκληρυνθεῖσιν ὀλέθριον διὰ τὴν ἐν τῷ ἐγκεφάλῳ ἄμετρον γεγονυῖαν ξηρότητα.

I 20 [I 20. V 516, 1] Αἱ τρομώδεες γλῶσσαι σημεῖον οὐχ ἱδρυμένης γνώμης.

Εἴρηταί μοι πολλάκις, ὡς αἱ τρομώδεις γλῶσσαι δι᾽ ἀσθένειαν τῆς ψυχικῆς δυνάμεως γίνονται. σημεῖον δ᾽ ἐστὶν οὐχ ἱδρυμένης γνώμης διὰ τὸ ἐπὶ τῇ φρενίτιδι γίνεσθαι· πάσχοντος γὰρ τοῦ ἐγκεφάλου καὶ τοῦ πάθους ὄντος θερμοῦ ἠρεμεῖν οὐ δύναται. ὥσπερ γὰρ τοῦ ψυχροῦ τὸ ποιεῖν στάσιμα δυσκίνητά τε καὶ ἀκίνητα, ἐν οἷς ἐμφιλοχωρήσει, οὕτως τοῦ θερμοῦ τὸ κινεῖν ἀεὶ καὶ μὴ ἐᾶν ἠρεμεῖν. μέλλων οὖν ὁ Ἱπποκράτης δηλῶσαι τὴν ἐν τῇ κεφαλῇ διάθεσιν, ὁποία τίς ἐστιν, οὐχ ἱδρυμένην γνώμην ὠνόμασεν. οὐκ ἔστι δὲ ἡ τρομώδης γλῶσσα τῶν οἰκείων τῆς φρενίτιδος σημείων ἐνταῦθα, ἀλλὰ τῶν κατὰ συμπά-|
557 θειαν πασχόντων ἑτέρῳ τινὶ πρωτοπαθοῦντι ἢ διὰ γειτνίασιν ἢ διὰ κοινωνίαν τῶν ἐν αὐτῇ μορίων.

I 21 [I 21. V 516, 2] Ἐπὶ τοῖσι χολώδεσι ἀκρήτοισι διαχωρήμασι τὸ ἀφρῶδες ἐπάνθισμα κακόν, ἄλλως τε καὶ ὀσφὺν προηλγηκότι καὶ παρενεχθέντι.

Ὅτι μὲν ὁ ἀφρὸς γίνεται διὰ ψύξιν καὶ διὰ θερμότητα δῆλον ἐκ τοῦ τοὺς ἀνέμους ἀφροὺς ἐμποιεῖν τοῖς ὕδασι καὶ τὴν ἐν τῷ λέβητι ζέουσαν θερμασίαν. τὸ γοῦν ἐν τοῖς χολώδεσι διαχωρήμασιν ἀφρῶδες ἐπάνθισμα οἷον ἄνθος ἄνωθεν ἐπικείμενον ζέσιν οὐ μικρὰν ἐνδείκνυται τῆς τοιαύτης χολῆς. προοδυνῶνται δὲ τὴν ὀσφὺν διὰ τὸ δριμεῖαν εἶναι καὶ δακνώδη τὴν ἐν τοῖς ἐντέροις διερχομένην χολήν. τοῦ γὰρ τοιούτου διαχωρήματος παρενεχθέντος τοῖς ἐντέροις, οὐ τοῖς κατ᾽ ὀσφὺν μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς, ὀδύναι τούτοις ἐπακολουθοῦσιν. |

558 **I 22** [I 22. V 516, 4] Τὰ ἀραιὰ κατὰ πλευρὸν ἐν τουτέοισιν ἀλγήματα παραφροσύνην σημαίνει.

Ἐλλιπῶς οὕτως καὶ ἀπροσδιορίστως ῥηθεὶς ὁ περὶ τῶν ἀλγημάτων τῶν πλευρῶν λόγος ἀσάφειαν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ. ἀλλ᾽ ἡμεῖς

6 πολλάκις] *cf. p. 24, 26*

5 ὑδρυμέν^{s} γνώμ^{s} *recte* T: *male intellecto compendio* ὑδρυμέναις γλώσσαις *Ald.* 9 δύνανται *Schoene* 13 τρομώδεις T 15 *vix opus* συμπασχόντων; *cf. p. 35, 28* 17 ἀκρήτοισι *om. Hipp. Prorrh. et Coac. 595, quae etiam* διαχωρήμασι *om.* 18 ὀφρῦν *Hipp. codd. plerique* 19 καὶ *om. Hipp. Prorrh., non Coac. l. c.* 20 *desideres* διά ⟨τε⟩ *vel* ⟨καὶ⟩ διὰ ψύξιν *itemque v. 21* τούς τε 27 τούτοις *delebat Cornarius*: ταύτης (*sc.* τῆς ὀσφύος) *Kalbfleisch*

cπουδάζοντες ἐν cαφεῖ διδαcκαλίᾳ τὰ πρὸc αὐτοῦ ἀcαφῶc εἰρημένα διδάξαι τῆc ἐξηγήcεωc ἐφαψώμεθα. ἀραιὰ ὀδύνη γίνεται ἐν πλευραῖc, ὅταν τι φυcῶδεc πνεῦμα γεννᾶται ἐν αὐταῖc. τοῦτ' οὖν καταλεπτυνθὲν καὶ διαφορηθὲν παύει τὴν ὀδύνην, εἶθ' ὕcτερον πάλιν ἕτερον γεννηθὲν αὔξει ταύτην. ἡ γοῦν οὕτωc ἀραιὰ γιγνομένη ὀδύνη παραφροcύνην οὐ cημαίνει. ὅταν δὲ φλεγμαίνῃ ἡ πλευρὰ καὶ ποτὲ μὲν cυνεχοῦc αἰcθάνηται τῆc ὀδύνηc ὁ κάμνων, ποτὲ δὲ διὰ χρόνου, δείκνυcι τὴν γνώμην νοcεῖν οὐχὶ παντελῶc· cημεῖον γοῦν τὸ τοιοῦτο παραφροcύνηc. |

I 23 [I 23. V 516, 6] Αἱ μετὰ λυγγὸc ἀφωνίαι κάκιcτον. 559

Ἀφωνίαι γίνονται μὲν καὶ διὰ τὴν τῶν φωνητικῶν ὀργάνων βλάβην καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν. ἡ δὲ λὺγξ οἷον cπαcμώδηc τίc ἐcτιν τοῦ cτόματοc τῆc γαcτρὸc διάθεcιc ἐπὶ πλήθει ὑγρῶν βαρυνομένου ἢ δακνομένου ἢ διὰ ψῦξιν ἀνιωμένου. τί παθόντων οὖν τῶν φωνητικῶν ὀργάνων λὺγξ ἐπηκολούθηcε; λείπεται οὖν ἢ πλῆθοc ὑγροῦ τοῦ καὶ τὴν ἀφωνίαν ἐμποιήcαντοc παραρρυῆναι εἰc τὸ cτόμα τῆc γαcτρὸc ἢ διὰ τὸ εἶναι δριμὺ ἢ ψυχρόν * * * * * * * *

I 24 [I 25. V 516, 7] Ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖcι πνιγομένοιcι πρόχειρον πονηρόν. ἆρά γε καὶ παρακρουcτικὸν τὸ τοιοῦτον; |

* * *

πνίγονταί τε εἰκότωc, διότι ἀέροc πλῆθοc οὐχ ὑπάρχει, φαινό- 560
μενόν τε λέγειν αὐτῷ ἔθοc ἐcτὶν τὸ τοιοῦτον πνεῦμα. φαίνονται δ' οὖν

1 ἐνcαφῆ διδαcκά' (λ supra) T 2 ἐφαψώμεθα T: ἐφαψόμεθα *a Charterio edd.* 5 ὀδύνη *omissum hiatum levet* 7 αἰcθάνεται T: *correxi* 13 πλήθει *scripsi cf. Gal. VIII 199, 15*: πλη' (θ supra) T: πλήθουc *Aldus, quo hiatus vitaretur. sed tum* ἐπὶ *mutandum esset in* ὑπὸ 14 τί T: τίνι *perperam a Chart. edd.* 15 οὖν (*ante* ἢ) T: *conicio* διττόν 17 *reliqua lacuna hausta esse conieci (cf. Abhandl. d. Berl. Akad. 1912 I p. 4sq.)* 18 *lemma Hipp. I 24* αἱ μετ' ἐκλύcιοc ἀφωνίαι πνεῦμα . . . τοιοῦτον (*transeuntur verba* κάκιcτον· ἐν ἀφωνίῃ) *a rubricatore in interstitium vacuum re lictum f. 106ᵛ ad lacunam significandam ita insertum, ut statim continuet quidem commentarium p. 34, 23 desertum, sed vacuum relinquat unum et dimidium versiculum ante* πληcίον *(cf. ad v. 22)* R: *lemma om., continuat f. 271ʳ nullo spatio interiecto commentarium* πληcίον ἥκοντεc τοῦ ἀέροc κτλ. *commentario* ἄφωνοι γίνονται *p. 34, 23* L: *lemma continuat v. 17 extremo ita ut prior manus pergat* ἐν ἀφωνίῃ πνεῦμα . . . τοιοῦτον T; *hoc verum, nam lemma 24* αἱ μετ' ἐκλύcιοc ἀφωνίαι κάκιcτον *ex Hippocrate inseruit, non ex antiquo exemplari, ut* R *sic in mrg.* T² 21 *in lacuna illa, qua post v. 17 lemma Hippocr. I 24* αἱ μετ' ἐκλύcιοc ἀφωνίαι κάκιcτον *cum commentario haustum est, etiam initium commentarii insequentis lemmatis* ἐν ἀφωνίῃ κτλ. *periit* 22 πνίγονταί τε εἰκότωc διότι ἀέροc T: πληcίον ἥκοντεc τοῦ ἀέροc *(ex exemplari hoc etiam loco corroso et aegre lecto ariolati)* RL φαινόμενον T: φυλαττόμενον LR; *prius quoque dubium neque enim Hippocrates alibi* φαινόμενον πνεῦμα *dicit. fortasse* πρόχειρον *(ut p. 38, 4) explicatur, quod hoc loco Hippocrates ut similiter* πνεῦμα πρὸc χεῖρα πονηρὸν *in Epid. VII 17 (V 390, 14) dixit* 23 λέγει R αὐτῶ ἔθοc T: αὐτὸ RL; *locus hiatu insignis ac mutilus* ἐcτὶν T: μετὰ RL δ' οὖν L: δ' αὖ RT

οὗτοι πάντες οἱ τὴν τοιαύτην εἰcπνοὴν εἰcπνέοντες ὅλας κινεῖν τὰς ὠμοπλάτας, ὡς καὶ διὰ τῶν ἀμφιεςμάτων ἐναργῶς ὁρᾶςθαι τὴν κίνηςιν, ὡς ἂν ἰςχυρῶς ἐνεργούντων αὐτῶν τοῖς ἄνω μέρεςι τοῦ θώρακος. εἰκότως οὖν ἐνταῦθα μὲν ὠνόμαςε πρόχειρον τὸ τοιοῦτον πνεῦμα, κατὰ δὲ τὸ δεύτερον τῶν Ἐπιδημιῶν 'μετέωρον'· πρόχειρον μέν, ἐπειδὴ φαίνεται προχείρως (ὅπερ ἐςτὶν ἑτοίμως τε καὶ ῥᾳδίως) τοῖς τὸν κάμνοντα θεωμένοις, εἰωθότων ἡμῶν ἀντιδιαιρεῖν τοῖς ἀποκεκρυμμένοις καὶ μὴ φαινομένοις τὸ πρόχειρον· μετέωρον δέ, ἐπειδὴ τὰ μετέωρα μέρη τοῦ θώρακος οἱ οὕτως ἀναπνέοντες φαίνονται κινοῦντες. δύναται τοιγαροῦν τὸ τοιοῦτον πνεῦμα καὶ διὰ τὴν τῶν ἀναπνευστικῶν ὀργάνων στενοχωρίαν γίγνεςθαι καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν, ἣν ἐδείξαμεν ὀρθῶς τὸν Ἱπποκράτην βλαβεῖςαν ἡγεῖςθαι μεγάλην ἀναπνοὴν ἐργάζεςθαι. δυναμένης οὖν καὶ τῆς ἀφωνίας αὐτῶν
561 τε τῶν | φωνητικῶν ὀργάνων βεβλαμμένων καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν γίγνεςθαι, καὶ τοῦ προχείρου πνεύματος ὁμοίως, ἄδηλον ἦν, ὅςον ἐπὶ τούτοις, εἰ παραφρονήςουςι. καὶ διὰ τοῦτο ἀμφιβάλλων εἶπεν· ἆρά γε καὶ παρακρουςτικὸν τὸ τοιοῦτον; περὶ μέντοι τοῦ πονηρὸν εἶναι τὸ ςημεῖον οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς βεβαίως ἐπιςτάμενος ἀπεφήνατο. εἰ γὰρ μὴ τῆς ἀρχῆς τῶν νεύρων πεπονθυίας, ἀλλ' αὐτῶν τῶν ἀναπνευστικῶν τε καὶ φωνητικῶν ὀργάνων βεβλαμμένων ἡ ἀναπνοὴ τοιαύτη μετ' ἀφωνίας ἐγγένηται, κίνδυνον οὐ τὸν τυχόντα φέρει πνιγομένων ἐν τάχει τῶν οὕτω διακειμένων.

I 25 [I 26. V 516, 9] Αἱ ἐπ' ὀλίγον θραςεῖαι παρακρούςιες θηριώδεες.

'Οὐ μόνον, ἐὰν ἐπ' ὀλίγον χρόνον γίνωνται αἱ θραςεῖαι παρακρούςιες, θηριώδεις εἰςίν', τάχ' ἂν εἴποι τις ἐγκαλῶν τῷ λόγῳ, τὰς ἐπὶ
562 πολὺ γινομένας θραςείας παρακρούςεις μᾶλλον τῶν ἐπ' ὀλίγον | εἶναι θηριώδεις ἀξιῶν. ἀλλὰ ταύτας μὲν οὐ δεόμεθα ἐπιγνῶναι, τὰς δ' ἐπ' ὀλίγον γιγνομένας θραςείας, εἶτα παυςαμένας, ὑποπτεύειν ςυμβουλεύει καὶ μὴ πιςτεύειν αὐταῖς ὡς οὐκ ἐπανελευςομέναις. αἱ μὲν γὰρ ἐπὶ πυρετοῖς θερμοῖς γινόμεναι παρακρούςεις οὐκ ἔχουςι τὸ θραςύ, ταῖς

5 κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν] *II 2, 24 (V 96, 11 L.)* 12 ἐδείξαμεν] *p. 37, 12*

4 ὠνόμαεν R 7 ἀντιδιαιρεῖν *scripsi:* αὐτῶν διαιρεῖν LT: αὐτῶν ἀντιδιαιρεῖν R 9 μέρει T 16 ἦν RTL²: οὖν L¹ ἀμφιβάλων *(hic et 18)* T 19 εἰ RLT: *corrige* ἦν 21 ἐγγεγένηται *(servato* εἰ *v. 19) Kalbfleisch* 23 θραςείαις παρακροςίαις L 24 θηριώδεις εἰςιν T 25 οὐ μόνον ἐὰν ἐπ' ὀλίγον χρόνον γίνωνται αἱ ἐπ' ὀλίγον θραςεῖαι παρακρούςιες θηριώδεις εἰςίν *continuantes lemmati* RL: καὶ μᾶλλον ἐὰν ἐπ' ὀλίγον χρ. γένωνται *(ceteris omissis)* T: *deleta dittographia* ἐπ' ὀλίγον *ante* θραςεῖαι *verum ordinem secundum Rasarii interpretationem restitui* 26 εἴποι RL: εἰ T 27 γενομένας L 28 ἀξιῶν L: ἀξιὼν R: ἄξιον T ἀλλὰ καὶ LT: καὶ *om.* R ταῦτα L μὲν οὐ L: μὲν οὐδὲ R: μὲν T 29 θραεῖας R 30 αἱ μὲν . . . θραςύ *om.* T

δὲ φρενιτικαῖς λεγομέναις τοῦθ᾽ ὑπάρχει. δυνάμει τοιγαροῦν ὁ λόγος ἔσται τοιοῦτος· ὅταν ἴδῃς τινὰ θρασέως παρακρούσαντα, κἂν ὀλίγον ὕστερον παύσηται, γίνωσκε τοῦτον οὐ πυρετοῦ λόγῳ βλαβέντα τὴν γνώμην, ἀλλὰ τῷ φρενιτικὴν ὑποτρέφεσθαι διάθεσιν, ἥτις ὕστερον αὐξηθεῖσα θηριώδης σοι φανεῖται. θηριώδεις δ᾽ ὀνομάζει παραφροσύνας, ἐν αἷς καὶ πατοῦσιν καὶ λακτίζουσι καὶ δάκνουσιν καὶ χολῶσιν ὡς ἐπιβούλους τοὺς εἰσιόντας νομίζοντες.

I 26 [I 27. V 516, 9] Αἱ μετὰ καταψύξεως οὐκ ἀπυρέτῳ ἐφιδρώοντι τὰ | ἄνω δυσφορίαι φρενιτικαί, ὡς καὶ Ἀρισταγόρῃ, 563 καὶ μέντοι καὶ ὀλέθριαι.

Τινὰ μέν, ὡς καὶ πρόσθεν ἔφην, βέβαια γνωρίσματα τῶν ἀρχομένων γίνεσθαι νοσημάτων, τινὰ δ᾽ ἐστὶ μὲν ὡς τὸ πολύ, ἀλλ᾽ ἐγγὺς τῶν βεβαίων, ἔνια δ᾽ οὐκ ἐγγὺς μέν, οὐ μὴν ἤδη γε πόρρω, τινὰ δ᾽ ἀμφίδοξα καί τινα τούτων ἤδη κατωτέρω· περὶ ὧν ὅταν γράφῃ, ποτὲ μὲν ἀπορεῖν ὁμολογεῖ, ποτὲ δὲ ὀνομαστὶ μνημονεύει τῶν ἀνθρώπων, ἐφ᾽ ὧν ἐθεάσατο γενόμενόν τι τοιοῦτον, ὥσπερ καὶ νῦν ἅπαντα ἃ διῆλθε συμπτώματα καὶ ἄλλων ἐστὶ πυρετῶν. ἐγχωρεῖ γε μὴν καὶ φρενῖτιν ἐπ᾽ αὐτοῖς μάλιστα γενέσθαι διὰ τὴν ἐφίδρωσιν τῶν ἄνω. τὸ δ᾽ ὀλεθρίας εἶναι τὰς τοιαύτας διαθέσεις, ἐάν τε φρενῖτιν ἐνέγκωσιν ἐάν τε μή, δῆλόν ἐστι τοῖς τε τῶν ἄχρι δεῦρο λελεγμένων μὴ παρέργως ἀκηκοόσι καὶ μεμνημένοις τῶν ἐν τῷ Προγνωστικῷ. |

I 27 [I 28. V 516, 11] Τὰ ἐν φρενίτισι πυκνὰ μεταπίπτοντα 564 σπασμώδεα.

Ἔμπροσθεν μὲν εἴρηκεν τὸ ἐπιεικὲς ἐπὶ τῶν ἐν ἀρχῇ τῆς νόσου μεταπιπτόντων οὐκ ἀγαθὸν σημεῖον εἶναι, νυνὶ δὲ προέθετο περὶ τίνων μεταπιπτόντων ὁ λόγος ἐστὶν αὐτῷ διαρθρῶσαι· δύναται γὰρ καὶ συμπτώματα ταῖς δυνάμεσιν ἐναντία μεταβάλλειν εἰς ἄλληλα, καθάπερ

11 πρόσθεν] *p. 4, 11 sqq.* 21 Προγνωστικῷ] *intellegit fortasse 6 (II 124, 5) de capitis sudoribus* 24 ἔμπροσθεν] *Prorrh. I 12 L.*

2 ἐστι L 3 λόγῳ] *an* φλογὶ *vel* φλογμῷ? *cf. p. 23, 13. 58, 27* 4 τῷ] τὸ R διαθέσεσιν T 5 θηριώδας δ᾽ L 6 παθοῦσιν R: παίουσιν *Schoene* 8 *lemma et comment. 26 om.* L καταψύξεως RT: καταψύξιος *ex Hipp. Chartier*: καταψύξεος *Ald. Bas.* ἀπύρω R ἐφιδρώοντι *Hipp.*: ἐφ᾽ ἵδρω ὄντι R: ἐφιδροῦντι T 9 φρενιτικά *codd. Hipp.* 11 τῶν RT: *om. ex Aldo edd.* 12 ὡς τὰ πολλὰ T 14 ἤδη (*post* τούτων) R: *om.* T γράφει R 15 ἀπορρῶ ὡμολογεῖ T ὀνομαστῆ μνημονεύειν T 16 τι R: *om.* T 18 μάλιστα γενέσθαι R: γενέσθαι μᾶλλον T: γενέσθαι *om. ex Aldo edd.* 20 τοῖς *om.* T 21 τῷ R: τόπῳ T 22 φρενιτικοῖσι *codd. Hipp. Prorrh. et Coac. 100 (cf. Prorrh. I 12)* 24 τῶν RL: τῆς T 25 μεταπιπτόντων ὁ λόγος R: μεταπίπτον ἐχόντων ὁ λόγος (ὁλόκληρον T) LT 27 ἄλληλα R: ἄλλαλη L: ἄλληλα δὴ T; *in exemplari, unde* LT, *scriptum erat* ἄλλα (λη *suprascr.*): *hinc varie erratum*

ἐν τοῖς ἐφεξῆς αὐτὸς εἶπεν· "ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα κακόν, καὶ ἡ δίψα δὲ ἡ τοιαύτη κακόν". ἐπ' ἀμφοτέρων γὰρ ἀκουστέον, ἐπὶ μὲν τῶν ἀκρέων ἐκθερμαινομένων σφοδρῶς καὶ πάλιν ψυχομένων ἰσχυρῶς, ἐπὶ δὲ τῆς δίψης γιγνομένης σφοδρᾶς καὶ μετ' ὀλίγον οἰχομένης τελέως. οὐ ταὐτὸν δὲ τοῦτ' ἔστι τῷ 'τὸ ἐπιεικὲς ταχὺ μεταπίπτειν'. ἐπ' ἐκείνου μὲν γὰρ ἐξ ἀγαθοῦ πρὸς τὸ μοχθηρόν, αὖθις δ' ἐξ ἐκείνου πρὸς τὸ κατὰ φύσιν ἐπάνοδος γίνεται, κατὰ δὲ τὴν νῦν εἰρημένην ῥῆσιν **565** μετάπτωσις ἐκ μοχθηρῶν συμ|πτωμάτων εἰς μοχθηρὰ δηλοῦται. αἱ τοιαῦται δὲ ἅπασαι μεταπτώσεις ἐπὶ χυμοῖς μεταρρέουσι γίγνονται. τοῖς μὲν γὰρ ⟨ἐν⟩ ἑνὶ μορίῳ στηριχθεῖσιν ἓν εἶδος ἕπεται συμπτώματος οἰκεῖον τῇ τε τοῦ μορίου φύσει καὶ τῇ τοῦ χυμοῦ δυνάμει. καὶ μὴν ἐκ τοῦ διαμένειν ἐπ' αὐτῶν τὴν φρενῖτιν ἐστηρίχθαι τις ἂν ἐν τῇ κεφαλῇ τὸν τὸ πάθος ἐργαζόμενον ὑπονοήσειε χυμόν. ὄντως οὖν κατ' αὐτὸν τὸν ἐγκέφαλον ἡ μετάρρυσίς ἐστιν, ἄλλοτε κατ' ἄλλο μέρος αὐτοῦ τι γιγνομένη τὴν μὲν ἰδέαν τοῦ πάθους φυλάττουσα, κατὰ μέρος δ' ὑπαλλάττουσα τὰ συμπτώματα. καὶ νῦν ὁ γράψας τὸ προκείμενον βιβλίον ἐπὶ τῶν τοιούτων μεταπτώσεων ποιεῖται τὸν λόγον, ἵνα κροκυδίζοντες ἢ καρφολογοῦντες ἐφ' ἡσυχίας πολλῆς ὀλίγον ὕστερον ἀναπηδήσωσιν ἢ καί τι μανιῶδες πράξωσιν, εἶτ' αὖθις ἡσυχάσωσιν ἢ μέμψωνταί τι τῶν ἔξωθεν οὐ παρόν, ὥσπερ οὖν κελεύουσιν ἀπενεχθῆναι τοὺς σαλπιστὰς ἢ τοὺς αὐλητὰς οὐδ' ἑνὸς τοιούτου παρόντος. ὡς γὰρ τὸ κροκυδίζειν καὶ τὸ καρφολογεῖν βλάβη τῆς ὀπτικῆς ἐστιν αἰσθήσεως, οὕτω ταῦτα **566** τῆς ἀκουστικῆς. καὶ κατὰ | τὴν ὀσφραντικὴν δὲ παραπλήσιον γίνεται σύμπτωμα, δυσώδεις τινὰς ὀσμὰς οὐ παρούσας αἰτιωμένων αὐτῶν. εἰσὶν δ' οἳ καὶ τῶν ἐπικειμένων τι κελεύουσιν αἴρειν ὡς βαρῦνον σφοδρῶς ἢ θερμαῖνον ἢ δάκνον ἢ ψῦχον βαστάζοντες, τῆς ἁπτικῆς αἰσθήσεως ἐν τοῖς τοιούτοις συμπτώμασι βεβλαμμένης. εἰκὸς οὖν ἐστι τὸν συγγραφέα τοῦ βιβλίου τούτου τὰς τῶν συμπτωμάτων μεταπτώσεις αἰτιᾶσθαι διαμένοντος τοῦ φρενιτίζειν. ἑώρανται γὰρ ἡμῖν οὐκ ὀλιγάκις αἱ τοιαῦται παρακοπαὶ διὰ παντὸς μὲν ἐν τῷ παρανοεῖν ἔτι ὄντος τοῦ κάμνοντος, ὑπαλλαττομένου δὲ τοῖς τρόποις κατὰ πάντα τὰ γένη τῶν ψυχικῶν ἐνεργειῶν. ὡς γὰρ ἐπὶ τῶν αἰσθητικῶν διῆλθον, οὕτω κἀπὶ τῶν κατὰ λόγον καὶ γνώμην μνήμην τε καὶ νόησιν ὁρῶμεν ἐνίοτε τοῖς

1 ἐν τοῖς ἐφεξῆς] *Prorrh. I 43 L.*

1 ἐφεξῆς R: ἑξῆς LT 2 ἀμφότερα L 5 ταὐτὸ LT τῶι (*ante* τὸ) RL: τὸ T παχὺ L 7 γίνεται *om.* T 9 δὲ R: *om.* LT 10 ἐν *add. Kalbfleisch conl. v. 12* συμπτωμάτων ἐκείνων L 12 ἐστηρίχθη R τὸν *om.* T 13 ὑπονοήσει R: ὑπονοήσαι T συμὸν T ὄντως T: ὄντος R: οὕτως L 14 ἐστιν RT: τὸ L αὐτοῦ LT: αὐτῶ R 16 τὰ *om.* L 17 ἵνα *insolito more adhibitum (distant VIII 563, 16. XVI 750, 1), conicio* ἣν *cf. p. 22, 15* κροκυδίζοντος ἢ καρφολογοῦν^{τ} T: κοκοδίζοντι ἢ καρφολογοῦντι R 18 ἀναπηδήσωσιν T: ἀναπηδῶσιν RL 19 μέμψονται RLT: *corr. Aldus* 21 τοὺς αὐλητὰς ἢ τοὺς σαλπιστὰς L κορκοδίζειν L 22 τὸ *om.* LT 24 ὀσμὰς] ὁρμὰς L 26 ἢ θερμαῖνον σφοδρῶς ἢ ψῦχον ἢ δάκνον *transp.* L αἰσθήσεως] δυνάμεως L 28 τὰς *om.* T 30 μὲν R: ὁ μὲν T: ἡ μὲν L 32 διῆλθον LT: διῆλθεν R

φρενιτικοῖς μεταπτώσεις γιγνομένας, ὥστε ποτὲ μὲν ὀργίζεσθαι, ποτὲ δ' ἐνήδεσθαι ἢ σπουδαίου τινὸς ἔχεσθαι λόγου παραφρονοῦντας αὐτούς. καὶ γὰρ ῥήτορος ἤκουσα μελετῶντος ἐν παρακοπῇ καὶ γραμματικοῦ βιβλίον ἀναγινώσκειν οἰομένου Βακχυλίδειον ἢ Σαπφικόν, ἀριθμητικοῦ δέ τινος ἢ γεωμέτρου | θεωρήματα διερχομένου τῆς αὐτοῦ τέχνης. 567 ἐὰν οὖν ταῦτα σεμνῶς λέγοντες ὀλίγον ὕστερον αἰσχρῶν καὶ ἀσέμνων πραγμάτων μνημονεύσωσιν, ὅπερ ἐν ταῖς Ἐπιδημίαις 'αἰσχρομυθεῖν' ἐκάλεσεν, ἡ μετάπτωσις οὐκ ἐκ φαύλων εἰς ἐπιεικῆ, ἀλλ' ἐκ μοχθηρῶν εἰς μοχθηρὰ γίνεται, καθάπερ ἐνίοτε θρασύτατοι κατά τινα καιρὸν ὀφθέντες οἱ παραφρονοῦντες ὀλίγον ὕστερον φαίνονται δειλοὶ καὶ κατεπτηχότες. ὁρᾶται γὰρ τὰ τοιαῦτα περὶ αὐτοὺς συμπτώματα ποτὲ μὲν μηδὲ τὰ φοβερώτατα φοβουμένους, ἐνίοτε δ' ἐπὶ τοῖς μικροτάτοις ἐκπληττομένους. τῶν γοῦν τοιούτων μεταπτώσεων δοκεῖ μοι† μηδὲν νῷ κατὰ τὴν ἑπομένην ῥῆσιν γεγραφὼς παράδειγμα, καθ' ἥν φησι· "τὰ οὐρούμενα μὴ ὑπομνησάντων ὀλέθρια". νόει οὖν μοί τινα τὰς εἰρημένας μεταβολὰς ἁπάσας ἐσχηκότα περί τε τὴν οὔρησιν καὶ τὰ ἄλλα, ὅσα κατὰ τὴν μνήμην σφάλλονταί τινες, νόησον δὲ καὶ κατὰ τὰς αἰσθητικὰς παρατυπώσεις ἁπάσας ἐν μέρει σφαλλόμενον, ὡσαύτως δὲ καὶ κατὰ τὰς διανοητικάς· ἐπὶ τοῦ τοιούτου κατὰ τὸν ἐγκέφαλόν ἐστι τὸ αἴτιον, ἀλλ' ἄλλοτ' ἄλλον αὐτοῦ τό|πον ἐνοχλεῖ μεταρρέον. ἐδείχθησαν δ' ἡμῖν αἱ 568 τοιαῦται μεταρρύσεις γιγνόμεναι τῶν δεχομένων μορίων ἑκάστου τὸ περιττὸν ὠθοῦντος εἰς ἕτερον ἀφ' ἑαυτοῦ. καὶ τοίνυν εἰκός ἐστιν, ἐὰν ἄλλοτ' ἐξ ἄλλου μέρους τοῦ κατὰ τὸν ἐγκέφαλον εἰς ἄλλο καταρρέων ὁ λυπῶν χυμὸς ὑπὸ πάντων ὠθῆται, τοῖς ἀποπεφυκόσιν αὐτοῦ νεύροις ἐμπεσόντα ποτὲ σπασμὸν ἐπενεγκεῖν. εἴρηκεν γὰρ αὐτὸς ὁ Ἱπποκράτης ὑπό τε πληρώσεως καὶ κενώσεως τὸ πάθος τοῦτο γίγνεσθαι.

I 28 [I 29. V 516, 12] Τὰ οὐρούμενα μὴ ὑπομνησάντων ὀλέθρια. ἆρά γε τούτοισιν οὐρέεται οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας;

Ἐπὶ φρενιτικῶν ἄκουε τοῦ λεγομένου, παραβάλλοντος αὐτοῦ τοὺς μετὰ τῆς ὑπὸ τῶν παρόντων ἀναμνήσεως οὐροῦντας τοῖς χωρὶς ταύτης,

7 Ἐπιδημίαις] *IV 15 (V 152, 20 L.)* 20 *cf. 28, 2* 25 *Aph. 6, 39 (IV 572 L.)*

2 σπουδαίως L ἔχεσθαι *ex* ἔχον *corr. ut vid.* R 5 αὐτοῦ *scripsi:* αὐτοῦ RLT: αὐτῆς *ex Aldo edd.* 6 ἀσέμνων RT: ἀσελγῶν L 7 μνημονεύωσιν L 8 ἐκάλεσαν L φάλων T 10 κατεπτηχότες T²: καὶ κατεπτωκότες *mrg.* T¹ 11 τὰ *om.* L 12 φοβερώτερα L δ' *om.* L σμικροτάτοις R 13 μηδὲν νῷ T: μηδὲν L: καὶ R; *locus desperatus. sensus fortasse fuit* μνησθῆναι καὶ τὸ 14 *post* κατὰ *inser.* δὲ T 15 ὑπομνοσάντων L νόησον *Mewaldt* 16 *post* ὅσα *rep.* ἐσχηκότα T 17 δὲ *scripsi*: δὴ RLT (*quod fort. emendet* δὲ *v. 18*) 18 ἁπάσας RL: διὰ πάσας T δὲ LT: *om.* R κατὰ RLT (*post* καὶ) *om.* T 19 κατὰ T: κατὰ μὲν RL 20 ἐδείχθησαν *spatio relicto om.* T 21 ἐκδεχομένων L 22 ἕτερον R: ἕτερα LT 23 *fortasse* μεταρρέων *ut v. 20* 24 ὠθεῖται RT: ὠθούμενος L: *correxi* 25 ἐμπεσόντα L: ἐμπεσὼν RT 26 ὑπό τε LT: ὑπὸ R 28 ἆρά γε] ἦρα *codd. Hipp. Prorrh. at cf. p. 42, 7. 13 et Coac. 584* 28 τούτοισιν LT: τουτέοισιν R, *codd. Hipp. cf. p. 42, 7* οὐρέονται L 30 παραβάλλοντι R 31 ὑπὸ *male delebat Cornarius*

οἵτινες οὐδὲ ἀγγεῖον αἰτοῦσιν, ἀλλ᾽ ἀτάκτως καὶ ἀλόγως εἰς τὴν στρωμνὴν προΐενται τὸ οὖρον. εὔδηλον οὖν, ὅτι πολὺ χεῖρον ἔχουσιν οὗτοι τῶν |
569 μηδ᾽ ὅλως οὐρούντων, εἰ μή τις αὐτοὺς ὑπομνήσειεν. ἐπ᾽ ἐκείνων μὲν γὰρ ἕν γοῦν τι σῴζεται τῶν κατὰ φύσιν ἔργων τῆς διανοίας, φυλαττομένων οὖρον εἰς τὴν στρωμνὴν ἀποκρίνειν, ἐπὶ τούτων δ᾽ ἀπόλωλε καὶ τοῦτο. τὸ δὲ προσκείμενον ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως, ἔνθα φησίν· ἆρά γε τούτοισιν οὐρέεται οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας; διὰ τοῦτό μοι δοκεῖ προστεθηκέναι, διότι τοιαύτην ἰδέαν οὔρων ἐφ᾽ ἑνὸς ἢ δυοῖν ἐθεάσατο τῶν οὕτως οὐρούντων. ἀδυνατῶν οὖν ἐκ τῆς τοῦ πράγματος φύσεως ἐνδεικτικῶς ἀποφήνασθαι τὸ καθόλου, μετὰ τοῦ μηδ᾽ ἐκ τῆς ἐμπειρίας ἐσχηκέναι τι πιστὸν ὀλιγάκις ἑωραμένου τοῦ πράγματος, εἰκότως τὸν τῆς ἀπορίας δηλωτικὸν προσέθηκε σύνδεσμον τὸν ἆρα. τολμήσωμεν οὖν ἡμεῖς ἀποφήνασθαι τὸ καθόλου, καθάπερ ἔμπροσθεν ἐπ᾽ ἄλλων ἐποιήσαμεν, ὡς τοῦ τῶν ὠμῶν χυμῶν πλήθους ἤτοι πεττομένων ἢ πνευματωθέντων ἡ τοιαύτη τῶν οὔρων ἰδέα σύμπτωμά ἐστιν, οὐ φρενίτιδος. ἀλλὰ καὶ τοῦτο καὶ γενέσθαι ποτὲ δύνα-
570 ται τοῖς φρενιτικοῖς καὶ μὴ γενέσθαι, καθάπερ τι καὶ | ἄλλο σύμπτωμα τῶν οὔτ᾽ οἰκείων φρενίτιδος οὔτ᾽ ἐναντίων αὐτῇ.

I 29 [I 30. V 518, 1] Οἱ παλμώδεες δι᾽ ὅλου ἆρά γε ἀφώνως τελευτῶσιν;

Δῆλός ἐστι πάλιν ἐνταῦθα παλμώδη τινὰ τεθεαμένος ἤτοι δι᾽ ὅλου τοῦ σώματος ἢ τῷ τυχόντι μέρει (ἄδηλον γὰρ πότερον εἶπε τὸ δι᾽ ὅλου), κἄπειτα πλησίον τοῦ θανάτου γενόμενον ἄφωνον ἰδὼν ὄντα, οὐ δυνάμενος οὔτε ἐμπειρικῶς οὔτε λογικῶς εὑρεῖν ἐξ ἀνάγκης ἀφωνίαν ἑπομένην τῷ παλμώδει παθήματι καὶ διὰ τοῦτο ἐπιζητῶν καὶ ἀπορῶν, προστεθηκέναι τῷ λόγῳ τὸν ἆρα σύνδεσμον. ἡμεῖς οὖν πάλιν ἀποφαινόμεθα κἀνταῦθα τὸν παλμόν, καθότι δέδεικται, διὰ πνεῦμα φυσῶδες γιγνόμενον τοῦ φυσώδους ἀθροιζομένου πνεύματος διὰ ψύξιν. ὅταν οὖν ὅλον τὸ σῶμα παλμῶδες γένηται, δυνατὸν τὸν οὕτως ἔχοντα διὰ ψύξιν ἀποθανεῖν ἄφωνον μηκέτι τῶν τὸν λάρυγγα κινούντων μυῶν
571 ἢ τῶν | εἰς τούτους ἐμβαλλόντων νεύρων ἐνεργεῖν δυναμένων. διὰ τοῦτ᾽ οὖν αὐτὸ βέλτιόν ἐστιν ἀκούειν τοὺς δι᾽ ὅλου τοῦ σώματος

27 δέδεικται] *in hoc libro non repperi; tu cf. de symptom. caus. II 2 (VII 162 K.)*

3 ὑπομνήσει L   4 τῶν] τὸ T   6 προκείμενον L   τῇ *om.* L   8 προστεθεικέναι L   9 ἀδυνατῶν RL: ἀδύνατον T   11 αἰωρουμένου L   13 τολμήσομεν T   16 καὶ *prius om.* T, *alt.* L   18 φρενίτιδι R   21 δῆλον L   θεασάμενος T   22 ἢ τῷ τυχόντι μέρει *om.* L   23 ἰδὼν ἄφωνον L   24 δυναμένως R   οὔτε *prius* L: *om.* RT   ἐμπειρικῶς LT: τετηρηκὼς R   26 προστεθεικέναι L; *nota infinitivum post* δῆλός ἐστι   28 τοῦ *om.* L   30 ἄφωνον R: μόνον LT   31 ἐμβαλλόντων R: ἐνεργούντων LT   32 *post* τοῦτο *om.* οὖν αὐ *spatio relicto* T   βέλτιον αὐτὸ ἀκούειν ἐστίν L

παλμώδη κίνηcιν ἔχοντας· οὔτε γὰρ ἡ πεῖρα τοῦτο ἔδειξεν οὔτ' εὔλογόν ἐcτιν τῷ τυχόντι μέρει παλμώδει γενομένῳ cυμπάcχειν τὰ φωνητικὰ μόρια.

I 30 [I 31. V 518, 2] Τὰ ἐν τοῖc φρενιτικοῖcι μετὰ καταψύξεωc πτυελίζοντα μέλανα ἀνεμεῖται.

Ἐπεὶ μηδὲν ἔcτιν ἄλλο τι ὑπονοῆcαι cημαίνειν τὴν πτυελίζοντα φωνήν, ὅτι μὴ τὸ πτύειν πολλάκιc ἢ πληροῦcθαι cυνεχῶc πτυέλου τὸ cτόμα, διὰ τοῦτο κἀγὼ καὶ οἱ ἄλλοι πάντεc οὕτωc ἤκουcαν, ὅcοι τὸ βιβλίον ἐξηγήcαντο. καὶ μέντοι καὶ φαίνεται πληρούμενον cιάλου λεπτοῦ τὸ cτόμα τοῖc μέλλουcιν ἐμεῖν διὰ τὴν κοινωνίαν τοῦ χιτῶνοc, ἑνὸc ὄντοc αὐτοῦ cυνεχοῦc τοῦ τε τὸ cτόμα πᾶν ἔνδον ὑπαλείφοντοc τῇ φάρυγγι καὶ τοῦ κατὰ τὸν cτόμαχόν τε | καὶ τὴν γαcτέρα· καὶ διὰ 572
τοῦτο ἐνίοτε τὸ κάτω cείεται χεῖλοc εἰc ἔμετον ὁρμῶντοc τοῦ cτόματοc τῆc γαcτρόc. ἐνδείκνυται γὰρ ἡ cεῖcιc τοῦ χείλουc δάκνεcθαί τε καὶ cπαράττεcθαι καὶ κλονεῖcθαι τὸν ἐκτεταμένον ἀπὸ τοῦ cτόματοc ἐπὶ τὴν γαcτέρα χιτῶνα. ἐπὶ μὲν οὖν τῶν δυναμένων εἰπεῖν ἃ πάcχουcι καὶ καρδιωγμόc ἐcτι cημεῖον οὐ cμικρὸν ἐμέτου μέλλοντοc, ἀλγοῦcί τε καὶ κεφαλὴν καί τι καὶ τοῖc ὀφθαλμοῖc φαντάζονται ὀρφνῶδεc. εἴρηται γοῦν ἐν τῷ Προγνωcτικῷ ταῦτα· "ὅcτιc δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ κεφαλὴν ἀλγέειν ἢ καὶ ὀρφνῶδέc τι πρὸ τῶν ὀφθαλμῶν φαίνεcθαι, ἢν καρδιωγμὸc τουτέῳ προcγένηται, χολώδηc ἔμετοc παρέcται". τῶν φρενιτικῶν δ' οὐ δυναμένων ἃ πάcχουcι λόγῳ δηλοῦν, ἐξ ὧν αὐτοὶ θεώμεθα μόνων ἐπιχειροῦμεν τῇ προγνώcει. θεώμεθα δὲ ἐπὶ τῶν φρενιτικῶν τὸ λεπτὸν τῇ cυcτάcει πτύελον ἱκανώτατον ἐνδείξαcθαι τὸν ἔμετον. οὐ γὰρ ἂν ἄλλωc ἐν ξηρῷ νοcήματι φρενίτιδι, καθ' ὃ καὶ ἡ γλῶττα πολλάκιc γίνεται ξηροτάτη, περιττεῦον ἐν τῷ cτόματι φαίνοιτο τὸ λεπτὸν ὑγρόν. ἡ δὲ κατάψυξιc | αὐτῷ προcερχομένη τὴν 573
ποιότητα δηλοῖ τοῦ μέλλοντοc ἐμεῖcθαι χυμοῦ. διὰ μὲν οὖν τὸν πτυελιcμόν, ὅτι γενήcεταί τιc ἔμετοc, διὰ δὲ τὴν κατάψυξιν, ὅτι μελάνων, ἔνεcτι προγνῶναι.

19 Προγνωcτικῷ] *24 (II 182, 9 L.)*

1 κίνηcιν R: *om.* LT τοῦτο R: τοῦτον LT 2 παλμώδη R γινομένῳ T φρενιτικὰ T 4 *lemma 30 cum comm. om.* L τοῖc RT: *om. Hipp.* φρενιτικοῖc T καταψύξιοc *Hipp.* 6 cημαίνει R πτυελίζοντα *Hipp.*: πτυελίζουcαν RT 7 τὸ *prius om.* T 11 τοῦ τε *om.* T 12 καὶ (*ante* διὰ) R: *om.* T 15 ἐκτεταμμένον R 16 οὖν *om.* T 17 μικρὸν T 18 καὶ κεφαλὴν RT: τὴν κεφαλὴν *coni. Cornarius* 20 φῇ R: φηcὶν *(comp.)* T: φῇ τὴν *Hipp.* 21 τουτέῳ RT, *Hipp.*: τουτέων *ab Aldo edd.* προcγένηται T, *Hipp.*: ἐπιγένηται R παρέcται T, *Hipp.*: παρέπεται R 24 τὸ λεπτὸν R, T[1] *mrg.*: τὸ χαλεπὸν T *text.* 26 φαίνεται R 27 αὐτῷ R: αὐτῶν T

I 31 [I 32. V 518, 3] Κώφωϲιϲ καὶ οὖρα ἀκατάϲτατα, ἐξέρυθρα, ἐναιωρούμενα, παρακρουϲτικά· τοῖϲι τουτέοιϲιν ἰκτεροῦϲθαι κακόν. κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ μώρωϲιϲ· τούτουϲ ἀφώνουϲ μέν, αἰϲθανομένουϲ δὲ ϲυμβαίνει γίνεϲθαι. οἶμαι δὲ καὶ κοιλίαι καταρρήγνυνται τουτέοιϲιν, οἷον ἐγένετο Ἑρμίππῳ, καὶ ἀπέθανεν.

Εἴρηταί μοι καὶ πρόϲθεν, ὡϲ ἐν οἷϲ πάθεϲιν οὔτε τήρηϲιν ἐπὶ πολλῶν εἶχεν ἀρρώϲτων οὔτε τῆϲ τοῦ πράγματοϲ φύϲεωϲ ἔνδειξιν βεβαίαν, ἐπὶ τούτων εἴωθεν ἤτοι τοὺϲ ἀνθρώπουϲ ὀνομαϲτὶ γράφειν, ἐφ᾿ ὧν ἐθεάϲατο τὰ ϲυμπτώματα [ἢ] περὶ ὧν ἑκάϲτοτε πεποίηται τὴν διή-
574 γηϲιν, ἢ ζητεῖν | ἔτι καὶ ἀπορεῖν ὁμολογεῖν, πῇ ποτ᾿ ἔχει τἀληθέϲ. ἔοικεν οὖν καὶ νῦν ἐπί τινοϲ Ἑρμίππου θεάϲαϲθαι τὰ κατὰ τὴν προκειμένην ῥῆϲιν εἰρημένα ϲυμπτώματα παρακρούϲαντόϲ τε καὶ ἰκτερωθέντοϲ ἐπὶ κωφώϲει καὶ οὔροιϲ ἐξερύθροιϲ ἀκαταϲτάτοιϲ. ἡ μὲν δὴ κώφωϲιϲ ἕν τι τῶν ἐνδεικνυμένων ἐϲτὶ πεπονθέναι τὸν ἐγκέφαλον. ἐξέρυθρα δὲ οὖρα διαφέρει μὲν δήπου τῶν 'ὑπερύθρων', ἃ κατὰ τὸ Προγνωϲτικὸν εἴρηται χρόνου μὲν εἶναι ϲημεῖα, μὴ μέντοι κινδύνου. τίνα δ᾿ ⟨ἂν⟩ ἄλλα νοήϲειέ τιϲ ἐξέρυθρα ἢ τὰ καλούμενα πρὸϲ ἁπάντων αἱματώδη πολλοῖϲ τῶν νεφριτικῶν οὐρούμενα; καὶ εἴπερ ταῦτα βούλεται δηλοῦν, ἀνὰ λόγον τι ϲημαίνει τοῦ πρόϲθεν εἰρημένου "κοιλίηϲ περίπλυϲιϲ ἐξέρυθροϲ". ὥϲπερ οὖν ἐκείνην ἔφαμεν ἥπατοϲ ἀρρωϲτοῦντοϲ γίνεϲθαι, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ νεφροῖϲ κακοπραγοῦϲιν οὖρον ἐξέρυθρον ἐροῦμεν γίγνεϲθαι. τὸ δ᾿ ἀκατάϲτατον αὐτοῦ μετὰ τοῦ φαίνεϲθαί τινα παχύτερα τῆϲ ὅληϲ οὐϲίαϲ τῶν οὔρων ἐναιωρούμενα ταραχὴν
575 ἐνδείκνυται κατὰ τὰϲ φλέ|βαϲ ὑπάρχειν ἅμα θερμαϲίᾳ τινὶ παρὰ φύϲιν οὐκ ὀλίγου πνεύματοϲ ἠθροιϲμένου φυϲώδουϲ. ὥϲπερ οὖν ἐνδεχόμενόν ἐϲτιν ἐπὶ τῶν εἰρημένων ϲυνόδων παρακροῦϲαι τὸν ἄνθρωπον, οὕτωϲ οὐκ ἀναγκαῖον. ἡ γὰρ ἐπιπλοκὴ τῶν ϲημείων οὐχ ἁπάντων ἐϲτὶν ὁμογενήϲ, τῆϲ μὲν κωφώϲεωϲ τὴν κεφαλὴν ἐνδεικνυμένηϲ πεπονθέναι, τῶν δ᾿ ἐξερύθρων οὔρων τοὺϲ νεφρούϲ, τῶν δὲ ἀκαταϲτάτων οὔρων ἐπὶ τοῖϲ ἐναιωρήμαϲι πρῶτον μὲν ἐν ταῖϲ φλεψὶν ἀπέπτων χυμῶν ταραχὴν ἐνδεικνυμένων, κατὰ ϲυμβεβηκὸϲ δὲ καὶ τῇ τῆϲ παρακρούϲεωϲ γενέϲει ϲυντελούντων.

7 πρόϲθεν] *p. 39, 14* 17 Προγνωϲτικὸν] *12 (II 140, 4 L.); cf. infra p. 640, 2* 20 πρόϲθεν] *Prorrh. I 2 L.* 21 ἔφαμεν] *p. 11, 11 sqq.*

2 *post* ἐναιωρούμενα *ins.* δὲ T τοῖϲι τοιούτοιϲιν *Helmreich* 3 ἡ *om. Hipp. Prorrh. et Coac. 194* 4 μὲν RT: *om.* L, *Hipp. Prorrh. et Coac.* δὲ ϲυμβαίνει δε R καὶ ἡ κοιλία καταρρήγνυται L *cf. p. 45, 20:* καὶ κοιλίη πονηρεύεται [πολλὴ ῥύεται *A*] *Hipp. Coac. l. c.* 5 τουτέοιϲιν T: *om.* RL, *Hipp. codd. plerique* 7 οὔτε] οὕτω R 8 ἀρρώϲτων εἶχεν L 9 γράφων R 10 ἢ *del. Cornarius* 11 ὁμολογεῖν *recte* RLT: ὁμολογεῖ *ex Aldo edd.* τὸ ἀληθὲϲ RL 13 παρακρούϲαντά τε καὶ ἰκτεριωθέντα R 18 ἂν *add. Mewaldt* ἢ *om.* L 19 νεφριτικῶν T: νεφρητικῶν R: φρενιτικῶν L 26 ἀθροιϲμένου L 28 ϲημεῖον T 30 τοῦ δὲ ἀκαταϲτάτου R οὔρων *om.* RL ἐπὶ T: ἐν RL 32 ἐνδεικνυμένου R 33 ϲυντελοῦντοϲ R

τὸ δ᾽ ἐφεξῆς τῶν εἰρημένων γεγραμμένον τὸ τοὺς τοιούτους ἰκτεροῦσθαι κακόν, ἀληθὲς μέν ἐστιν, ἀλλ᾽ ὅτι συνδρομὰς ἑτερογενῶν σημείων οὐ χρὴ ποιεῖσθαι κατὰ τὰς τοιαύτας διδασκαλίας ἔμπροσθεν δέδεικται. καὶ μὲν δὴ καὶ περὶ τοῦ κακὸν εἶναι μώρωσιν ἐπὶ τοῖς ἰκτέροις εἴρηται πρόσθεν, ἡνίκα προειπών "ἐν φρενιτικοῖς λευκὴ διαχώρησις κακόν" ἐπήνεγκεν "ἆρά γε ἐπὶ τούτοισι καὶ νωθρότης γίνεται;" καὶ γὰρ μεταλαμβάνει τὸν λόγον εἰς ἑτέρας φωνὰς ἀντὶ μὲν τῆς λευκῆς διαχωρήσεως, ἥτις ἐστὶν ἴδιον τῶν ἰκτερικῶν σύμπτωμα, τοῦ πά|θους αὐτοῦ μνημονεύσας, ἀντὶ δὲ τῆς νωθρότητος τὴν μώρωσιν εἰπών. **576**
τούτους οὖν, φησίν, ἀφώνους μέν, αἰσθανομένους δὲ συμβαίνει γίνεσθαι. φαίνονται δὲ τῶν ἀφώνων ἐν ὀξέσιν νοσήμασι γιγνομένων ἔνιοι μὲν οὐδ᾽ αἰσθανόμενοι διὰ τὸ τῆς ἀρχῆς πάθος, ἀμφοτέρων αὐτοῖς τῶν συμπτωμάτων ἑπομένων, ἔνιοι δὲ μόνον ἄφωνοι γιγνόμενοι, καὶ τούτων οἱ μὲν ἅμα τῷ καὶ τὰς ἄλλας κινήσεις ὅσαι κατὰ προαίρεσιν γίγνονται βεβλάφθαι πάσας, οἱ δὲ τὴν φωνὴν μόνην. ἐὰν οὖν ἅμα τῇ φωνῇ καὶ τῶν ἄλλων ἐνεργειῶν ἡ βλάβη γένηται, τῆς ἀρχῆς τῶν νεύρων ἐστὶ τὸ πάθος· ἐὰν δὲ μόνης τῆς φωνῆς, μόνων τῶν φωνητικῶν ὀργάνων. ἀλλ᾽ ἐπί γε τῆς προειρημένης συνδρομῆς, ὅταν πλησίον ἤδη ἥκωσι τοῦ θανάτου, τὸ τῆς ἀφωνίας αὐτοῖς ἀκολουθεῖ σύμπτωμα. τὸ δ᾽ ἐπὶ τῷ τέλει τῆς ὅλης ῥήσεως εἰρημένον καὶ κοιλίαι καταρρήγνυνται, οἷον ἐγένετο καὶ Ἑρμίππῳ, καὶ ἀπέθανεν οὕτως αὐτὸν εἰκὸς εἰρηκέναι, διότι μήτ᾽ ἐτεθέατο πολλάκις ἑπόμενον τὸ σύμπτωμα τοῦτο τῇ προκειμένῃ συνδρομῇ μήτ᾽ αὖ λογικῶς εὑρεῖν ἠδυνήθη. |

I 32 [I 33. V 518, 8] Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρ- **577**
ακολουθοῦσα κακόν.

Γίνεται μὲν καὶ διά τινα χυμὸν κατὰ τοὺς ἀκουστικοὺς πόρους σφηνωθέντα κώφωσις οὐδὲν ἔχουσα κακόηθες. γίνεται δὲ ἐνίοτε καὶ τῆς ἀκουστικῆς δυνάμεως νενεκρωμένης, ἣν ἐν τοῖς ὀξέσιν ἅμα καὶ ταραχώδεσι νοσήμασιν ὁρῶμεν συμπίπτουσαν, ὑπὲρ ἧς νῦν ἀπεφήνατο, κακὸν εἶναι λέγων αὐτὴν σύμπτωμα, οὔτε τὸ 'ἆρα' προσθεὶς οὔτ᾽ αὐτὸ τὸ ὄνομα τοῦ νοσήσαντος οὕτως, ἐπειδὴ ἓν ἔστιν ἀποφήνασθαι περὶ τῶν τοιούτων συμπτωμάτων.

3 ἔμπροσθεν] *cf. p. 9, 9 sqq. 11, 6* 5 πρόσθεν] *Prorrh. I 13 L.; cf. p. 28, 14*

1 τοῖς τοιούτοις *(cf. Hipp.)* L 5 φρενιτικοῖσι *(ut Hipp.) Gal. l. c.* 6 ἐπὶ τούτοισι καὶ L, *Hipp.*: καὶ ἐπὶ τούτοισι R: καὶ ἡ ἐπὶ τούτοισι T 7 καὶ μεταλαμβάνει δὲ L 8 συμπτωμάτων T 10 οὖν] μὲν οὖν T 13 ἑπόμενοι R δὲ μόνον RT: δ᾽ ἀμφοῖν L 12 ἀρχῆς] *cf. 26, 18* 15 πάντας L 17 μόνων *om.* T 18 ἤδη πλησίον *transponendum videtur* 19 αὐτοῖς LT: αὐτῆς R 20 κοιλίαι R: κοιλία LT καταρρήγνυται LT 21 καὶ *prius* RLT: *om. Hipp. et lemma p. 44, 5* 22 εἰκὼς *ex* εἰκὸς *ut vid. corr.* R: εἰκῆς L: *om.* T μήτε ἐτεθέατο T: μηδὲ ἐτεθέατο L: μητεθέαται R 23 τῆς προκειμένης συνδρομῆς L 27 *post* οὐδὲν *add.* ἧττον L 28 ἅμα R: τὲ ἅμα L: *om.* T 30 σύμπτωμα *post* εἶναι *transp.* L αὐτὴν *supra scr.* R 31 οὕτως *om.* L ἐπει δὲ *sic* T ἔνεστιν RLT: ἓν ἔστιν *distinxi. fortasse supplendum* ἕν ⟨τι κοινὸν⟩ ἔστιν *ex p. 48, 4*

I 33 [I 34. V 518, 9] Αἱ τρομώδεες, ἀςαφέες, ψηλαφώδεες παρακρούςιες πάνυ φρενιτικαί, ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῷ.

Γίνεται καί τι τοιοῦτον παραφροςύνης εἶδος οὐκ ὀλιγάκις, ὡς
578 ἡςυχάζοντα κατακεῖςθαι τὸν νοςοῦντα, μὴ ὅτι | θορυβωδῶς κεκραγότα καὶ ἀναπηδῶντα, καθάπερ ἔμπροςθεν, ἀλλὰ μηδὲ φθεγγόμενον ὅλως, μηδὲ τὸ τῆς κατακλίςεως ςχῆμα μεταβάλλοντα. καὶ πολλάκις γε τοῖς οἰκείοις οὗτοι παρέςχον δόξαν, ὡς, εἰ γένοιτό τις ςιγή, κοιμηθηςόμενοι. ςυγκλείςαντες οὖν τὰς θυρίδας ἡςυχάζουςιν ἐπιτηροῦντες· ἐν τούτοις τε τρίβεται χρόνος ἐνίοτε μακρός, τῶν μὲν οἰκείων τῶν καμνόντων ἐκ τοῦ μὴ φθέγγεςθαί τι μηδὲ κινεῖςθαι τὸν νοςοῦντα τεκμαιρομένων κοιμᾶςθαι τὸν ἄνθρωπον, αὐτοῦ δὲ τοῦ νοςοῦντος μήτε κοιμωμένου καὶ τὰς χεῖρας κινοῦντος ἀτρέμα ὁμοίως τοῖς διὰ ψηλαφίας ἠρεμαίας ἅψαςθαί τινος ἢ εὑρεῖν τι βουλομένοις. ἔπειτα τούτων οὕτως ἐχόντων ἔνιοι μὲν κεκλειςμένων τῶν βλεφάρων ταῦτα πράττουςιν, καὶ εἰ προςελθών τις αὐτοῖς διαλέγοιτο, τινὲς μὲν οὐδ᾽ ὅλως ἀνοίγουςι τοὺς ὀφθαλμούς, ἔνιοι δὲ ἀνοίξαντες ἤτοι μικρὸν ὕςτερον ἔκλειςαν ἢ ἀκινήτους φυλάττουςιν, ἔνιοι δ᾽ οὐδ᾽ ἂν ἐμβοήςῃ τις αὐτοῖς ἢ νύξῃ, τὰ βλέφαρα διανοίγουςιν. περὶ τοιούτων οὖν φρενιτικῶν ὁ Ἱπποκράτης κατὰ τὸ
579 γ̅ τῶν Ἐπιδημιῶν οὕτως ἔγραψεν· "οὐδ᾽ | ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς ὥςπερ ἐπ᾽ ἄλλοις, ἀλλ᾽ ἄλλῃ τινὶ καταφορῇ νωθρῇ καρηβαρέες ἀπώλοντο".

τοὺς δ᾽ αὐτοὺς τούτους φρενιτικοὺς κατὰ τὴν προκειμένην ῥῆςιν ὠνόμαςεν ἀςαφεῖς, ὡς εἰ καὶ δυςγνώςτους εἶπε τοῖς πολλοῖς οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν. οἴονται γὰρ ἐκείνους μόνους εἶναι φρενιτικούς, ὅςοι κεκράγαςιν ἢ ἀναπηδῶςιν, Ἱπποκράτους τοὺς βεβλαμμένους τὰς φρένας οὕτως ὀνομάζοντος, κἂν ⟨εἰ⟩ διὰ παντὸς ἐν καταφορᾷ τινι τύχοιεν ὄντες. ςυνειςβάλλει μὲν οὖν ἐξ ἀρχῆς ἐνίοτε παραφροςύνη κώματι. δέδεικται γὰρ ἐν τῷ Περὶ τοῦ παρ᾽ Ἱπποκράτει κώματος ἐπὶ ταὐτὸν ἀναφέρων ἀμφοτέρας τὰς προςηγορίας, τήν τε τῆς καταφορᾶς καὶ τὴν τοῦ κώματος. ἀλλὰ τὸ μὲν τῆς ἡςυχίας ἀςαφὲς

18 κατὰ τὸ γ̅ τῶν Ἐπιδημιῶν] *III 3, 6 (III 82, 16 L.)* 28 ἐν τῷ Περὶ τοῦ παρ᾽ Ἱπποκράτει κώματος] *2 (Gal. VII 655 K.)*

1 ἀςαφέες *Hipp. cf. v. 23:* ἀςαφώδεες RLT *hic et p. 685, 3 K.: deest Hipp. Coac. 76 et in lemmate a Galeno citato 683, 13; mira forma corruptionis ex omissa, tum suppleta super* ψηλαφώδεες *voce* ἀςαφέες *orta esse videtur, deinde translata in posteriorem locum* *ante* ψηλαφώδεες *add.* καὶ *(ex Hipp.)* L 2 διδυμάρχου L 7 προςέςχον L κοιμηθηςόμενοι R: κοιμηθηςομένοις LT 9 χρόνος RL: οἷον T τῶν καμνόντων R: τῷ κάμνοντι LT; *quod rectius staret ante* τῶν μὲν, *cum nimia sit loquacitas continuantis* τὸν νοςοῦντα . . . τὸν ἄνθρωπον 11 μήτε RL: μηκέτι T 12 ἀτρέμα κινοῦντος *transp.* L 14 ταῦτα RL: πάντα T 17 οὐδὲ ἐὰν L 18 οὖν *om.* L 20 ἄλλοιςιν *Hipp. (cf. Gal. VII 655, 14):* ἄλλων *Gal. supra p. 5, 14* νωθρῇ καταφορῇ *Gal. l. c. (at cf. VII 655, 15)* καταφορὰ T καρηβαρέες RT *(cf. p. 5, 14)*: βαρέως L 22 δ᾽ *om.* L προγεγραμμένην T 24 εἶναι *om.* T 26 εἰ *add. Helmreich* καταφορᾷ L: καταφορῇ R: καταφϗ̃´ T 27 ςυνειςβάλλοι R ἐνίοτε RLT: *om. ex Aldo edd.* 28 περὶ τοῦ *om.* L 29 κώματι T ταύτην L τήν τε καταφορὰν L

αἱ τοιαῦται φρενίτιδες οὐκ ἔχουσιν, τὸ δ', ὡς εἴρηται νῦν, ἀσαφὲς
εἶδος φρενίτιδος ἐπὶ προήκοντι τῷ χρόνῳ γίνεται, καὶ πάντας, οὓς
εἶδον οὕτω παθόντας, ἄρρωστον καὶ σκληρὸν καὶ στενὸν καὶ βραχὺν
εἶχον τὸν σφυγμόν, ὡς τεκμαίρεσθαι κεκμηκυίας τῆς δυνάμεως αὐτοῖς
γίνεσθαι τὴν ἡσυχίαν, οὐ δυναμένοις ἰσχυρότερον κι|νεῖσθαι. τινὲς δ' 580
αὐτῶν ὥσπερ τὰς χεῖρας ἠρέμα κινοῦσιν, οὕτω καὶ φθέγγονται βραχύ-
τατα· καὶ τοῦτο λανθάνει τοὺς πολλοὺς καὶ μόνοις γίνεται κατάδηλον,
ὅσοιπερ ἂν ἐγγυτέρω γενόμενοι κατακύψωσιν εἰς αὐτούς. ἔστι δ' ὅτε
πειρᾶταί τις πρὸς τὸ κατακούειν σαφῶς πλησίον αὐτῶν τοῦ προσώπου
καταθεῖναι τὸ οὖς. ἀλλὰ καὶ ἡ τῶν χειρῶν κίνησις αὐτοῖς βραχεῖα τρο-
μώδης οὖσα λανθάνει τοὺς πολλοὺς μόνοις τοῖς ἀκριβῶς κατασκεψα-
μένοις φαινομένη. τεκμήριον μὲν οὖν τοῦτ' ἔστι τοῦ τὴν δύναμιν αὐτῶν
ἀρρωστεῖν, ἑκτικὴν δέ τινα διάθεσιν εἶναι φρενίτιδος ὥσπερ ⟨τῶν⟩ πυρετῶν
ἐκείνων, οὓς δι' αὐτὸ τοῦτο προσαγορεύομεν 'ἑκτικούς'. εἴρηται δὲ
περὶ αὐτῶν ἔν τε τοῖς Περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασιν
καὶ τοῖς τῆς Θεραπευτικῆς μεθόδου γράμμασιν καὶ μέντοι κἀν τῷ Περὶ
μαρασμοῦ τὰ στερεὰ τοῦ ζῴου μόρια κατειληφέναι τοὺς τοιούτους πυρε-
τοὺς ἐνδεικνυμένοις, οὐκ ἐπὶ χυμῷ σηπεδονώδει γίνεσθαι. καὶ τῆς φρενί-
τιδος οὖν ἐπὶ χολώδει χυμῷ τὴν γένεσιν ἐχούσης, ὅταν ἐπὶ τὸν ἐγ-
κέφαλον οὗτος κατασκήψῃ, κατ' ἀρχὰς μὲν οὐδέπω τῆς ποιότητος αὐτοῦ
κεκραμένης ὅλῳ τῷ σώ|ματι τοῦ ἐγκεφάλου θορυβώδεις παραφροσύναι 581
γίνονται· προήκοντος δὲ τοῦ χρόνου παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ
τῶν καλουμένων βαφέων ἐρίοις βαπτομένοις· καὶ γὰρ καὶ ταῦτα δευσο-
ποιὰ γίνεται τοῖς κατ' ἀρχὰς ἴδιον ἔχουσι τὸ χρῶμα παραπλησίως. καὶ
ἡ τοιαύτη τοίνυν οἷον βαφὴ τοῦ ἐγκεφάλου τὴν παραφροσύνην ἑκτικὴν
ἴσχει, καὶ διὰ τοῦτ' ἔστιν ἡ διάθεσις αὐτῶν μοχθηρὰ τοῖς ἑκτικοῖς πυ-
ρετοῖς ὡσαύτως, οὓς ἐδείκνυμεν ἀρχομένους μὲν συνίστασθαι μόγις λυο-
μένους, συστάντας δὲ καὶ ἀκριβῶς ἐκπληρωθέντας οὐκέτι δύνασθαι λυ-
θῆναι. ὀρθῶς οὖν εἴρηται τὰς τοιαύτας παρακρούσεις πάνυ φρενι-
τικὰς εἶναι.

ταύτην τὴν ῥῆσιν, ὥσπερ καὶ ἄλλας τινὰς τῶν ἰατρικῶν παρα-
τρέχοντες οἱ ἐξηγηταὶ χρονίζουσιν ἐν τοῖς σοφιστικοῖς ζητήμασιν. ὀνο-
μάζω δέ, ὡς ἴστε, σοφιστικὰ τὰ μηδὲν εἰς τὸ βέλτιον ἰατρεύειν συν-
τελοῦντα. τοιαῦτα δὲ οὐκ ὀλίγα καὶ κατὰ τὰς ἐξηγήσεις εὑρίσκεται, τινὰ
μὲν μᾶλλον ἀποκεχωρηκότα τοῦ πρὸς τὰς θεραπείας χρησίμου, τινὰ δὲ
ἧττον, ὥσπερ ἀμέλει καὶ τὸ ζητῆσαι τὴν αἰτίαν, δι' ἣν προσέθηκεν ἐπὶ

15 Περὶ τῆς διαφορᾶς τῶν πυρετῶν] *I 9 (VII 304 sqq. K.)* 16 Θερα-πευτικῆς μεθόδου] *X 8 (X 699). 10 (X 718 K.)* Περὶ μαρασμοῦ] *7 (VII 692 K.)* 27 ἐδείκνυμεν] *an 27, 27 sqq.?* 21 *sqq. schol.* R: ὅρα τὸ ὅλον

3 βραχὺ R 5 ἰσχυρότατα R 8 ἐγγυτέρω T: ἐγγύτερον R: ἐγγυτάτω L ἐσθ' ὅτε δὲ L 10 βραχὺ τρομώδις οὖσαι T 12 οὖν *om.* T 13 τῶν *add. Helmreich* 14 δὲ] δ' ⟨ἡμῖν⟩ *Helmreich* 15 τε R: *om.* LT 18 ἐνδεικνυμένοις (*sc.* γράμμασιν? *locus dubius*) R: ἐνδεικνυμένους LT σηπε-δονώδη R 20 κατασκήψει RL 23 καὶ *alt. om.* LT 24 ἀρχὴν L χρῶμα] σῶμα L 25 βαφὴ] γραφὴ L 27 μὲν *om.* L μόλις T 28 ἀκριβῶς *post* δὲ *transp.* R 31 τινὰς] πολλὰς L ἰατρῶν L

582 τῷ τέλει τῆς | προκειμένης ῥήσεως· οἷον τῷ Διδυμάρχῳ ἐν Κῷ. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ προσγράφειν ὀνομαστὶ τοὺς νοσήσαντας ἐπ' ἐκείνων τῶν ῥήσεων, ἐν αἷς οὐ τολμᾷ καθ' ὅλου τοῦ πράγματος, ὑπὲρ οὗ ποιεῖται τὸν λόγον, ἕν τι κοινὸν ἀποφήνασθαι. νυνὶ δὲ ἀληθές γε φαίνεται λέγων, καθόλου κατὰ πάντων τῶν οὕτως ἐχόντων ἀποφαινόμενος, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς πάνυ πεπεισμένος. προσέθηκε γοῦν τῷ λόγῳ τὸ πάνυ φρενιτικαί, καίτοι δυνάμενος ἁπλῶς φρενιτικαὶ εἰπεῖν. δοκεῖ δέ μοι μαρτύριον τῷ λόγῳ προσγράψαι τὸν ἄρρωστον ὀνομαστὶ διὰ τὸ πολλοὺς οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν ἐπὶ τῶν τοιούτων ἐξαπατᾶσθαι. κἀμοὶ γοῦν ποτέ τις ἠμφισβήτησε περί τινος οὕτω φρενιτίζοντος οὔτ' ὀλεθρίως ἔχειν αὐτὸν οὔθ' ὅλως φρενιτικὸν εἶναι νομίζων. ἴσως δὲ καὶ αὐτῷ τῷ τὸ προρρητικὸν τοῦτο γράψαντι τοιαύτη τις ἀμφισβήτησις ἐγένετο πρός τινα· διὸ τοῦ παθόντος ἐμνημόνευσεν ὀνομαστί. |

583 **I 34** [I 35. V 518, 10] Αἱ ἐκ ῥίγεος νωθρότητες οὐ πάνυ παρ' ἑωυτοῖσιν.

Οὐκ οἶδ' ὅπως ὃς ἔγραψε τοῦτο τὸ βιβλίον ἐν πολλαῖς ταῖς ῥήσεσιν ἀλλοκότῳ χρῆται τῇ λέξει μεταβαίνων ἐνίοτε μὲν ἀπὸ τῶν παθῶν ἐπὶ τοὺς πάσχοντας ἀνθρώπους, ἐνίοτε δὲ ἀπὸ τῶν πασχόντων ἐπὶ τὰ πάθη. καὶ νῦν γοῦν προειπὼν αἱ ἐκ ῥίγεος νωθρότητες ἐπήνεγκεν οὐ πάνυ παρ' ἑωυτοῖσιν, καίτοι δυνάμενος εἰπεῖν 'οἱ ἐκ ῥίγεος νωθροὶ οὐ πάνυ παρ' ἑωυτοῖσιν'. ὃ δ' οὖν λέγει τοιοῦτόν ἐστιν· ὅταν ἀκολουθήσῃ ῥίγει νωθρότης, οὐ πάνυ τὴν διάνοιαν οὗτοι ἀβλαβεῖς γίνονται· δηλοῦται γὰρ ἐκ τοῦ συμβάντος ἐψῦχθαι τὸ σῶμα μεγάλως. ἐμάθομεν δ' ὅτι ταῖς καθ' ὅλον τὸ σῶμα μεγάλαις δυσκρασίαις ἕπεται πολλάκις ἡ τῆς διανοίας βλάβη, παθόντος ὁμοίως τῷ παντὶ σώματι τοῦ ἐγκεφάλου. |

2 ἐν τῷ πρὸ τούτου λόγῳ] *p. 45, 31* 25 ἐμάθομεν] *an ad p. 30, 1 respicit?*

2 λόγῳ R: βιβλίῳ LT 3 καθόλου RLT: *distinxi; aut addas* κατὰ *ut v. 5* 7 προσέθηκεν οὖν L τὸ RLT: καὶ *ex Aldo edd.* καίτοι . . . εἰπεῖν *om.* T 8 εἰπεῖν φρενιτικαὶ *transp.* L δὲ] δὴ T 9 πολλὰ *(comp.)* R 10 κἀμοὶ *Mewaldt*: καί μοι RLT 11 ἠμφιβήτησε T: ἠμφιβήτει R: ἀμφιβητήσει L 13 τῷ τὸ *scripsi:* τῶ T: τὸ RL 14 διὸ] διὰ L 15 *lemma 34 cum comm. om.* L νωθρότητος T 16 ἑωϋτοῖσιν T: ἑαυτοῖσιν R: αὐτέοισιν *Hipp. codd.* *post* ἑωϋτοῖσιν *add.* γίνονται T 21 *(ut 22)* ἑαυτοῖσιν R 23 ἀκολουθήσῃ] ἀκολουθήσει R: ἀκολουθήσι T 25 μεγάλαις T: *om.* R

I 35 [I 36. V 518, 11] Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες 584 ἔχουσι μέν τι καὶ γνώμης παράφορον, περὶ κρίσιν δὲ τουτέοισι πνεῦμα ἅλις ξὺν τόνῳ διέρχεται· καὶ οἱ κατὰ γαστροκνημίην πόνοι ἐν τούτοισι γνώμης παράφοροι.

Τινὲς οὐ μόνον ἅλις, ὅπερ ἀθρόον σημαίνει, γράφουσιν, ἀλλὰ καὶ τὸ συχνόν αὐτῷ προστιθέασιν, ἕτεροι δὲ τὸ τόνῳ διέρχεται διὰ τοῦ γ̄ γράφουσιν, οὐ διὰ τοῦ τ̄, καὶ προστιθέασιν αὐτῷ τὸ εἴκελον ὅλην τὴν λέξιν ποιοῦντες τοιάνδε· γόνῳ εἴκελον διέρχεται. ἔνιοι δὲ ἀντὶ τοῦ πνεῦμα φλέγμα γράφουσιν. τὸν μὲν οὖν παλμὸν ἐδείξαμεν ὑπὸ φυσώδους πνεύματος γίνεσθαι· διὸ τοῦτο κατὰ μὲν τὸ διάφραγμα συστὰν παραβλάπτειν τι καὶ τὴν γνώμην, ἐπειδὴ τοῖς νευρώδεσι μορίοις ἡ ἀρχὴ συμπάσχειν εἴωθεν. ὅταν δὲ κατ᾽ ἄλλο τι τῶν ἐνταῦθα μερῶν γένηται, τὰ μὲν τῆς γνώμης ἀβλαβῆ μένει, διέρχεται δ᾽ αὐτοῖς κριτικῶς φλέγμα συχνὸν κάτω | μετὰ τόνου, τοῦτ᾽ ἔστι μετὰ προθυμίας ἰσχυρᾶς, 585 ὁποία κατὰ τοὺς τεινεσμοὺς γίνεται. τοιαῦται δὲ τάσεις εἰώθασι συμβαίνειν ἐπὶ τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς μόγις διερχομένοις εἰς τὰ εἴσω χωρία τῶν ἐντέρων· ἔν τισι δ᾽, ὡς ἔφην, τῶν ἀντιγράφων οὐ διὰ τοῦ τ̄ γέγραπται 'τόνῳ διέρχεται τὸ κενούμενον', ἀλλὰ διὰ τοῦ γ̄ γόνῳ εἴκελον, τουτέστι γόνῳ ὅμοιον. εἴτε δὲ κατὰ τὴν σύστασιν εἴτε κατὰ τὴν χρόαν εἴτ᾽ ἄμφω βούλεται γόνῳ παραπλήσιον εἶναι τὸ κενούμενον, ἄδηλον ὑπάρχον ἐστίν.

ὅ γε μὴν ὑπὸ Πραξαγόρου καλούμενος ὑαλώδης χυμὸς ὅμοιος ὢν ὑάλῳ κεχυμένῃ τοιοῦτός ἐστιν, ὡς ὀδύνας μεγίστας τονώδεις παρέχειν, ὅταν διεξέρχηται τοὺς χιτῶνας τῶν ἐντέρων. ἔστι δὲ τῇ κράσει ψυχρότατος ἁπάντων τῶν κατὰ τὸ σῶμα γεννωμένων χυμῶν. ὅτι δὲ ἐκ τῶν παχυτέρων χυμῶν τὸ φυσῶδες πνεῦμα τὴν γένεσιν ἴσχει, καὶ τοῦτ᾽ ἔμπροσθεν ἤκουσας ἐν τοῖς περὶ τοῦ παλμοῦ λόγοις. οὐ μὴν οἵ γε κατὰ γαστροκνημίαν πόνοι παραφροσύνην ἐν τούτοις σημαίνουσι· διὸ κελεύουσιν ἡμᾶς οἱ βοηθοῦντες τῇ ῥήσει προσυπακοῦσαι 'καταπαυσάμενοι', τοῦτ᾽ ἔστιν ἀλόγως ἐξαίφνης ἀφανισθέντες, καὶ παρατί|θενται 586

9 ἐδείξαμεν] *cf. ad p. 42, 27*   27 ἔμπροσθεν] *cf. ad 42, 27*

2 δὲ *om.* L   3 πνεῦμα, *superscr.* φλέγμα R, *cf. comm. v. 8. 9; lectio interpolata ex Coac. 294 (V 648, 21 L.)*   ἅλις, *superscr.* συχνὸν R: ἁλὲς *et Hippocrati et Gal. v. 5 rest. Helmreich*   3 τόνω RT: *superscr.* γόνω R^1 *(cf. v. 6)*: πόνω *(ut Hipp. Prorrh. et Coac. 294 codd.)* L   γαστροκνήμην R   4 γνώμης R: *om.* LT   5 τινὲς *om.* L   6 ἕτεροι . . . προστιθέασιν *om.* L   τὸ γόνῳ TR^2: τῶ γόνω R^1: *corr. Ilberg*   7 τὸ εἴκελον RT: τὸ ἴκελον L   8 ἴκελον L   10 διὸ L: διὰ RT   συστὰν L: συστάντα R: συστάντος T   11 παραβλάπτειν T: παραβλάπτει RL   15 τιννεσμοὺς R   16 διεξερχομένοις L   τὰ εἴσω χωρία R: τὴν εἴσω χώραν LT   17 ἔφημεν R   19 ἴκελον L   ὅμοιον γόνῳ L   20 κενούμενον] καλούμενον L   21 ὑπάρχον *om.* L   23 ὑάλωι L: ὑέλῳ RT   κεχυμένω R   τοιοῦτος R^2: ὁ τοιοῦτος R^1L: οὐ τοιοῦτος T   ὡς R: *om.* LT   μεγίστους R   παρέχων L   25 γινομένων T   δὲ RT: *om.* L   28 γαστροκνήμην R   σημαίνει R

τὸν ἐγγεγραμμένον ἄρρωςτον ἐν τῷ τρίτῳ τῶν Ἐπιδημιῶν ἐν τῷ Δεάλκους κήπῳ κατακείμενον, ἐφ' οὗ προειπὼν Ἱπποκράτης, ὅτι "γούνατα καὶ κνήμας ἐπωδύνως εἶχε" λωφησάντων αὐτῶν ἀκολουθῆςαι παραφροςύνην φηςίν. εἴρηται δέ μοι πρόςθεν, ὡς οὐ χρὴ διὰ τοιούτων ἀρρώςτων παραθέςεως ἐξηγήςεις ποιεῖςθαι· πάντα γὰρ ἔςται πάντων ςημεῖα κατὰ τοῦτον τὸν λόγον. ἀλλὰ καὶ τὸ τοὺς κατὰ γαςτροκνημίαν πόνους γνώμης γενέςθαι παραφόρους, ἐπειδὰν ἀφανιςθῶςιν, οὐ προκειμένου κατὰ τὴν ῥῆςιν τοῦ παύςαςθαι τοὺς τοιούτους πόνους, ἀτοπωτάτην ἔχει τὴν ἐξήγηςιν. οὕτω γὰρ ἔξεςτι πᾶν ὅτι ἂν βουληθῶμεν εἰς τοὐναντίον ἕλκειν, ὥςτε, κἂν κεφαλαλγίαν εὕρωμέν που γεγραμμένην, οὐ τὴν οὖςαν, ἀλλὰ παυςαμένην ἀκούειν ἡμᾶς, καὶ βῆχα καὶ δύςπνοιαν, κἂν ἦχον ὤτων κἂν ὁτιοῦν ἄλλο.

1 ἐν τῷ τρίτῳ τῶν Ἐπιδημιῶν] *III 1, 3 (III 42, 6 L.)* 4 πρόςθεν] *p. 15, 18 sqq.*

1 *an* τὸν γ̄ (*i. e.* τρίτον) γεγραμμένον? *cf. p. 15, 18* τῶν . . . γεγραμμένων ἀρρώςτων; *XVII A 499, 7. 584, 8;* πρῶτον ἄρρωςτον *habes ibid. 527, 4. 565, 16; cf. 559, 6. 584, 12* τρίτῳ] γ̄ T 2 *ante* Ἱπποκρ. *add.* ὁ L 3 ἐπωδύνως R, *Hipp. codd. DHR*[1]: ἐπωδύνους LT: ἐπώδυνα *Hipp. vulg.* 4 παραφροςύνηι L: περιφροςύνην *(compend.)* T δέ R: τε LT 5 παραθέςεις R 6 κατὰ *om.* T γαςτροκνήμην R 7 παραφόρου R 8 ἀτοπωτάτην] ἀτο *in extr. v.* T 12 καὶ ἦχον *praestare videtur aut v. 9* κἂν βῆχα, *quod Schoeneo placet* *post* ἄλλο *add.* τέλος τοῦ α̅ου λόγου του προρρητικοῦ R

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΡΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ 587

II 1 [I 37. V 518, 14] Ἢν ἐναιωρηθῇ τι τῷ οὔρῳ τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος [ἀφανισθέντος], παρακρουστικόν, καὶ οἷα περὶ ἤχους τοιαῦτα.

Ἔστι μὲν οὐκ ὀλίγον ἐν ὅλῳ τῷ βιβλίῳ τὸ ἀσαφές, τὸ δὲ τῆς διανοίας ἐφεξῆς ἴδωμεν. ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος, ὡς οἱ ἐξηγηταὶ λέγουσιν, ἀφανισθέντος, ἀσφαλέστερόν τε καὶ βεβαιότερον | ἀποφαινόμεθα περὶ τῆς ἐσομένης 588
παραφροσύνης. οὐ μήν γ' ἀληθὲς ὃ λέγουσιν, ἐὰν ὡς καθόλου λέγηται. τὸ γὰρ λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν ἐναιώρημα κάλλιστόν ἐστιν. οὔκουν ἁπλῶς χρὴ λέγειν ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ, τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος ἔσεσθαι παραφροσύνην, ἀλλ' 'ἐὰν μοχθηρὸν ᾖ τὸ ἐναιώρημα', καὶ οὐδὲ τοῦτο αὔταρκες, ἀλλ' 'εἴ τι κἂν ἓν ἅμα τοῖς εἰρημένοις γενήσεται παρακρουστικὸν σημεῖον'. ἐνδέχεται γὰρ τοῦ κατασκήπτοντος εἰς τὸν μηρὸν χυμοῦ παλινδρομήσαντος ἄλλο τι κατωτέρω τῆς κεφαλῆς μόριον ὑποδεξάμενον αὐτὸ μὲν παθεῖν, κωλῦσαι δὲ βλαβῆναι τὴν κεφαλήν, ἐὰν ἀφανισθῇ μὲν τὸ κατὰ τὸν μηρὸν ἄλγημα, ἐναιώρημα δὲ φαίνηται μηδὲν τῆς κεφαλῆς πασχούσης. μόνον γὰρ ἕν ἐστιν ἄμεμπτον, ὅπερ ἂν ᾖ κατὰ μὲν τὴν χρόαν ὕπωχρον μετρίως, κατὰ δὲ τὴν σύστασιν σύμμετρον, ἐν τῷ μεταξὺ δηλονότι τοῦ τε παχέος οὔρου καὶ λεπτοῦ.

3 *schol.* R: *quod etiam in Hipp. codd. legitur:* τὰ κατὰ μηρὸν ἐν πυρετῷ ἀλγήματα ἔχει τι παρακρουστικόν, ἄλλως τε κἢν οὖρον λεπτὸν ἐναιωρηθῇ λεῖον καὶ ὅσα περὶ κύστιν οὖρα τοιαῦτα ἅμα πυρετῷ κοιλίαι ταραχώδεες τρόπον χολερώδεα. *Hipp. codd. addunt* κωματώδεις νωθροὶ οὐ πάνυ περὶ αὐτοῖσι *(cf. Littré V 519 n.)* 19 *schol.* R L: ὅτι ἔστιν οὖρον ἄμεμπτον μὴ ἔχον ἐναιώρημα

1 *de titulo cf. ad 3, 1:* Γαληνοῦ εἰς τὸ δεύτερον πρ. ἱππ. ὑπόμν. R: γαλ. ὑπόμν. εἰς τὸ προρρ. ἱπποκρ., *in mrg.* β̄ L: *om. tit. et comm. usque ad v. 20* ἄμεμπτον ὅπερ, *sed ubi continuat sine lacunae signo* ἂν ᾖ *ibi signum* ⌞ *ponit, cui in mrg. respondet m. sec.* δευτέρου T *(cf. ad 52, 19)* 3 *lemma servavit* R: *om.* L 4 ἀφανισθέντος *delevi ut ex commentario interpolatum cf. v. 8 et p. 49, 29. 52, 18; cetera in Hippocrate rescribenda videntur* τὰ κατὰ τὸν μ. ἀλγήματα 6 μὲν R: γὰρ L τὸ ἀσαφὲς R: *om.* L 10 γ' R: *om.* L 12 τοῦ οὔρου L 16 παλινδρομήσαντα R 17 ὑποδεξάμενον R: ὑποδειξάμενον L 18 *post* ἐὰν *add.* οὖν L 19 ἄλγημα *om.* L φαίνηται L: φανῆται R *post* πασχούσης *ins.* L *(et ab Aldo edd.) scholion, quod in mrg. habet* R ὅτι . . . ἐναιώρημα: *seclusit recte Rasarius* 20 γὰρ *om.* L ἄπεμπτον L ἂν ᾖ *inc. denuo* T 22 *post* οὔρου *iteraturus* οὐ *corr.* καὶ R

ἐγὼ μὲν οὖν ἀεὶ προcδιορίζομαι τὰ κατὰ τὸ βιβλίον ἀδιορίcτωc
589 εἰρημένα καὶ διὰ τοῦτο μέλ|λοντα βλάψαι τοὺc ἀναγινώcκονταc αὐτά· τοῖc δ' ἐξηγηταῖc ἀδιόριcτοc ἡ διδαcκαλία γιγνομένη βλάπτει μᾶλλον ἢ ὠφελεῖ τοὺc νέουc· ἀρετὴν γὰρ ἐξηγήcεωc νομίζουcιν εἶναι cυναγορεύειν τοῖc γεγραμμένοιc ἐξ ἅπαντοc τρόπου, κἂν προφανῶc ὑπάρχῃ ψευδῆ. ὅπου δὲ τοῦτο πράττουcιν ἑτοίμωc ἐπὶ τῶν προφανῶν, πολὺ δήπου μᾶλλον ἐπὶ τῶν ἀφανῶν οὐδὲν αὐτοῖc μέλει τῆc ἀληθείαc.

τὸ δὲ ἐπὶ τῷ τέλει τῆc ῥήcεωc εἰρημένον τὸ καὶ οἷα περὶ ἤχουc τοιαῦτα καλὸν ἦν αὐτὸ καθ' ἑαυτὸ γεγράφθαι χωρὶc τῆc τῶν οὔρων ἐπιcκέψεωc, ἵν' ὁ λόγοc ᾖ μερικόc, ὃν μικρὸν ἔμπροcθεν εἶπον ἐγὼ καθόλου. τὰ γὰρ κατὰ μηρὸν ἀλγήματα παλινδρομήcαντοc τοῦ ποιήcαντοc αὐτὰ χυμοῦ δύναταί ποτε παραφροcύνην ἐνεγκεῖν ἐπὶ τὴν κεφαλὴν ἀφικνουμένου τοῦ χυμοῦ· cημεῖον οὖν ἔcται τῆc ἐπὶ τὴν κεφαλὴν ἀνόδου τὰ ἐν αὐτῇ cυμπτώματα, ὧν ἕν ἐcτιν καὶ οἱ ἦχοι. γράφουcιν δ' ἔνιοι 'καὶ ὅcα περὶ κύcτιν τοιαῦτα' καί φαcι δηλοῦν τὴν λέξιν οὐ μόνον ἐναιωρήματα cκοπεῖcθαι τῶν οὔρων ὡc παρακρουcτικὸν
590 cημεῖον, ἀλλὰ καὶ εἴ | τι ἄλλο τοιοῦτον φαίνοιτο τῶν ἐκ τῆc κύcτεωc ἀποκρινομένων, ὥcπερ οὐ δυνηθέντεc ἄνευ τούτων εἰπεῖν, ὃ ὁ cυγγραφεὺc ἠβουλήθη κατὰ τόνδε τὸν τρόπον ἑρμηνεῦcαι· 'ἄλλωc τε καὶ ἢν οὖρον ἐναιωρηθῇ καὶ ὅcα ἄλλα κατ' αὐτὸ γίγνεται παρακρουcτικὰ cημεῖα'. πάλιν κἀνταῦθα τοὺc νέουc ἀναμνῆcαι ἀναγκαῖον μηδὲν τῶν ἐν οὔροιc cημείων γίγνεcθαι παρακρουcτικόν. ἐνδείκνυται γὰρ ταῦτα διάθεcιν μορίων ἥπατοc καὶ νεφρῶν καὶ κύcτεωc καὶ τῶν τὸ αἷμα περιεχόντων ἀγγείων ῥώμην τε καὶ ἀρρωcτίαν τῆc τοὺc χυμοὺc γεννώcηc δυνάμεωc. τῶν δὲ κατὰ τὸν ἐγκέφαλον παθῶν ἄλλα cυμπτώματά ἐcτι καὶ cημεῖα, περὶ ὧν ἔμπροcθεν ἤκουcαc.

II 2 [I 38. V 520, 3] Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπώδει, κεφαλαλγικῷ, διψώδει, ὑπαγρύπνῳ, ἀcαφεῖ, ἀδυνάτῳ, οἷcι τὰ τοιαῦτα, ἐλπὶc ἐκcτῆναι. |

591 Ἡ μὲν ὑγρὰ κοιλία (λέγοιτο δ' ἂν οὕτωc, ἐφ' ἧc ὑγρὰ διαχωρεῖται) καὶ ἡ κοπώδηc αἴcθηcιc, αὐτῷ τῷ κάμνοντι δηλονότι γιγνομένη,

10 ἔμπροcθεν] *p. 51, 10* 26 ἔμπροcθεν] *p. 9, 20. 17, 12. 25, 18. 53, 16 al.*

1 τὰ LT: τοῦ R 2 εἰρημένου R αὐτὸ L 3 ἀδιορίcτωc L 5 ὑπάρχει R 6 τοῦτο πράττουcιν ἑτοίμωc R: καὶ τοῦτο πρ. ἑτ. T: πράττουcι καὶ τοῦτο ἑτ. L πολὺ ... ἀφανῶν *om.* R 7 ἀφανῶν T: μὴ προφανῶν L 11 παλινδρομήcανταc T 12 αὐτοῦ L 13 οὖν RT: μὲν οὖν L τῆc κεφαλῆc L 14 τῶν ἐ. αὐτ. cυμπτωμάτων L ἕν ἐcτι LT: ἐcτὶν R: ἐcτὶ *Ald. Bas.*: εἰcι *a Chart. edd.* γράφουcιν] *scil. pro* καὶ οἷα περὶ ἤχουc τοιαῦτα 17 φαίνοιται R 18 τούτων *scripsi (i. e. verbis non emendatis)*: τούτου *(hians)* L: τοῦτ' RT 19 τόπον L *post* ἑρμηνεῦcαι *intersticium*: — *ponit quo spectat nota mrg. sup.* τέλοc τοῦ πρώτου τμήματοc *et mrg. dextr.* ἀρχὴ τοῦ δευτέρου τμήματοc T ἄλλωc . . . cημεῖα] *ut lemma signat* T; *at paraphrasis Galeni partim in Hippocratis codd. translata v. supra p. 50, 4* 22 cημεῖον LT γὰρ RT: μὲν γὰρ L διαθέcειc L 26 καὶ R: *om.* LT ἤκουcα L 27 κοιλία T 28 ὑπαγρύπνῳ RLT *(cf. Gal. 53, 11) et Hipp. codd.*: ἀγρύπνῳ *Gal. et Hipp. vulg. interpol. ex Coac. 632 (cf. 171)* 30 λέγοιτ' ἂν L ἧc] οἷc T 31 *post* αἴcθηcιc *add.* ἡ *Aldus*

νοςώδη μέν ἐςτι ςυμπτώματα, παρακρουςτικὰ δὲ οὐκ ἔςτιν, εἴ τι μεμνήμεθα τῶν ἔμπροςθεν εἰρημένων, ἔνθα διῆλθον, ὅπως χρὴ γνωρίζειν τὰ δηλωτικὰ τῶν νοςημάτων ἑκάςτου ςημεῖα καὶ τἆλλα πάντα τὰ κατὰ τὸ ςῶμα τοῦ νοςοῦντος φαινόμενα, τινὰ μὲν ἕνεκα τοῦ τὰς ἐν ἑκάςτῳ νοςήματι διαφορὰς ἀπ᾿ ἀλλήλων χωρίςαι, τινὰ δὲ χάριν τοῦ γνῶναι τὸ ἦθος ἑκάςτου τῶν παθῶν ἢ τὴν ἐςομένην κρίςιν, ὁποία τέ τις ἔςοιτο καὶ ὁπότε· τήν γε μὴν διδαςκαλίαν ἑκάςτου τῶν ςυμπτωμάτων τε καὶ ςημείων ἐδείκνυον οὕτω χρῆναι ποιεῖςθαι, καθάπερ ὁ Ἱπποκράτης ἐν τῷ Προγνωςτικῷ πεποίηκεν, ἑνὸς ἑκάςτου κατὰ μόνας ἐκδιδάςκων τὴν δύναμιν ἢ πάλιν ἅμα πλειόνων ὁμοειδῶν, ὥςπερ καὶ νῦν ὁ ταῦτα γράψας ἐμνημόνευςεν κεφαλαλγικῶν, ὑπαγρύπνων, ἀςαφῶν. ἐὰν μὲν γὰρ ἀςαφεῖς ἀκούςωμεν εἰρῆςθαι τοὺς διαλεγομένους ἀςαφῶς ἤτοι διὰ τὴν τῶν διαλεκτικῶν ὀργάνων βλάβην, ἣν ἐκ τῆς τῶν νεύρων κακώςεως | ἔςχον, ἢ διὰ τὴν τῆς διανοίας αὐτῆς, εἴη ἂν ὁμοειδῆ τὰ 592 τρία ςημεῖα, κεφαλαλγία μὲν ἄντικρυς δηλοῦςα τὸν πεπονθότα τόπον, ἀγρυπνία δὲ τῷ γινώςκοντι κατὰ διαφερούςας ἐγκεφάλου διαθέςεις ἐγρήγορςίν τε καὶ ὕπνον ἀγρυπνίαν τε καὶ κῶμα γιγνόμενα. περὶ δὲ τῆς ἀςαφείας ἀρτίως εἶπον, ὅπως ἀκουόντων ἐςτὶ παρακρουςτική.

ταῦτα μὲν οὖν ἐκ τοῦ γένους ἢ εἴδους, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν, τῶν φρενιτικῶν ἐςτι ςημείων. ἐπεὶ δὲ ξηρὸν μάλιςτα τὸ φρενιτικὸν πάθος ὁρῶμεν ὑπάρχον, ὅςα ςυμπτώματα ξηρότητος ἐν τοῖς πληςίον τῆς κεφαλῆς ὀργάνοις ἐςτὶν ἢ καθ᾿ ὁντινοῦν αὐτῇ τρόπον κοινωνοῦςιν, καὶ ταῦτα ςυνενδείκνυται τὴν μέλλουςαν ἔςεςθαι παραφροςύνην, ὧν ςημείων κατὰ τὴν ἐν τῇ προκειμένῃ ῥήςει νόςον εἴρηται τὸ διψώδει, τὸ δὲ κοπώδει διὰ τὸ πολλαχῶς γίγνεςθαι τὸν κόπον, ὡς ἐν τοῖς Ὑγιεινοῖς δέδεικται, ςαφὲς ἡμῖν οὐδὲν ἄλλο δηλοῖ. τοῦ μὲν οὖν ἑλκώδη τὴν αἴςθηςιν ἔχοντος κόπου διὰ χυμοὺς δακνώδεις τε καὶ δριμεῖς γινομένου, τοῦ δὲ τονώδη διὰ πλῆ|θος, τοῦ δὲ φλεγμονώδη δι᾿ 593 ἄμφω, εἰ μὲν ἑλκώδης ἢ φλεγμονώδης ὁ κόπος εἴη, ςυντελέςει τι πρὸς τὴν ἐλπίδα τῆς γενέςεως τοῦ παρακοπτικοῦ πάθους, εἰ δὲ τονώδης, οὐδέν. οὕτω δὲ καὶ ἡ ὑγρὰ κοιλία, χολῆς μὲν ξανθῆς ἀκράτου κενου-

2 ἔμπροςθεν] *e. g. 44, 28* 9 Προγνωςτικῷ] *universe* 18 ἀρτίως] *v. 12 cf. p. 46, 23* 26 Ὑγιεινοῖς] *III 5 (VI 190, 2 sqq. K.)*

1 παρακρούων *(comp.)* T *post* ἔςτιν *iterat* ςυμπτώματα L 4 ἕνεκα] ἔνθα T τὰς ἑκά *(finis vers.)* νοςήματος T *post* ἑκάςτῳ *add.* τῷ L 5 ἀπ᾿] ὑπ᾿ L χωρίςαι LR²: χωρῆςαι R¹: χωρεῖςθαι T 6 εἶδος T ὁποῖαντις T ἔςοιται R 7 μὴν *om.* T 8 χρῆναι R: χρὴ L: *om.* T ὁ ἱπποκρ. *post* πεποίηκεν *transp.* L 9 τῷ *om.* L 10 ἢ RL: ὁ ταῦ^τ^ *(cf. v. 15)* T πλειόνων ἅμα R, *sed corr.* R² 10 ὁ γράφων (*om.* ταῦτα) T 11 ὑπαγρύπνων *sic et hic* RLT *(cf. ad 52, 28)* ἀςαφῶν] ἀφῶν T 18 ἀκουόντων] *genetivus absolutus indefinitus Galeno usitatus* 19 ἐθέλῃς *scripsi*: ἐθέλοις LT: ἐθέλει R 20 ςημεῖα L ἐπεὶ δὲ R: ἐπειδὴ LT 24 ςημεῖον L τῆι νῦν προρρημένηι L εἴρηται νόςον *(hians)* T 25 διψώδει R: διψῶδες LT δὲ κοπώδει R: κοπώδει δὲ T: κοπῶδες L 28 γινομένους L τονώδους *(comp.)* T φλεγμονώδους LT 29 *post* μὲν *add.* οὖν T 31 ὑγρὴ T κενουμένης RT: γενομένης L

μένης ἢ καὶ τῶν ἐκ συντήξεων, συνενδείξεταί τι περὶ τῆς τοῦ φρενιτικοῦ πάθους γενέσεως, καὶ μᾶλλον ἐὰν ἀφρώδη τὰ διαχωρήματα γίγνηται· μὴ προστεθείσης δ᾿ ἐν τῷ λόγῳ τῆς ποιότητος τῶν ἐκκρινομένων, ἀλλ᾿ ἁπλῶς ὑγρᾶς κοιλίας ῥηθείσης, οὐδὲν ἂν ἔχοιμεν ἐξ αὐτῆς λαβεῖν εἰς πρόγνωσιν τοῦ τοιούτου νοσήματος. ὡς γὰρ εἴρηται καὶ πρόσθεν ἐπὶ τοῖς ἰδίοις τοῦ πάθους σημείοις, ὅσα τοῦ γένους ἐν ᾧ τὸ πάθος ἐστὶ δηλωτικά, ἐνδείξεταί τι. πρῶτον μὲν γὰρ οὐ τοῦ πάθους αὐτοῦ δηλωτικὰ τὰ τοιαῦτά ἐστιν, ἀλλὰ τοῦ γένους ἐν ᾧ περιέχεται τὸ πάθος, οἷόν ἐστι θερμὸν καὶ ξηρόν. ἐπεὶ δ᾿ ἕκαστον γένος ᾠκείωται τοῖς εἴδεσι, χρήσιμον εἰς τὴν τῶν εἰδῶν γίγνεται πρόγνωσιν, ὅταν τῶν ἰδίων τοῦ γένους σημείων φαίνηταί τινα.

τὸ δὲ ἀδυνάτῳ προσκείμενον ἐν τῇ συνδρομῇ τῶν εἰρημένων
594 σημείων οὐδὲν | ὅλως εἰς τὴν τοῦ παρακοπτικοῦ πάθους πρόγνωσιν συντελεῖ, καθάπερ οὐδ᾿ εἰς τὴν τοῦ μεγέθους αὐτοῦ γνῶσιν. εἰπὼν γάρ ἐλπὶς ἐκστῆναι, παρακοπτικὸν μὲν ἐδήλωσεν ἔσεσθαι πάθος, οὐ μὴν μικρὸν ἢ μέγα τοῦτο. πόθεν οὖν ἔλαβεν αὐτοῦ τὸ μέγεθος; οὔτε γὰρ ἰώδης ἔμετος οὔτε μέλας οὔτ᾿ οὖρον οὔτε διαχώρημα τοιοῦτον φαίνεται γεγονός, ὥσπερ οὐδὲ τῶν ἄλλων, ὅσα προείρηκεν αὐτὸς ἐκστάσεως σημεῖα. οὐ τοίνυν τὴν εἰρημένην ἄρτι συνδρομὴν ἐλπίζομεν εἰς φρενῖτιν τελευτῆσαι καὶ κινδυνώδη φρενῖτιν, ἐπειδὴ προσέθηκεν ἀδυνάτῳ· τοιαύτην δ᾿ ἕπεσθαι φρενῖτιν, ὡς ἐκστῆναι, μήτ᾿ αὐτὸς προσδοκήσῃς μήτ᾿ ἄλλῳ προειπεῖν τολμήσῃς. ἐνδέχεται γὰρ ποτὲ μὲν γενέσθαι καὶ τοιαύτην, ἀλλ᾿ οὐκ ἐκ τῶν σπανίων σημείων ἡ πρόγνωσις, ἀλλ᾿ ἐκ τῶν ἤτοι διηνεκῶν ἢ πλειστάκις ἀληθευόντων γίνεται. βουλόμεθα γὰρ ἐν ταῖς προρρήσεσι μάλιστα μέν, εἰ οἷόν τε, διὰ παντὸς ἐπιτυγχάνειν, ὡς
595 ἐάν γέ τις ὀκτάκις ἀποτυχὼν ἐπι|τύχῃ δίς, ἰδιώτου φαυλότερός ἐστιν· δύναται γοῦν ἰδιώτης ἐπὶ τῶν νοσούντων ἀποφαινόμενος ἀεὶ τὸ ἐπελθόν, ἐὰν εὐτυχῇ, πλεονάκις ἀληθεύειν ἢ ψεύδεσθαι.

II 3 (I 39. V 520, 5) Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν ὑποδύσφοροι, κακόν, ἄλλως τε καὶ ἐπ᾿ οὔροισι μέλασι, καὶ τὸ θολερὸν ἐπὶ τουτέοισι πνεῦμα κακόν.

Καὶ χωρὶς μὲν τῶν ἄλλων ὀλέθριόν ἐστι τὸ μέλαν οὖρον, εἰ

5 πρόσθεν] *p. 44, 28 al.* 18 προείρηκεν] *Hipp. Prorrh. I 10 (V 512, 7 sqq.)*

1 τῶν *sic* RLT: τὸν *ab Aldo edd.* συνενδείξηται R περὶ *om., in mrg. suppl.* T 3 προτεθείσης L 9 οἷον L: οἳ T: ὃ R γένος] μέρος L οἰκείωται LT 10 χρήσιμος R 12 τὸ δὲ ἀδύνατα προσκείμενον ἐν R: ἀδύνατα προσκείμενα (προκ. ἐν T) LT: ἀδυνάτῳ *rest. Aldus* 13 πρόγνωσιν] κένωσιν L 15 οὐ μὴν LT: οὐ μὴν δὲ R: *fort.* οὐ μήν ἢ *cf. 56, 29* 16 αὐτοῦ] αὐ^το R 17 ἰώδης] ἰδιώτης L μελανὸν LT οὔτ᾿ *om.* T 18 οὐδὲ RL: οὐδὲν T προειρήκαμεν L ἐκτάσεως L 19 ἐλπίζωμεν T 21 ἕπεσθαι RT: ἔσεσθαι L προσδοκήσῃς L: προσδοκήσεις RT 22 τολμήσῃς L: τολμίσης T: τολμήσεις R μὲν *iteravit post* γενέσθαι T, *ante* γὰρ L 23 ἡ *om.* T 25 ἐντυγχάνειν LT 27 τὸν νοσοῦντον T 28 εὐτυχῇ *in mrg.* T¹: ἐπιτύχη RT *text.*: ἐντυχήσηι L 29 *lemma 3 cum comm. om.* L ἐφιδρῶντες *Hipp. FGJ* 30 οὔρησι μέλανα T 31 τούτοις T: του^τ R: τουτέοισι *Hipp.*

δὲ κἀκεῖνα προστεθῇ, συνεπαυξήσει τὸ πλεῖστον τῆς προγνώσεως. τὸ δὲ θολερὸν πνεῦμα τί ποτε δηλοῖ, τῶν ἀσαφῶν ἐστιν, καὶ μάλιστα, ὅτι μήτ᾽ ἐν τῷ Προγνωστικῷ μήτ᾽ ἐν Ἀφορισμοῖς μήτ᾽ ἐν ἄλλῳ τινὶ τῶν γνησίων ὁ Ἱπποκράτης συγγραμμάτων εἴρηκε πνεῦμα θολερόν, ὥσπερ οὖρον. ἀλλὰ τὸ μὲν οὖρον ὁποῖόν ἐστιν τὸ θολερὸν ἡμεῖς τε νοοῦμεν ἀκούοντες ἑκάστοτε τῶν ἀνθρώπων λεγόντων θολερὸν ὕδωρ καὶ ὁ Ἱπποκράτης ἐδίδαξεν | αὐτὸς εἰπών· "οἷον εἰ τὴν ὑπόστασιν 596 ἀναταράξειας". εἰκάζει δὲ αὐτὸ καὶ τοῖς τῶν ὑποζυγίων. οὐ μὴν ὁποῖον δή τι τὸ θολερὸν πνεῦμα χρὴ νοῆσαι, δῆλόν ἐστιν, ἐπεὶ μηδεὶς λέγει ὥσπερ ὕδωρ θολερὸν οὕτω καὶ ἀέρα, πλὴν εἴ τις ἀτμοῦ μεστὸν ἀκούσειεν, ὥσπερ καὶ ἤκουσάν τινες τῶν ἐξηγησαμένων τὴν προκειμένην ῥῆσιν, καὶ λέγουσί γε, ὥσπερ ἐκτὸς ἀποχεόμενον ἱδρῶτα κατὰ τὰς συγκοπὰς ὁρῶμεν, οὕτως ἔσω τὴν ῥύσιν τῶν ὑγρῶν ἐπὶ τῶν ἔσω διαφορουμένων ἀρρώστων γίγνεσθαι, καὶ διὰ τοῦτο πάμπολυν ἀτμὸν ἐκπέμπεσθαι διὰ τῆς ἐκπνοῆς καὶ τοῦτ᾽ εἶναι τὸ θολερὸν πνεῦμα.

εἰ δ᾽, ὡς ἔνιοι, τὴν πρώτην συλλαβὴν οὐ διὰ τοῦ ο̄ γράφουσι θολερόν, ἀλλὰ διὰ τοῦ ᾱ θαλερόν, οὐκέτι τεκμήρασθαι, ποῖόν τι τὸ θαλερὸν πνεῦμα, ἔστιν. πρόσωπον μὲν γὰρ θαλερόν, ὥσπερ εἴρηται, τάχ᾽ ἄν τις ἤκουσε τὸ οἷον εὐεκτικὸν καὶ εὔχρουν, πνεῦμα δὲ θαλερὸν οὐκ ἔστιν νοῆσαι τί σημαίνει, πλὴν εἰ τὸ σφόδρα μέγα βούλεται δηλοῦν. ἡ γὰρ τῶν ὀνομάτων ἀλλόκοτος χρῆσις ἀφορμὴν παρέχει τοῖς βουλομένοις νοεῖν, ὡς ἂν ἐπέλθῃ. τοιγαροῦν καὶ διὰ | τοῦ ο̄ γεγραμμένον 597 θολερὸν τὸ δυσῶδες ἤκουσαν ἔνιοι, καθάπερ ἄλλοι τὸ βραγχῶδες, ἄλλοι δ᾽ αὖ τὸ τεταραγμένον, ὡς δύσπνοιαν ὑπ᾽ αὐτοῦ δηλοῦσθαι, καθάπερ κἂν εἰ οὕτως εἶπεν· 'καὶ δύσπνοια δὲ ἐπὶ τούτοις κακόν'. οὐ μὴν ἔοικεν ὁ συγγραφεὺς ἁπλῶς δύνασθαι δηλῶσαι δύσπνοιαν, ἀλλά τινα μίαν ἐν αὐτῇ διαφοράν. εἴτε γὰρ διὰ τοῦ ᾱ θαλερὸν εἴτε διὰ τοῦ ο̄ θολερὸν εἴη γεγραμμένον, ἐμφαίνεται τῇ προσηγορίᾳ δηλῶσαι βουλόμενος ἓν εἶδος δυσπνοίας, οὐχ ἁπλῶς πᾶσαν δύσπνοιαν.

II 4 [I 40. V 520, 7] Αἱ παρὰ λόγον κενεαγγικὸν ἀδυναμίαι οὐκ ἐούσης κενεαγγείης κακόν.

Οὔτε τὸ λεγόμενον ἀσαφὲς οὔτε τὴν αἰτίαν αὐτοῦ χαλεπὸν εὑρεῖν. αὐτὸ μὲν γὰρ τὸ λεγόμενον ἔστι τοιοῦτον· τοὺς ἀδυνάτους καὶ ἀρρώστους κατὰ τὰς ἐνεργείας ὁμοίως | τοῖς ἐπὶ πολὺ κεκενωμένοις ἐν κιν- 598

5 οὖρα θολερά *saepe in Epidemiis* 7 εἰπών] *Hipp. Prorrh. I 29 (V 518, 1 L.)* 8 εἰκάζει] *Hipp. Aphor. IV 70 (IV 526, 11 L.)*

7 αὐτὸς *Helmreich*: αὐτὸ RT 10 *post* τις *add.* τὸν T 11 ἤκουσαν T: ἤκουσεν R 13 ῥῆσιν R 14 πάμπολυ R 16 ὡς *del. Helmreich* 18 γάρ μεν R 19 τάχα τις *Mewaldt* 22 ἐπέλθῃ *scripsi*: ἐπελ^{θ}' R: ἐπέλθοι T 25 τούτῳ R 30 αἱ] αἴτιον L κενεαγγικὸν R: κενεαγγικῆς LT: κενεαγγικῷ *Hipp. FGIJ*: κενεαγγικαὶ *Stephanus* 31 κενεαγγείης LT: κενεαγγίης R

δύνῳ καθεστάναι νόμιζε μηδεμιᾶς αὐτοῖς γεγενημένης ἀξιολόγου κενώσεως. ἡ δὲ κατὰ τὴν δύναμιν ἀρρωστία, ὅταν ἐπὶ μηδεμιᾷ φανερᾷ κενώσει γένηται, πλῆθος ἐνδείκνυται βαρῦνον ἢ δυσκρασίαν μιᾶς τῶν ἀρχῶν. τριῶν δὲ οὐσῶν, ὡς ἔμαθες, τῶν ἀρχῶν, τῆς μὲν τῶν προαιρετικῶν ἐνεργειῶν ἐγκεφάλου, τῆς δὲ τῶν ζωτικῶν ὀνομαζομένων καρδίας, τῆς δὲ περὶ τὴν τροφήν, ἃς δὴ καὶ φυσικὰς ὀνομάζουσιν, ἥπατος, ἡ τῆς φυσικῆς καὶ ζωτικῆς δυνάμεως ἀρρωστία χειρίστη τέ ἐστι καὶ διὰ ταχέων ἀναιρεῖ. συγκαταλύεται γὰρ αὐτῇ καὶ ἡ κατὰ τὸν ἐγκέφαλον εὐθέως. ἐκείνης μέντοι πασχούσης οὐκ εὐθέως ἡ καρδία βλάπτεται. μεμάθηκας δὲ περὶ τῶν τοιούτων ἁπάντων ἐν πολλαῖς τῶν ἡμετέρων πραγματειῶν.

II 5 [I 41. V 520, 9] Κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλῶσαι, μυκτὴρ ἐπὶ τούτοις ῥηγνύμενος, κακόν. |

599 Σπυράθους ὀνομάζουσιν τὰ τῶν αἰγῶν διαχωρήματα. ξηρὰ δέ ἐστι ταῦτα καὶ περιφερῆ κατὰ περιγραφὴν ἰδίαν ἕκαστον ἐκκρινόμενον. ὅταν οὖν τις ὁμοίως ξηρὰ καὶ περιγεγραμμένα διαχωρήσῃ, σπυραθώδη καλεῖται· καὶ γίνεται τοιαῦτα διά τε τὸ χρόνῳ πλείονι κατεσχῆσθαι καὶ διὰ θερμασίας πυρώδους πλῆθος. ἐὰν οὖν πρὸς τῷ τοιαῦτα εἶναι καὶ μέλανα γίνηται, καυσώδη διάθεσιν ἐνδείκνυται περὶ τὰ μέσα τοῦ σώματος εἶναι καὶ διὰ τοῦτ᾽ ἔστι κακά. πρόσκειται δὲ τῷ λόγῳ τὸ μυκτὴρ ἐπὶ τούτοις ῥηγνύμενος κακόν, ὥσπερ ἐν ἄλλαις πολλαῖς ῥήσεσιν τὸ κοινὸν πολλῶν ὡς ἴδιον γράφοντος αὐτοῦ διὰ τὸ μὴ δύνασθαι περιλαβεῖν ἑνὶ λόγῳ καθόλου τὴν διδασκαλίαν. ἔστιν δὲ τὸ κοινὸν ἐν αὐτοῖς τοιοῦτον· χολῆς πολλὴν κένωσιν ὡς κλόνον σφοδρὸν χρησίμως ἐπὶ πολλῶν γινόμενον νοσημάτων οὐ φέρουσιν οἱ καταξηρανθέντες οὔτε ῥῖγος οὔτε γαστρὸς ἔκκρισιν οὔτε ἱδρῶτας οὔτε παρωτίδας μεγάλας ἤ τι τῶν ἄλλων ἀποσκημμάτων. οὕτω γάρ τοι τὰς ἐν τοῖς τῶν
600 Ἐπιδημιῶν μεμ|φόμεθα γενομένας ἀποστάσεις ἢ μείους, ὡς ἔφην, ὡς

4 ἔμαθες] *cf. Gal. in Hipp. de alimento III 25 (XV 362 K.), al. loc.* 29 Ἐπιδημιῶν] *Hipp. Epid. I 2, 4 (II 628, 5)* ἐπὶ τουτέοισιν ἀποστάσιες ἐγένοντο ἢ μείζους ὥστε ὑποφέρειν μὴ δύνασθαι ἢ μείους ὥστε μηδὲν ὠφελέειν *cf. Galen. ad h. l. XVII A 130 sq.* 10 μεμάθηκας] *cf. ad v.* 4

1 μηδεμιᾶς] μιὰ δὲ μιᾶς R αὐτοῖς LT: αὐτῆς R ἀξιολόγου γεγενημένης *transp.* L 4 οὐσῶν δὲ (*om.* τριῶν) L 5 *ante* ἐνεργειῶν *inser.* ὀργάνου L ἐγκέφαλος R 7 δυνάμεως *post* φυσικῆς *transp. inde ab Aldo* 9 *post* εὐθέως *add.* καὶ L 10 δὲ] γὰρ T 12 μικρὰ L 13 σπυρανθώδεα T τούτοις LT: τούτων *(comp.)* R: τουτέοισι *Hipp.* 15 σπυράνθους T 17 διαχωρήσηι L: διαχωρήσει R (*comp.* T) σπυρανθώδη T 18 κατισχῆσθαι L 19 τυρώδους L 20 γίνεται T, *sed corr.* T^{1} 21 πρόσκειται R: πρόκειται LT 22 πολλαῖς] τινὲς T 23 γράφοντα T 25 κένωσιν *(comp.) in context., sed in mrg.* κε[ω]ν/ *(obscurum mihi)* T χρησίμως RLT: κρισίμως *a Basil. edd.* 26 φέρουσιν LT: φέρ″ (φέρειν) T προκαταξηρανθέντες L *(cf. 57, 2)* 28 ἀποσκαμμάτων T 29 *conicio* ἔφη

μηδὲν ὠφελεῖν, ἢ μείζουc ὡc μὴ δύναcθαι φέρειν. οὕτωc οὖν καὶ τὰc αἱμορραγίαc οὐ φέρουcιν οἱ προεξηραμμένοι. τοιαύτη δέ ἐcτιν ἡ προειρημένη διάθεcιc, οὐδενὶ κατ᾿ ἀρχὴν τῆc νόcου cπυραθωδῶν διαχωρημάτων ἐκκρινομένων, καὶ τούτων οὐχ ἁπλῶc, ἀλλὰ μετὰ τοῦ πραγματεύεcθαί τι τὸν ἰατρὸν ἢ διὰ κλυcτῆροc ἢ διὰ βαλάνου· τὸ γὰρ πρὸc ἀνάγκην τοιοῦτόν τι cημαίνει.

II 6 [I 42. V 522, 2] Οἷcιν ὀcφύοc ἄλγημα ἐπὶ πολὺ μετὰ καύματοc ἀcώδεοc, ἐφιδροῦντεc οὗτοι κακόν. ἆρά γε τουτέοιcιν τρομώδεα γίγνεται; καὶ φωνὴ δὲ ὡc ἐν ῥίγει.

Αὐτοπτικὴ πάλιν ἡ cυνδρομὴ τῶν εἰρημένων cυμπτωμάτων ἐcτίν,
οὐ λογική. διὰ τοῦτο καὶ αὐτὸc ἀπορῶν περί γε τούτου λέγει· ἆρά
γε τούτοιc τρομῶδεc γίγνεται; | κακὴν μέντοι φηcὶ τὴν cυνδρομὴν 601
οὐκ ἀπορῶν περὶ ταύτηc διὰ τὸ μετὰ καύματοc ἀcώδουc ἐπὶ πολὺ
παραμένειν τὸ τῆc ὀcφύοc ἄλγημα. καὶ ἡ ἐφίδρωcιc δὲ τούτοιc προcελθοῦcα βεβαιοτέραν ἐργάζεται τὴν πρόγνωcιν. ἐάν τε γὰρ ὀλίγον ἱδρῶτα καθ᾿ ὅλου τοῦ cώματοc γιγνόμενον ὑπὸ τοῦ τῆc ἐφιδρώcεωc ὀνόματοc δηλοῦcθαι νοήcωμεν, οὐκ ἀγαθὸν τὸ cημεῖον (ἐχρῆν γὰρ ὑπ᾿ αὐτοῦ, κἂν εἰ μὴ τὸ τῆc ὀcφύοc ἄλγημα, τό γε ἀcῶδεc καῦμα λυθῆναι), ἐάν τε περὶ θώρακα καὶ κεφαλὴν ἱδρῶταc γιγνομένουc, ἐμάθομεν ὅτι διὰ παντὸc οὗτοι μοχθηροί, δυνάμεωc ἀρρωcτίαν ἢ πλῆθοc ἐν τοῖc τοιούτοιc μορίοιc ἐνδεικνύμενοι. διὰ μὲν δὴ ταῦτα πάντα ἡ εἰρημένη cυνδρομὴ τῶν cημείων ὑπάρχει κακή. πολλῶν δὲ κατὰ τὴν ὀcφὺν κειμένων μορίων ἄδηλον, ὅcον ἐπὶ τοῖc εἰρημένοιc, τὸ πεπονθόc ἐcτιν, ἐφ᾿ ᾧ τὸ ἄλγημα διαμένει μέχρι πολλοῦ καὶ τὸ καῦμα τὸ ἀcῶδεc οὐ παύεται. διακρίνειν οὖν προcήκει τοῖc ἄλλοιc cημείοιc· εἰ μὲν οὖν οἱ νεφροὶ πεπόνθαcιν, ἔμαθεc ὅπωc χρὴ γινώcκειν δι᾿ οὔρων
τὰ κατ᾿ αὐτούc· εἰ δέ τιc τῶν ἐνταῦθα μυῶν ἢ κατὰ | τὸν νωτιαῖον 602
αὐτόν, ἔτι δῆλον ἅμα τῷ προcγενέcθαι τι γνώριcμα καὶ ἄλλο. τοῦ γὰρ νωτιαίου παθόντοc αἴcθηcιc ἔcται ναρκώδηc ἐν τοῖc μορίοιc ἐκείνοιc, ὅcα τοῦ πεπονθότοc ἐκφύεται. ἔμαθεc δὲ ἀπὸ τῆc τῶν τοῦ νωτιαίου νεύρων ἀνατομῆc τά τε καθ᾿ ἕκαcτον cπόνδυλον ἐκφυόμενα νεῦρα τά τε τοῦ cώματοc μόρια, εἰc ἃ διαcπείρεται. ἐὰν οὖν τί coι γνώριcμα

2 προεξηραμένοι T 8 ἐφιδρῶντεc *Hipp. codd. FGJ* ἦρα *Hipp.* τουτέοιcιν R: τούτοιcι L: *om.* T 8 ἀccώδεοc R (cc *ut fere alias cf. vv. 13 et 18, at probe v. 25*) 9 καὶ ἡ φωνὴ *Hipp.* 10 αὐτοπτική, *cum inepte extremo lemmati adscriptum sit in* LT, *iteravit post* cυμπτωμάτων *Aldus* 11 λέγει RL: ἐρεῖ L 12 τρομώδεα L μέντοι R: μέντι T: τοι L 15 βεβαιότερον T: ἐπὶ πολὺ βεβαιοτέραν L γὰρ *om.* L 17 ἀγαθὸν] ἀθὸν L 18 τό γε RL: τότε L 19 λυθῆναι RT: παύεcθαι L *post* λυθῆναι *quasi lemma inserit*: τοὺc γοῦν περὶ τὴν ὀcφὺν T, *quod ineptum supplementum male intellectae periodi olim margini adpictum fuisse ipse testatur superscribens* περίγραμμα (*comp., volebat scholiasta* παράγραμμα) T 20 ἀρρώcτου T πλῆθοc R: πάθοc L: πλήθουc T 21 πάντα *om.* T 22 cημείων] cτοιχίων R 25 εἰ] οἱ T 26 δι᾿ οὔρων γινώcκειν *transp.* L 28 γενέcθαι L 30 τῶν τῆc *transp.* T 32 μόρια τοῦ cώματοc *transp.* L

τοῦ νωτιαίου πεπονθότος γένηται, καὶ τρόμον ἔλπιζε καὶ πᾶν ἄλλο πάθος ἔσεσθαι νεύρων. ἓν δέ τι τούτων ἐστὶ καὶ ἡ τῆς τρομώδους φωνῆς βλάβη· τὸ γὰρ ὡς ἐν ῥίγει τὴν τρομώδη φωνὴν δηλοῖ.

II 7 [I 43. V 522, 4] Ἄκρεα ἐπ᾽ ἀμφότερα ταχὺ μεταπίπτοντα κακόν. καὶ δίψα τοιαύτη πονηρόν.

Ἔνιοι τῇ προγεγραμμένῃ ῥήσει συνάπτουσι τὴν νῦν εἰρημένην καὶ διὰ τοῦτο μετὰ τοῦ δέ συνδέσμου γράφουσιν αὐτὴν κατὰ τόνδε τὸν
603 τρόπον· ἄκρεα δὲ ἐπ᾽ ἀμφότερα | ταχὺ μεταπίπτοντα κακόν. ἔστι δὲ τὰ κατ᾽ αὐτὴν λεγόμενα τῆς προειρημένης συνδρομῆς ἀφωρισμένα. διὸ καὶ ὁ συγγραφεὺς ἅμα ἐκείνοις αὐτὰ γεγραφώς, καθάπερ καὶ ἄλλα πολλά, συνῆψεν ἀλλήλοις οὐκ ἀναγκαίαν ἔχοντα κοινωνίαν. ἡμᾶς οὖν αὐτῶν τὴν ἐξήγησιν ἰδίᾳ χρὴ ποιεῖσθαι. μεταπίπτοντα γὰρ ἐπ᾽ ἀμφότερα ῥᾳδίως τὰ τοῦ σώματος ἄκρεα πονηρόν ἐστι σημεῖον. ἄκρεα δὲ δηλονότι πόδες καὶ χεῖρές εἰσιν καὶ ὦτα καὶ ῥίς, ἃ δὴ κἂν ταῖς μετὰ καταψύξεως εἰσβολαῖς τῶν παροξυσμῶν ἁπάντων πρῶτα ψύχεται. τὸ δ᾽ ἐπ᾽ ἀμφότερα δῆλον ὅτι θερμασίαν τε καὶ ψύξιν λέγει. κατὰ φύσιν μὲν οὖν ἐχόντων ἡμῶν εὐκράτως διάκειται τὰ τοῦ σώματος ἄκρεα μηδεμιᾶς ἐξαιφνιδίου γενομένης μεταβολῆς ἐν αὐτοῖς. εἰ γὰρ καὶ ὅτι μάλιστα χειμῶνος μὲν εἴη ψυχρά, θέρους δὲ θερμά, κατὰ βραχὺ τὴν τοιαύτην ἴσχει μεταβολὴν οὐ διὰ ταχέων οὐδ᾽ ἰσχυράν, ὡς ἤτοι κρυστάλλῳ παραπλησίως ἐψῦχθαι χειμῶνος ἢ τοῖς παρὰ πυρὶ
604 πολλῷ θαλφθεῖσιν ἐοικέναι τοῦ θέρους. ἐν δέ γε ταῖς κακοηθε|στάταις νόσοις ἡ μετάπτωσις αὐτῶν ἐν ὥρᾳ μιᾷ γίνεται πρὸς τἀναντία, ποτὲ μὲν ὡς ἐν χειμῶνι ψυχρῶν γινομένων, ποτὲ δὲ ὡς ἐν θέρει θερμῶν. καὶ συμβαίνει τὸ τοιοῦτον, τὴν μὲν οἰκείαν θερμασίαν οὐκ ἐχόντων αὐτῶν, ὑπὸ δὲ τῆς πυρεκτικῆς θερμαινομένων, ἥτις ἀπὸ τῶν μέσων τοῦ σώματος ἀρξαμένη ⟨τῷ⟩ παραπλησίως φλογὶ πᾶν ἐπινέμεσθαι τὸ σῶμα συνεκθερμαίνει τὰ πέρατα, διαπνευσάσης δ᾽ αὐτῆς εὐθέως ψυχρὰ γίνεται τῆς ἐμφύτου θερμασίας ἐσβεσμένης.

καὶ δίψα δέ, φησίν, ἡ τοιαύτη κακόν. εὔδηλον δ᾽ ὅτι τοιαύτην λέγει τὴν ἐπὶ τἀναντία μεταπίπτουσαν ἐν τάχει παραπλησίως τοῖς ἄκροις. ἐπὶ δὲ τἀναντία μετάπτωσις γίνεται δίψης, ὅταν διψῶν ὀλίγον ἔμπροσθεν ἄδιψος ἐν τῷ παραυτίκα γενήσεται, καὶ μετ᾽ ὀλίγον αὖθις διψῶν ἔσται, μὴ παυομένης δηλονότι τῆς διψώδους διαθέσεως. ἀδύνατον γὰρ ὀλίγον ἔμπροσθεν ἰσχυρῶς ἐξηραμμένον τὸν ἄνθρωπον ὑγραν-

3 τὸ] τὰ L ὡς *om.* T δηλοῖ] σημαίνει L 4 *lemma 7 cum comm. om.* L 5 *post* δίψα *add.* δὲ *Hipp. et Gal. ipse supra p. 40, 2 et infra v. 30* ἡ (*ante* τοιαύτη) *Hipp. et Gal. duobus illis locis* 9 αὐτὸν T 11 συνῆψεν] *inde patere videtur lemmata sive numeris sive alio modo distincta fuisse in Galeni exemplis Hippocrateis* 12 τὴν ἐξήγησιν αὐτῶν *transp.* T 20 τὴν αὐτὴν T 21 εἴτοι κρυστάλλου R 22 κακοηθεστάτοις RT 24 δὲ ὡς ἐν T: δὲ R 27 τῷ *addidi* ἐπινέμεσθαι RT: ἐπινεμομένη *Aldus* 28 πέρατα R: σπέρματα T 33 γένηται *deleto v. 34* ἔσται *coni. Helmreich* 35 ἐξηραμένον T

θῆναι τελέως, ὡς ἄδιψον γενήσεσθαι. τί ποτ' οὖν ἐστι τὸ συμβαῖνον ἐπὶ τῶν οὕτως ἐχόντων; ὅπερ κἀπὶ τῶν δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς | ἐνίοτε οὐδ' ὅλως οὐρησάντων. πρότερον μὲν γὰρ οὔτε παρηκολούθησε 605
τοῖς κατὰ τὸ σῶμα παθήμασιν ἡ γνώμη τοῦ ἀνθρώπου, τό τ' ἀθροιζόμενον οὖρον οὔπω διέτεινεν ἰσχυρῶς τὴν κύστιν. ἐπεὶ δὲ ἥ τε διάνοια παρηκολούθησεν ἥ τε κύστις ἐπληρώθη, δι' ἄμφω ταῦτα τοῦ παθήματος ὁ κάμνων ᾔσθετο. καθάπερ οὖν τοῦτο παραφροσύνης ἐστὶ σημεῖον, οὕτω καὶ τὸ κατὰ τὴν δίψαν, ἐχόντων μὲν αὐτῶν ἀεὶ τὴν τοῦ διψῆν διάθεσιν, οὐκ αἰσθανομένων δὲ πρὶν ἢ τήν τε ψυχὴν αὐτῶν αἰσθητικωτέραν γενέσθαι τήν τε τοῦ διψῆν διάθεσιν εἰς ἄκρον αὐξηθῆναι. τὴν μὲν οὖν τῶν ἄκρων μετάπτωσιν ἐπὶ τἀναντία κακὸν εἶναι νομιστέον, ἐνδεικνυμένην ἀρρωστίαν μὲν τῆς ἐμφύτου θερμασίας, εὐρωστίαν δὲ τῆς παρὰ φύσιν. τὴν δὲ τῆς δίψης μετάπτωσιν ἀμαύρωσιν μὲν τῆς αἰσθητικῆς δυνάμεως, ἰσχὺν δὲ τῆς διψώδους διαθέσεως.

II 8 [I 44. V 522, 6] Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις κακόν. |

Καὶ τούτου τοῦ λόγου γενικώτερος ἄλλος ἐστὶν περιέχων οὐ τοῦ- 606
τον μόνον, ἀλλὰ καί τινας ἄλλους πολλούς· τὸ γὰρ παρὰ τὴν οἰκείαν φύσιν ἅπαν κακὸν γένος τούτων τε καὶ ἄλλων πολλῶν λόγων ἐστίν. ὅτῳ μὲν γὰρ ἡ οἰκεία φύσις κόσμιος, οὗτος οὐ μόνον ἐν ἀκόσμῳ παραφρονήσας ὀλεθρίως ἔχειν ἐνδείκνυται τὴν διάθεσιν, ἀλλὰ καὶ θρασέως ἀποκρινόμενος ἐγγὺς ἥκει φρενίτιδος· ὅτῳ δ' ἔμπαλιν ἀπόκρισις κόσμιος ἐν τῷ φύσει θρασεῖ, τούτῳ καταφορὰν ἢ λήθαργον ἐλπίζειν ἔσεσθαι.

II 9 [I 45. V 522, 6] Φωνὴ ὀξεῖα, ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

Κατὰ φύσιν μὲν ἦν εἰπεῖν ʽοἷς ὀξύνεται νοσοῦσιν ἡ φωνή, τούτων ἕλκεται τὰ ὑποχόνδρια πρὸς τὴν ἔσω χώραν', ἀλλ' οὐκ οἶδ' ὅπως χαίρει ταῖς ἀλλοκότοις ἑρμηνείαις ὁ τοῦ βιβλίου συγγραφεύς. ἐάσαντες οὖν τὴν περὶ τοῦτο | σπουδὴν ἐπὶ τὴν τῶν εἰρημένων διάνοιαν ἔλθωμεν 607

25 *schol.* R *(cf. infra p. 60, 27)*: ἡ φωνὴ γίνεται ὀξεῖα διὰ στενότητος τῶν φωνητικῶν ὀργάνων. διὰ τοῦτό ποτε γίνεται ὀξεῖα ἐπί τε γυναικῶν καὶ εὐνούχων διὰ τὴν ἀσθένειαν τοῦ θερμοῦ· τοῦ γὰρ θερμοῦ ἔργον ἐστὶν τὸ ποιεῖν εὐρέα τὰ ἀγγεῖα. ὅτι δὲ τοῦ θερμοῦ ἔργον ἐστὶν τὸ ποιεῖν εὐρέα τὰ ἀγγεῖα δῆλον ἀπὸ τοῦδε· ἐν οἷς ἂν ἐνφιλοχωρήσει τὸ θερμὸν πολὺ ἐν τῷ ἥπατι, ἀνευρύνονται τὰ φλεβία· βεβαιότερον οὖν οὐκ ἂν εὕροις τοῦδε γνώρισμα ἥπατος θερμοῦ.

1 τελείως T 2 ὅπερ R: ὥσπερ T 3 παρεκολούθησεν T 8 τὸ *om.* T *ante* μὲν *inser.* τῶν T 9 ψυχὴν RT: ψυχικὴν *perperam Kühn* 10 διψεῖν T 18 τούτου *Cornarius* τε LT: *om.* R λόγων LT: ὁ λόγος R: ὁ λόγων *Aldus, unde vulgo* τῶν λόγων ἐστὶν *om.* L 19 γὰρ *om.* T ἀκόσμῳ] κόσμω T 20 ὀλεθρίαν T τὴν R: *om.* LT 22 θρασεῖ] θρασὺ R τούτωι LT: τοῦτο R 23 ὀξείη οἷσιν *Hipp. codd.; at cf. Gal. comm. v. 26* τούτοισιν LT 24 εἰρύηται L 25 μὲν T: μὲν οὖν LR φωνή] κεφαλὴ L 28 τοῦτο LT: τούτων R

οὐδ᾽ αὐτὴν μὲν οὖcαν καθόλου παραπληcίωc ταῖc πολλαῖc τῶν κατὰ τοῦτο τὸ βιβλίον εἰρημένων, ἀληθῆ δ᾽ ἂν ὧδέ πωc λεχθηcομένην· ‛πολλοῖc τῶν ὀξυφωνούντων ἐν ταῖc νόcοιc τὰ ὑποχόνδρια πρὸc τὴν ἔcω χώραν ἕλκεται᾽. τοῦτο γὰρ δηλονότι cημαίνει τὸ εἰρύαται, οὐκ αὐτοῦ τοῦ ὑποχονδρίου προcτρέχοντοc τοῖc εἴcω κατά τινα διάθεcιν ἰδίαν, ἀλλ᾽ ἐκείνων ἑλκόντων αὐτὸ μᾶλλον. τὸ γάρ τοι διάφραγμα τοῦ τοιούτου cυμπτώματοc αἴτιόν ἐcτιν ἤτοι φλεγμαῖνον ἢ ξηραινόμενον ὑπὸ τῆc πυρώδουc θερμότητοc ἢ ἀναcπώμενον ὑπὸ τοῦ τὰc πλευρὰc ὑπεζωκότοc ὑμένοc, αὐτοῦ πάλιν ἐκείνου διὰ φλεγμονὴν ἢ ξηρότητα τεινομένου. καὶ οἱ μὲν πολλοὶ τῶν ἰατρῶν ἐν τοῖc cυνεδρεύουcι τῇ φρενίτιδι καὶ τὸ ἀνεcπαcμένον ὑποχόνδριον ἔγραψαν· καὶ γὰρ καὶ φαίνεται τοῖc πλείcτοιc αὐτῶν οὕτω διακείμενον· ἀλλ᾽ ἡ προκειμένη ῥῆcιc οὐκ ἀνεcπάcθαι τὰ ὑποχόνδριά φηcιν, ἀλλ᾽ εἴcω ἕλκεcθαι. cὺ δ᾽ εἰ βούλει τελέωc ἀληθεύειν, ἐξ ἡμίcεοc ἀμφότερα cυνθεὶc ἐρεῖc εἴcω τε
608 καὶ ἄνω | τὸ ὑποχόνδριον ἕλκεcθαι, καὶ τοῦτο εἰκότωc γίνεcθαι διὰ τὴν τοῦ διαφράγματοc θέcιν λοξὴν οὖcαν. ἄρχεται γὰρ ἀπὸ τοῦ κατὰ τὸ cτέρνον πέρατοc, ἐντεῦθεν δὲ κατὰ βραχὺ λοξούμενον εἴcω τε καὶ κάτω πρὸc τὴν ὀcφὺν ἀφικνεῖται, ὥcτε τὸ πλεῖcτον μὲν αὐτοῦ τῆc ὅληc οὐcίαc ὑποκεῖcθαι κατὰ τὸ βάθοc τῶν ὑποχονδρίων, τὴν δ᾽ ἄνωθεν ἀρχὴν ὑψηλοτέραν εἶναι. καὶ τοίνυν διὰ ταῦτα φαίνεται πρὸc τὴν εἴcω τε καὶ ἄνω χώραν ἑλκόμενον· εἰ δὲ παραβάλλοιc ἀλλήλοιc ταῦτα, πλέον εἴcω μεθεcτὼc ἢ ἄνω cοι φανεῖται.

τὴν οὖν φωνὴν παρὰ φύcιν ὀξυνομένην διά τε τὴν τῶν ὀργάνων ξηρότητα καὶ φλεγμονὴν τῶν μυῶν καταλιπών, ἐπειδὴ κυνάγχη τὸ πάθοc τοῦτο προcαγορεύεται, περὶ τῆc ὀξυνομένηc ἐν ταῖc ἄλλαιc νόcοιc φωνῆc ἀπεφήνατο λέγων· εἰρύαται κατὰ ταύταc εἴcω τὰ ὑποχόνδρια. δέδεικται μὲν οὖν ἐν τοῖc Περὶ φωνῆc ἐπὶ cτενότητι τῶν φωνητικῶν ὀργάνων ὀξυνομένη φωνή. καὶ διὰ τοῦτο εὐνοῦχοί τε καὶ παῖδεc καὶ γυναῖκεc ὀξυφωνοῦντέc εἰcιν. ἀλλ᾽ ἐν τοῖc πυρετώδεcι νοcήμαcιν ἡ ξηρότηc ἐργάζεται τὴν cτένωcιν αὐτῶν. |

27 Περὶ φωνῆc] *de voce et anhelitu (Junt. 1625, VII p. 62 D)*

1 παραπληcίωc R: παραπληcίαν L: *comp. ambiguo* T τοῖc πολλοῖc T 3 πολλοῖc *sic* RLT ταῖc] τοῖc T 4 ἐcωτέραν ἕλκεται χώραν L εἰρύηται L 6 *post* μᾶλλον *add.* ἐκείνου L 9 ἢ] καὶ L 10 διατεινομένου L 12 τοῖc πλείcτοιc αὐτῶν LT: τοῖc τῶν φρενιτικῶν πλ. R προειρημένη L 13 ἀνεcπᾶcθαι RLT: ἀναcπᾶcθαι *Kühn* 14 τελείωc T ἡμίcεωc R 16 θέcιν] λέξιν L κατὰ RLT: καὶ *a Basil. edd.* 17 καὶ *om.* R 20 *post* ἀρχὴν *add.* τὴν L πρὸc T: πρὸc μὲν RL 21 *post* χώραν *add.* καὶ L 22 μεθεcτὸc L 24 κυνάγχηcιc L 24. 25 τοῦτο τὸ πάθοc *transp.* R 26 εἰρύαται T: εἰρύατο R: εἰρύεcθαι L 29 εἰcιν *om.* L τοῖc] ταῖc L

II 10 [I 46. V 522, 7] Ὄμμα ἀμαυρούμενον φλαῦρον καὶ τὸ 609 πεπηγὸς καὶ ἀχλυῶδες κακόν.

Τὸ ἀμαυρούμενον ὄμμα, καθάπερ γε καὶ τὸ ἀχλυῶδες, αὐτῷ τε τῷ κάμνοντι καὶ τοῖς ὁρῶσι γίνεται δῆλον· αὐτῷ μὲν τῷ κάμνοντι μηκέτ᾽ ἐναργῶς ὁρῶντι καθάπερ ἔμπροσθεν ἐν ταῖς ἀμαυρουμέναις ὄψεσιν, ὥσπερ ἐν ταῖς ἀχλυώδεσι πρὸς τῷ βλέπειν ἀμαυρὸν ἔτι καὶ διά τινος ἀχλύος οἰομένῳ βλέπειν. ἀχλὺν δ᾽ ὀνομάζουσιν θόλωσιν ἀέρος ἐν τῷ μεταξὺ νέφους τε καὶ ὁμίχλης ἔχουσαν τὸ πάχος, ὡς ὁμίχλης μὲν μᾶλλον πεπιλῆσθαι, νέφους δ᾽ ἧττον. καὶ γίνεται τὸ τοιοῦτον πάθημα κατὰ τοὺς ὀφθαλμοὺς καὶ τῶν ἀπυρέτων μὲν οὐκ ὀλίγοις ὥσπερ καὶ ἡ ἀμαύρωσις ἀμυδρὰ τῶν ὀργάνων αἴσθησις οὖσα χωρὶς τῆς κατὰ τὴν ἀχλὺν φαντασίας, ἤδη δὲ καὶ τῶν νοσούντων πολλοῖς. ἔστι δὲ γενικώτερον ἡ ἀμαύρωσις τῆς ἀχλυώδους ὄψεως. ἀμυδρῶς γὰρ ἀμφοτέρων ὁρώντων προσέρχεται τοῖς μὲν κά|μνουσιν αὐτοῖς αἴσθησις 610 οἷον ἀχλύος τινὸς ἐν ταῖς ἀχλυώδεσιν ὄψεσι, τοῖς δ᾽ ἔξωθεν ὁρῶσιν τῶν ὀφθαλμῶν ὁ μὲν ἠμαυρωμένος οὐδεμίαν ἔχων φαίνεται σύστασιν ὑγροῦ παρὰ φύσιν· ἀπόλωλε δ᾽ ἐξ αὐτοῦ τὸ λαμπρὸν καὶ στίλβον ἐν τοῖς ὀξέως ὁρῶσιν ὀφθαλμοῖς ὑπάρχον καί εἰσιν οἱ ἀμαυρούμενοι παραπλήσιοι τοῖς τῶν νεκρῶν. καὶ πολλοῖς τῶν ἀποθνῃσκόντων ἔτι ζῶσιν οἱ ὀφθαλμοὶ τοιοῦτοι φαίνονται καθάπερ γε καὶ τοῖς ἐν ἐσχάτῳ γήρᾳ, ἀχλυώδεις δ᾽ οὐ πᾶσιν, ἀλλ᾽ οἷς μόνοις τεθολῶσθαι φαίνεται τὸ κατὰ τὴν κόρην ὑγρόν, ὃ λαμπρόν τε καὶ λευκὸν ἦν, ὅθ᾽ ὑγίαινον. ἐκ γοῦν τῶν εἰρημένων εὔδηλον μοχθηρὰς τὰς διαθέσεις ἀμφοτέρας εἶναι τῶν ὀφθαλμῶν.

τὸ δὲ πεπηγὸς ὄμμα διὰ τὴν ἀκινησίαν γίνεται τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, ἥτις ἀκινησία διὰ παράλυσιν ἢ τάσιν ἰσόρροπον ἁπάντων αὐτοῦ γίνεται τῶν μυῶν ἢ διὰ τελείαν ἀρρωστίαν τῆς κινούσης αὐτοὺς δυνάμεως, ἐναντίας τῆς τοιαύτης καταστάσεως οὔσης τῇ τῶν ἐνδεδινημένων ὀφθαλμῶν. ἀστήρικτοι | γάρ εἰσιν παραπλησίως 611 ἐκείνοις τοῖς τὸν καλούμενον ἵππον ἔχουσιν, ὡς μηδέποθ᾽ ἡσυχάζειν. ἔμπαλιν δ᾽ αὐτοῖς οἱ πεπηγότες οὐδέποτε κινοῦνται. τὰς οὖν αἰτίας ἀκηκοότι σοι τῆς τοιαύτης καταστάσεως τῶν ὀφθαλμῶν εὔδηλόν ἐστιν καὶ τὸ μοχθηρὰς αὐτὰς εἶναι. γράφουσιν δ᾽ ἔνιοι καὶ τὸ πεπηγὸς ἀχλυῶδες κακόν, ἀχλύν τινα παραπεπηγέναι βουλόμενοι τοῖς ὀφθαλμοῖς κατὰ τὴν τῆς διαθέσεως ξηρότητα καὶ θερμότητα.

1 καὶ (*post* πεπηγὸς) *om.* L *cf. infra v. 33* 3 αὐτῷ τε RL: αὐτό τε T 4 μὲν] τε L; *cf. v. 15* 5 ταῖς L: τοῖς RT 6 τῷ L: τὸ RT 8 πάχος RT: πάθος L 9 πεπλῆσθαι L 11 ἡ R: *om.* LT 12 ἀχλὺν R: ἀρχὴν LT δὲ LT: *om.* R 15 ταῖς] τοῖς T 18 περὶ *(comp.)* πλήσιοι T 20 γε L: *om.* RT 21 μόνως R 22 ὅθ᾽ RT: ὁπότε L ἐξ οὖν L 23 εὔδηλόν ἐστι L 26 μυιῶν L στάσιν T 27 ἁπάντων αὐτοῦ R: αὐτῶν LT 28 τῇ R: τῆς LT 30 τὸν] τῶν T 33 περιπεπηγὸς ἀχλυῶδες L καὶ *post* πεπηγὸς *om. Hipp. codd. plerique ut* L *supra v. 1* 34 περιπεπηγέναι L βουλόμενος R 35 θερμότητά τε καὶ ξηρότητα L

II 11 [I 47. V 522, 8] Ὀξυφωνίη κλαγγώδης πονηρόν.

Ἔνιοι μὲν κλαγγώδης, ἔνιοι δὲ κλαυθμώδης γράφουσιν. λέλεκται δέ, ὅτι κλαγγώδης γίνεται φωνὴ τῆς ξηρότητος ἐπιτεινομένης τῶν φωνητικῶν ὀργάνων. ἡ κλαυθμώδης δὲ κατὰ τὴν αὐτὴν ταύτην ἐπίτασιν νοεῖται, καὶ ἔστι χαλεπωτέρα τῆς κλαγγώδους, ὅσῳ καὶ τὴν διάθεσιν ἐνδείκνυται μείζονα. |

612 **II 12** [I 48. V 522, 9] Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ σύνηθες καὶ ὑγιαίνουσι· πνιγμὸς ἐν τούτοις πάνυ κακόν.

Τῶν ἐν τῷ Προγνωστικῷ γεγραμμένων οὐκ εἰωθὼς μνημονεύειν ὁ τὸ βιβλίον τοῦτο γράψας ἐμνημόνευσε νῦν τῆς τῶν ὀδόντων πρίσεως ἔτι προσθεὶς κατὰ τὸ τέλος αὐτῇ τὸ πνιγμὸς ἐν τούτοισι πάνυ κακόν. ἔμαθες δὲ καὶ περὶ πρίσεως ὀδόντων ὅπως γίνεται καὶ περὶ πνιγμοῦ, ὥστε οὐδὲν ἔτι κατὰ τήνδε τὴν ῥῆσιν λέγεσθαι ἀναγκαῖον περιττότερον· αὐτὸς γὰρ ἐξ ἐκείνων νοήσεις ἅπαντα.

II 13 [I 49. V 522, 11] Προσώπου εὔχροια καὶ τὸ λίην σκυθρωπὸν πονηρόν.

Ἐπειδὴ πολλάκις ἐξαπατᾶσθαι συμβαίνει διὰ τὴν εὔχροιαν τοῦ προσώπου καὶ νομίζουσιν ἤτοι γε αἱμορραγίας κρισίμου τῆς ἐκ τῶν
613 ῥινῶν ἢ παρωτίδων αὐτὴν εἶναι δη|λωτικήν, εἰκότως ἔγραψεν, ὅταν ἅμα σκυθρωπότητι πολλῇ γίγνηται, μοχθηρὸν εἶναι σημεῖον αὐτήν. εὐχροεῖν γὰρ ἐν νοσήμασιν ὁμοίως τοῖς ὑγιαίνουσιν ἄριστα κατὰ μὲν τὴν αὐτὴν ἐκείνοις διάθεσιν οὐκ ἐνδέχεται, καταλείπεται δ' ὑπὸ θερμασίας πολλῆς ἐξερύθρους αὐτοὺς γεγονότας ὁμοίους τοῖς εὐχροοῦσι φαίνεσθαι. τὸ δ' ἐξέρυθρον ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν ἐπιτήδειον εἰς μελαγχολίαν εἶναί φησιν, ἧς σημεῖον ἡ σκυθρωπότης ἐστίν. ὅταν δὲ καὶ τὸ λίαν αὐτῇ παρῇ, πολὺ δήπου μᾶλλον, ὥσθ' ὅταν εὐανθὲς μὲν φαίνηται τὸ πρόσωπον, ὁ δ' ἄνθρωπος ᾖ λίαν σκυθρωπός, ἐμφαίνεταί τις εἶναι κατὰ τὸν ἐγκέφαλον ἱκανῶς θερμὴ διάθεσις ἐκκαίουσα τὸ αἷμα καὶ διὰ τοῦτο γεννῶσα τὴν μέλαιναν χολήν, ὡς ἐπιδέδεικται.

2 λέλεκται] *supra p. 34, 1* 9 Προγνωστικῷ] *3 (II 120, 9 L.)* 12 ἔμαθες] *cf. 37, 21* 24 ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *significat fortasse II 3, 15 (V 116, 4) collato V 16, 14 (V 330, 7 L.)* 29 ἐπιδέδεικται] *supra p. 14, 17*

2 ἔνιοι οι μὲν *sic* T κλαγγώδεις *et* κλαυθμώδεις T 4 ταύτην *om.* T 5 ἐπίστασιν T 7 *lemma 12 cum comm. om.* L πρίσιες *Hipp. codd. nonnulli* 8 τούτοις RT: τουτέοισι *Hipp.*: τούτοισι *Gal. v. 11* 11 ἔτι προσθεὶς R: ἵνα προσθῇ T αὐτῇ T: αὐτὸ R 13 λέγεται T 15 εὔχραοι T 18 κρισίμου L: κρισίμους R: χρησίμου T τῶν *om.* L 19 παρωτίδος T 21 γὰρ] δὲ L 25 εἶναι *om.* T 29 μέλαινα RL ὡς] ὥσπερ T

εὔδηλον δ' ἴcωc ἐcτίν, ὥcπερ τινῶν εἰc ὅλον τὸ βιβλίον διατεινόντων
ἀδιανοήτων ἁπλῶc ἐμνημόνευcα, καὶ νῦν οὕτω ποιήcω καὶ γράψω τινὰ τῶν
ἀδιανοήτων ἐξηγήcεων ἕνεκα παραδείγματοc. ὑπὲρ ὧν οὐχὶ τὸν εἰπόντα
πρῶτον ἐθαύμαcα. κοινὸν γὰρ ἁμάρτημα τοῦτο πάντων, ὥcπερ τοὺc
υἱεῖc, οὕτω καὶ τὰ πρὸc ἑαυτῶν ἐπινοούμενα | cτέργειν, πλὴν εἴ τιc 614
ἀcφαλὴc ἱκανῶc ὑπάρχων ἐν μνήμῃ διὰ παντὸc ἔχει τὸν Αἰcώπειον
μῦθον, ἐξῆφθαι δύο πήραc ἡμᾶc εἰπόντα, ἔμπροcθεν μὲν τὴν τῶν ἀλλο-
τρίων κακῶν μεcτήν, ὄπιcθεν δὲ τὴν τῶν ἰδίων, καὶ διὰ τοῦτο τὰ μὲν
τῶν ἄλλων ἁμαρτήματα θεᾶcθαι, τὰ δὲ ἑαυτῶν μὴ βλέπειν· οὗτοc γὰρ
μόνοc ἑαυτὸν ἀcκήcει πρὸc τὴν τῶν ἀληθῶν γνῶcιν. οὔκουν, ὡc ἔφην,
θαυμάζω τοῦ πρώτου γράψαντοc τὴν ἐξήγηcιν, ἀλλὰ τῶν ἀδιανοήτωc
τὰ ἐκείνου ἐπαινούντων, ὥcπερ καὶ νῦν τιc ἐπαινεῖ τὴν ἐξήγηcιν τῶν
εἰπόντων ἀκούειν χρῆναι προcώπου μὲν εὔχροιαν πρὸc τὴν τοῦ
νοcοῦντοc αὐτοῦ, τὸ δὲ λίαν cκυθρωπόν ἐπὶ τοῦ ἰατροῦ θεωμένου
τὴν παρὰ φύcιν εὔχροιαν ὡc κακὸν cημεῖον. εἰ γὰρ τοῦτ' ἐβούλετο
διδάcκειν ὁ γράψαc τὸ Προρρητικόν, οὕτωc ἂν εἰρήκει· 'προcώπου
εὔχροια λίαν cκυθρωπὸν cημεῖον', ἢ εἰ μὴ οὕτωc, 'προcώπου εὔχροια
λίαν cκυθρωπὸν ἐργάζεται τὸν ἰατρόν'. ἐπὶ τούτῳ δὲ πονηρόν οὐκ
ἂν ἔτι προcεγέγραπτο κατὰ τὸ τέλοc. ἀδιανόητον γὰρ ἱκανῶc προcώ-
που λέγειν εὔχροιαν λίαν cκυθρωπὸν cημεῖον ἰατρῷ πονηρόν, ἢ πάλιν
οὕτω 'προcώπου εὔχροια λίαν cκυθρωπὸν | ἐργάζεται τὸν ἰατρὸν καὶ 615
πονηρόν ἐcτι cημεῖον'. ἤτοι γὰρ τὸ 'cκυθρωπὸν ἐργάζεται τὸν ἰατρὸν
καὶ πονηρόν ἐcτι cημεῖον' ἢ 'πονηρὸν εἶναι τὴν εὔχροιαν' ἤρκει λε-
λέχθαι μόνον. ἀμφότερα δ' ἅμα λέγειν οὐκ ἐγχωρεῖ μετὰ τοῦ καὶ τὸν
cύνδεcμον προcκείμενον ἐνδείκνυcθαι caφῶc ἐν τῷ κάμνοντι ταῦτ'
ἄμφω cυμβεβηκέναι τήν τ' εὔχροιαν τοῦ προcώπου καὶ τὸ λίαν cκυθρωπόν.

ἵνα δέ τιc ἐάcαc τὴν ἀπὸ τῆc λέξεωc ἔνδειξιν ἐπὶ τὸ λεγόμενον
ἔλθῃ, ψευδήc ἐcτιν ὁ λόγοc τῶν οὕτωc ἐξηγηcαμένων. οὐ γὰρ ἐξ
ἀνάγκηc ἡ εὔχροια τοῦ προcώπου λίαν ἐργάζεται cκυθρωπὸν τὸν ἰατρόν,
ἀλλ' ἔcτιν ὅτε καὶ φαιδρότερον ἢ πρόcθεν, ὅταν αἱμορραγίαc ἢ παρω-
τίδων κριcίμων ἐλπίcῃ cημεῖον εἶναι τὴν εὔχροιαν. εἰ μὲν οὖν ἀπόρου
καὶ ἀcαφοῦc ἐcχάτωc τῆc ῥήcεωc οὔcηc ἐπενόουν τοιαῦτά τινα, ἴcωc
ἂν αὐτοῖc cυνέγνωμεν· ἐπεὶ δὲ χρηcιμώτατον πρᾶγμα διδάcκει caφῶc
διοριζόμενοc, πότε μὲν ἀγαθόν ἐcτι cημεῖον ἡ εὔχροια | τοῦ προcώπου, 616

2 ἐμνημόνευcα] *cf. p. 16, 26* 6 Αἰcώπειον μῦθον] *359 Halm. Babr. 66 (cf. Gal. V 6)* 10 ἔφην] *v. 3*

1 εὔδηλον κτλ. *corrupta. sensus*: εὔλογον . . . ποιῆcαι καὶ γράψαι διατεινόντων LT: *om.* R 2 ἀδιανοήτων R: *om.* LT οὕτωc νῦν (*om.* καὶ) L 3 ἀνοήτων T ὧν RL: ἧc L 4 τοῦτο RL: τούτων T 5 αὐτῶν L 6 αἰcώπιον R: αἰcώπου LT 7 πείραc T ἡμᾶc RT: ἡμῶν L εἰπόντοc T 9 αὐτῶν LT 11 τοῦ γράψαντοc πρώτωc, *sed transp. ipse* R 12 ἐπαινούντων R *mrg.*, LT: θαυμαζόντων R *text.* 17 εὔχροαν *(prius)* T cημεῖον . . . cκυθρωπὸν RLT: *om. ab Aldo edd.* μὴ RT: μηδὲ L 19 προγέγραπτο L ἀδιανόητα L 20 ἰατρῷ πονηρὸν *om.* T 22 *post* τὸ *add.* λίαν L 28 ἔλθοι R 31 χρηcίμων T 32 ἐπενόουν RT: ἐνένθουν L 33 αὐτοὶ cυνεγνώκαμεν L 34 διοριζόμενοc *scripsi*: διοριζόμενον RLT cημεῖόν ἐcτι L

πηνίκα δὲ οὐκ ἀγαθόν, τίς αὐτοῖς συγγνώμη; καθάπερ τοῖς λέγουσι περὶ τῆς εἰς ἄλληλα μεταπτώσεως τῆς τ᾽ εὐχροίας τοῦ προσώπου καὶ τῆς σκυθρωπότητος εἶναι τὸν ἐνεστῶτα λόγον. ἡγοῦνται μὲν γάρ, ὅταν ἄλληλα διαδέχηται ταῦτα καὶ τῆς μὲν εὐχροίας παυσαμένης ὁ κάμνων γένηται λίαν σκυθρωπός, αὖθις δὲ τὴν σκυθρωπότητα γενομένην εὔχροια διαδέχηται, χαλεπὸν εἶναι σημεῖον ὡς οὐ δυναμένων ἀμφοτέρων ἅμα γίγνεσθαι, ἢ οὐ περὶ τῶν ἐναντίων ἔμπροσθεν εἰρηκότος αὐτοῦ τὴν εἰς ἄλληλα μετάπτωσιν οὐκ ἀγαθὸν εἶναι σημεῖον· ἐκεῖ μὲν γὰρ ἡ θατέρου γένεσις ἀναιρεῖ τὴν ὕπαρξιν θατέρου καὶ διὰ τοῦτο ἀδύνατον αὐτοῖς ὑπάρχειν ἅμα. τῇ δ᾽ εὐχροίᾳ τοῦ προσώπου σκυθρωπότητα συνυπάρχειν ἅμα οὐκ ἀδύνατον.

ἐὰν μὲν οὖν ἐφ᾽ ἑκάστης τῶν ῥήσεων, ὅσα κακῶς εἴρηταί τισιν, ἐξελέγχωμεν, μέμψονται πολλοὶ τῷ μήκει τῶν ὑπομνημάτων· ἐὰν δ᾽ ἀνέλεγκτα παραλίπωμεν, συμβήσεταί τινας ἐφεξῆς ἀκούσαντας ἐξηγήσεως ξένης ὡς παραλελειμμένης ὑπ᾽ ἐμοῦ μέμφεσθαι, καὶ μάλισθ᾽ ὅταν δια-
617 κρίνειν οὐδέπω | δύνωνται κακίαν καὶ ἀρετὴν ἐξηγήσεως. ἐπεὶ τοίνυν ἀδύνατόν ἐστιν ἐκφυγεῖν τὴν μέμψιν ἢ ὡς μηκύναντα περιττῶς ἢ ὡς παραλιπόντα τι τῶν χρησίμων, εἱλόμην θάτερον, ὃ τοῖς ἀναγνωσομένοις τὰς ὑπ᾽ ἐμοῦ γεγραμμένας ἐξηγήσεις ὠφελιμώτερον ἔσεσθαι πέπεισμαι.

II 14 [I 50. V 522, 11] Τὰ τελευτῶντα ὑποχωρήματα εἰς ἀφρώδεα ἄκρητα παροξυντικά.

Οὐκ οἶδ᾽ ὅπως οἱ ἐξηγησάμενοι τὸ βιβλίον ὥσπερ ἄλλων πολλῶν παρακηκόασι λέξεων, οὕτω καὶ τῆσδε. τελευτῶντα γὰρ εἰπόντος αὐτοῦ τὴν ἐξήγησιν οὗτοι ποιοῦνται ʽδιαχωρημάτων ἀφρωδῶν ἀκράτων᾽. οὐ ταὐτὸν δὲ ἐστιν ἢ ᾧ τὰ τοιαῦτα διαχωρεῖται παροξυνθήσεσθαι τὴν νόσον ἢ ᾧ τελευτήσονται αἱ διαχωρήσεις εἰς τὰ τοιαῦτα. μοχθηρᾶς μὲν οὖν ἐστιν διαθέσεως γνωρίσματα τὰ ἀφρώδη καὶ τὰ ἄκρητα μεμνη-
618 μένων ἡμῶν ἄκρατα καλεῖσθαι διαχωρήματα | τὰ μόνον ἕνα τὸν ἀποκρινόμενον ἔχοντα χυμὸν ἄμικτον ἑτέροις. οὐ μὴν τοῖς ἐκκρίνουσι τὰ τοιαῦτα παροξυνθῆναι τὴν νόσον ἀναγκαῖόν ἐστιν, ἀλλ᾽ ἐγχωρεῖ καὶ λωφῆσαι κατὰ βραχὺ πεττομένης τῆς διαθέσεως, ἐφ᾽ ᾗ τὰ τοιαῦτα ἐξεκρίνετο. πότε οὖν ἀναγκαῖον παροξυνθήσεσθαι τὴν νόσον; ὅταν τὰ διαχωρήματα πρὸς τῷ μὴ παύεσθαι τὴν μεταβολὴν εἰς ἀφρώδη τε καὶ ἄκρατα ποιήσηται· χείρονα γὰρ ὄντα τῶν ἔμπροσθεν ἐκκρινομένων ταῦτα παροξυνθήσεσθαι δηλοῖ.

7 ἔμπροσθεν] *Hipp. Prorrh. I 12 (V 514, 3 L.)*

1 ὁπηνίκα L αὐτῶι L 2 εἰς *om.* T 3 ἡγοῦντο R ὅταν] ὃ ὅταν T 4 διαδέχηται RLT: *ex Aldo propagant* διαδέχεται 5 εὔχροιαν διαδέχεσθαι οὐ χαλεπὸν εἶναι τὸ σημ. ὥστε L 9 καὶ *om.* T 12 ἑκάστης LT: ἑκάστῃ R 14 ἀνέλλεκτα T ἀκούσαντα T ἐξήσεωε L 16 δύνανται LR κακίαν τε καὶ L 18 παραλιπόντες T 20 διαχωρήματα *Hipp. codd.* 24 οὗτος ποιεῖται T 25 δ᾽ ἐστὶν ὃ τὰ τοιαῦτα T 26 διαχωρήσειις R 27 οὖν *om.* L ἄκρητα R: ἄκρατα LT 32 *post* ἀναγκαῖον *ins.* ἐστὶ L

II 15 [I 51. V 522, 13] Αἱ ἐκ καταψύξιος ἐν ὀξέσιν οὔρων ἀπολήψιες κάκισται.

Τὰ ὀξέα νοσήματα γίνονται ἐπὶ θερμοτέραις ὕλαις· ἐὰν οὖν ἐπίσχεσις τῶν οὔρων ἐκ καταψύξεως γένηται τῆς κύστεως, κακόν. δηλοῖ γὰρ ἐκ τῆς τοιαύτης δυσκρασίας ἀτονίαν γενέσθαι τῆς ἀποκριτικῆς ἐν τῇ κύστει δυνάμεως ἢ ἀναισθησίαν διὰ τὸ καταψυχθῆναι τὸ ἐν αὐτῇ νεῦρον καὶ | μὴ αἰσθάνεσθαι τῆς ἀνίας. ἡ δὲ κατάψυξις ἐν τῇ κύστει 619 γίνεται τοῦ κατὰ φύσιν ἐν αὐτῇ θερμοῦ ὑπὸ τῆς παρὰ φύσιν θερμασίας διαφορηθέντος. ἴσως δ' ἄν τις εἴποι· διὰ ποίαν αἰτίαν τοῦ πυρετοῦ ἐν ὅλῳ τῷ σώματι ὄντος ἐψύχθη ἡ κύστις; λύσις δὲ τούτων ἐστὶν ἡ τοῦ μορίου ἐπιτηδειότης· οὐ γὰρ ἅπανθ' ὡσαύτως τῆς αὐτῆς ἔτυχε φύσεως.

II 16 [I 52. V 524, 1] Τὰ ὀλέθρια ἀσήμως ῥᾳστωνήσαντα θάνατον σημαίνει.

Χωρὶς σημείων, ἤτοι ἐκκρίσεως ἢ πέψεως. ταὐτὸν δὲ δηλοῖ τῷ καθόλου ἐν Ἀφορισμοῖς εἰρημένῳ τῷδε· "τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον". ἡ δὲ νῦν προκειμένη ῥῆσις ἀποχωρήσασα τοῦ καθόλου τῶν ὑποπεπτωκότων αὐτῷ τι διδάσκει· περὶ γὰρ τῶν ὀλεθρίων ἀποφαίνεται μόνων, οὐχ ἁπάντων τῶν μοχθηρῶν. οὐκ ἐξ ἅ|παντος δὲ πᾶν, 620 ὅτιπερ ἂν ᾖ μοχθηρόν, ἤδη τοῦτο καὶ ὀλέθριόν ἐστιν. ἀπεδείξαμεν γὰρ ἐν τῷ Προγνωστικῷ διαφορὰς πολλὰς τῶν μοχθηρῶν εἰρημένας, ἐφ' ὧν αὐτὸν τὸν Ἱπποκράτην προσθήκῃ τῶν οἰκείων ὀνομάτων ἐνδείκνυσθαι τὸ μέγεθος αὐτῶν.

περὶ μὲν οὖν τῶν ἁπλῶς μοχθηρῶν, οὐ μὴν ὀλεθρίων γε, ἀρκεῖ τοῦτο μόνον γινώσκειν, ὡς οὐ χρὴ πιστεύειν αὐτοῖς ἀσήμως παυσαμένοις (ἐπανήξει μὲν γὰρ αὖθις, οὐ μὴν ἀποκτενεῖ γε τὸν ἄνθρωπον), ὅσα δ' εἰς τοσοῦτον προήκει μοχθηρίας, ὡς ἐν τοῖς ὀλεθρίοις εἶναι, ταῦθ' ὅτι μὲν ἀπιστότερα τῶν μετρίως μοχθηρῶν ἐστιν, οὐ δυνάμενα πιστῶς παύσασθαι χωρὶς ἐπιφανῶν σημείων, ἐν τοῖς Περὶ κρίσεων ἐπὶ πλεῖστόν μοι δέδεικται. κατασκευάσαντα γὰρ ἐν τῷ χρόνῳ τὰ τοιαῦτα βλάβην ἑκτικὴν καὶ ἄλυτον ἐπανήξει κατὰ τὸ μέγεθος τῆς αὐτῶν κακίας τὸ τοῦ κινδύνου φέροντα μέγεθος. ἔνια γὰρ αἴτια τῶν κατὰ τὸ

16 Ἀφορισμοῖς] *II 27 (IV 478, 6 L.)* 22 Προγνωστικῷ] *Gal. XVIII B 53 sq.* 30 Περὶ κρίσεων] *IX 608 sqq.*

1 *lemma II 15 om. cum comm.* LR: *exhibent* T *(in mrg. adnotans* β *quod quid significet nescio) et* A *(Ambr. gr. 659 = Q 3 Sup.), quem ubi e re erit abhinc adhibebo* καταψύξιος A, *Hipp.*: καταψύξεως T ὀξέσιν T: ὀξε͂/ (*i. e.* ὀξέων) A 3 ἐὰν *scripsi*: εἰ TA 9 διαφωρηθέντος T (*non* A) εἴποι *scripsi*: εἴπῃ TA 15 *ante* χωρὶς *fortasse intercidit glossa explicata* ἀσήμως 16 τοῖσι ... χρήσιμα *(67, 25) om.* L 17 παραλόγως *Hipp. vulg., sed* B^1C^1 *recte* παρὰ λόγον 18 δὲ A: γὰρ R: *om.* T 20 μόνον T 31 πλεῖστον RT *Aldus*: πλεῖων *(sic) Basil.*: πλεῖον *Chartier, Kühn* 32 αὐτῶν *scripsi:* αὑτῶν R: αὐτοῦ T

cῶμα γεννωμένων παραπληcίαν ἔχει δύναμιν τῷ τε τῶν λυττώντων κυνῶν ἰῷ καὶ τῶν θαναcίμων φαρμάκων ἐκείνοις, ὅcα κατὰ τὰ πε-
621 πονθότα ἐπίδηλον οὐδὲν ἐν τῷ παραυτίκα | cύμπτωμα ἐργάζεται, μετὰ δὲ τέτταρας ἢ ἓξ μῆνας ἢ καὶ πλείονα χρόνον ἀναιρεῖ τὸν ἄνθρωπον. ἴcμεν δ' ἐνίους καὶ τῶν ὑπὸ κυνὸς λυττῶντος δηχθέντων ὕcτερόν ποτε δείcαντάς τε τὸ ὕδωρ καὶ τελευτήcαντας ἀπὸ τῆς πρώτης ἀρχῆς, ἐν ᾗ δηχθέντες ἔτυχον, μετὰ δύο μῆνας ἢ τρεῖς ἢ τέτταρας ἢ πολὺ πλείους· οἶδα γοῦν τινα καὶ μετ' ἐνιαυτὸν εἰς τοῦτο δὴ τὸ πάθος, ὃ καλοῦcιν ὑδροφόβον, ἐμπεcόντα, περὶ οὗ πᾶcι τοῖς ἰατροῖς ἔδοξεν ἐcχάτη γίνεcθαι ξηρότης ἐν τοῖς cτερεοῖς τοῦ ζῴου μορίοις ἅμα τῷ καὶ τὴν κατὰ φύcιν θερμαcίαν παρηυξῆcθαι τετραμμένην ἐπὶ τὸ πυρῶδες. ταύτην οὖν τὴν διάθεcιν ὁ τοῦ κυνὸς ἰὸς ἐργάζεται πολλῷ χρόνῳ, κατὰ βραχὺ δηλονότι, καὶ διὰ τοῦτό γ' ἐcτὶν ἀνιατότερον, διότι τῶν cτερεῶν μορίων ἡ οὐcία μεταβάλλεται, καθάπερ εἴωθεν κἀν ταῖς καλουμέναις λεύκαις γίνεcθαι.

ἄχρι μὲν γὰρ ἐντός ἐcτιν ἡ παρὰ φύcιν διάθεcις, ἀλλοιούντων μὲν αὐτῶν τὰ cτερεὰ cώματα, μηδέπω δ' αὐτῶν ἠλλοιωκότων, ἅμα τῷ
622 κενωθῆναι ταῦτα καὶ ἡ τῶν cτερεῶν ἀλ|λοίωcις παύεται ποτὲ μὲν ἡμέρᾳ μιᾷ, ποτὲ δὲ καὶ θᾶττον εἰς τὸ κατὰ φύcιν ἐπανερχομένων. γιγνομένη γὰρ ἡ διάθεcις καὶ οὔπω γεγονυῖα cυντόμως ἀποκαθίcταται τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωριcθέντος. cυμπληρωθείcης δ' αὐτῆς, κἂν ἐκκενωθῇ τὰ ποιήcαντα τὴν διάθεcιν ὑγρά, πλέον οὐδὲν εἰς ὑγείας λόγον. ὅμοιον γάρ τι cυμβαίνει τῷ γιγνομένῳ περὶ τὰ ξύλα τὰ πληcίον τοῦ μαλθακοῦ κείμενα πυρός. θερμαίνεται μὲν γὰρ μέχρι πολλοῦ, καίεται δὲ οὐδέπω. κἂν φθάcῃς ἀποχωρίcαι τοῦ πυρὸς αὐτά, πρὶν ἄρξαcθαι καίεcθαι, ταχέως ἀποτίθεται τὴν γεγονυῖαν αὐτοῖς θερμότητα. δεξάμενα δ' εἰς ἑαυτὰ τοcοῦτον, ὡς ἄρξαcθαι καίεcθαι, κἂν ἀπαχθῇ τοῦ πυρός, οὐδὲν ἧττον καίεται. κἂν εἰς αὐτὸ δὲ τὸ πῦρ τὸ ξύλον ὑγρὸν ἔλθῃ, οὐκ εὐθέως ἅπτεται, καθάπερ εἰ cτυππεῖον ἐνθείης ἢ κάλαμον ξηρὸν ἢ θρυαλλίδα, καὶ εἰ μετὰ βραχὺ βαcτάcειας τὸ τοιοῦτον ξύλον, ἀποθήcεται τὴν ἐκ τοῦ πυρὸς ἐν αὐτῷ γενομένην ἀλλοίωcιν οὐ μετὰ πολὺν χρόνον.

οὔκουν ἀπεικὸς καὶ γεννηθῆναι κατὰ βραχὺ τοιοῦτον ἐν τῷ cώ-
623 ματι χυμόν, | ὁποῖος ὅ τε τῶν λυττώντων κυνῶν ἐcτιν καὶ τῶν ἐν χρόνῳ πλείονι διαφθειρόντων φαρμάκων, ὡς καὶ λανθάνειν τοὺς πολλοὺς τῶν ἰατρῶν. ὡς ἐπὶ τοῦ διὰ κόπον, ὡς ἐδόκει, μετριώτατα πυρέ-

1 τε *om.* T   2 τὰ *om.* R   8 μετ' T: κατὰ R   9 ὑδροφόβῳ T   πᾶcι R: πάλε (*i. e.* πάλαι) T   13 τοῦτο γ' T: τοῦτο R   17 cώματα T *et* R *mrg.*: μόρια R *text.*   18 κενωθῆναι R: ἑνωθῆναι T   21 χωριcθέντος R: χωριcθεῖcα T   22 λάγον T   23 τι *om.* T   24 κείμενα A *(ut Cornarius)*: κειμένου RT   25 ἀποχωρῆcαι T   27 τοcαύτην T   28 δὲ T: *om.* R   τὸ ὑγρὸν ξύλον R: ξῦλον ὑγρὸν T   ἔλθῃ RT: ἔλθοι *ex Aldo propag. edd.*   29 cτυπεῖον T: cτυπίον R   33 γενηθῆναι T   34 λυττόντων *(ut saepe)* RT   36 ἐδόκει RT: ἐδόξει *Aldus, unde* ἔδοξε *edd.*   μετριώτατα *scripsi*: μετριῶ^ττ´ R: μετριώτα^τ T: μετριώτατον *ex Aldo edd.*

ξαντος, ὃς μετὰ τὴν τετάρτην ἡμέραν ἀπέκρινεν οὖρον τῇ μὲν ςυςτάςει λεπτόν, τῇ χρόᾳ δὲ μέλαν, ὡς ἐοικέναι κατ᾽ ἄμφω τῇ γινομένῃ κράςει μέλανος ὀλίγου γραφικοῦ μιχθέντος ὕδατι πολλῷ, καὶ ἄλλως γε εἰ μὴ τὸ μέλαν αὐτὸ νοήςαιμεν μεμιγμένον, ἀλλὰ κἂν τὴν καλουμένην ὑπὸ τῶν πολλῶν ἀςβόλην, ἣν ἄςβολον οἱ Ἕλληνες ὀνομάζουςιν· ὁ ἄνθρωπος οὗτος ἔδοξεν ἔχειν καλῶς κατὰ τὴν τετάρτην ἡμέραν, ὡς καὶ λούεςθαι ταῖς ἑξῆς ἡμέραις, εἶτα κατὰ τὴν ἑβδόμην ἡμέραν εἰς ἑςπέραν ἀρξάμενος πυρέττειν ἀπέθανε μαρανθείς.

τοῦτο αὐτὸ κατὰ τὴν προκειμένην ῥῆςιν διδάςκεται τοῖς ἀρίςτοις τῶν ἰατρῶν ὠφέλειαν φέρον, οὐ τοῖς ἐπιτυχοῦςιν· οὗτοι γὰρ οὐδὲ γινώςκουςιν τὰ τῶν ὀλεθρίων νοςημάτων ςημεῖα. νεανίςκος γοῦν τις ἐξέκρινεν ἅμα πυρετῷ βληχρῷ περίπλυςιν ἐρυθρὰν οὐκ ὀλίγην πολλάκις ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτὶ μετὰ χλιαροῦ πυρετοῦ, τοὐν|τεῦθεν ἔδοξε 624
μετριώτερον ἔχειν, ὡς τῇ τρίτῃ τῶν ἡμερῶν ἀπύρετος εἶναι δοκεῖν. ἐγὼ μὲν οὖν ἐπιςκοπούμενος αὐτοῦ τὰ οὖρα λεπτὰ καὶ λευκὰ καθάπερ ὕδωρ ὄντα τὴν κατὰ τὸ ἧπαρ ἀτονίαν ἐτεκμηράμην διαμένειν, ἐκέλευόν τε τοῖς πρὸς αὐτὴν ἁρμόττουςιν ἐπιθέμαςί τε καὶ βρώμαςι καὶ ςυμπάςῃ τῇ διαίτῃ χρῆςθαι. καταγελάςας δέ μου τῶν ἀπὸ Θεςςαλοῦ τις ἰατρῶν οὐ μόνον αὐτὸς οὐδέποτε τὴν δι᾽ οὔρων ἐπίςκεψιν πεποιημένος, ἀλλὰ καὶ τοὺς ἐπιςκεπτομένους αὐτὰ γναφέας ἀποκαλῶν, κεκώλυκε βοηθεῖςθαι τὸν ἄνθρωπον ἀναθρέψεως μόνης ἐπὶ κενώςει χρήζειν εἰπών. ἀλλὰ καὶ τούτῳ κατὰ τὴν ἑβδόμην ἀπὸ τῆς ἀρχῆς ἡμέραν ἐπελθὸν τὸ νόςημα φανερὸν ἐγένετο πᾶςιν ἡπατικὸν ὑπάρχον. τὰ μὲν οὖν τοιαῦτα πάντα παρατρέχουςιν οἱ ἐξηγηταὶ μεγάλως ὄντα χρήςιμα, κατατρίβονται δ᾽ ἐνίοτε περὶ λεξείδια μηδ᾽ ὅλως χρήςιμα. |

II 17 [I 53. V 524, 1] Τὰ ἐν ὀξέςι χολώδεςιν ἔκλευκα, ἀφρώ- 625
δεα, περίχολα διαχωρήματα κακόν. κακὸν δὲ καὶ οὖρα τοιαῦτα· ἆρα τούτοιςιν ἧπαρ ἐπώδυνον;

Τὸ πολλάκις ἤδη καὶ πρόςθεν εἰρημένον ἐρῶ καὶ νῦν· ὁ ςυνθεὶς τὸ βιβλίον τοῦτο φαίνεται μὲν ἀπὸ τῆς αὐτῆς ὢν Ἱπποκράτει τῷ

26 *schol.* R: τὰ ὀξέα νοςήματα γίνονται ἐπὶ ὕλαις θερμαῖς. δέον οὖν ἐςτι καὶ τὰ ἐκκρινόμενα ἐν τοῖς ὀξέςι νοςήμαςιν εἶναι ὅμοια ταῖς ποιούςαις ὕλαις αὐτά. ἐμάθομεν γὰρ ἐν τῷ Προγνωςτικῷ [*cf. p. 68, 15*] ὡς ἔλαττον κινδυνεύουςιν, οἷς ἂν οἰκείη ἡ νοῦςος τῆς φύςεως ᾖ οἷον εἰ ἡ φύςις ἐςτὶν χολώδης, γένηται δὲ καὶ

4 μέλαν ... κἂν τὴν *om.* T 5 ἄςβολον RA: ἄςβολην *(sic acc.)* T; *cf. Herbst Gal. de attic. stud. (Lips. 1911) 10. 15* 6 κατὰ R: μετὰ T 7 λούεςθαι *scripsi*: λούςεςθαι RT 10 φέρων T 11 *adnotat in mrg.* ἱςτορία T 13 ⟨δ᾽⟩ ἔδοξε *Schoene* 14 μετριώτερον T: μετριω^τερ^ (*i. e.* μετριωτέρως) R ἀπύρετος *scripsi*: ἀπύρετον R: ἀπύρεκτον T 15 αὐτοῦ *om.* T λευκὰ καὶ λεπτὰ T 17 ςυμπάςι R 18 θεςςαλῶν R 20 ἐπιςκεπομένους R αὐτὰ RT: αὐτοὺς *ex Aldo edd.* γναφέος T 22 τούτω T: τοῦτο R ἐπελθὸν R: ὅτ᾽ ἐλθὼν T 24 κατρίβονται R 26 τὰ *om. Hipp. codd.* ὀξέςι καὶ χολ. *Hipp. codd.* 27 *ante* περίχολα *add.* καὶ *Hipp. codd.* καὶ οὖρα τὰ τοιαῦτα κακὸν *Hipp. codd.* 28 τουτέοιςιν *Hipp.*

μεγάλῳ τέχνης, ἀπολείπεται δ᾽ αὐτοῦ πάμπολυ, καὶ διὰ τοῦτο ἐνίοις
μὲν ἔδοξεν τοῦ Δράκοντος Ἱπποκράτους, ἐνίοις δὲ τοῦ Θεσσαλοῦ
τὸ σύγγραμμα τοῦτο εἶναι· δύο γὰρ υἱεῖς τοῦ μεγάλου Ἱπποκράτους
ὁμολογοῦνται γεγενῆσθαι, Δράκων καὶ Θεσσαλός, ὧν ἑκατέρου πάλιν
Ἱπποκράτης. εἴτ᾽ οὖν ὑπὸ θατέρου τούτων, εἴτε καὶ ὑπ᾽ ἄλλου τινὸς
ἐγράφη τὸ βιβλίον, εἴτ᾽ ἔφθασεν ὁ γράψας αὐτὸ πρὶν ἐκδοῦναι τοῖς
Ἕλλησιν ἀποθανεῖν, περιττόν ἐστιν ἔργον ζητεῖν· ἱκανὰ γὰρ καὶ τὰ
νῦν εἰρημένα περὶ αὐτοῦ.

σπούδασμα δ᾽ ἔστω τοῖς ἀναγινώσκουσιν αὐτὸ τὴν διάνοιαν τῶν
626 λεγομένων ἐξετάζειν. ἡ δὲ ἐξέτασις ἔστω διττή, πρός | τε τὴν τῶν
ὁμολογουμένων Ἱπποκράτους βιβλίων καὶ πρὸς τὴν τῶν πραγμάτων
ἀλήθειαν ἀναφερόντων ἡμῶν, ὅ τι περ ἂν αὐτῷ λέγηται. καὶ νῦν
αὐτὸ τὸ προκείμενον οὕτως ἐξετάσωμεν, ὡς ἐπιπλέκοντος ἐνίοτε συμ-
πτώματα τοῦδε τοῦ ἀνδρός, ὧν ἑκάστου καθ᾽ ἑαυτὸ τὴν δύναμιν ἐμά-
θομεν ἐν τῷ Προγνωστικῷ. τὰ γὰρ ἔκλευκα καὶ τὰ ἀφρώδη διαχωρή-
ματα μοχθηρὰ λέλεκται κατ᾽ ἐκεῖνο τὸ βιβλίον. ἀλλὰ καὶ ὅτι 'κινδυνεύ-
ουσιν ἐν ταῖς νόσοις ἧττον, οἷς ἂν οἰκείη τῆς φύσεως ἡ νοῦσος ᾖ',
μεμαθήκαμεν ἐν τοῖς Ἀφορισμοῖς, ὥσθ᾽ ὅσοις ἂν μὴ οἰκεία τύχῃ, μᾶλλον
οὗτοι κινδυνεύουσιν. τοῖς οὖν χολώδεσιν εἴτ᾽ ἀνθρώποις εἴτε νοσήμασι
χολῶδες διαχωρεῖν ἢ οὐρεῖν οἰκεῖον, ἄχολα δὲ καὶ λευκὰ παρὰ τὴν
φύσιν αὐτῶν ἐστιν καὶ διὰ τοῦτο μοχθηρά. ἀφρώδη δὲ διαχωρεῖν
ἁπάσαις φύσεσι κακόν. εἰ μὲν δὴ ταῦτ᾽ εἴρητο μόνα κατὰ τὴν προκει-
μένην ῥῆσιν, οὐδὲν ἂν ἦν ζήτημα, προσκειμένου δὲ τοῦ περίχολα μέ-
γιστον γίνεται ζήτημα. πῶς γὰρ χολώδεά τε ἅμα καὶ ἔκλευκα δια-
χωρεῖσθαι δυνατόν ἐστιν; ἐγὼ μὲν οὖν νομίζω καὶ ταύτην τὴν λέξιν |
627 ἡμαρτῆσθαι, καθάπερ καὶ ἄλλας πολλάς. ἄμεινον γὰρ ἦν ἢ 'μὴ περί-
χολα' γεγράφθαι κατ᾽ αὐτὴν ἢ μηδ᾽ ὅλως γεγράφθαι τὰ περίχολα.
εἰ δέ περ ἀναγκαζόμεθα τὴν λέξιν ὡς ἀναμάρτητον ἡγεῖσθαι, δυοῖν
θάτερον· ἢ τὸν μὲν ἕνα καιρὸν ἔκλευκα διαχωρεῖσθαι νομιστέον, ἐν
ἑτέρῳ δὲ περίχολα, ἢ εἴπερ ἐν ἑνὶ χρόνῳ βούλοιτό τις ἀμφότερα

νόσημα χολῶδες, ἔλαττον κινδυνεύουσιν. ὁμοίως ἀπὸ χολώδους ὕλης γεγονότος νοσήματος ἐνδέχεται καὶ τὰ ἐκκρινόμενα εἶναι χολώδη, ὡς ἔλαττον αὐτοὺς κινδυνεῦσαι· ἐνδείκνυνται γὰρ μονοειδῆ τὴν διάθεσιν. εἰ δέ γέ εἰσι χολώδη καὶ ἔκλευκα, δηλοῦσιν ποικίλας διαθέσεις· ὁμοίως οὖν καὶ τὰ ἔκλευκα περίχολα. 67, 29 πολλάκις] *egisse videtur de hac re in initio libri perdito.*

68, 15 *sqq.* Προγνωστικῷ] *11 (II 136, 10 L.)* 18 Ἀφορισμοῖς] *II 34 (IV 480, 7 L.)*

1 πάμπολυ LT (παρὰ πολὺ A): πάμπολα R 2 τοῦ Δράκοντος Ἱππ.] *cf. XV 110 sq.* 3 εἶναι τοῦτο L 7 ζητῶν L 11 πραγμάτων RL: γεγραμμένων T 12 ἀναφερομένων L αὐτῶν L 13 αὐτὸ] αὐτοὶ T 15 τὰ ἔκλευκα γὰρ *transp.* L 16 μοχθηρόν L 16. 17 *liberius citatur servatis dumtaxat dialecti paucis vestigiis* 18 τύχῃ T: τύχοι RL 20 παρά τε τὴν L 21 μοχθηρόν L 22 φύσει L 24 ἂν χολώδεά τε ἅμα RT (*nisi quod* ἂν *om.* R): ἅμα τὲ περίχολα *pos.* L; *aporiae solutionem invenisset Gal., si Coac. 590 contulisset* 26 ἄμενον L ἢ μὴ R: ἤτοι LT 27 περίχολα RLT: ἔκλευκα *a Basil. edd.* 28 *aut* ὡς *delendum aut* ἐξηγεῖσθαι *emendandum (cf. 70, 1)* 29 ἐν L: *om.* RT 30 βούλεται T

λέγειν ἐκκρίνεcθαι, τὰ μὲν ἔκλευκα τῶν ἑcτώτων τε καὶ cκληρῶν διαχωρημάτων τὴν χρόαν δηλώcει, τὰ περίχολα δὲ τὰ πέριξ αὐτῶν ἔχοντα χολὴν τῇ cυcτάcει λεπτήν. εἰώθαcιν δὲ ὀνομάζειν τὰc τοιαύταc ἐκκρίcειc ʽπερίχρουcʼ.

τά γε μὴν οὖρα τοιοῦτον μὲν ἔχειν οὐδὲν δύναται μεμιγμένον, ἤτοι δὲ θάτερον τῶν εἰρημένων ἐπ᾽ αὐτῶν ἢ τὸ ἕτερον ἀκούειν ἀναγκαῖόν ἐcτιν· ἄμφω δὲ μοχθηρά, τό τε ἔκλευκον καὶ τὸ περίχολον. ἀκοῦcαι δὲ ἐπὶ τῶν οὔρων τὸ περίχολον ἀναγκαῖόν ἐcτιν αὐτὸ τὸ περιττῶc χολῶδεc. οὐ γὰρ οἷόν τε κατὰ τὸν αὐτὸν τρόπον, ὃν ἐπὶ τῶν διαχωρημάτων εἶπον ἐγχωρεῖν γενέcθαι τὰ περίχολα μετὰ τῶν ἐκλεύκων, οὕτω | κἀπὶ τῶν οὔρων ἀκούειν. 628

ὃ δ᾽ ἐπὶ τῷ τέλει τῆc ῥήcεωc ἔγραψεν ʽἆρά γε τούτοιcιν ἧπαρ ἐπώδυνονʼ, ὀρθῶc εἴρηται. τιcὶν μὲν γὰρ αὐτῶν ἐπώδυνον γίνεται, τιcὶν δὲ οὔ, διὰ τὸ καὶ διὰ φλεγμονὴν καὶ δι᾽ ἔμφραξιν καὶ διάθεcιν φλογώδη τά τε κατὰ τὴν γαcτέρα καὶ τὰ διὰ τῆc κύcτεωc ἐκκρίνεcθαι. λέλεκται δέ cοι περὶ τῶν τοιούτων ἁπάντων ἅμα ταῖc οἰκείαιc ἀποδείξεcιν ἐν ταῖc ἡμετέραιc πραγματείαιc, ὥcτ᾽ οὐ χρὴ νῦν καθ᾽ ἑκάcτην ῥῆcιν ἀποδείξειc ἀκούειν φυcικάc, ἀλλ᾽ ἀρκεῖcθαι μόνοιc τοῖc ἐξ αὐτῶν ἀποδεδειγμένοιc.

II 18 [I 54. V 524, 4] Αἱ ἐν πυρετοῖcιν ἀφωνίαι cπαcμώδεα τρόπον ἐξίcτανται cιγῇ, ὀλέθριον.

Ἁπάντων μὲν τῶν παλαιῶν ἀντιγράφων τὴν γραφὴν ταύτην ἐχόντων, ἁπάντων δὲ τῶν ἐξηγηcαμένων τὸ βιβλίον | δεχομένων αὐτήν, 629 ἔνιοι τῶν χθὲc καὶ πρώην γεγονότων μεταγράφουcιν εἰc τοιαύτην λέξιν, ἣν ἐξηγήcαcθαι ῥᾷcτον αὐτοῖc. ἐγὼ δὲ τὸν μὲν ἀποροῦντα περὶ τῆc ἐξηγήcεωc ὑπονοῆcαί τε τὴν λέξιν ἡμαρτῆcθαι καὶ μεταγράψαι πρὸc τὸ φαινόμενον ἀληθὲc οὐ μέμφομαι· τὸ δ᾽ ⟨ὡc⟩ οὕτωc γεγραμμένον

20 *schol.* R: αἱ ἐν πυρετοῖc ἀφωνίαι γινόμεναι [γίνονται μὲν *Kalbfleisch*] κινουμένων τῶν φωνητικῶν ὀργάνων cπαcμωδῶc. γίνονται δὲ καὶ δι᾽ ἄλλαc αἰτίαc ἀφωνίαι, τουτέcτιν διὰ παράλυcιν τῶν φωνητικῶν ὀργάνων, ἥτιc γίνεται αἰτία τῆc αἰcθήcεωc, τουτέcτιν τῆc ἁπτικῆc *(? cf. ad p. 70, 20)*, καὶ αἰτία τῆc ἀφωνίαc. αἱ γοῦν τοιαῦται ἀφωνίαι αἱ γινόμεναι cπαcμωδῶc κινουμένων τῶν φωνητικῶν ὀργάνων δηλοῦcιν ἔκcταcιν μετὰ cιγῆc καὶ ὀλέθρου [*l.* ὄλεθρον]. ζήτημα οὐδὲν ὑπολείπεται, πῶc ἐξίcτανται μετὰ cιγῆc ⟨οἱ μηδ᾽⟩ ὅλωc φωνεῖν δυνάμενοι *(postrema cultro partim abscisa, cf. p. 70, 26)*

1 διαχωρημάτων *om.* T 2 τὰ πέρυξ R: πέριξ (*om.* τὰ) LT 5 οὐδὲν] οὐ L 9 διαχωρημάτων R: διαχωρουμένων LT 12 δ᾽ LR: δὲ T: *om. ex Aldo edd.* 14 διὰ τὸ καὶ RL: *om.* T *et ex Ald. edd.* 15 τά τε κατὰ RLT: κατά τε *ab Aldo edd.* καὶ τὰ διὰ TL: τὰ *om.* R 16 *post* ἁπάντων *add.* νοcημάτων L οἰκείαιc RL: ἰδίαιc T 17. 18 καθ᾽ ἑκάcτη ῥήcει R 18 φυcικὰc] φηcὶν L 20 *fortasse intellegendum* αἳ *cf. p. 70, 8* πυρετοῖc LT 21 τρόμον L ἐκcτᾶcαι cιγῇ *melius Coac. 243* cιγῇ δὲ ὀλεθρία R 23 δὲ LT: τὲ R 25 ῥᾷον L 26 *post* ἐξηγήcεωc *add.* ὡc L πρὸc ... μεταγράψαι *(70, 1) om.* L 27 ⟨ὡc⟩ οὕτωc *scripsi*: οὕτω RT; *sensum praeivit interpres latinus Rasarius*

ἐξ ἀρχῆς, ὡς αὐτὸς ἐτόλμησε μεταγράψαι, τὴν ἐξήγησιν ποιεῖσθαι μέμψεως ἄξιον εἶναι νομίζω. πεποιηκότων δ' ἐνίων τοῦτο κατὰ πολλὰς λέξεις, ἐπὶ πάντων μεμνῆσθαι τῆς ῥᾳδιουργίας αὐτῶν μακρὸν εἶναι νομίζω. ὥσπερ δὲ καὶ ἄλλα πολλὰ τῶν καθ' ὅλον τὸ βιβλίον γεγραμμένων ἅπαξ ἢ δὶς ἐπεσημηνάμην, οὕτω καὶ τοῦτο.

λέλεκται μὲν οὖν μοι ταῦτα διὰ τοὺς ὅλον ἀφελόντας τῆς προκειμένης ῥήσεως τὸ σιγῇ ὀλέθριον, ἐγὼ δ' ἡγοῦμαι τὴν διάνοιαν εἶναι τοιαύτην· αἱ ἐν πυρετῷ ἀφωνίαι, ὅσαι κατὰ σπασμώδη τρόπον γίγνονται, τελευτῶσιν εἰς τὴν μετὰ σιγῆς ἔκστασιν, ὀλέθριον. τὸ δ' εἴτε πάθος ἢ σύμπτωμα προσυπακοῦσαι δεῖ τούτῳ συνήθως οὕτως ἑρμηνεύοντος τοῦ γράψαντος τὸ βιβλίον. χρὴ τοίνυν τὸ σιγῇ κατὰ δο-
630 τικὴν | πτῶσιν ἀκούειν συντάττοντας τῷ ἐξίστανται τὸ σιγῇ· κατὰ δοτικὴν δὲ πτῶσιν ἀκουόμενον τὸ σιγῇ οὐκέτι αὐτὸ σημαίνει μόνον τὸ 'ἐξίστανται μετὰ σιγῆς, πάνυ κακόν'· δῆλος γάρ ἐστιν πάλιν ὑποτάξας τὸ σιγῇ τῷ ὀλέθριον, ὅπερ ἀκουστέον ἀντὶ τοῦ λεληθότως τε καὶ ἀδήλως τοῖς πολλοῖς.

γιγνομένων οὖν ἀφωνιῶν κατὰ πολλοὺς τρόπους, ὡς δέδεικται, νῦν οὗτός φησιν τὴν σπασμώδη τρόπον γιγνομένην ἀφωνίαν εἰς τὴν μετὰ σιγῆς ἔκστασιν τελευτᾶν· τίνων τοίνυν σπασμώδη τρόπον ἀκούσωμεν; εἴποι τις ⟨ἄν⟩· τῶν φωνητικῶν ὀργάνων, ἃ καὶ τῷ παραλελύσθαι καὶ τῷ μηδ' ὅλως ὑπὸ τῆς προαιρέσεως κινεῖσθαι τῆς ἀφωνίας αἴτια γίγνεται. τούτων οὖν τὴν διάθεσιν ἀφορίζων τὴν σπασμώδη διὰ τοῦτο εἶπεν· αἱ ἐν πυρετοῖς ἀφωνίαι σπασμώδεα τρόπον. αὗται τοίνυν οὐ μετὰ θορύβου καὶ κραυγῆς (οὐ γὰρ δύνανται φωνεῖν οἱ ἄφωνοι γεγονότες), ἀλλὰ μετὰ σιγῆς εἰς ἔκστασιν ἀφικνοῦνται, καὶ
631 ζήτημα οὐδέν ἐστι, πῶς ἐξίστανται μετὰ | σιγῆς οἱ μηδ' ὅλως φωνεῖν δυνάμενοι.

πόθεν οὖν, φασίν, γνῶμεν αὐτοὺς ἐξισταμένους; γελοιότατον ἐρωτῶντες ἐρώτημα, μόνοις πρέπον ἐκείνοις ἐρωτᾶν, ὅσοι μηδέποτε ἑωρά-

17 δέδεικται] *cf. supra p. 45, 11*

4 δὲ καὶ RT: γὰρ L   6 *an* ὅλως?   ἀφελόντα T   7 σιγῆς LT   8 αἱ *om.* T   πυρετῷ *hic* RLT, *at cf. v. 23 et p. 69, 20*   σπασμώδεα T   9 τελευτῶσι μὲν εἰς LT   10 ἢ RT: εἴτε L   δεῖ τούτω T: δεῖ τοῦτο R: γὰρ δεῖ τοῦτο L   11 τοῦ γράψαντος *om.* L   12 συντάττοντα T   τῷ ἐξίστανται L: τὸ ἐξίστανται RT   τὸ σιγῇ LT: τῷ σιγῇ R   13 δὲ *om.* L   ἀκουόμενον L: ἀκουομένου T: ἀκούειν μόνον R   τὸ σιγῇ R: τοῦ σιγῇ LT   μόνον τὸ R: μὲν οὕτω LT   14 δῆλος R: δῆλον LT   πάλιν ὑποτάξας R: πάνυ τάξαντας LT   15 τὸ σιγῇ LT: τῷ σιγῇ R   τῷ *scripsi*: τὸ RL: *om.* T   ὅπερ R: *om.* LT   ἀκουστέον RL: ἀκουστὸν T   *post* ἀκουστέον *add.* ἢ ὀλέθριον ἀνάκουστον ἢ ὀλέθριον LT   ἀντὶ RL: τι T   λεληθότος καὶ T   18 οὕτως R σπασμώδει τρόπῳ L: σπασμώδη τρόπω (*superscr.* μω *i. e.* τρόμω) T *cf. 69, 21* L   19 τρόμον T   20 ἀκούσωμεν R: ἀκούσομεν LT   εἴποι A: εἴπῃ RLT ἂν *addidi*   *post* παραλελύσθαι *add.* αἰσθήσεως LT; *si* αἰσθήσεως, *quod etiam* A *habet et* R *schol. p. 69, 20 agnoscere videtur, verum est, plura interciderunt. at videtur potius ad scholion nescio quod pertinere aut corruptum esse ex* τῆς ἀναισθησίας   21 καὶ τὸ μηδ' R   22 γίγνεται R²T: γίνεται L: γίγνεσθαι R¹   τῶν διαθέσεων T   23 διὰ] *conicio* δηλονότι   *post* τοῦτο *additurus* οὖν *expunxit* R   πυρετῷ L *(cf. ad v. 8)*   24 φωνεῖν] ωεῖν L   29 πρέπων T

κασι βεβλαμμένους τὴν διάνοιαν ἀνθρώπους. κἂν γὰρ μὴ φθέγγωνται, τὸ μὴ βλέπειν αὐτοὺς προσηκόντως τοὺς συνήθεις μήτ' ἐρωτωμένους ἃ πεπόνθασιν λέγειν ἢ διὰ γραφῶν ἢ νευμάτων ἐνδείκνυσθαι ⟨κινεῖσθαί⟩ τε κινήσεις ἀλόγους ἀναπηδῶντας ἢ ἐσπασμένους ἀτάκτως ἐνδεικτικόν ἐστιν τῆς παραφροσύνης αὐτῶν. κἂν ἰσχυρῶς ἐκστατικὸν τούτων γένηται τὸ πάθος, οὐ παραφροσύνην ἁπλῶς, ἀλλ' ἔκστασιν εἰκότως ὀνομάζομεν.

II 19 [I 55. V 524, 6] Αἱ ἐκ πόνου ἀφωνίαι δυσθάνατοι.

Τὸ δυσθάνατοι σημαίνει μέν ποτε καὶ τὸ βραδυθάνατοι, σημαίνει δὲ καὶ τὸ σὺν ὀδύνῃ θνήσκειν, ὅπερ εὔ|λογόν ἐστιν κατὰ τὴν προκει- 632
μένην ῥῆσιν εἰρῆσθαι, καὶ μάλιστα, ὅτι τοιαύτης ἀφωνίας ἐμνημόνευσεν ἐν τῇ πρὸ αὐτῆς· ὀδυνηρὸν γὰρ πάθος σπασμός.

II 20 [I 56. V 524, 6] Οἱ ἐξ ὑποχονδρίων ἀλγημάτων πυρετοὶ κακοήθεες.

Εἴθ' ὁ συνθεὶς τὸ βιβλίον εἴτ' ἄλλος ἔγραψεν, αὐτὸς τήνδε τὴν ῥῆσιν οὐκ ἐπαινῶ· χωρὶς γὰρ διορισμοῦ λεγομένη διττῶς ἐστιν ψευδής, ὅτι καὶ διττοῦ διορισμοῦ δεῖται· πολλῶν γοῦν ἐν τοῖς ὑποχονδρίοις κειμένων μορίων οὐκ ἐπὶ πᾶσιν αὐτοῖς οἱ πυρετοὶ κακοήθεις εἰσίν, ἀλλ' ἐπὶ διαφράγματι καὶ γαστρὶ καὶ ἥπατι. γινώσκομεν δ', ὅτι καὶ τῶν μυῶν ἔνιοι τῶν ἐνταῦθα φλεγμαίνοντες ἀνάπτουσιν πυρετούς. οὐ μὴν οὐδ' ὅταν ἐφ' ἥπατος ἢ γαστρὸς ἢ διαφράγματος φλεγμονὴ γίγνηται, πυρετὸς εὐθὺς οὗτός ἐστι κακοήθης, ἀλλ' ὀξὺς ἴσως ἂν εἴη, καίτοι γε οὐδὲ τοῦτ' ⟨ἀεί⟩, | κακοήθης δὲ οὐδέπω. διότι δὲ μηδ' ὀξὺν ἀεί φημι 633
γίγνεσθαι, μαρτυρεῖ μὲν καὶ ἡ πεῖρα καὶ ὁ λόγος δὲ ἀποδείκνυσιν ἀπὸ τῶν ἐκτὸς φλεγμονῶν ἐναργῆ κομιζόμενος πίστιν. ἀνὰ λόγον γὰρ ἀεὶ τῷ μεγέθει τῶν φλεγμονῶν τῶν πυρετῶν ἀκολουθούντων ὥσπερ οὐκ ἔστιν ἀναγκαῖον ἀεὶ φλεγμαίνειν ἰσχυρῶς τῶν ἐν ὑποχονδρίοις τι κυρίων μορίων, οὕτως οὐδὲ πυρετὸν ὀξὺν ἐπιφέρειν. ἀφίημι τοιγαροῦν τὴν λέξιν τοῖς καὶ τῶν ψευδῶς εἰρημένων αἰτίας ψευδεῖς ὡς ἀληθεῖς λέγουσιν. ἐμοὶ δ', ὡς ἔφην, οὔτε συναγορεύειν τινὶ πρόκειται τῶν πα-

7 *schol.* R: ὁ παρὼν ἀφορισμὸς συνεχής ἐστι τῷ πρὸ αὐτοῦ διδάσκων, ὅτι αἱ ἀφωνίαι αἱ γινόμεναι σπασμοῖς αὐτῶν [?] εἰσιν ὀδυνηραί· ἐν τοῖς σπασμικοῖς γὰρ τὰ μόρια τείνονται καὶ τεινόμενα ὀδυνῶνται. διὰ τοῦτο οὖν λέγει ὁ παλαιός, ὅτι αἱ ἀφωνίαι αἱ γινόμεναι ἀπὸ τῆς τάσεως τῶν φωνητικῶν ὀργάνων γίνονται μετὰ πόνου καὶ εἰσὶν δυσθάνατοι, τοῦτ' ἔστιν ἢ μετ' ὀδύνης ἢ βραδυτῆτος.

1 ἀνθρώπους] ἀρώστους, *sed corr. in mrg.* R 2 τὸ RL: τῷ T 3 γραφῆς L κινεῖσθαί *add. Schoene* 4 ἀλόγως L 5 ἐκσταντικὸν R τούτων *om.* L γένηται *scripsi*: γένητο R: γίνηται A: γίνεται LT 6 ἔκστασιν R: ἐκστατικὴν LT 7 ἀφωνίαι] ἀθυμίαι L 8 τὸ δυσθάνατοι R: *om.* LT βραδυθάνατον L 9 *an* θνήσκοντες? 11 ἐν τῇ πρὸ αὐτῆς] *sc.* ῥήσει *cf. v. 70, 17 sqq.* 12 *lemma cum comm. om.* L ἀλγήματα T: ἀλγήματος *Hipp. codd.* 14 *ante* εἴθ' *ins.* ταύτην T; *post* εἴθ' *transp.* αὐτὸς *Kalbfleisch* 18 διαφράγματα T 22 τοῦτ' ἀεὶ *sec. Rasarii interpr. scripsi*: τοῦτο RLT 26 ὑποχονδρίω R 27 ἀφίμοι T (*non* A)

λαιῶν οὔτε φιλονίκως αὐτοῖς ἀντιλέγειν; ἀλλ' ἅπερ ἀληθῶς οἶδα γιγνόμενά τε καὶ φαινόμενα κατὰ τοὺς ἀρρώστους, ταῦτα καὶ τοῖς ἀσκοῦσι τὴν ἰατρικὴν τέχνην διέρχεσθαι.

II 21 [I 57. V 524, 6] Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι κακόν. |

634 Μέρος ἐστὶ καὶ τοῦτο τοῦ καθόλου λόγου, καθ' ὃν πάντα τὰ παρὰ λόγον ῥηΐζοντα πρῶτον μὲν ἄπιστά φησιν ὑπάρχειν, εἶτα καὶ κινδυνώδη πολλάκις, ὅταν καὶ αὐτὰ παρὰ λόγον ῥηΐζοντ' ἢ τὰ κινδυνώδη συμπτώματα. εἴρηται δέ τις καὶ ἄλλος ἐν Ἀφορισμοῖς καθόλου λόγος, ἐφ' ᾧ καὶ αὐτὸ λέλεκται τὸ νῦν εἰρημένον· "ὁκόσοι γὰρ πονέοντές τι τοῦ σώματος τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσεῖ". τὸ τοίνυν ἐν ὀξέσι νοσήμασι παραλόγως λυθῆναι δίψαν, ὅτι μὲν κακόν ἐστι σημεῖον, αὐτὸ τὸ παραλόγως λυθῆναι διδάσκει ἱκανῶς· ὅτι δὲ καὶ τῆς γνώμης βλάβην σημαίνει, ἐκ τούτου δῆλον, ὅτι τῆς διαθέσεως ἔτι μενούσης ἀναίσθητός ἐστιν αὐτός, καίτοι γε ὀδυνηρᾶς οὔσης διαθέσεως.

τὸ δὲ παραλόγως ὁποῖόν τι δηλοῖ, πολλάκις μὲν ἐν πολλοῖς εἶπον, οὐ χεῖρον δὲ καὶ νῦν ἀναμνῆσαι· ὅταν μήθ' ἱδρῶτος γενομένου μήτ' ἐμέτου μήτε διαχωρήσεως ἀλλὰ μηδὲ ἀποστήματος κρισίμου λυθῆναι
635 συμβῇ τὴν δίψαν, οὐ τῷ πεπαῦσθαι τὴν διάθεσιν, ἀλλὰ | τῷ τὴν αἴσθησιν ἠμαυρῶσθαι. τοῦτο γιγνόμενον οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐὰν δὲ γλώττης ξηρᾶς μενούσης καὶ τῶν οὔρων ἀπέπτων ὄντων ἡ δίψα παύσηται, βεβαιότερον ἔτι διαγνώσῃ τὴν κακίαν τῆς διαθέσεως· ἐὰν δὲ καὶ χωρὶς τοῦ τὸν ἰατρὸν ἐπιθεῖναί τι τῶν ψυχόντων τε καὶ ὑγραινόντων ἔξωθεν, ἔτι καὶ μᾶλλον, ⟨ἐπειδὴ⟩ τὰ τοιαῦτα τὴν ἐν ὀξέσι νοσήμασι δίψαν οὐ παύειν, ἀλλὰ πραΰνειν πέφυκεν. παντοίως δὲ κακὸν τὸ παύεσθαι τελέως τὴν δίψαν ἐν ὀξέσι νοσήμασι. καί μοι μέμνησο τῶν εἰρημένων ἄρτι [τῷ] τοῦ παραλόγως λύεσθαι παραδειγμάτων, ὅπως μὴ πολλάκις αὐτῶν χρῄζῃς ἀκούειν.

9 Ἀφορισμοῖς] *II 6 (IV 470 L.) cf. supra p. 33, 8*

1 φιλονείκως R 4 παρὰ λόγον *Hipp. restituendum* 6 καὶ LT: *om.* R 7 εἶτα R: εἶτα δὲ LT 8 παραλόγως L ῥηΐζοντ' ἢ *scripsi*: ῥηΐζονται R: ῥηΐζοντα T: ῥηΐζωνται L τῶν κινδυνωδῶν συμπτωμάτων L 9 *post* ἄλλος *duas litteras del.* T 10 γὰρ *om. Gal. 33, 18 et Hipp.* 11 οὐκ] μὴ *Gal. l. c. et Hipp. codd. multi* 12 τὸ *om.* R παραλόγον R 13 παραλόγως LT: παραλόγον R 14 ὅτι R: ἐστιν LT 17 παραλόγον R 18 ἀναμνῆσαι καὶ νῦν L 21 ἀμαυροῦσθαι L ἂν L γλώσσης RLT 24 ἐπιθῆναι R 25 ἔτι *Cornarius*: ἐπειδὴ RLT ἐπειδὴ *inserui (falso antea insertum)*; τὰ ⟨γὰρ⟩ *Cornarius* 26 δὲ R: δὲ ἐστὶ T: οὖν ἐστι L 27 τῷ RL: τὸ T: *del. Kalbfleisch* 28 παραλόγον R παραδειγμάτων *Kalbfleisch:* παραδείγματι R: παραδείγματος T: παραδείγματα L 29 ἀκούειν *ante* αὐτῶν *ponit* L χρῄζεις RT

II 22 [I 58. V 524, 7] Ἱδρὼς πολὺς ἅμα πυρετοῖς ὀξέσι γινόμενος φλαῦρος.

Τῷ πολὺς μάλιστα πρόσεχε τὸν νοῦν, ἐπεί τοι πολλάκις ἐν ὀξέσι νοσήμασιν ἱδροῦντες ἀεὶ μετρίως χρονίζουσι μέν, οὐ μὴν ἀποθνήσκουσιν. εἰ δὲ καὶ πολὺς ἱδρὼς γί|γνοιτο μὴ λύων τὸν πυρετόν, εὔδηλον ὅτι 636 καταλυθήσεται ταχέως ἡ τοῦ κάμνοντος δύναμις.

II 23 [I 59a. V 524, 8] Καὶ οὖρα δ' ἐπίπονα πονηρόν.

Κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων οὖρα πέπονα γέγραπται καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον οὕτως ἴσασι γεγραμμένον, ὅτι μὴ Ῥοῦφος ὁ Ἐφέσιος, ἀνὴρ φυλάσσειν μὲν ἀεὶ πειρώμενος τὰς παλαιὰς γραφάς, ἐνταυθοῖ δὲ ἐπιτιμῶν Ζεύξιδι τῷ παλαιτάτῳ ἐμπειρικῷ τῷ εἰς ἅπαντα τὰ Ἱπποκράτους βιβλία γεγραφότι ὑπομνήματα, τάδε φησὶν αὐτοῖς ὀνόμασι· "Ζεῦξις δέ, εἰ ἄρα δεῖ καὶ τούτου μνημονεῦσαι, κατὰ πολὺ διαφεύγων τὸ ἀσύνετον ἐνταῦθα διαπέφηνεν· περιπεσὼν γὰρ ἁμαρτήματι ἐφύλαξεν αὐτό. βούλεται γὰρ γεγράφθαι τὸ οὖρα πέπονα, ὡσεὶ καὶ 'οὖρα πυώδη καὶ πάχος ἔχοντα μοχθηρόν', οὐκ εἰδὼς τοῦθ' ὅτι ταῦτ' ἐν | τοῖς μεγίστοις βοηθήμασι καταριθμεῖται." ταῦτα μὲν ὁ Ῥοῦ- 637 φος οὐκ ἀγεννῶς ἔγραψεν πρὸς τὸν Ζεῦξιν, ἡμαρτῆσθαι λέγων τὴν πέπονα γραφήν, ταύτης δὲ τὴν ἐπίπονα προελόμενος, ἵνα σημαίνῃ τὰ μετὰ πόνου ἀποκρινόμενα.

τοῖς δὲ προσιεμένοις τὴν πέπονα γραφὴν εἴρηταί τινα μὲν ἀπίθανα μηδὲ τοῦ μνημονεύειν αὐτῶν ἄξια, πιθανὸν δέ τι δυνάμενον παρακρούσασθαι τοὺς πολλοὺς τοιοῦτον· 'ἐπειδὴ φαίνεται λέγων ὁ Ἱπποκράτης "τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα", διὰ τοῦτό φησι καὶ τὰ πέπονα οὖρα, ὅταν μὴ λύῃ τὴν νόσον, οὐκ ἀγαθὸν εἶναι σημεῖον'. ἀγνοοῦσιν δ' οὗτοι κρίσιμα μὲν ὑφ' Ἱπποκράτους ὀνομαζόμενα συμπτώματά τε καὶ σημεῖα τὰ σημαίνοντα κρίσιν ἢ καὶ ποιοῦντα παρ' ἑαυτῶν, καθάπερ αἱμορραγία ἢ διὰ γαστρὸς κένωσις, οὔρων τε πλῆθος, ἔμετος, ἐπιμήνια, αἱμορροΐς, παρωτίδες, ἀποσκήμματα, πᾶν ἄλλο. τούτων δὲ ἕτερα τὰ τῆς πέψεως σημεῖα, περὶ

24 Ἱπποκράτης] *Epid. II 1, 6 (V 76, 5 L.)*

1 πυρετοῖς RLT: πυρετοῖσιν *Hipp. cf. infra p. 76, 4* γινόμενος L: γιγνόμενος RT 3 προσέχετε L 5 ἐπιγένοιτο L 6 καταλυσθήσεται T 7 δὲ πέπονα *Hipp. codd. plerique et Coac. 568; at cf. Gal. comm. et p. 74, 6* πονηρὰ *infra Gal. p. 74, 10. 11* 8 τὰ *om.* T 13 πολὺ R: πολλὰ LTA *fortasse rectius* 14 διαφέρων L διαπέφηνεν *manifestum reddidit* ἐπιπεσὼν RLT: *corr. Cobet Mnem. N. S. XIII (1885) 232* 15 γὰρ R: οὖν LT τὸ R: τὰ LT 17 ταῦτα L: ταῦθ' R 18 λέγων L: λέγειν R: λέγω T 19 τὴν *scripsi*: τὰ LT: τὰ τὴν R (τα *reliquum ex falsa corr.* λέγοντα) σημάνηι L 22 τι παρακρούσασθαι δυνάμενον T 25 λύει R 26 οὐκ ἀγνοοῦσι L 28 ἑαυτῶν R: αὐτὰ LT 29 τε *om.* L 30 τούτων δὲ ἕτερα RT: τοιοῦτον δ' ἑτέρως L

ὧν αὐτὸς εἶπεν ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν· "οἱ δὲ πεπασμοὶ ταχυ-
638 τῆτα κρίσεως καὶ ἀσφάλειαν εἰς ὑγίειαν σημαίνουσιν", καὶ μέντοι | κἀν τῷ Προγνωστικῷ ἐπὶ τῶν οὔρων αὐτὸς ἔγραψεν· "οὖρον δὲ ἄριστον μέν ἐστιν, ὅταν ἡ ὑπόστασις λευκή τε ἔῃ καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος· σημαίνει τε γὰρ ἀσφάλειαν καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι". πάρεστι δέ σοι καὶ τήνδε τὴν τῶν νοσημάτων διήγησιν ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις ἀναγνόντα μαθεῖν, ὡς οὐδεὶς τῶν ἀποθανόντων οὔρησε πέπονα. χρὴ δὲ γινώσκειν σε κατὰ πολλὰ τῶν ἀντιγράφων ἁπλῶς γεγραμμένον καὶ οὖρα πέπονα μὴ προσκειμένου τοῦ πονηρά. ἐπενήνεκται γὰρ ὀλίγον ὕστερον καὶ τούτοις καὶ τοῖς ἐφεξῆς εἰρημένοις οὔροις τὸ πονηρά.

II 24 [I 59b. V 524, 9] Καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα καὶ τὰ ἰώδεα πονηρά. καὶ τὸ μικρὰ ἐπιφαίνεσθαι οἷον στάξιας. |

639 Περὶ τῶν εἰρημένων οὔρων ὁ λόγος, συνάψαι δὲ χρὴ ταῦτα σαφηνείας ἕνεκεν, ὡς γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε· καὶ οὖρα ἐπίπονα καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα καὶ τὰ ἰώδεα πονηρά. τὸ τοίνυν ἐκ τούτων ἐκ τῶν ἐπιπόνων οὔρων βούλεται σημαίνειν, οὐκ ἐκ τῶν πεπόνων· οὐδὲ γὰρ ἐφίσταταί ποτε πεπανθεῖσιν οὔροις οὔτε ἐπανθίσματα κατὰ χροιὰν ἐρυθρὰ οὔτ' ἰώδη. τὸ δὲ κατεχόμενα πρόσκειται τοῖς τοιούτοις οὔροις, ἤτοι μόγις ἐκκρινόμενα δηλοῦν ἢ καὶ τελείως ἰσχόμενα. φαίη δ' ἄν τις ἴσως ἀδύνατον εἶναι τὰ κατεχόμενα διαγνῶναι, τίνος ἐστὶ χροιᾶς· ἀλλ' ὅταν ἐφθάκῃ τε πρότερον οὐρεῖσθαι τοιαῦτα καὶ μετὰ τὴν ἐπίσχεσιν ἐκκριθῇ, βιασαμένων τῶν ἀρρώστων ἢ καὶ πραγματευσαμένων τῶν ἰατρῶν, ἅμα τε τῷ τὰς χρόας αὐτῶν ἐγνῶσθαι καὶ τὸ κατέχεσθαι καὶ οὕτως ἀποκρίνεσθαι λέγων ἄν τις οὐ ψεύσαιτο. προσκειμένου δὲ τῷ λόγῳ καὶ

1 ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν] *I 2, 5 (II 634, 2 L.)* 3 Προγνωστικῷ] *12 (II 138, 15 L.)*

1 οἱ δὲ *om. Hipp.* 2 κρίσιος L, *Hipp.*: κρίσεως RT καὶ (*ante* ἀσφάλειαν) *Hipp.*: εἰς R: *om.* LT εἰς RLT: *om. Hipp.* ὑγίειαν L: ὑγίαν R: ὑγείαν T: ὑγιείης *Hipp.*: ὑγιεινὴν *Gal. XVI 72, 7 K. al. loc.* σημαίνουσα L
2. 3 κατὰ τὸ προγνωστικὸν L 3 τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις καὶ λείη *Hipp.* 4 τε ἔῃ *scripsi (cf. 75, 24)*: τε εἴη RT: τε L; ᾖ *post* ὅταν *habet Hipp.* 5 κριθείη L σημαίνει τε γὰρ ἀσφάλειαν RLT: σημαίνει γὰρ ἀσφάλειάν τε *Hipp.* 7 *ante* διήγησιν *iter.* τὴν T ἀναγνόντι L 12 καὶ τὰ *(omissa v. 13) ins. post* ἐρυθρὰ L ἐξέρυθρα *videtur legisse Gal. p. 75, 8 (cf. p. 44, 1 sqq.), nisi aliud exemplum, correctum illud ex Coac 568, hoc loco adhibuit; nam* ἐρυθρὰ *v. 17. 20 tuetur* 13 καὶ τὰ R: *om.* LT (*ut Hipp. codd. exhibent* ἰώδεα κατεχόμενα, *om.* καὶ τὰ), *at cf. v. 17. 18* 14 οἷον LT *(cf. p. 75, 1)*: καὶ οἷον R *(ut Hipp. cod. D)* στάξιες *Hipp. codd.* 15 χρὴ *om.* R 16 ἕνεκεν T: ἕνεκα RL ἐπίπονα R: πέπονα LT 17. 18 καὶ τὰ *om.* LT 19 πέπονα L 20 ἰώδεα LT 21 ἤτοι LT: εἴτε R 24 ἐφθάκῃ A: ἐφθάκει RLT: φθάνῃ *ex* ἐφθάνει *Aldi Chartier* 26 τῷ τὰς R: τῶ τῆς T: τὸ τῆς L 27 ψεύσεται L: ψεύσηται RT

τοῦ μικρὰ ἐπιφαίνεϲθαι οἷον ϲτάξιαϲ, ἔτι καὶ μᾶλλον ἥ τε τῆϲ χροιᾶϲ αὐτῶν γνῶϲίϲ ἐϲτιν ϲαφὴϲ καὶ ἀλη|θὲϲ τὸ κατέχεϲθαι. 640

μεμνῆϲθαι δέ ϲε βούλομαι τῶν κατὰ τὸ Προγνωϲτικὸν εἰρημένων ἐπὶ τῶν ὑπερύθρων οὔρων κατὰ τήνδε τὴν λέξιν· "εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόϲταϲιϲ ὑπέρυθρόϲ τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρόϲθεν γίνεται, ϲωτήριον δὲ κάρτα". τῶν τοίνυν ἐξερύθρων οὔρων, ὧν νῦν μέμνηται, πάμπολυ διαφέρει τὸ κατὰ τὸ Προγνωϲτικὸν 'ὑπέρυθρον' λελεγμένον. τὸ μὲν γὰρ ἐξέρυθρον ὅτι τῶν ἀπέπτων ἐϲτίν, καὶ πρόϲθεν ἐδήλωϲα, τὸ δ' ὑπέρυθρον ἐπαινεῖ μὲν ὡϲ ϲωτήριον, χρόνου δὲ πλείονοϲ εἶναί φηϲι ϲημεῖον. ὅτι δὲ καὶ τὸ ἐρυθρὸν οὖρον ἐν τῷ μέϲῳ τοῦ τ' ἐξερύθρου καὶ τοῦ ὑπερύθρου τεταγμένον ἐν τῷ μεταξὺ καθ' ἑκάτερον αὐτῶν ἐϲτιν ἐπαίνου τε καὶ ψόγου, πρόδηλον.

II 25 [I 60. V 526, 2] Καὶ ἔμετοι μετὰ ποικιλίαϲ κακόν, ἄλλωϲ τε καὶ ἐγγὺϲ ἀλλήλων ἰόντων. |

Ὑπαλλάξειεν ἄν τιϲ τὸ τῆϲ ἑρμηνείαϲ ἀλλόκοτον, ᾧ φαίνεται χαί- 641
ρων ὁ γράψαϲ τὸ βιβλίον. ὁ δὲ λόγοϲ ἔϲται τοιοῦτοϲ· καὶ ἔμετοι μετὰ ποικιλίαϲ τῶν ἐμουμένων κακὸν ϲημεῖόν ἐϲτιν, ἄλλωϲ τε καὶ ἐγγὺϲ ἀλλήλων ἰόντων τῶν ἐμουμένων, ὅπερ ἐϲτὶν οὐ μετὰ πολὺν χρόνον, καὶ διὰ τοῦ προϲθεῖναι τοῦτο τῆϲ ποικιλίαϲ τῶν ἐμουμένων ἐμνημόνευϲεν. φαίνεται γὰρ οὐ πάντων τῶν ἐν τῷ Προγνωϲτικῷ μνημονεύων, εἰ μή τιϲ προϲθεῖναι βούλοιτο. γέγραπται δὲ ἐν τῷ Προγνωϲτικῷ περὶ τῶν ἐμέτων οὕτωϲ· "εἰ δὲ εἴη τὸ ἐμούμενον πραϲοειδὲϲ ἢ πελιδνὸν ἢ μέλαν, ὅ τι ἂν ἔῃ τούτων τῶν χρωμάτων, πονηρὸν χρὴ νομίζειν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸϲ ἄνθρωποϲ ἐμέοι, κάρτα ὀλέθριον γίνεται." τὰ μὲν ἐν τῷ Προγνωϲτικῷ ϲαφῶϲ εἴρηται μεμφομένου τοῦ Ἱπποκράτουϲ τὴν ποικιλίαν τῶν ἐμουμένων, ἐπειδὴ πολλὰϲ διαθέϲειϲ μοχθηρὰϲ κατὰ τὸ ϲῶμα τοῦ κάμνοντοϲ ἐνδείκνυται. κατὰ δὲ τὴν προκειμένην ἐνταῦθα ῥῆϲιν, ὡϲ ἔφην ἄρτι, πρόϲκειται τὸ ϲυνεχῶϲ ἐπ' ἀλλήλοιϲ ἐμεῖϲθαι τοὺϲ παρὰ φύϲιν ἐν τῷ ϲώματι πλεονά-

3 Προγνωϲτικόν] *12 (II 140, 4 L.) cf. supra p. 44, 17* 21 Προγνωϲτικῷ] *13 (II 144, 2 L.)* 29 ἔφην ἄρτι] *v. 19*

1 τοῦ] τὸ L ἔτι καὶ R: καὶ L: *om. utrumque* T 2 γνῶϲιϲ αὐτῶν *colloc.* L καὶ *om.* L *ante* τὸ *add.* τε L 5 ἡ *om.* L *post* ὑπόϲταϲιϲ *add.* αὐτέου *Hipp. vulg.* ὑπέρυθρόϲ τε] ὁμοίη *Hipp. vulg.* 6 πρώτου LT *ex Hipp.* 7 τὸ (*post* κατὰ) *om. Ald. cett.* 9 ἐδήλωϲεν (*comp.*) R 11 τοῦ (*post* καὶ) *om.* R 12 ψόγου τε καὶ ἐπαίνου *transp.* L 14 *lemma cum commentario usque ad p. 76, 4* προειρημένων *om.* L ποικιλλίαϲ R: ποικιλίηϲ *Hipp.* 17 μετὰ RT: κατὰ *ex Aldo edd.* 20. 22 προϲθῆναι RT 21 οὐ πάντων R: ἁπάντων T 23 ἐμεύμενον *Hipp.* πελιὸν *Hipp.* 24 ἔῃ *scripsi*: εἴη RT: ᾖ *Hipp.* τουτέων *Hipp.* 24. 25 νομίζειν χρὴ πονηρὸν εἶναι *Hipp.* 25 ὁ αὐτὸϲ RT: ὡυτὸϲ *Hipp.* 26 *ante* γίνεται *add.* τοῦτο *Hipp.* *fortasse* τὰ μὲν ⟨οὖν⟩ 27 τῇ ποικιλίᾳ T 29 ῥῆϲιν ἐνταῦθα *coll., sed corr.* R

642 ζοντας χυ|μούς. ὅτι δὲ οἱ συνεχῶς κενούμενοι χείρους εἰσὶ τῶν διαλειπόντων, εὔδηλον παντί.

πολλοὶ μέντοι τῶν ἐξηγηςαμένων τὸ βιβλίον τοῦτο μίαν ῥῆσιν ἐξ ἁπάντων ποιοῦνται τῶν ἀπὸ τῆςδε τῆς ἀρχῆς προειρημένων "ἱδρὼς πολὺς ἅμα πυρετοῖσιν ὀξέσι γινόμενος φλαῦρον" ἀλλήλοις ἅπαντα συνῆφθαι βουλόμενοι ἄχρι τοῦ ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων, ὡς ἐφ' ἑνὸς ἀρρώστου μίαν συνδρομὴν ἡγεῖσθαι τῶν γεγραμμένων μεταξὺ τῆς ἀρτίως ἀρχῆς εἰρημένης καὶ τῆς ἐν τῇ προκειμένῃ ῥήσει τελευτῆς· καὶ δυνατόν ἐστιν κατὰ τὴν διάνοιαν ταύτην ὑπὸ τοῦ γράψαντος τὸ βιβλίον ἐζεῦχθαι ταῦτα τὰ εἰρημένα συμπτώματα· φαίνεται γὰρ ἐξ ἀνομοιογενῶν ἐνίοτε συνδρομὰς ποιούμενος.

II 26 [I 61. V 526, 3] Ὁκόσα ἐν κρισίμοις ἀλυσμῷ ἀνίδρωτι περιψύχεται κακόν· καὶ τὰ ἐπιρριγώσαντα ἐκ τούτων κακά. |

643 Ὅτι καὶ τῶν κατὰ τὴν ῥῆσιν ταύτην ἐκ τῶν ὑφ' Ἱπποκράτους κατὰ μόνας εἰρημένων ἤθροισε τὴν συνδρομήν, εὔδηλόν ἐστιν. ὅ τε γὰρ ἀλυσμὸς ἀεὶ κακόν, ὡσαύτως δὲ καὶ τὸ περιψύχεσθαι ὡς πρὸς τοῦτον κακόν ἐστιν. τὸ δὲ κατὰ τὰς κρισίμους ἡμέρας τὰ φαινόμενα πάντα πιστότερα τῶν ἄλλων εἶναι παρ' ἐκείνου μεμαθήκαμεν. ἐνταυθοῖ δὲ πρόσκειται κακῶς τῷ ἀλυσμῷ τὸ ἀνίδρωτι· δόξει μὲν γὰρ ὁ μεθ' ἱδρῶτος ἀλυσμὸς οὐκ εἶναι κακός, ἢ εἴπερ ἐστίν, οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον κακός. ⟨καὶ⟩ οὐ μόνον ἐκ περιττοῦ φανεῖται τὸ ἀνίδρωτι προσκείμενον, ἀλλὰ καὶ πρὸς κακοῦ, τῶν ἀναγινωσκόντων τὸ βιβλίον ἡγησομένων τὸν χωρὶς ἱδρῶτος ἀλυσμὸν κακοηθέστερον εἶναι τοῦ σὺν ἱδρῶτι. καὶ μέντοι καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον καὶ τὰ ἐπιρριγώσαντα ἐκ τούτων κακά ψεῦδός ἐστιν ἁπλῶς οὕτως ῥηθέν, ὡς εἴρηται νῦν, ἐὰν μὴ προστεθῇ καθάπερ τῷ ἀλυσμῷ, οὕτω καὶ τῷ ῥίγει τὸ 'χωρὶς ἱδρῶτος', καὶ μᾶλλον ἐπὶ τοῦ ῥίγους ἡ προσθήκη γνώριμός τε καὶ χρήσιμος. ὁ μὲν γὰρ ἱδρῶτος χωρὶς ἀλυσμὸς ἧττον
644 κακόν | ἐστιν, τὸ δὲ μὴ μεθ' ἱδρῶτος ῥῖγος μεῖζον κακόν, ὡς, ἄν γε

4 *cf. lemma II 22 p. 73, 1* 18 παρ' ἐκείνου μεμαθήκαμεν] *cf. Hipp. Prognost. 20 (II 168 L.)*

1 κινούμενοι T 3 μέντοι R: μὲν T 4. 5 ἱδρὼς ... φλαῦρον *lemmatis loco ponunt* LT 5 πυρετοῖσιν *Hipp.*: πυρετοῖς ἐν R: πυρετῶι ἐν LT ἅπαντες T 6 ἀλλήλων ἐγγὺς *transp.* L 11 ἀνομοιογενῶν R¹ *(cf. p. 79, 15)*: ἀνομογενῶν L: ἀνομοιομερῶν R²T συνδρομὴν T 12 κρισίμοις RT: κρισίμωι L *ex Hipp. (DP¹Q¹)*: κρισίμοισιν *Hipp. vulg.* ἀνίδρωτι] ἀνιδρῶτι R: ἐν ἱδρῶτι *(ex Hipp. codd.)* LT²: ἅμα καὶ ἱδρῶτι T¹. *Hippocr. intellexit* ἀνιδρωτὶ, *ut patet ex Coac. 39, at Gal., ut vid.,* ἀνίδρωτι 13 ἐπιριγώσαντα δὲ T τουτέων *Hipp.* 15 ἤδροισε L 16 τῶ περὶ ψύχεσθαι T 18 πιστότερα *scripsi*: πιστο^τρ' R: πιστότερον LT 19 ἀνίδρωτι] ἀανιδρῶ^τ *(sic)* R: ἐν ἱδρῶτι L: ἐνιδρῶντι T 20 κακὸν LT 21 καὶ (*ante* οὐ) *suppl. Cornarius* τὸ ἀνιδρῶτι R: τὸ ἐν ἱδρῶτι L: τῶ ἐνιδρῶντι T: τὸ δ' ἀνιδρῶτι *ex Aldo edd.* 23 τὸν] τῶν T 23. 24 συνιδρῶτος R 26 ἐὰν] ἂν T καὶ τὰ ῥίγει T 27 *post* μᾶλλον *add.* δ' L 28 χωρὶς ἱδρῶτος L 29 ἄν γε LT: ἄν τε R

κρίσιμον ῥῖγος ἐπ᾽ ἀλυσμῷ γένηται, λύει τὴν νόσον καὶ ἱδρώτων ἐπιγενομένων ἢ ἐμέτων χρηστῶν ἢ γαστρὸς ὑπελθούσης.

II 27 [I 62. V 526, 5] Ἐμέσματα ἄκρητα, ἀσώδεα πονηρά.

Σύγκειται πάλιν ἐνταῦθα δύο σημεῖα τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων πονηρῶν. ἐμάθομεν γὰρ ἐν τῷ καθόλου διδάσκοντος καὶ τὰς ἀκράτους τῶν χυμῶν κενώσεις μοχθηρὰς καὶ πᾶσαν ἄσην ἐν νόσοις. οὐ μόνον οὖν ἐμέσματα ἄκρητα, ἀσώδη πονηρά, ἀλλὰ καὶ διαχωρήματα καὶ πτύσματα καὶ οὖρα καὶ ὁτιοῦν ἄλλο.

II 28 [I 63. V 526, 5] Τὸ καρῶδες ἆρά γε πανταχοῦ κακόν; |

Ἀπορίαν ἡμῖν ἡ ῥῆσις κινεῖ διὰ τὸ μὴ σαφῶς εἰρῆσθαι τὸ σημαι- **645**
νόμενον ἐκ τῆς κάρου φωνῆς. ὅταν οὖν ἐν οἴνου πόσει πλείονι κεκαρωμένον τινὰ λέγωμεν, ὥσπερ ὁ Πλάτων ἐπὶ τοῦ Πόρου κατὰ τὸ Συμπόσιον εἶπεν, οὐδεμίαν ἐνδεικνύμεθα νοσώδη διάθεσιν· ὃ δ᾽ ἂν εἴποι τις ἑρμηνεύων λόγῳ μακροτέρῳ βαθὺν καὶ δυσέγερτον ὕπνον, κάρος ἐνταῦθα φαίνεται σημαίνειν οὐ χρηστόν. ἀλλὰ καὶ ζήτησις οὐ σμικρὰ γέγονε περὶ τοῦ νοσώδους κάρου, πότερον τὴν αὐτὴν κατὰ γένος αἰτίαν ἔχων τῷ διὰ τὸν οἶνον κάρῳ τὸ δύσλυτον προσείληφεν ἢ γένος ἕτερόν ἐστιν τῆς αἰτίας. εἰκότως οὖν ἀπορεῖ περὶ τοῦ κάρου ζητῶν, εἴτε παντελῶς κακὸν εἶναι χρὴ νομίζειν αὐτόν, εἴτε ποτὲ καὶ ἀγαθὸν καὶ μέσον ἀγαθῶν τε καὶ κακῶν. ἐὰν γὰρ ὁ βαθύς τε καὶ δυσδιέγερτος ὕπνος ἀκούηται κάρος οὐκ ἔχοντος ἑτέραν τῷ γένει διάθεσιν τοῦ νοσώδους κάρου, γένοιτ᾽ ἄν ποτε ἀγαθὸν αἴτιόν τε καὶ σημεῖον ὁ κάρος. ἑωράκαμεν γοῦν ἐπ᾽ ἐνίων ἀρρώστων ἠγρυπνηκότων ἐφεξῆς ἡμέραις τρισὶν
ἢ τέτταρσιν | δυσδιέγερτον ὕπνον γενόμενον ὡς ὅλης ἡμέρας τε καὶ **646**
νυκτός, ὠφελήσαντα μεγάλως. ἐπὶ δὲ παιδίων εἶδον πολλάκις οὐ μιᾶς μόνον, ἀλλὰ καὶ δυοῖν ἡμερῶν ἐφεξῆς ἐπ᾽ ὠφελείᾳ μεγάλῃ γενόμενον τοιοῦτον. ἐὰν δ᾽ ἑτέρα τῷ γένει διάθεσις ᾖ τοῦ νοσώδους κάρου, διαφέρειν μὲν ἐροῦμεν ὕπνον βαθὺν τοῦ κάρου, τὸ δὲ καρῶδες πανταχοῦ κακὸν εἶναι. δεδειγμένου δ᾽ ἡμῖν ἐγρήγορσιν μὲν γίνεσθαι διά τε ξηρότητα καὶ θερμότητα τοῦ πρώτου αἰσθητικοῦ μορίου, τουτέστι τοῦ ἐγ-

5 ἐν τῷ καθόλου] *cf. Hipp. Aphor. I 2 (IV 458, 7 L.)* 12 Πλάτων ... κατὰ τὸ Συμπόσιον] *p. 203 B, ubi* βεβαρημένος *libri pro* κεκαρωμένος *habent (etiam pap. Oxyrhynch. Galeno non multo inferior)*

1 κρίσιμος R καὶ (*post* νόσον) *om.* L: *fort.* ἢ 3 ἀσώδη R: ἀσώδια T 4 ὑφ᾽ RL: *om.* T 8 ἄλλη T 9 *lemma cum comm. om.* L 12 Πόρου *Plato*: πώρου LT: πώλου R 13 εἶπεν *om.* T εἴποι T: εἴποιε R: εἴπη A 14 λόγον T κάρος R: ὁ κάρος TA, *fortasse recte* 19 κακὸν TA: *om.* R αὐτὸν RTA: κακὸν *Chartier, Kühn* καὶ (*post* ποτὲ) *om.* T 20 ἐὰν] ἂν T 23 γοῦν *scripsi*: οὖν RTA 24 γινόμενον T ὡς R: *om.* TA, *scilicet significatum 'circiter' ignorantes* 27 ἀν T εἴη RTA: *correxi* 28 βαθὺ T 29 εἶναι *om.* T τε θερμότητα καὶ ξηρότητα T

κεφάλου, τὸν δ᾽ ὕπνον ἐπὶ τοῖς ἐναντίοις, ὅταν γ᾽ ὑπὸ πλήθους ὑγροῦ χρηστοῦ βαρύνηται τὸ σῶμα, καθάπερ ἐν ταῖς μέθαις, ὕπνος ἐστὶν βαθύς, ὃν ἔξεστι τῷ βουλομένῳ κάρον ὀνομάζειν. ὁμολογηθείσης δὲ τῆς διαθέσεως ἐν ὀνόματι μόνον ἡ διαφωνία γίγνεται. ὅταν δ᾽ ὑπὸ φλέγματος ὁ ἐγκέφαλος ὑγρανθῇ καὶ ψυχθῇ, τὸ κατὰ τὰς ληθαργικὰς διαθέσεις ἔσται κῶμα, καὶ καλεῖν ἔξεστι τῷ βουλομένῳ καὶ τοῦτο κάρον.

647 ἔνιοι δ᾽ ὅταν ἀκίνητος καὶ ἀναίσθητος ὁ ἄν|θρωπος ἐπὶ χρόνον τινὰ γένηται, κἂν νύττῃς αὐτὸν κἂν πλήττῃς κἂν ἐμβοᾷς, ὀνομάζουσι κάρον, ὁποῖος ἐνίοις γίνεται τῶν πληγέντων σφοδρῶς τὴν κεφαλὴν κατὰ τοὺς κροταφίτας μῦς. ὁρᾶται δὲ πολλάκις ἡμῖν καὶ κατὰ τὰς πυρετώδεις νόσους ἐν ἐπισημασίαις, καθ᾽ ἃς οὔτε νυττόντων οὔτε θλώντων οἱ κάμνοντες αἰσθάνονται καὶ πολλῷ μᾶλλον βοώντων. ἐὰν οὖν τις τὸ μὲν τοιοῦτον πάθημα κάρον ὀνομάζῃ, τὴν δὲ δυσδιέγερτον κατάστασιν κῶμά τε καὶ καταφοράν, τὸ δὲ τρίτον ἐπ᾽ αὐτοῖς, ὑπὲρ οὗ πρῶτον διῆλθον, ὕπνον βαθύν, οὔτε κῶμά ποτε ἀγαθὸν οὔτε πολὺ μᾶλλον αὐτὸν τὸν κάρον λέγεσθαι χρή. ἐὰν οὖν δή τις ἀμφισβητῇ περὶ τῶν εἰρημένων διαθέσεων, ἑτέροις γίνεσθαι λέγων αὐτὰς ἢ οὐχ ὡς ἐγὼ νῦν λέγω, ἐν πράγματι οὐ διαφωνήσει, συγχωρῶν δὲ ὡς εἴρηται γίγνεσθαι, τοῖς ὀνόμασιν ἑτέρως χρώμενος, ἐν τούτοις μόνον ἡμῖν διενεχθήσεται.

II 29 [I 64. V 526, 6] Μετὰ ῥίγεος ἄγνοια κακόν, κακὸν δὲ καὶ λήθη. |

648 Εἴτε μετὰ ῥίγεος γεγραμμένον εἴη, ὡς γενικὴν δηλοῦσθαι πτῶσιν, εἴτε μετὰ ῥῖγος, ὡς αἰτιατικήν, ἐγγὺς ἀλλήλων εἰσὶν αἱ διάνοιαι τῶν λόγων ἑκατέρων· νενικῆσθαι γὰρ δηλοῖ τὴν ἔμφυτον θερμασίαν ὑπὸ τῆς κατὰ τὸ σύμπτωμα ψύξεως ἡ μετὰ ῥίγους ἄγνοια καὶ λήθη. ἐμάθομεν γὰρ ὅτι καὶ τὸ μὴ γνωρίζειν τοὺς συνήθεις καὶ τὸ μὴ μεμνῆσθαι τῶν πεπραγμένων ἐπὶ τῇ κατὰ τὸν ἐγκέφαλον γίγνεται ψύξει, καὶ πρόδηλον, ὡς ἑκάτερον καὶ καθ᾽ ἑαυτὸ μοχθηρόν ἐστι σύμπτωμα καί, εἰ ἄμφω γένοιτο, διπλασίως ἄτοπον.

II 30 [I 65. V 526, 7] Αἱ ἐκ ῥίγεος καταψύξιες μὴ ἀναθερμαινόμεναι κακαί.

Ἀσθένειαν δηλοῖ καὶ νέκρωσιν τῆς ἐμφύτου θερμασίας ἡ τοιαύτη κατάψυξις. |

1 γ᾽ R: γε T: *om. ex Aldo edd.* 2 ἐστὶν R: *om.* T: *fortasse* ἔσται *ut v. 6* 8 ἐμβοᾷς *Mewaldt (cf. 46, 17)*: ἐκβοᾶς RTA 11 πυρετώδους R 12 πολλῷ R: πολὺ T *fortasse recte cf. v. 15* (πολλοὶ A) *ante* βοώντων *add.* οὐδὲ TA; *exspectamus* οὔτε πολλῷ μᾶλλον *cf. v. 15. 16* 15 βαθὺν A: βαθὺ RT 16 χρὴ *om.* TA δὴ *om.* TA 17 ἑτέροις T: ἑτέρως RA; *tum* ἢ *cum* A *delendum aut in* καὶ *mutandum* γίνεσθαι R: λέγεσθαι TA 18 ὡς *si* ἑτέροις *verum est, mutandum videtur in* οἷς οὐ *delebat Cornarius* 19 *fortasse* ἑτέροις ἡμῖν *iter.* T 23 εἴη *om.* L 24 ὡς *om.* L 27 τὴν συνήθειαν L 29 καὶ *(alt.)* R: τε L: γε T 30 εἰ] οἱ T γένοιται R 31 *lemma c. comm. om.* L 33 τῆς ἐμφύτου θερμασίας καὶ νέκρωσιν *transp.* TA

II 31 [I 66. V 526, 8] Οἱ ἐκ καταψύξεως ἱδρώδεες ἀναθερ- 649
μαινόμενοι κακόν· ἐπὶ τούτοις ἐν πλευροῖς καῦμα ὀδυνῶδες
καὶ τὸ ἐπιρριγῶσαι κακόν.

Ἀναθερμαινομένους ἀκοῦσαι νῦν χρὴ τοὺς ἀναπυρέττοντας. ἔστι δὲ ὁ λόγος τοιοῦτος· ἐὰν ἱδρώσας τις ἐν νόσῳ ψυχρότερος μὲν ἐν τῷ παραχρῆμα γένηται τοῦ κατὰ φύσιν, ἀναπυρέξῃ δ' αὖθις, οὐκ ἀκινδύνως διάκειται. τοῦτο μὲν οὖν ὅτι καὶ αὐτὸ κακόν ἐστιν, πρόδηλον παντί. συνάπτει δ' αὐτῷ, καθάπερ ἐπ' ἄλλων, συμπτώματά τινα διαφερούσαις ἑπόμενα διαθέσεσιν. τὸ γὰρ ἐν τῇ πλευρᾷ καῦμα ὀδυνῶδες σημεῖόν ἐστι τῆς ἐν ἐκείνῳ τῷ μορίῳ φλεγμονῆς, δι' ἣν ἀνεπύρεξεν. ἐὰν δὲ καὶ ῥῖγος αὐτοῖς ἐπιγένηται, καὶ διαπυῆσαι προσδόκα τὴν φλεγμονήν. ὥσπερ δὲ ἐπὶ πλευρᾷ φλεγμαινούσῃ δυνατὸν ἀναπυρέξαι τὸν
ἄνθρωπον, οὕτω καὶ διὰ πνεύμονα καὶ δι' ἧπαρ ἢ κοιλίαν ἢ ὁτιοῦν |
ἄλλο. μερικὸς οὖν καὶ αὐτὸς ὁ λόγος καὶ οὐ καθόλου καὶ μέντοι καὶ 650
κατὰ σύνθεσιν οὐχ ὁμοιογενῶν σημείων.

II 32 [I 67. V 526, 10] Τὰ καυματώδεα ῥίγεα ὑπό τι ὀλέθρια καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος ἐν τούτοις κακόν· ἐπὶ τούτοις ἡ ψύξις τῶν ὄπισθεν σπασμὸν ἐπικαλέεται.

Εἴτε καυματώδεα γεγραμμένον εἴη τῆς πρώτης συλλαβῆς διὰ τοῦ ᾱ καὶ ῡ γεγραμμένης, εἴτε κωματώδεα διὰ τοῦ ω̄, χαλεπὴν ἑκάτερον ἐνδείκνυται τὴν διάθεσιν. ἐν γὰρ τῷ καθόλου περὶ ῥίγους ἐγνωκότας χρὴ μεμνῆσθαι διὰ παντός, ὡς ἐν μὲν τριταίῳ καὶ τεταρταίῳ γιγνόμενον οἰκεῖόν ἐστι σύμπτωμα τῶν τοιούτων πυρετῶν, ἐν νόσοις δὲ ἐπιφαινόμενον, ἐὰν μὴ κρίσιν ἐπενέγκῃ, κάκιστον. ἔμαθες γάρ, ὡς "τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα". πάλιν καὶ τούτῳ συνῆψεν ἕτερα συμπτώματα διαθέσεων· οὐκ ἀναγκαίων ἅμα ῥίγει γίγνεσθαι. |

λέλεκται δὲ καὶ πρόσθεν, ὡς ὅσῳ περ ἂν πλείονα συμπτώματα 651
κινδυνώδη περὶ τὸν ἄνθρωπον γίγνηται, τὴν ἐν αὐτοῖς πρόρρησιν ἀξιοπιστοτέραν ἐργάζεται τοῖς ἰατροῖς, ὥσπερ εἰ καὶ τῶν σωτηρίων σημείων

24 ἔμαθες] *Hipp. Epid. II 1, 6 (V 76, 5 L.) cf. p. 73, 24. 80, 11*
28 πρόσθεν] *cf. p. 10, 20*

1 ἱδρώτες L *(cf. Hipp. H)* *ante* ἀναθερμαινόμενοι *add.* μὴ *Hipp. codd.* 2 κακοὶ *Hipp. codd. plerique* τουτέοισιν *Hipp.* πλευρῷ *Hipp. codd. plerique* καῦμα καί τι ὀδ. *Hipp. codd. plerique* 6 ἀναπυρέξει RLT 7 οὖν *om.* LT 8 αὐτὸ T ἐπ' ἄλλωι συμπτώματι L 10 δι' ἂν T ἀνεπύρεξεν] ἂν ἐπύρεξεν RLT, *edd.*: ἀνεπύρεξαν A 11 αὐτῶι L 15 κατὰ RT: μετὰ L 16 κωματώδεα *Hipp. codd.* ῥίγη L 17 μεθ' ἱδρῶτα (*om.* ἐν τούτοις) *Hipp. codd.* 18 ἡ *om. Hipp. codd.* ἐπικαλεῖται *Hipp. codd.* 22 ἐν T: *om.* RL 24 ἐπενέγκει R 25. 26 καὶ πάλιν καὶ L 26 ἕτερα RT: ἄλλα L ἀναγκαῖον R 28 ὅσω R: ὕσω T: ᾧ L 29 περὶ τῶν T *ante* ἄνθρωπον *add.* αὐτὸν L αὐτοῖς RL: αὐτῷ T πρόρρησιν RT: πρόγνωσιν L 30 *inter* καὶ *et* τῶν *insertum* περὶ *circumpunxit* R

πολλὰ φαίνοιτο· καὶ γὰρ καὶ οὕτω βεβαιοτέρα ἡ τῆς σωτηρίας ἐλπίς. ἴσμεν δ᾽ ὅτι καὶ χωρὶς τοῦ ῥίγους τὸ φλογῶδες ἐν προσώπῳ μεθ᾽ ἱδρῶτος κακόν ἐστι σημεῖον· ἓν γάρ τι τῶν κρισίμων καὶ ὁ ἱδρώς ἐστιν. ὅταν οὖν μὴ κρίνῃ, τὴν κακοήθειαν ἐνδείκνυται τοῦ νοσήματος, ἐπὶ τούτοις δὲ καταψυχθέντων τῶν ὀπίσω σπασμὸν οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν, ὅτι καὶ τὰ μέρη νευρώδη καὶ ἡ ψύξις σπασμοῦ ποιητική.

II 33 [I 68. V 526, 12] Οἱ ἐφιδρῶντες ἄγρυπνοι ἀναθερμαινόμενοι κακόν.

Εἰ μέμνησθε τοῦ πολλάκις εἰρημένου περὶ τῶν οὕτω συμπλεκο-
652 μένων, τῆς παρ᾽ ἡμῖν ἐξηγήσεως οὐκέτι χρῄζετε. | ὑπάγεται γὰρ ἐν ὀλίγῳ καθόλου πάντα τὰ τοιαῦτα τῷ "τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα".

II 34 [I 69. V 526, 13] Ἐξ ὀσφύος ἀναδρομῆς ὀφθαλμοῦ ἴλλωσις κακόν.

Οὐδὲν ἄλλο νοῆσαι δυνατόν ἐστιν ἢ ὅτι τῶν κατ᾽ ὀσφὺν ἀλγημάτων εἰς τὴν ἄνω χώραν μεταστάντων ἐγχωρεῖ καὶ τὴν ἀρχὴν τῶν νεύρων παθεῖν, ἧς σύμπτωμά ἐστιν ἡ τῶν ὀφθαλμῶν διαστροφή. τὰ γὰρ ἀπ᾽ ἐγκεφάλου λαμβάνοντα μόρια τὴν τῶν νεύρων ἔκφυσιν τοῦ νωτιαίου πάσχοντός τι τοιοῦτον πάθος ἐνδεικτικὰ τῶν ἐν αὐτοῖς διαθέσεών ἐστιν. ὅμοιος δὲ ὁ λόγος οὗτος ὑπάρχει τοῖς κατὰ τὸ Προγνωστικὸν ὧδέ πως εἰρημένοις· "αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα". |

653 **II 35** [I 70. V 526, 14] Ὀδύνη ἐς στῆθος ἱδρυνθεῖσα σὺν νωθρότητι κακόν. ἐπιπυρετήναντες οὗτοι καυστικοὶ ὀξέως ἀποθνῄσκουσιν.

Ἔμιξε πάλιν ἐνταῦθα διαθέσεων συμπτώματα δυοῖν· ἡ μὲν γὰρ ἱδρυνθεῖσα, τουτέστι στηριχθεῖσα δυσλύτως, κατὰ τὸ στῆθος ὀδύνη

11 τὰ κρίσιμα κτλ.] *cf. 79, 24* 20 Προγνωστικὸν] *19 (II 164, 4 L.)*

1 φαίνοιτο LT: φαίνονται R τῆς σωτ. ἡ *transp.* LT 3 ἱδρῶτα R τι *om.* L 4 κακοήθη L 5 τούτων L 6 *post* μέρη *add.* τοῦ (*quod fortasse addendum putabat ante* σπασμοῦ) T (*non* A) ποιητικόν L 7 ἐφιδρῶντες *Hipp. Coac. 41*: ἐφιδρῶντι T: ἐφ᾽ ἱδρῶτι A *et Hipp. Prorrh. codd. plerique*: ἐφιδρώσιες L: ἐφιδρῶσιν R 10 ἡμῶν L 10. 11 ἑνὶ λόγῳ *probabiliter Kalbfleisch* ὑπάγετε R: ἐπάγεται T: ἐπανάγεται L 11 τῷ RT: τὸ L 12 θανατώδεα LT: θανατώδη R 13 *lemma cum comm. om.* L ἀναδρομὴ ὀφθαλμῶν *Hipp. codd.* (ἀναδρομῆς ὀφθαλμῶι A) 14 ἴλλωσις A: εἴλωσις R: ἴλωσις T
18 τοῦ *scripsi conl. p. 57, 28*: οὐ RTA 19 τῶν R: τῆς A: τῆς τῆς T
αὐτῷ *Cornarius fort. recte* διαθέσεως TA 21 γιγνόμεναι ὀδύναι *Hipp. vulg.* 22 τε *om.* TA τὰ *om.* T ἢν . . . κάτω *om.* T ἅπτονται R 23 *post* κάτω *add.* χωρία A ὀλέθριαι *Hipp.* 24 ἐς R: εἰς LT: ἐς τὸ *Hipp. codd.* ἡδρυνθεῖσα *hic et infra* R 26 θνήσκουσιν (*ex Hipp. codd.*) L 27 κἀνταῦθα L 28 δυσλύτως στηριχθεῖσα *transp.* L

τὴν τοῦ θώρακος ἐνδείκνυται φλεγμονήν, ἡ δὲ νωθρότης ὑγρότητα κατὰ τὸν ἐγκέφαλον ἢ ψύξιν ἢ ἄμφω. δῆλον δὲ ὅτι κατὰ τοὺς τοιούτους ἅπαντας λόγους μεμνῆσθαί σε χρὴ τοῦ συνδέσμου τοῦ τὸ σημαινόμενον ἔχοντος ὡς παραδιαζευκτικοῦ. οὐ μὴν ἀναγκαῖόν γε τοὺς οὕτω πάσχοντας καυστικοὺς ὀξέως γινομένους ἀποθανεῖν, εἴ γε τὸ καυστικοὶ τὸ οἷον καυσώδεις σημαίνει. τινὲς μέντοι νωθρότητα τὴν δυσκινησίαν τοῦ σώματος ἤκουσαν· ὅπερ γὰρ εἴρηταί μοι πολλάκις ἐν ταῖς ἀσαφέσι ῥήσεσιν, ὥς γ᾽ ἂν ἐθέλῃ τις ἀκούειν, ἔξεστιν. |

II 36 [I 71a. V 528, 1] Οἱ ἐπανεμέοντες μέλανα ἀπόσιτοι, 654 παράφοροι, καθ᾽ ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ κεκλεισμένον, τούτους μὴ φαρμακεύειν· ὀλέθριον γάρ.

Τὸ μὲν ὀλεθρίως ἔχειν ἅπαντας τούτους, ὅπερ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἴρηκεν, ἀληθές ἐστιν, ὥσπερ δή γε καὶ τὸ μὴ δεῖν φαρμακεύειν αὐτούς, ὅπερ ἔστι καθαίρειν· ἐδείχθη γὰρ ἤδη πολλάκις ἐπὶ τούτου λεγόμενον τὸ φαρμακεύειν. ἀλλ᾽ ὅμοιός ἐστιν ὁ λόγος ὅδε τῷ τοιούτῳ λόγῳ· ʽτοὺς τετρωμένους καρδίαν οὐ χρὴ θεραπεύειν ἐπαγγέλλεσθαι· τεθνήξονται γάρ.ʼ εἴτ᾽ οὖν ἕκαστον ὧν εἴρηκε κατὰ τὴν προκειμένην ῥῆσιν αὐτὸ καθ᾽ αὑτό τις ἀκούσειε, μοχθηρᾶς διαθέσεώς ἐστι σημεῖον, εἴτε πολλὰ ἅμα, παραπλησίως ἂν εἴη ὀλέθριον. τὸ γοῦν πρῶτον αὐτῶν εἰρημένον τὸ ἐπανεμεῖν μέλανα τῶν ὀλεθριωτάτων ἐστὶ σημείων, εἰ καὶ χωρὶς τῶν ἄλλων μόνον εἴη. ἐφεξῆς δὲ αὐτῷ γέγραπται τὸ ἀπόσιτοι, τουτέστι τὸ ἀνόρεκτοι, πολὺ μὲν ἧττον ἐκείνου κακόν, | ὅμως γε μὴν κακὸν καὶ αὐτό, καθάπερ καὶ τὸ παράφοροι, 655 τοῦτ᾽ ἔστιν παρανοοῦντές τε καὶ παραπαίοντες.

τὸ δὲ καθ᾽ ἥβην σμικρὰ ὀδυνώδεες οὐδὲ σαφές ἐστιν τῶν ἐξηγησαμένων τὸ βιβλίον οὐχ ὡσαύτως αὐτὸ νοησάντων. ἔνιοι μὲν γὰρ διελόντες ἑκάτερον ἰδίᾳ τὸ μὲν καθ᾽ ἥβην αὐτὸ τὸ κατὰ τὴν ἡβικὴν ἡλικίαν ἤκουσαν, τὸ δὲ σμικρὰ ὀδυνώδεες ἕν τι καὶ αὐτὸ τῶν συμπτωμάτων, ὧν ἐποιήσατο κατάλογον. ἔνιοι δὲ καὶ καθ᾽ ἥβην ὀδυνώδεες ἐπὶ τοῦ μέρους εἰρῆσθαί φασιν, ἐν ᾧ καὶ ἡ κύστις κεῖται. βούλεται

7 εἴρηταί μοι πολλάκις] *cf. p. 78, 16* 14 ἐδείχθη ... πολλάκις] *cf. Foesii Oeconomia Hippocr. Genev. 1672 p. 391*

2 δὲ *om.* L 3 τοῦ τὸ *scripsi*: τοῦτο RLT: τούτου τὸ *vel* τοῦτο τὸ *Kalbfleisch; intellego: memento haec membra* ἀσυνδέτως *iuncta* ὀδύνη ... ἱδρυνθεῖσα *et* σὺν νωθρότητι *quasi disiunctive intellegenda esse (cf.* ἢ ἄμφω *v. 2)* 8 ὥς γ᾽ R: ὡς LT ἐθέλῃ A: ἐθέλοι RLT 9 μέλανα LT: μέλασιν R *(ut v. 20)* 10 ὀδυνώδεες] κινδυνώδεες οἷσιν *Hipp. codd. plerique* θρασὺ ἢ *Hipp. codd.* 11 τουτέοισι *Hipp. codd.* ὀλέθριον *Hipp.*: ὀλέθριοι *Gal. ut videtur (cf. v. 12)* 12 τῆς τελευτῆς L 13 εἴρηκα T δή] δέ L μὴ δεῖν LT: μηδὲν R 17 τεθνήξονται R: τεθνήξεσθαι LT εἰρήκαμεν L 18 ἀκούσειε *scripsi*: ἀκούσει RLT 19 πολλαπλασίως εἴη ἂν L τοιγαροῦν πρῶτον L 20 μέλασιν R 21 αὐτῷ LT: αὐτὸ R 22 μὲν L: γε μὴν RT 23 παράφορον R 24 τε *om.* T 26 αὐτὸ RL: *del.* T 27 διελθόντες L ἑκάτερα R ἡβικὴν R: ἡβικιῷ T: ἡβητικὴν L 29 καὶ *om.* LT

γὰρ αὐτὸς ἐνδείξασθαι πεπονθέναι μὲν αὐτὴν μεγάλως, παραφόρους δὲ ὄντας [τῷ] τοὺς πάσχοντας μικρὰν αἴσθησιν ἔχειν ἀπ' [ἀρχῆς] αὐτῆς.

ἐφεξῆς δὲ πάλιν ἄλλα δύο συμπτώματα γράφει σαφῶς φρενιτικά, τό τε θρασὺ καὶ τὸ κεκλεισμένον ὄμμα. δύο γάρ ἐστι ταῦτα, κἂν ἐφ' ἑνὸς μορίου λέγηται· δύναται γὰρ καὶ καθ' ἑαυτὸ συστῆναι τὸ ἕτερον αὐτῶν μόνον, ὥσπερ καὶ φαίνεται θρασὺ μὲν ποτὲ γινόμενον, οὐ μὴν κεκλεισμένον γε τὸ ὄμμα, ποτὲ δὲ κεκλεισμένον μέν, οὐ μὴν καὶ
656 θρασύ. τὸ γὰρ κεκλεῖσθαι συμβαίνει τοῖς κατ' ὀφθαλ|μοὺς βλεφάροις ἤτοι διὰ τάσιν σπασμώδη τῶν κλειόντων αὐτοὺς μυῶν ἢ δι' ἀρρωστίαν τῶν ἀνοιγνύντων αὐτούς.

τὸ τοίνυν τοὺς οὕτως ἔχοντας ἐπιχειρεῖν φαρμακεύειν ἀμαθοῦς ἐστι καὶ τελέως ἰδιώτου τέχνης ἰατρικῆς. οὐχ ὁ συμβουλεύων οὖν μὴ φαρμακεύειν σοφός, οὐ μὴν οὐδὲ τὸ γνῶναι μέγα τι τούτους ὀλεθρίως ἔχοντας. ὥστ' οὐδὲν ἡμᾶς διδάσκει θεώρημα τεχνικὸν ἡ ῥῆσις ἄξιον συγγράμματος, ὥσπερ κατὰ τοὺς Ἀφορισμοὺς ἡμᾶς ἐδίδαξεν ἐν τῷ καθόλου μία μὲν ῥῆσις, ἐν ᾗ φησιν· "ἐν τοῖς ὀξέσι παθήμασιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι", δευτέρα δέ, καθ' ἣν λέγει· 'τὰ ὀξέα φαρμακεύειν, ἢν ὀργᾷ, αὐθημερόν'. ἄξια γὰρ ἰατροῦ μεγάλου ταυτί, καθότι δέδεικται διὰ τῆς ἐξηγήσεως αὐτῶν. τὰ δὲ νῦν εἰρημένα περιττά· καθαίρειν γὰρ οὐδεὶς ἐπιχειρεῖ τοὺς οὕτω διακειμένους, ὡς ἡ ῥῆσις ἐδήλωσε μετὰ τοῦ καὶ συνενδείκνυσθαι προήκοντος τοῦ νοσήματος ταῦτα γίνεσθαι καὶ μὴ κατ' ἀρχάς, ἡνίκα μόνον τοῖς ὀξέσι τοῦ καθαίρειν ὁ καιρός. |

657 **II 37** [I 71 b. V 528, 3] ⟨Μηδὲ⟩ τοὺς ἐποιδέοντας, σκοτώδεας ἐν τῷ πλανᾶσθαι ἐκλείποντας ἀποσίτους, ἀχρόους.

Ὥσπερ δεδιὼς ὁ τοῦ βιβλίου συγγραφεὺς εἰπεῖν τι σαφὲς οὕτως ἐπιτηδεύει πανταχοῦ τὰ κύρια καὶ σαφῆ τῶν ὀνομάτων ὑπερβαίνων ἑτέροις χρῆσθαι. τοὺς γὰρ ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, εἴπερ τούτους βούλεται σημαίνειν τούς, ὅσοι, κἂν ἠρέμα κινῶνται, λιποψυχοῦ-

15 Ἀφορισμοὺς] *I 24 (IV 470, 4 L.)* 18 λέγει] *ib. IV 10 (IV 504, 8 L.)* φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν ἢν ὀργᾷ, αὐθημερόν 19 δέδεικται] *Gal. XVII B 446—449 et 668 K.*

1 αὐτὸς] οὕτως *Kalbfleisch* 2 ὄντας *om.* LT τῷ *et* ἀρχῆς *del. Kalbfleisch* σμικρὰν R αὐτῆς *om.* LT 3 γράφει LT: γράψας R 4 κατακεκλεισμένον LT 5 μορίου RLT: μ/ with superscript ο (*i. e.* μόνον; *cf. v. 6)* A δύναται γὰρ καὶ *scripsi*: δυνάμενον δύναται γὰρ καὶ R: δυνάμενόν γε T, *cui Ald. add.* μὲν, *rec. edd.* μὴν 6 μέν ποτε RLT: ποτὲ μὲν *Kühn* 7 κεκλεισμένον] δ' ἐκεκλεισμένον T 8 κατ' αὐτοὺς ὀφθ. L 9 τῶν] τὴν T 10 αὐτῶν (*om.* τῶν ἀνοιγνύντων) LT 11 ὁ τοίνυν ... ἐπιχειρῶν φ. ἀμαθής ἐστι κ. τ. ἰδιώτης LT

13 μέγα τι τὸ γνῶναι *transp.* LT τοῦτον ὀ. ἔχοντα R 15 ἡμᾶς ἐδίδαξεν ἐν τ. κ. μὲν μία ῥῆσις R: μὲν ἐδ. ἐν τ. κ. μία μὲν ῥῆσις T: μία μὲν ῥ. ἐδ. ἐν τ. κ. L

16 παθήμασιν RL: παθ with abbreviation mark T: πάθεσιν *Hipp.* 17 φαρμακείῃσι R, *Hipp.*: φαρμακίῃσι LT χρῆσθαι L δευτέρα L: δεύτερον R: *ambig. comp.* T

24 *lemma cum comm. om.* L μηδὲ *om.* RTA: *restituit Cornarius ex Hipp.*

26 δεδοιὼς R 29 κινῶνται A: κινοῦνται RT λιποψυχοῦσιν *scripsi*: λειποψυχοῦσιν RTA

cιν ἰcχυρῶc, ἐνῆν αὐτὸν δι᾽ ὧν νῦν ὀνομάτων ἐγὼ λέγων ἐτύγχανον
ἑρμηνεῦcαι cαφῶc. ἔτι δὲ ἄμεινον εἰπεῖν οὕτωc ἐν τῷ καθόλου τὸ
πᾶcιν ἰατροῖc ὁμολογούμενον, οὐχ ἥκιcτα δὲ καὶ τοῖc ἰδιώταιc γινωcκό-
μενον, ὡc οὐ χρὴ φαρμακεύειν τοὺc ἀcθενῆ τὴν δύναμιν ἔχονταc. ὅcον
μὲν γὰρ ἐπὶ τῷ οἰδαλέουc τε εἶναι καὶ cκοτώδειc, ὅπερ ἔcτιν ἐν
ταῖc κινήcεcι cκοτουμένουc, δόξαιεν ⟨ἂν⟩ δεῖcθαι καθάρcεωc οἱ κατὰ
τὴν | προκειμένην δηλούμενοι ῥῆcιν, ὅcον δ᾽ ἐπὶ τῷ καταπεπτωκέναι 658
τὴν δύναμιν αὐτῶν, οὐκ οἴcουcι τὴν κένωcιν.

II 38 [I 71c. V 528, 5] Μηδὲ τοὺc ἐν πυρετῷ, ⟨εἰ⟩ κωματώ-
δεεc, κατακεκλιμένουc· ὀλέθριον γάρ.

Τοὺc κατακεκλιμένουc μᾶλλον ἐνταῦθα πάλιν εἰπεῖν εἵλετο διὰ
τὴν ἀcάφειαν, ἐπειδὴ cαφὲc ἦν ‘ἐκλύτουc’ εἰπεῖν. ὑποπεπτώκαcιν δ᾽
οὗτοι τῷ κοινῇ πᾶcιν γιγνωcκομένῳ καθόλου λόγῳ. τίc γὰρ οὐκ οἶδεν
ἢ τίc οὐκ εἴρηκεν, ὡc τοὺc ἐκλύτουc οὐ χρὴ καθαίρειν; ἐκ περιττοῦ
τοίνυν τὸ εἰ κωματώδειc πρόcκειται διττῶc γραφομένηc τῆc πρώτηc
cυλλαβῆc, διά τε τοῦ κ̅ καὶ ω̅ καὶ διὰ τοῦ κ̅ καὶ α̅ καὶ υ̅. ὅπου γὰρ
ὡμολόγηται τὸ μηδένα τῶν ἐκλύτων φαρμακεύειν, ἔξεcτιν ἡμῖν τῶν
παθῶν ἕκαcτον προcάπτουcιν αὐτῷ μυρίουc ἐργάζεcθαι κατὰ μέροc
λόγουc. |

II 39 [I 72. V 528, 6] Καρδίηc πόνοc ἅμα ὑποχονδρίῳ cυν- 659
τόνῳ καὶ κεφαλαλγίῃ κακόηθεc καί τι ἀcθματῶδεc. ἆρά γε
ἐξαίφνηc οὗτοι τελευτῶcιν; ὡc ἐν Δυcώδει· τούτῳ καὶ οὖρα
ἐζυμωμένα ἐγένετο βιαίωc, † ἐξέρυθρα.

Δῆλόc ἐcτιν, ὡc ἐπὶ τῷ Δυcώδει ταῦτα εἶδε γενόμενα, ζητῶν,
εἴτε καθόλου περὶ αὐτῶν ἀποφήναcθαι προcῆκεν εἴτε μή. λέλεκται δέ

22 *schol.* R: ζήτει τὸ δυcώδη ὄνομα   25 λέλεκται δέ μοι] *cf. p. 10, 20. 44, 28.*

1 αὐτὸν *post* νῦν *iter.* T   2 ἄμεινον ⟨ἦν⟩ *Schoene*   2. 3 τὸ παλαιοῖc ἰατροῖc ὡμολογημένον T   6 δόξαιεν ἂν δεῖcθαι *scripsi*: δόξαιεν δ. T: δόξαι ἐνδεῖcθαι R: δόξειεν δ. A   9 εἰ *om. hic* RLT *ut Hipp., at cf. v. 15*   κωματώδειc R: κωματώδει L: κωματ$\overset{\delta}{\omega}$′ T *cf. v. 15*   10 κατακεκλιμένουc LT: κατακεκλιμένω R: κατακεκλαcμένουc *Hipp.; at cf. Foesius s. v.* κατακεκλιμένοι   ὀλέθριον *Cornarius ex Hipp.*: ὀλέθριοι RLT   14 χρὴ RL: δεῖ T   15 τὸ εἰ A: τὸ οἱ T: τὸ R: ὁ L   κωματώδηc L   16 τε *om.* L   17 μηδ᾽ ἕνα RL   18 μέροc RL: τοῦτο T   20 καρδίαc T   ὑποχονδρίω R^1LT: ὑποχονδρίου R^2 cυντόνωι LT: cυντάcει R: ξυντόνῳ *Hipp. (DH)*: ξύντομοc *Hipp. cett.*
21 κεφαλαλγία R   καί τι LT, *Hipp.*: καίτοι καὶ R *(ut Hipp. V)*   ἀcθματώδεεc L   22 οὕτω T: οὗτοί γε *Gal. infra p. 85, 10*   ὡc ἐν δυcώδει (δυ̅c̅$\overset{\delta}{\omega}$′ RT) RLT: ὡc Λῦcιc ἐν Ὀδηccῷ *Hipp.*   τούτῳ RL: τρίτω T: τουτέῳ *Hipp.*
23 ἐξέρυθρα ἐγένετο βιαίωc *transp.* LT *ex Hipp. codd.; patet Gal. p. 85, 20 sqq. non* ἐξέρυθρα *legisse, sed vel* ἐξερύθρῳ *(quod ego conicio) vel simile.* καὶ ἔρευθοc *scribebat Littré,* καὶ ἐρυθρὸν πρόcωπον *suaserat Cornarius a sententia uterque probabilia proponens, a litteris aliena*   24 ἐπὶ] ἐπεὶ LT   ζητῶν L *(cf. p. 86, 15)*: ζητεῖν RT   25 ἀποφαίνεcθαι L: *corrosum* T

μοι περὶ τῶν τοιούτων ἔμπροσθεν ἐπιδεικνύντι τὰ μὲν ἐπὶ μιᾷ διαθέσει γινόμενα συμπτώματα προσηκόντως ἐφεξῆς ἀλλήλων διδάσκεσθαι, τὰ δ' ἐπὶ διαφερούσαις οὐκ ὀρθῶς συνάπτεσθαι, μηδεμιᾶς διδασκαλίας τεχνικῆς ἐκ τῆς μίξεως αὐτῶν γινομένης. ἐπὶ μέντοι τῶν νοσούντων τῶν χρησιμωτάτων ἐστὶν ἅπαντα σκοπεῖσθαι καὶ μηδὲν παραλιπεῖν· ἅπερ ἀμφότερα πεποίηκεν ὁ Ἱπποκράτης, ἐν μὲν τῷ Προγνωστικῷ καὶ τοῖς Ἀφορισμοῖς τὰς προγνώσεις διὰ τῶν καθόλου ποιούμενος, ἐν δὲ τοῖς
660 τῶν Ἐπιδημιῶν ἅπαντα γράφων τὰ συμβάντα τοῖς | ἀρρώστοις· ἔγκειται δέ τινα καὶ κατὰ ταῦτα τὰ βιβλία τῶν καθόλου χωρὶς ἀρρώστων διδασκόμενα. κατὰ μέντοι τὸ Προρρητικὸν τοῦτο σύγγραμμα πολλαχόθι συγκέχυται τὰ τῆς διδασκαλίας τῶν φανέντων κατὰ τοὺς νοσοῦντας ἁπάντων εἰς μίαν ἀναγομένων συνδρομήν, κἂν ἐπὶ διαθέσεσιν ἑτερογενέσι γένηται, καθάπερ καὶ νῦν ἐπὶ τοῦ Δυσώδους καρδίας πόνον εἰπών, τοῦτ' ἔστι στόματος τῆς γαστρός, ἅμα ὑποχονδρίῳ συντόνῳ καὶ κεφαλαλγίᾳ προσέθηκε τὸ ἀσθματῶδες, εἶτα μετὰ ταῦτα ἐπὶ τῇ τελευτῇ καὶ οὖρα ἐζυμωμένα βιαίως. πρόσκειται γὰρ τῷ λόγῳ καὶ τὸ βιαίως, ἵνα κἀνταῦθα ζητῶμεν, εἴτε βιαίως ἐζυμωμένα φησὶ γεγενημένα τὰ οὖρα, τὸ βιαίως ἀντὶ τοῦ σφοδρῶς εἰπών, εἴτε προσυπακοῦσαι δεῖ τῷ βιαίως τὸ οὐρούμενα, δηλοῦντος αὐτοῦ τὸ μόγις καὶ μετὰ βίας οὐρεῖν.

ἀλλὰ καὶ τὰ ἐζυμωμένα κατὰ τὸν λόγον εἴρηται, μήτε κατὰ τὸ Προγνωστικὸν γεγραμμένα μήτε ἐν τοῖς τῶν Ἐπιδημιῶν. εἶθ' ὅταν ἅπαντα διεξέλθωμεν, οὐδὲν ἡμῖν ἐστιν πλέον. ὅμως δ' οὖν, ἐπειδὴ κατέστημεν ἐπὶ τὸ σαφηνίζειν αὐτά, καὶ περὶ τῶν ἐζυμωμένων εἴπω-
661 μεν. | ὅταν τοίνυν κατὰ τῆς γῆς ὄξος ἐκχυθῇ δριμύ, πνευματούμενον αὐτίκα συναναφέρει τινὰ τῆς γῆς αὐτῷ μόρια, καὶ γίνεταί τι σύνθετον ἔκ τε τῆς γεώδους οὐσίας καὶ τῆς ὑγρᾶς τοῦ ὄξους καὶ τοῦ γεννηθέντος ἀτμώδους πνεύματος. ὅμοιον δ' αὐτῷ συμβαίνει, κἀπειδὰν καὶ μέλαινα χολὴ κατὰ τῆς γῆς ἐκχυθῇ· καὶ σαφῶς γε φαίνεται πνευματώδης τις κίνησις ἐπ' ἀμφοτέροις γιγνομένη παραπλησία τῇ κατὰ τὸ ζέον γλεῦκος. ὅμοιον δὲ τούτοις κἀπὶ τῶν ζυμουμένων ἄρτων ὁσημέραι φαίνεται γινόμενον. ὅταν γὰρ ἀναμίξαντες ὕδατι τὸ τῶν πυρῶν ἄλευρον μίξαντες αὐτοῖς καὶ τὴν ζύμην ἐῶσι διαφυσηθῆναι μετρίως, ἡ ζύμωσις φαίνεται γιγνομένη χεομένης τε ἅμα καὶ πνευματουμένης τῆς ζυμου-

6 μὲν R: *om.* LT 8 συμβαίνοντα T 9 κατὰ ταῦτα LT: καταῦτα R *post* βιβλία *ins.* τινὰ T 10 πολλαχόθι T: πολλαχόθεν RL 12 ἑτεραγενέσι L 13 γένηται T: γίνηται RL 15 κεφαλαλγίαν RLT; *cf. 83, 21* 16 *post* ἐζυμωμένα *interpolant* ἐξέρυθρα LT γὰρ] δὲ L 17 ἐζυμωμένα καὶ ἐξέρυθρα φασὶ (φησὶ T) LT 19 τὸ βιαίως τῶ οὐρ. R 21 *conicio* ⟨πῶς⟩ τὸ ἐζυμωμένα *et v. 22* γεγραμμένον; καὶ ⟨οὖ⟩ρα ἐζυμωμένα *Schoene* *post* ἐζυμωμένα *add.* οὖρα L κατὰ τὸν λόγον RL: τὸν *om.* T; *cf. p. 87, 27* μήτε τῶ προγνωστικῷ L 22 *ante* εἶθ' *lacunam stat. Kalbfleisch* 23. 24 ἐπεὶ κατ. ἐν τῷ σαφηνίζειν L 26 αὐτῷ *scripsi*: αὐτῶι LT: αὐτο *sic* R: αὐτῆς *ex Aldo edd.* 27 *ante* τοῦ *inser.* τῆς L γενηθέντος T 30 παραπλήσιον T 31 ζυμουμένων LT: ζυμωμένων *(cf. v. 34)* R, *Ald. Bas.*: ἐζυμωμένων *Chartier, Kühn* 32 πυρρῶν R 33 αὐτοῖς R: αὐτῷ LT καὶ *om.* L διαφυσσηθῆναι R ζυμώσης T 34 ζυμωμένης R

μένης οὐσίας. ὥστε καὶ τὰ ζυμούμενα τῶν οὔρων πάντως πάχος μὲν ἔχειν χρὴ ἀξιόλογον, εἶτα τούτου βραχεῖάν τινα ζέσιν ἐν ἑαυτῷ καὶ κίνησιν λαβόντος πνευματώδη μείζονα τὸν ὄγκον ἔχειν, οὗ κατὰ τὴν ἔκκρισιν εἶχεν. οὖρα δὲ ὅτι τοιαῦτα γίνεται τῶν ὠμῶν χυμῶν ταραχωδῶς κινουμένων, ἐν τοῖς Περὶ κρίσεων ἐμάθομεν.

ὁ δ᾽ οὖν προρρηθεὶς ἄρρωστος | μετ᾽ οὐ πολὺ ἴσως ἐξαίφνης τελευτήσας **662** ζήτησιν αὐτῷ παρέσχεν, εἴτε πάντας χρὴ τοὺς οὕτως ἔχοντας ἐξαίφνης φάναι τελευτᾶν εἴτε μή. πρόδηλον δὲ καὶ ὅπως ἡμᾶς ἀποκρίνασθαι προσήκει τοῖς οὕτως ἐρωτῶσιν, ὡς ὁ γράψας εἶπεν· ἆρά γε ἐξαίφνης οὗτοί γε τελευτῶσιν; ἀποκρινόμεθα γὰρ ὡς εἰκάσαι μὲν ἔστιν ἀποθανεῖν ἐξαίφνης αὐτὸν πνιγέντα (τοῦτο γὰρ ἐκ τοῦ ἄσθματος δηλοῦται), τίς δ᾽ ἦν ἡ διάθεσις ἐφ᾽ ᾗ τοῦτο γίνεται τὸ σύμπτωμα, μαντείας δεῖσθαι, μηδὲν εἰπόντος αὐτοῦ τοῦ συγγραφέως. καὶ γὰρ ὑπό τε πνεύματος καὶ φλέγματος κατενεχθέντος πολλοῦ διὰ τῆς τραχείας ἀρτηρίας ἐκ κεφαλῆς εἰς τὰ τοῦ πνεύμονος βρογχία καὶ μεταστάσεως εἰς αὐτὰ γενομένης ἐκ πλευρίτιδος, διὰ τὸ πάθος ἑκάτερον πύου πολλοῦ τὴν μεταξὺ χώραν τῶν δυοῖν καταλαβόντος ὀργάνων, ἀσθματώδης ὀξεῖα γίνεται δύσπνοια, πυκνουμένης τε πάνυ τῆς ἀναπνοῆς καὶ τοῦ θώρακος ἐπὶ πολὺ διαστελλομένου. ὅταν οὖν τοιοῦτον γένηται δυσπνοίας εἶδος, ἐρυθρὸν εἰκότως ἀποτελεῖται τὸ πρόσωπον. ὅπου δὲ καὶ κεφαλαλγία σύνεστιν, οὐδὲν θαυμαστὸν ἐξέρυθρον | αὐτὸ γενέσθαι· **663** πᾶσαι γὰρ αἱ κατὰ τὰ τοιαῦτα νοσήματα κεφαλαλγίαι μετὰ θερμασίας πολλῆς εἰώθασι γίγνεσθαι.

II 40 [I 73. V 528, 9] Τραχήλου πόνος κακὸν μὲν ἐν παντὶ πυρετῷ, κάκιστον δὲ οἷς ἐκμανῆναι ἐλπίς.

Καὶ τοῦτο τῶν κατὰ μέρος ὂν ἔγραψεν ὡς καθόλου. ὁ γὰρ πόνος, ἐὰν μὲν ἤτοι διὰ τὸ κακῶς ἔχειν τὸν ἐγκέφαλον ἢ τὸν νωτιαῖον ἢ τὰς περὶ αὐτὸν μήνιγγας γίνηται, μοχθηρόν ἐστι σημεῖον, ἐὰν δὲ τῶν

5 Περὶ κρίσεων] *I 12 (IX 595, 8 sqq. K.)*

1 πάντως *om.* L 2 χρὴ *deleam* τούτου R: τοῦτο LT ἑαυτῷ *scripsi*: ταὐτῷ RLT 3 λαβόντος *scripsi*: λαβὸν τὸ R: λαβὼν LT πνευματώδη (πνευματω with δ above) T *(cf. p. 84, 29)*: πνευματώδεα L: πνευματῶδες R ἔχειν] *sc.* τὰ ζυμούμενα τῶν οὔρων 4 ταραχωδῶς *ex* -ῶν *corr.* R 6 ὁ RT: ὃς L δ᾽ οὖν πρ. ἄρρωστος R: *om.* LT: ὁ δ᾽ αὖ π. ἄ. *ex Aldo edd.* 7 ζήτησεν R 8 φάναι LT: φασὶ R δὲ LT: *om.* R ὅπως] ὅμως T 10 γε *(alt.) cum Hipp. (cf. lemma) om.* L ἀποκρινούμεθα *ut 91, 20 Schoene* 12 ἐφ᾽ ἧι LT: ἐφ᾽ οὗ R 13 τοῦ A: *om.* RLT 14 ἐπὶ πνεύματι (πνεύμονι L) καὶ ῥεύματι κατενεχθέντος (κατενεχθέντι L) πολλοῖς (πολλῶι L) LT πνεύματος *correxit* (*ex* φλέγματος R[1]) R[2] *fortasse* κατενεχθέντων πολλῶν; *nam archetypus sine dubio breviaverat* (*ut* A) κατενεχθέν with τ above πο with λλ above 15 τοὺς τ. πν. βρόγχους R 16 τὸ πάθος ἑκάτερον *scripsi*: τε πάθος ἕτερον R: τι πάθος ἐπί τε LT: τέ τι πάθος ἕτερον ἔτι τε *Kalbfleisch* 17 δυοῖν R: δύο LT 21 καὶ *om.* R αὐτὸ RLT: αὐτὸν *Aldus* 22 τὰ *om.* L 25 οἷς RLT: καὶ οἷσιν *Hipp.* 26 ὂν] ὧν L καθόλου] κακὸν T 28 μήνιγγας *iter.* L

ἔξωθεν περικειμένων τῷ cπονδύλῳ cωμάτων, οὐ κακόν. ἐφ' ὧν δὲ ἐλπὶc ἐκμανῆναι, τί ἂν ἔτι χεῖρον cχοῖεν οὗτοι πάθοc αὐτοῦ τοῦ ἐκμανῆναι;

II 41 [I 74. V 528, 11] Κωματώδεεc, κοπιώδεεc, ἀχλυώδεεc, ἄγρυπνοι, ἐφιδροῦντεc πυρετοὶ κακοήθεεc. |

664 Ἐκ τῶν ἔμπροcθεν εἰρημένων καὶ ταῦτ' ἐcτὶ δῆλα κατάλογοc ὄντα cυμπτωμάτων κακῶν οὐδεμίαν ἀνάγκην ἔχοντα ἅμα γίγνεcθαι.

II 42 [I 75. V 528, 12] Ἐκ νώτου φρῖκαι πυκναί, ὀξέωc μεταπίπτουcαι, δύcφοροι οὔρου ἀπόληψιν ἐπώδυνον cημαίνουcιν.

Ἔνεcτι καὶ μέχρι τοῦ δύcφοροι τὸ πρῶτον μέροc τῆc ῥήcεωc περιγράψαντα δεύτερον ἐπ' αὐτῷ λόγον ποιήcαcθαι τὸ οὔρου ἀπόληψιν ἐπώδυνον cημαίνουcι, ὡc εἰ καὶ οὕτωc εἶπεν· 'ἐκ νώτου φρῖκαι πυκναὶ, ὀξέωc μεταπίπτουcαι δύcφοροί τέ εἰcι καὶ προcέτι cημαίνουcιν ἀπόληψιν, ὅπερ ἐcτὶν ἐπίcχεcιν, οὔρου ἐπώδυνον'. ἀλλ' ἄμεινον ἐπὶ πᾶcι τοῖc εἰρημένοιc τὴν τῶν οὔρων ἐπίcχεcιν αὐτὸν εἰρηκέναι cημαίνεcθαι. δῆλοc γάρ ἐcτιν ἑωρακώc τινα πεπονθότα
665 τὸν κατὰ τὴν ὀcφὺν νωτιαῖον ἢ τὰc ἀμφ' αὐτὸν | μήνιγγαc ἢ ἀμφότερα, κἄπειτα κατὰ cυμπάθειαν οὔρων ἀπόληψιν ἐπώδυνον ἐcχηκότα. πιθανὸν γὰρ καὶ τὰc ταχὺ μεταπιπτούcαc φρίκαc τὰc δυcφόρουc ἐπὶ φλεγμονῇ τῶν εἰρημένων μορίων γίγνεcθαι.

II 43 [I 76. V 530, 2] Καὶ οἱ ἀcώδεεc ἀνεμέτωc παροξυνόμενοι κακοί.

Ἐχρῆν αὐτῷ προcτεθῆναι, πότερον 'ναυτιώδειc ὄντεc' ἢ οὔ. τινὲc μὲν γὰρ οὐκ ἐμοῦcιν ναυτιῶντεc, ἔνιοι δὲ ἀcώδειc ὄντεc οὐδ' ὅλωc ἐναυτίαcαν, οὓc καὶ δοκεῖ μοι διὰ τῆc προκειμένηc ῥήcεωc ἐνδείκνυcθαι.

20 *schol.* R: διδαcκαλία ἀρίcτη περὶ ἄcηc. γίνεται ἡ ἄccηc (*l.* ἄcη) δι' ἀcθένειαν τῶν ζωτικῶν δυνάμεων [*l.* τῆc ζ-ῆc δ-εωc *sec.* A] βαρυνομένηc ὑπὸ τοῦ cώματοc καὶ [ὡc?] μηδὲν cχῆμα [ῥᾳδίωc *add.* A] φέρειν, ἀλλὰ ἀδημονίαc τε ἅμα καὶ δυcφορίαc ⟨γίνεcθαι⟩. γίνεται οὖν καὶ διὰ δῆξιν τοῦ cτόματοc τῆc γαcτρὸc δακνομένου ὑπὸ μοχθηρῶν χυμῶν. *similiter, sed verbis discrepans* A

1 παρακειμένων T τοῖc cπονδύλοιc L ἐλπὶ T 2 πάθοc R: παθεῖν LT αὐτοῦ LT: ἢ R 3 κωματώδεεc *post* κοπιώδεεc *pon. Hipp. codd. plerique, post* ἄγρυπνοι LT κοπώδεεc L ἀχλυώδεεc T: ἀχνόδεεc R: ἀκνοώδεεc L ἄγρυπνοι κοπιώδ. ἀχν. *ordin.* R 4 ἐφιδρῶντεc *Hipp. codd. plerique* 7 *lemma cum comm. om.* L *ante* ἐκ *interpolant* αἱ *Hipp. codd.* *ante* ὀξέωc *interp.* καὶ *Hipp. codd.* μεταπίπτουcι A 10 περιγράψαντοc T αὐτοῦ T τὸ] τοῦ TA 11 cημαίνει R *(ut v. 13)* 12 πυκνῶc A *ante* ὀξέωc *add.* καὶ *ex Hipp.* T (*non* A) 13 cημαίνουcαι A 15 δῆλον γ. ἐ. ἑωρακέναι A
τρ
16 ἀμφότερα *scripsi*: ἀμφό *ambigue* RTA: ἀμφότερον *ex Aldo edd.* 20 καὶ *om. Hipp.* ἀccώδεεc *hic et infra* R ἀνημέτωc *Hipp. codd. plerique* 21 κακόν *Hipp.* 22 αὐτὸν προcθεῖναι πρότερον T ναυτιώδειc T: ναυτιώδεεc L: ναυτιώδεc R ὄντεc *om.* T

διττῶς γὰρ γιγνομένων ἀσωδῶν τῶν καμνόντων, ἕνα μὲν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ τοῦ σώματος βαρύνηται καὶ μηδὲν φέρῃ σχῆμα ῥᾳδίως, ἕτερον δέ, ὅταν τὸ στόμα τῆς γαστρὸς ὑπὸ μοχθηρῶν δάκνηται χυμῶν, οἱ πρότεροι μὲν ὀλεθρίως διάκεινται, ναυτιώδεις δ᾽ εἰσὶν οἱ δεύτεροι. |

II 44 [I 77. V 530, 2] Κατάψυξις μετὰ σκληρυσμοῦ σημεῖον 666 ὀλέθριον.

Κατὰ διττὸν τρόπον σκληρύνεται τὰ σώματα, ποτὲ μὲν διὰ βάθους ὅλα σφοδρῶς ψυχόμενα, ποτὲ δ᾽ ἰσχυρῶς ξηραινόμενα. καὶ ἡ κατάψυξις δέ, εἰ οὕτως εἴη βίαιος, ὡς ὅλα δι᾽ ὅλων ψῦξαι τὰ σώματα καὶ σκληρῦναι, νεκρώσεώς ἐστι σημεῖον. εἰ δὲ καὶ ξηρότητα προσλάβοι, κατ᾽ ἄμφω γ᾽ ἐστὶν οὐκ ἀγαθὸν σημεῖον. ἐὰν μὲν οὖν ἐν μόναις ταῖς ἐπισημασίαις γίγνηται τοῦτο, μετριώτερον ἐνδείκνυται τὸ κακόν, ἐὰν δὲ ἄχρι πολλοῦ παραμένῃ, μεῖζον, ἐὰν δὲ καὶ διὰ παντός, ἐγγὺς ὁ θάνατος.

II 45 [I 78. V 530, 3] Ἀπὸ κοιλίης λεπτὰ μὴ αἰσθανομένῳ διιέναι ἐόντι παρ᾽ ἑωυτῷ κακόν, οἷον τῷ ἡπατικῷ.

Καλῶς ἐποίησεν αὐτὸς προσθεὶς οἷον τῷ ἡπατικῷ. καὶ γὰρ ἡμεῖς ἱστορήσαμεν ἐνίοις τῶν ἡπατικῶν ἄδηκτα δια|χωρήματα λεπτὰ γιγνό- 667 μενα, καίτοι δακνόντων ὡς τὸ πολὺ τῶν τοιούτων διαχωρημάτων. ἔοικεν οὖν ἐπ᾽ αὐτῶν ἢ μὴ γεννᾶσθαι χολώδεις χυμοὺς ἀρρωστίᾳ τῆς ἐν ἥπατι θερμασίας ἢ μὴ καταρρεῖν εἰς τὰ ἔντερα. ἐὰν δὲ κυρίως ἀκούσωμεν τοῦ μὴ αἰσθανομένῳ καὶ φῶμεν ἐπὶ τῶν ἀπροαιρέτως ἐκκρινομένων τὸν λόγον αὐτῷ γεγονέναι νῦν, οὐ περὶ τῶν ἀδήκτων, ἄτοπόν τι συμβήσεται. κατὰ διττὸν γὰρ τρόπον ἀπροαιρέτως ἐκκρινόντων, ἢ διὰ τὸ τὴν γνώμην νοσεῖν ἢ δι᾽ ἀναισθησίαν τῶν μορίων, δι᾽ ὧν ἡ ἔκκρισις γίγνεται, τὸ μὲν μὴ νοσεῖν τὴν γνώμην αὐτὸς ἐδήλωσεν εἰπὼν ἐόντι παρ᾽ ἑωυτῷ, τοῦτ᾽ ἔστι κατανοοῦντι καὶ σωφρονοῦντι, τὸ δ᾽ ὑπόλοιπον οὐ πιθανὸν ὑπολαβεῖν· μάτην γὰρ ἔσται κατὰ τὸν λόγον εἰπὼν ἐπὶ τῶν διαχωρημάτων τὸ λεπτά, τῶν ἀναισθήτων μορίων ἐπὶ πᾶσι τοῖς διεξερχομένοις αὐτῶν ἀναισθήτως ἐχόντων, οὐδενός τε συμπτώματος ἄλλου γεγραμμένου κατὰ τὴν ῥῆσιν, ὃ δύναται νεύρων ἐνδείξασθαι πάθος. τὸ γὰρ οἷον τῷ ἡπατικῷ τοῖς μὲν ἄλλοις λεπτοῖς δια-

1 διπλῶς L *cf. Gal. in Hipp. d. ac. m. victu XV 553—556* 2 φέρειν R; *hinc Cornarius verisimiliter* ὡς μηδὲν φέρειν *(cf. schol. 86, 20)* 4 ὀλεθριωδῶς L 5 κατάψυξις RL: τὰ T 7 βάθους T: βάθος RL 11 ἄμφω γ᾽] ἄμφω γε LT: ἄμφω R οὐκ ἀγαθὸν] χαλεπὸν L ἐπισημασίαις RT: σημασίαις L; *cf. Gal. in Hipp. Aph. XVII B 452 K.* ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν ἃς ἐπισημασίας ὀνομάζουσιν 12 γίγνηται *scripsi*: γίγνοιτο RLT 13 παραμένῃ L: παραμένει RT 15 ἑωτῶι L 16 καὶ γὰρ . . . ἡπατικῶν *om.* T 17 ἐνίοις R: ἐν τοῖς L *putabam* γενόμενα 19 ἀρρωστῷ T 20 τὸ ἔντερον L 21 αἰσθανομένου LT 22 αὐτῶι LT: αὐτοῦ R ἀδήκτων R: ἀδοκήτων L: ἀλοκότων T 25 γίγνηται R 26 ἑωυτῷ LT: ἑαυτῷ R 28 τὸ *Kalbfleisch*: τὰ RLT 29 οὐδ᾽ ἑνός τε R: οὐδενότε T: οὐδενὸς L 31 τῶν ἡπατικῶν L *post* ἄλλοις *add.* καὶ LT

668 χωρήμασιν ἐζεῦχθαι δύναται, νεύρων δ' | ἐπενεγκεῖν βλάβην κατὰ συμπάθειαν οὐ δύναται διὰ τὸ μόνον ἐγκεφάλῳ τε καὶ νωτιαίῳ τὰς τῶν νεύρων ἀποφύσεις ὁρᾶσθαι συμπασχούσας· ἥπατι γὰρ οὐκ οἴδαμεν ἑπομένην τὴν τοιαύτην συμπάθειαν οὐδὲ ἡ φύσις ἐνδείκνυται τοῦ σπλάγχνου νεύρων ἐλαχίστων μετέχοντος.

II 46 [I 79. V 530, 5] Τὰ σμικρὰ ἐμέσματα χολώδεα κακόν, ἄλλως τε καὶ ἢν ἐπαγρυπνήσωσιν· μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον.

Ἐπὶ τῶν νοσούντων ἕν τι καὶ τοῦτο τῶν καθόλου μοχθηρῶν ἐστι σημείων, ἀποκρίνεσθαι σμικρά, εἴθ' αἷμα διὰ μυκτήρων εἴτε κάτω διὰ τῆς γαστρὸς εἴτε δι' ἐμέτων ὁτιοῦν περίττωμα. ταὐτὸ δὲ τοῦτο κἀπὶ τῶν ἱδρώτων ἐστὶν καὶ τῶν διὰ μήτρας ἐκκρινομένων. οὐδὲν γὰρ τῶν κρισίμων σμικρὸν ἐκκρίνεσθαι προσῆκεν, ἀλλὰ πάντα τὰ οὕτω κενούμενα
669 δυοῖν θάτερον, ἢ μὴ στεγόμενα διὰ τὸ πλῆθος ἀπο|χεῖται τῶν πεπονθότων μορίων, ἢ τῆς φύσεως ἀσθένειαν ἐνδείκνυται προελομένης μὲν ἐκκρῖναι τὰ περιττά, μὴ δυνηθείσης δέ. τοῦτο οὖν καθόλου γινώσκοντας ἐχρῆν τὰ κατὰ μέρος ἐξ αὐτῶν ἐξευρίσκειν, ⟨ὧν⟩ καὶ τοῦτ' ἔστι τὸ νῦν εἰρημένον ἐπὶ τῶν χολωδῶν. πρόσκειται δ' αὐτῷ τῶν ἰδίων γνωρισμάτων ἡ ἀγρυπνία χολώδεσι μὲν ἑπομένη χυμοῖς, φλεγματώδεσι δ' οὐχ ἑπομένη. καταφοραὶ γὰρ ἐπὶ τῶν τοιούτων, οὐκ ἀγρυπνίαι γίνονται. καὶ τοίνυν, ὅταν μὲν ὀλίγον ἐμῆται φλεγματῶδες, μακρότερον δὲ καὶ βραδύτερον τοῦ συνήθους ὑπνοῦντες φαίνωνται, τῶν καταφορικῶν τι νοσημάτων προσδόκα μεμνημένος τοῦδε τοῦ ἀφορισμοῦ· "ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα κακόν".

II 47 [I 80. V 530, 7] Αἷς ἐκ τόκου γε λευκά, ἐπιστάντων δ' ἅμα πυρετῷ, κώφωσις καὶ εἰς πλευρὸν ὀδύνη ὀξείη, ἐξίστανται ὀλεθρίως. |

670 Καὶ τὸ νῦν εἰρημένον, ὥσπερ καὶ τὸ πρὸ τούτου καὶ ἄλλα πολλὰ τῶν ἐν τούτῳ τῷ βιβλίῳ γεγραμμένων, ὑποπέπτωκε καθολικοῖς θεωρή-

23 ἀφορισμοῦ] *Hipp. Aphor. II 3 (IV 470, 12 L.)*

1 νεῦρον LT ἐ πε νεγκεῖν (*spatiis bis singularum litterarum interiectis et* ν *priore littera nescio unde correcta, omisso* δ') R: δ' ἐνεγκεῖν ἐπὶ τὴν T: δὲ ἐνεγκεῖν ἐπὶ τὴν L 3 ἀπὸ φύσεων L 3. 4 εἴδομεν ἑπόμην L: οἴδαμεν ὑπομῖ´ T 4 τὴν R: *om.* LT οὐδὲ *scripsi*: οὔτε RLT τοῦ RT: τὴν L 5 ἐλαχίστην L 6 *lemma cum comm. om.* L σμικρὰ RTA *Hipp.*: μικρὰ *Chartier, Kühn* 7 καὶ ἢν *primo post* χολώδεα *addidit, tum delevit et in marg. post* τε *inseruit* R μυκτὴρ . . . ὀλέθριον *om.* R: τε . . . ὀλέθριον *om.* A 10 σμικρὸν A 11 τούτω TA 13 τὰ *om.* A 16 καθόλου TA: καθαρῶς R 17 ἐξ *om.* T ὧν *add. Kalbfleisch* καὶ *om.* R 19 ἑπόμενα *utrobique* R *post* ἑπομένη *iterat* χυμοῖς *ex v. 19* T 21 ὀλίγον R: ὀλίγα T: *comp. dub.* A ἐμῆται A: ἐμεῖτε R: ἐμῆταί τε T μακρότερα *et* βραδύτερα R 22 φαίνονται RA 23 ἀγρυπνία TA 24 τοῦ μετρίου μᾶλλον γενόμενα *ex futtilibus codd. Hipp. vulg., consentiunt boni cum Gal.* 25 τόκων (*om.* γε) *Hipp. codd.* ἐπιστάντων RLT, *Hipp. codd.*: ἐπιστάντα *Aldus* 26 οὐκ *add. ante* ἐξίστανται T 26. 27 ἐ. ὀλεθρίως R: ἐ. ὀλέθριοι LT: ἐ. ὀλεθρία A: ἐξίσταται ὀλέθριον (*vel* ὀλέθρια) *Hipp. codd.* 28 καὶ *(primum) om.* L 29 ἐν τοῦτο τὸ βιβλίον R

μαcιν· οὐ μόνον γὰρ ἐπὶ λευκῶν τῶν ἐπὶ τῷ τόκῳ κενουμένων ἐὰν ἐπίcταcιc γένηται, μοχθηρόν ἐcτιν αἴτιον καὶ cημεῖον, ἀλλὰ καὶ ἐπὶ χολωδῶν καὶ αὐτοῦ τοῦ αἵματοc. ἡ γάρ τοι λοχία κάθαρcίc ἐcτιν, ἀλλὰ καὶ κατὰ τοὔνομα κάθαρcιc τῶν ἀλλοτρίων, ἃ κατὰ τὸν τῆc κυήcεωc χρόνον ἠθροίcθη ἐν ταῖc φλεψί, δαπανωμένου μὲν εἰc τροφὴν τῷ κυουμένῳ τοῦ κατ' αὐτὰc αἵματοc χρηcτοῦ, μένοντοc δὲ τοῦ φαυλοτέρου, ὃ καθ' ἕκαcτον μῆνα πρότερον ἐξεκρίνετο διὰ τῆc μήτραc. ὅταν οὖν τοῦτο μὴ κενωθῇ τεκούcηc τῆc γυναικόc, ἤτοι τὰc μήτραc εἰc φλεγμονὴν ἐξαίρει μεγάλην ἢ πρόc τινα τῶν ἀνωτέρω τόπων ἐνεχθὲν οἰκεῖον τῷ δεξαμένῳ τό τε πάθοc ἐπιφέρει καὶ τὸν κίνδυνον, ἐc ὅ τι δὲ διήκει, διὰ τῶν ἐπιφαινομένων cυμπτωμάτων εἴcῃ, καθάπερ καὶ νῦν ὅ τε θώραξ καὶ ἡ κεφαλὴ τὸ ἀπὸ τῶν ὑcτερῶν ἀναφερόμενον ἐδέξατο πονηρὸν αἷμα. |

II 48 [I 81. V 530, 9] Ἐν πυρετοῖcι καυcώδεcιν ὑποπεριψύ- **671**
χουcιν, διαχωρήμαcιν ὑδατοχόλοιc, cυχνοῖcιν ὀφθαλμῶν ἴλλωcιc cημεῖον κακόν, ἄλλωc τε καὶ ἢν κάτοχοι γένωνται.

Κατάλογον πάλιν ἐνταῦθα cημείων τε καὶ cυμπτωμάτων ἐποιήcατο μοχθηρῶν, ὧν ἕκαcτον ἰδίᾳ καθ' ἑαυτὸ παρ' Ἱπποκράτουc μεμαθήκαμεν εἶναι μοχθηρόν, ἐν μὲν τοῖc πάθεcι τὸν καῦcον πυρετόν, ἐν δὲ τοῖc διαχωρήμαcι τὰ ὑδατόχολα. τῶν δ' ἐν τοῖc ὀφθαλμοῖc μοχθηρῶν cημείων ἓν ἦν καὶ ἡ ἴλλωcιc. περὶ δὲ τῆc κατοχῆc τί δεῖ καὶ λέγειν; εἰ μὲν οὖν ἠθέληcεν ἅπαντα εἰπεῖν τὰ ὀνόματα τῶν μοχθηρῶν cημείων, παμπόλλῳ πλείω παραλέλοιπεν ὧν εἶπεν, εἰ δ' ὡc μίαν cυνδρομήν, οὐκ ἔcτιν ὁμοιογενῆ τὰ εἰρημένα· καῦcοc μὲν γὰρ πυρετὸc cὺν τῇ περιψύξει χαλεπώτατον cύμπτωμά ἐcτι, τά τε διαχωρούμενα καὶ ὅλωc τὰ κατὰ τοὺc ὀφθαλμοὺc ταῦτα μὲν ἑτερο-
γενῆ, ἡ κατοχὴ δὲ αὐτὴ | μὲν γένουc ἄλλου cυμπτωμάτων ἐcτίν, ἡ **672**
δὲ διαcτροφὴ τῶν ὀφθαλμῶν πάλιν ἑτέραc διαφορᾶc.

10 *schol.* T: Γρ. οὕτωc· ἐc ὅτι δὲ διδαc[κ]'. τὸ δὲ διδάcκειν οὐκ οἶμαι δεῖν γράφεcθαι, ἀλλ' ἀντὶ τοῦτο [*l.* τούτου] ἢ ἀποcκέψει [*l.* ἀποcκήψῃ] ἢ φθῇ ἢ ἄλλο τι τοιοῦτον.

1 ἐὰν *scripsi*: εἰ RLT 2 3. ἐπὶ τῶν χ. L 3 λοχεία LT; *cf. Gal. V 137. XVII A 749 K.* ἀλλὰ καὶ *deleam (cf. v. 2), at proxima obscura* 4 τῆc *om.* T 5 ἐν ταῖc φλεψὶν ἠθροίcθη *pon.* L 6 αἵματοc χρηcτοῦ (χρηcτοὺc L) LT: χρηcτοῦ αἵματοc *hians* R 10 ἐc ὅτι δὲ διήκει R: ἐc ὅτι δὲ διδάcκει L: τοῦτὸ δὲ νῦν *in textu* T, *cf. schol. supra adscr.* 12 ἡ *om.* L πονηρὸν αἷμα *cum lemmate insequ. coni.* LT 13 *ante* ἐν *(praeter* πονηρὸν αἷμα, *cf. v. 12) add.* τοῖc T *(ut Hipp. D)*: *add.* οἱ *Hipp. codd. plerique* 14 *ante* διαχωρήμαcιν *add.* καὶ *Gal. XVII A 639, 17* ὀφθαλμῶν ἤλλωcιc T: ὀφθαλμοῦ ἴλλωcιc R: ὀφθαλμοὺc εἰλήναc *ex Hipp. (cf. codd. FGHJK)* L, *quae lectio orta est ex var. lect.* ὀφθαλμοῖcι λῆμαι *quam Gal. exhibet XVII A 640, 1 (cf.* ὀφθαλμοῖc ἴλωcιc A) 16 τε *om.* R 17 αὐτὸ L ἱπποκράτει L 20 ἤλλωcιc T 21 οὖν *om.* T 22 πάμπολλα R 23 ὁμογενῆ L 24 τὰ δὲ *Mewaldt* 25 ὅλωc] *an* μᾶλλον? 26 αὐτῶν L 27 δὲ διαcτροφὴ τῶν ὀφθαλμῶν T: διαcτροφὴ δὲ τ. ὀφθ. L: δὲ cυcτροφὴ τῶν βλεφάρων R; *at cf. Gal. XVII A 638, 18 K.* ἑτέραc διαφορᾶc LT: ἑτέρα διαφορά R

II 49 [I 82. V 530, 11] Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως ἐπιπυρετήναντι χρονίως ὀλέθρια, οἷον ὁ Νουμηνίου υἱός.

Κἀνταῦθα μὲν ἐδήλωσεν εἰπὼν ἑαυτὸν ἐπὶ καθολικὴν ἀπόφανσιν ἀφικνούμενον ἐξ ἑνὸς ἀρρώστου μετὰ τοῦ καὶ τῶν συνήθων τι περὶ τὴν λέξιν πρᾶξαι· τὸ γὰρ ἐπιπυρετήναντι λελυμένως εἶπεν ἀφίστασθαι προῃρημένος τῶν κυρίων ὀνομάτων, ἵν' ἔχωσιν ὕλην οἱ σοφισταὶ περιέργων ἐξηγήσεων. ἀμέλει καὶ νῦν ἔνιοι μὲν ἐπὶ τῶν ἀποπληκτικῶν ἀκούουσι τὸ λελυμένως ἀντὶ τοῦ 'μετρίως', ἔνιοι δὲ ἐπὶ τὰς ἰδίως παραπληγίας λεγομένας μεταφέρουσιν, ἐφ' αἷς εἰς ἀκινησίαν καὶ ἀναισθησίαν μορίων τινῶν κατασκήπτει τὸ νόσημα· ταύτας μὲν γὰρ καὶ νῦν βούλονται ἀποπληγίας εἰρηκέναι καταχρησάμενον αὐταῖς. εἶτα διττῶς | 673 αὐτῶν γιγνομένων, ὡς Ἐρασίστρατος ἐν τοῖς Περὶ παραλύσεως εἶπεν "αἱ μὲν γὰρ ξυνάγουσι καὶ ξυντείνουσιν, αἱ δὲ ἐκλύουσί τε καὶ χαλῶσιν τὰς διαρθρώσεις", εἰρῆσθαί φασι νῦν ὑπ' αὐτοῦ τὸ κατ' ἔκλυσίν τε καὶ χάλασιν τῶν νευρωδῶν σωμάτων εἶδος τῆς παραπληγίας. ἀλλ' ἐπί γε τῶν τοιούτων ἁπάντων παθῶν, ὅσα τοῦ νευρώδους ἐστὶ γένους, ὅταν ὑπὸ ψυχρῶν τε καὶ φλεγματικῶν γένηται χυμῶν, ὥσπερ αἵ τε ἀποπληξίαι καὶ αἱ παραπληγίαι, πυρετὸς θερμὸς ἐπιγινόμενος οὐ σμικρὸν γίνεται βοήθημα. τὰ γοῦν ἐν Ἀφορισμοῖς εἰρημένα ἐνταῦθα ἡμᾶς διδάσκει τό τε "πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι ἢ σπασμὸν ἐπὶ πυρετῷ", καὶ τὸ "ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνῄσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ ἢ εἰς τὴν ὥρην ἐλθών, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται". συνέβη τοιγαροῦν, ὡς ἡ ῥῆσις ἐνδείκνυται, τῷ τοῦ Νουμηνίου υἱῷ γενομένης ἀποπληξίας οὐκ ὀξὺν καὶ θερμόν, ἀλλὰ βληχρὸν καὶ χρόνιον ἀκολουθήσαντα πυρετὸν μηδὲν ὠφελῆσαι. |

12 Ἐρασίστρατος ἐν τοῖς Περὶ παραλύσεως] *cf. Fuchs Herm. 29, 183*
19 ἐν Ἀφορισμοῖς] *Hipp. Aph. II 26 (IV 478, 4 L.)* 21 *ib. V 5 (IV 534, 1)*

2 ἐπὶ πυρετήταντι R: ἐπιπυρεττήναντα T *(utrumque etiam Hipp. codd.)*: ἐπιπυρήναντα L χρόνῳ *Hipp. nonnulli codd.* *post* οἷον *add.* τι ἐπεπόνθει *Hipp.* νουμινίου R 3 *ante* εἰπὼν *add.* ὁ T 4 ἀφικνόμενον L συνήθων LT: συνήθη R 5 τὸ R: τὰ LT γὰρ *om.* T ἐπιπυρεταίνοντι L: ἐπιπυρεττήναντι T 6 προειρημένος L²T 7 *ante* περιέργων *incoh.* πε T 8 μετρίου T 9 παραπληγίας λεγομένας] παραπλεκομένας L καταφέρουσιν, ἵνα εἰς κτλ. LT 10 κατασκήπτηι LT ταῦτα LT 11 *post* βούλονται *add.* αὐτὸν L 13 ξυνάγουσι R¹: συνάγουσι LTR² ξυντείνουσι R: συντείνουσιν LT; *servandam puto litteram* ξ *ab Erasistrato Ceo nimirum ex Hippocrateis adamatam cf. Gal. VIII 431 K.* 15 παραπληγίας R: ἀποπληξίας LT 18 ἐπιγενόμενος θερμὸς *ex Aldo transp. edd.* 20 τε *Schoene*: γε RLT 21 τις *post* μεθύων *Gal. infra p. 776, 17 K., ubi vide n.* γενέσθαι T 22 ἐπιλάβη T: ἐπιλάβοι RL κρεπάλαι T 23 ἡ L: *om.* R: εἰ ἡ T τῷ τοῦ] τοῦ τοῦ R 24 νουμινίου LR ὀξὺ L 25 βλιχρὸν R ὠφελῆσαι L: ὠφελήσειν RA (T *hoc loco corros.*), *quod sane Galeni aetate tolerari potest*

II 50 [I 83. V 530, 13] Ἐξ ὀcφύοc ἀλγήματοc ἀναδρομαὶ εἰc 674
καρδίην πυρετώδεεc, φρικώδεεc, ἀνεμοῦcαι ὑδατώδεα, λεπτά, πλέονα, παρενεχθεῖcαι, ἄφωνοι ἐμέcαcαι μέλανα τελευτῶcιν.

Ἤθροιcται κἀνταῦθα cυμπτώματα πολλὰ μοχθηρὰ μετὰ τοῦ καὶ τὴν ἑρμηνείαν εἶναι κακόζηλον. αἱ γὰρ ἀναδρομαί, φηcίν, ἐμέcαcαί τε καὶ παρενεχθεῖcαι, δέον αὐτοὺc ἐμέcαντάc τε καὶ παρενεχθένταc εἰπεῖν. ἀλλὰ cύ γε καὶ τῶν cυμπτωμάτων ἑκάcτου τὴν δύναμιν εἰδὼc οὐ χαλεπῶc εὑρήcειc, εἰc ὅcον ὁ κάμνων ἥκει κινδύνου. τοῦτο δ᾿ ἐπὶ τέλει τοῦ Προγνωcτικοῦ παραινέcαc ὁ Ἱπποκράτηc ἠρκέcθη.

II 51 [I 84. V 532, 1] Ὄμματοc κατάκλειcιc ἐν ὀξείᾳ κακόν.

Ἤδη καὶ πρόcθεν ἐν ἀθροίcματι πλειόνων cημείων, ἃc ʽcυνδρομὰcʼ ὀνομάζουcιν οἱ ἀπὸ τῆc Ἐμπειρίαc, ὄμματοc | κατάκλειcιν ἔγραψεν. 675
ἔνιοι δὲ διὰ τοῦ α̅, οὐ διὰ τοῦ ε̅ι̅ κατάκλαcιν γράφουcιν, οὐ μεγάληc οὔcηc διαφορᾶc περὶ τὸ cημαινόμενον ἐξ ἀμφοῖν. βούλεται γὰρ δηλῶcαι τὸ κατακεκλαcμένον ἢ τὸ κατακεκλειcμένον βλέφαρον, ἐφ᾿ ᾧ δυοῖν θάτερον, ἢ τῇ cυντονίᾳ τῶν κλειόντων αὐτὸ μυῶν ἢ ἀρρωcτίᾳ τῶν ἀνοιγόντων, ἕπεται τὸ πάθοc.

II 52 [I 85. V 532, 2] Ἆρά γε τοῖc ἀcώδεcιν ἀνεμέτοιc, ὀcφυαλγέcιν, ἢν θραcέωc παρακρούcωcιν, ἐλπὶc μέλανα διελθεῖν;

Ἀποκρινούμεθά cοι καὶ πρὸc τοῦτο ῥᾳδίωc, ὅτι μὴ πᾶcιν, ἀλλὰ τιcὶν αὐτῶν ἔcται τοῦτο, καθάπερ δέδεικται πρόcθεν.

II 53 [I 86. V 532, 4] Φάρυγξ ἐπώδυνοc ἰcχνὴ μετὰ δυcφορίηc πνιγώδηc ὀλεθρίη ὀξέωc. |

Ἀναμνήcθητι τῆc ἐν τῷ Προγνωcτικῷ ῥήcεωc, ἧc ἡ ἀρχή· ʽʽαἱ δὲ 676
κυνάγχαι δεινόταται μέν εἰcι καὶ τάχιcτα ἀναιροῦcαι, ὅcαι μήτ᾿ ἐν τῇ

8 ἐπὶ τέλει τοῦ Προγνωcτικοῦ] *c. 25 (II 188, 7 sqq. L.)* 11 πρόcθεν] *Prorrh. 71 cf. supra p. 81, 10. 82, 4* 12 οἱ ἀπὸ τῆc Ἐμπειρίαc] *cf. Gal. de sect. 4 (I 7, 4 ed. Helmreich)* 21 δέδεικται πρόcθεν] *cf. p. 32, 31 sqq.* 24 ἐν τῷ Προγνωcτικῷ] *23 (II 176, 2 L.)*

1 *lemma cum comm. om.* L ἀναδρομὴ ἐc *Hipp. (FGIJK), at eidem fere* πυρετῶδεc φρικῶδεc ἀνεμέουcαι 4 *ante* cυμπτώματα *add. ut videtur* τὰ T (*non* A) 7 καὶ (*post* γε) TA: *om.* R 10 ὄμματιc L ὀξείᾳ LT: ὀξεῖα R: ὀξέcι *Hipp. codd.* 11 ἀθροίcμαcι R 12 ἔγραψεν T: ἔγραψαν LR 13 ε̅ι̅] ϊ LT 15 ἐφ᾿ ὧι L: ἐφ᾿ ὧν RT, *Cornarius* 16 αὐτὸ RT: αὐτῇ L μυῶν *Cornarius cf. p. 82, 9*: μορίων RLT *(archetypus habuerat sine dubio* μ/ with ο above *ut* A *pro* μ/ with υ above) 17 ἀνοιγόντων R: cυνεχόντων LT 18 τοῖcιν ἀ. ἀνημέτοιcιν *Hipp.* ὀcφὺc ἀλγέcιν L 22 δυcφορίαc L *cf. p. 739, 6 K.* 23 πνιγμώδηc *vel* πνιγώδουc *Hipp. codd.* 25 cυνάγχαι L ἀναιροῦcαι R: ἀναιροῦcιν LT: ἀναιρέουcιν *Hipp.* ὅcαι RLT: ὁκόcαι *Hipp.* τῇ *om.* L

φάρυγγι μηδὲν ἔκδηλον ἐμποιέουσι μήτ᾽ ἐν τῷ αὐχένι, πλεῖστόν τε πόνον παρέχουσιν καὶ ὀρθόπνοιαν”, ἔνθα σοι καὶ παραβάλλειν ἔξεστιν ἑρμηνείαν ἐπιστήμονος ἀνδρὸς ὧν λέγει πραγμάτων τῇ τοῦ πλανωμένου κατὰ τὰς συνδρομὰς ἀδυναμίᾳ τοῦ πρὸς τὸ καθόλου ποιεῖσθαι τὴν συναγωγήν. ὁ μὲν γὰρ Ἱπποκράτης τό τε τοῦ πάθους ὄνομα προεῖπεν καὶ τὰς διαφορὰς ἁπάσας ἐφεξῆς εἶπεν ἀρξάμενος ἀπὸ τῆς χαλεπωτάτης αὐτῶν, ἧς νῦν παρέγραψα τὴν ῥῆσιν.

ὁ δὲ τοῦτο τὸ βιβλίον γράψας πρῶτον μὲν ἥμαρτεν εἰπὼν τὴν φάρυγγα πνιγώδη, δέον τὴν κυνάγχην. οὐδὲ γὰρ τοῦτ᾽ ἔστιν εἰπεῖν ὡς ἀντὶ τοῦ πάθους τῷ πεπονθότι μορίῳ κατεχρήσατο· τὴν ἀρχὴν γὰρ οὐδὲ πέπονθέ τι τοῖς οὕτως ἔχουσιν φάρυγξ, ὡς Ἱπποκράτης ἐδήλωσεν δεινοτάτας εἰπὼν εἶναι κυνάγχας, ὅσαι μήτε ἐν τῇ φάρυγγι ἔκ-
677 δηλον μηδὲν ποιοῦσι μήτ᾽ ἐν τῷ αὐχένι. | ὁ δὲ τὸ προρρητικὸν τοῦτο γράψας ἔφη· φάρυγξ ἐπώδυνος ἰσχνή. τὸ γὰρ ἰσχνὴ ταὐτὸν τῷ μηδὲν ἔκδηλον ἔχειν δύναται. προσέθηκε δὲ οὗτος μάτην τὸ μετὰ δυσφορίης, ἐξ ἑτέρου γένους ὑπάρχον συμπτωμάτων.

εἶτα καὶ τὸ πνιγώδης ὁ μὲν τοῦτο τὸ βιβλίον γράψας ἀδιορίστως τε καὶ κοινῶς εἶπεν, ὁ Ἱπποκράτης δὲ οἰκείῳ τῆς διαφορᾶς ὀνόματι προσηγόρευσεν εἰπὼν ὀρθόπνοιαν ἐπιφέρειν αὐτήν. ὀνομάζει δὲ καὶ αὐτὸς καὶ οἱ ἄλλοι πάντες ὀρθόπνοιαν ἐκεῖνο τὸ τῆς δυσπνοίας εἶδος, ἐν ᾧ πνίγονται κατακείμενοι καὶ μόλις ἐξαρκοῦσιν ὄρθιον ἔχοντες τὸν θώρακα κατὰ μηδενὸς ἐρηρεισμένου τοῦ μεταφρένου. κατασχιζομένης γὰρ εἰς τὸν πνεύμονα τῆς τραχείας ἀρτηρίας τὴν ἀρχὴν ἀπὸ τοῦ λάρυγγος ἐχούσης, ὅταν μὲν ἀνατείνωμεν ὄρθιον τὸν θώρακα, σὺν τῷ τραχήλῳ τὴν τραχεῖαν ἀρτηρίαν ἐξευρύνεσθαι συμβαίνει καὶ τὰς ἐξ αὐτῆς ἀποφύσεις ἁπάσας τὰς εἰς τὸν πνεύμονα κατασχιζομένας εὐρύνεσθαι κἀν τούτῳ τὴν ἔνδον αὐτῷ χώραν αὐξάνεσθαι. διὰ τοῦτο μὲν οὖν κἀπὶ τῆς περιπνευμονίας ἡ ὀρθόπνοια γίνεται κἀν τοῖς καλουμένοις
678 ἀσθ|ματικοῖς πάθεσι, δι᾽ αὐτὸ δὲ τοῦτο κἀπὶ τῆς χαλεπωτάτης κυνάγχης, ἐν ᾗ φλεγμαίνοντες οἱ τοῦ λάρυγγος ἔνδον μύες ἀποφράττουσι τὴν ὁδὸν τῆς ἀναπνοῆς. ἐπιτείνεται γὰρ καὶ τοῦτο τὸ πάθημα κατακειμένων αὐξανομένης τῆς στενοχωρίας. ἀλλὰ καὶ τὰς ἄλλας ⟨τῆς⟩ κυνάγχης διαφορὰς ὁ Ἱπποκράτης ἔγραψεν ἐν τῷ Προγνωστικῷ σαφέστατά τε καὶ

33 ἐν τῷ Προγνωστικῷ] *l. c p. 91, 24*

1 ποιέουσι *Hipp.* τε RLT: δὲ *Hipp.* 3 πραγμάτων LT: πραγματειῶν R τῇ] τὰ L 10 ἀρχὴν *om.* R γὰρ *om.* T 11 τοῖς] τῶν L 12. 13 εὔδηλον T 13 ποιέουσιν L μήτ᾽ ἐν τῷ αὐχένι *om.* L αὐχένιον T 14 ταὐτὸν R: *om.* LT τῷ *Basileensis*: τὸ RLT 15 ἔκδηλον R: εὔδηλον LT δυσφορίας R 17 πνιγῶδες R 18 ὁ δ᾽ ἱπποκράτης οἰκείῳ L 19 ἐπιφέρων R 20 οἱ RL: *om.* T τὸ *ante* εἶδος *transp.* LT 21 μόνις L 22 ἐρηρυσμένου R τοῦ LT: *om.* R 25 ἐξευθύνεσθαι RL 26 αὐτῆς L: αὐτοῦ T: *ambiguo comp.* R τὰς R: *om.* LT 27 κἀντοῦτο R αὐτῷ RT: αὐτῶν L 29 διὰ ταυτὸ δὲ τοῦτο LT 30 φλεγμαίνουσιν *et* ἀποφράττοντες L 31 καὶ *om.* T κατακείμενον L: *fortasse* κατακειμένοις 32 τὰς ἄλλας ⟨τῆς⟩ *Cornarius*: τῆς ἄλλης RLT 33 γράψας L

ἀκριβέςτατα κατ' ἐκεῖνο τοῦ βιβλίου τὸ χωρίον, ἐν ᾧ καὶ ἡ ῥηθεῖcά μοι νῦν εἴρηται ῥῆcιc. ἐν δὲ τῷ προρρητικῷ τούτῳ καίτοι πολλάκιc φάρυγγοc μνημονεύcαc ὁ γράψαc τὸ βιβλίον οὐδὲν ἡμᾶc caφὲc οὐδὲ διηρθρωμένον ἐδίδαξε περὶ τῶν κατὰ ταύτην παθῶν.

II 54 [I 87. V 532, 5] Οἷc πνεῦμα ἀνέλκεται, φωνὴ δὲ πνιγώδηc, ὁ cπόνδυλοc ἐγκάθηται, τουτέοιcιν ἐπὶ τῶν τελευτῶν ὡc cυcπῶντόc τινοc τὸ πνεῦμα γίνεται. |

'Περὶ δυcπνοίαc' ὑπομνήματα γέγραπταί μοι δεικνύντι, πόcαι μὲν αἱ πᾶcαι διαφοραὶ κατ' αὐτήν εἰcιν [ἑκάcτην], τίνεc δὲ αἱ αἰτίαι αἱ γεννῶcαι ἑκάcτην ὅ τί τε cημαίνειν πεφύκαcιν. ἐπιδέδεικται δὲ διὰ τῶν αὐτῶν ὑπομνημάτων καὶ περὶ τῶν ὑφ' Ἱπποκράτουc εἰρημένων δυcπνοιῶν ἐν τοῖc ὁμολογουμένοιc αὐτοῦ γνηcίοιc βιβλίοιc. οὔτ' οὖν ἐγὼ διαφοράν τινα ἀνελκομένου πνεύματοc εὑρὼν οὔτε παρ' Ἱπποκράτουc μαθὼν ἐζήτουν, ἥντινά που λέγει τὴν δύcπνοιαν ταύτην ὁ γράψαc τὸ βιβλίον τοῦτο. εἰcὶ μὲν οὖν καὶ ἄλλαι δύο γραφαὶ τῆc αὐτῆc λέξεωc, ὧν ἡ μὲν cημαίνει ⟨ταὐτὸν τῇ⟩ ἑτέρᾳ, βραχὺ παραλλάττουcα κατὰ τὴν φωνήν, οὐ μὴν τήν γε διάνοιαν ὑπαλλάττουcα· πρόcκειται γὰρ ἐν αὐτῇ κατὰ τὴν ἀνέλκεται φωνὴν τὸ ω̅ γράμμα μετὰ τὰ πρῶτα δύο τό τε α̅ καὶ τὸ ν̅, ὡc γενέcθαι τὴν λέξιν τοιάνδε· οἷc πνεῦμα ἄνω ἕλκεται. πολὺ δὲ ἀποχωρήcαντεc ἔνιοι τῶν νεωτέρων ἀνέχεται γράφουcιν οὐδενὸc τῶν παλαιοτέρων ἐπιcταμένου τὴν γραφήν. 679

ταύτηc μὲν οὖν τελευταῖον μνημονεύcω, περὶ προτέρων δὲ διαcκεψώμεθα τῶν ὁμολογου|μένων, εἰc ἃc οὐδὲν εὗρον οὐδένα πιθανὸν εἰπόντα, τινὰc δὲ καὶ μεμψαμένουc ἄντικρυc, ὥcπερ καὶ τοὺc μεταγράψανταc εἰc τὴν ἀνέχεται φωνήν. ὥcπερ γὰρ ἀβοηθήτων οὐcῶν τῶν προτέρων γραφῶν ἐπὶ τὸ μεταγράφειν αὐτὰc ἀφίκοντο. δοκεῖ δέ μοι 680

8 Περὶ δυcπνοίαc] *tres libri extant VII 753—960 K.* 22 μνημονεύcω] *p. 95, 8*

4 ταύτην LT: ταῦτα R 5 φωνὴ δὲ πν.] καὶ φωνὴ πνιγμώδηc *Hipp.* 6 ὁ RL: ἡ T cπόνδυλόc τε *Hipp.* τουτέοιcιν RT, *qui hoc vocabulo f. 230ᵛ finitur; pro quo iam plena referetur discrepantia codicis A(mbrosiani)*: τούτοιcιν L ἐπὶ τῶν τελευτῶν R: ἐπὶ τῶν τελευτώντων L: ἐπὶ τῆc τελευτῆc A: *item vel* ἐ. τελευτῆc *Hipp. codd.* 7 τὸ *om. Hipp. codd.* 9 αὐτὴν *Kalbfleisch:* αὐτῶν RLA ἑκάcτην LA: ἑκάcτηc R: *del. Kalbfleisch* αἱ A: *om.* RL 10 δὲ *om.* L 12 βίβλοιc A οὔτ'] εἴτ' A 13 ἑλκομένου A εὑρὼν L: εὗρον RA 14 *post* ἐζήτουν *add.* οὖν R που λέγει RA: ἀποτελέ(cει?) *breviatum* L 16 ὧν ἡ μὲν R: *om.* LA cημαίνουcαι RL: cημαιν̈́ A: *corr. Aldus* *addidi* ταὐτὸν τῇ ἑτέρᾳ *Aldus*: ἕτερα RLA: ἑτέραc *Chartier* παραλλάττουcαι *et (17)* ὑπαλλάττουcαι LA 17 πρόκειται L 19 τοιάνδε RA: τοιαύτην L 20 ἕλκεται RA: ἀνέλκεται L ἀνέχεται RL: ἀνέρχεται A, *Aldus at cf. v. 25 et p. 95, 8* 21 ἐπιcτάμενοc R 22 οὖν ⟨τὸ⟩ *Mewaldt* πρωτέρων R: προτέραc L: *ambigue* προ^τρ' A διαcκεψώμεθα *scripsi*: διαcκέψομαι τὰ R: διαcκέψομαι LA: διαcκεψόμεθα τὰ *Aldus* 23 ἃc RLA *(cf. v. 26)*: ἃ *Aldus* οὐδὲν] οὐδ' ἓν R 25 ἀνέχεται RLA *cf. v. 20* γὰρ *om.* L

τὸ ἀνελκόμενον πνεῦμα τὸ ἄνω ἑλκόμενον λέγειν, ἐφ' οὗ κατὰ τὸν ἔμπροσθεν λόγον ἔφην εἰρῆcθαι τό τε πρόχειρον καὶ τὸ μετέωρον, ὅταν τοῖc ἄνω μέρεcιν ὁ θώραξ μεγάλην ποιῇ τὴν ἀναπνοὴν εἰcπνεόντων, ὡc φαίνεcθαι κινουμέναc τὰc ὠμοπλάταc, καὶ διὰ τί τὸν τρόπον τοῦτον ἀναπνέουcιν οἱ πνιγόμενοι πάντεc, ἐδήλωcα.

καὶ μέντοι καὶ περὶ τῶν πνιγωδῶc ἐνοχλουμένων οὐ διὰ τὴν ἐν τῷ πνεύμονι cτενοχωρίαν οὐδὲ διὰ τὴν φλεγμονὴν τῶν ἐν τῷ λάρυγγι μυῶν, ἀλλὰ διὰ τὴν τῶν ἐπικειμένων μὲν τῷ λάρυγγί τε καὶ τῷ cτομάχῳ, τοῖc πρόcω δὲ μέρεcι τῶν ῥαχιτῶν μυῶν ἐπιβεβλημένων, ἔμπροcθέν τε καὶ κατ' αὐτὸ τοῦτο τὸ Προρρητικὸν βιβλίον εἴρηταί μοι καὶ δι' ὧν ἐξηγηcάμην τὸ δεύτερον βιβλίον τῶν Ἐπιδημιῶν, ἔνθα φη-
681 cίν· "ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τοιάδε· τοῦ τραχήλου | οἱ
cπόνδυλοι εἴcω ἔρρεπον, τοῖcι μὲν ἐπὶ πλέον, τοῖcι δὲ ἐπ' ἔλαττον. καὶ ἔξωθεν ἦν δῆλοc ἐγκοίλωc ἔχων ὁ τράχηλοc καὶ ἤλγει ταύτῃ ψαυόμενοc. ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντοc καλευμένου, ὃ οὐχ ὁμοίωc ὀξύ ἐcτι." πρόδηλον δ' ὅτι τὸν δεύτερον cπόνδυλον ὅλον ἀπὸ μέρουc ὀδόντα κέκληκεν ἢ μόνην αὐτοῦ τὴν ἀπόφυcιν ἐκείνην, ἣν οἱ μὲν ὀδοντοειδῆ προcαγορεύουcιν, οἱ δὲ ἄντικρυc ὀδόντα, διότι παραπλήcιόc πωc φαίνεται τῷ καλουμένῳ κυνόδοντι. ἐπεὶ δὲ μετὰ τὸ εἰπεῖν "ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντοc καλεομένου" προcέθηκεν "ὃ οὐχ ὁμοίωc ὀξύ ἐcτιν", ἐδήλωcε κίνδυνον οὐχ ὁμοίωc ἐπιφέρειν ὀξὺν ὁ γράψαc ταῦτα τὸν cπόνδυλον τοῦτον, ὥcπερ κἀπειδὰν ἐν τοῖc Ἀφοριcμοῖc καταλέγων τὰ λεγόμενα πάθη τῶν παίδων εἴπῃ "cπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴcω ὤcιεc" οὐκ ἄλλον cπόνδυλον ἀκούειν χρὴ παρὰ τὸν εἰρημένον. ὅταν γὰρ οἱ ἐπικείμενοι μύεc ἐν τοῖc πρόcω μέρεcιν αὐτοῦ φλεγμήναντεc ἢ ὁπωcοῦν ἐνταθέντεc πρὸc ἑαυτοὺc ἐπιcπάcωνται ὅλον
682 τὸν | cπόνδυλον, ἡ μὲν ὀπίcω χώρα κοιλοτέρα φαίνεται, θλίβεται δ' ὁ
λάρυγξ καὶ κατὰ τοῦτο πνίγονται. cπανιωτάτη δὲ ἡ τοιαύτη κυνάγχη γίνεται.

1 τὸν ἔμπροcθεν λόγον] *supra p. 37, 21 (cf. adnot.)* 5 ἐδήλωcα] *p. 38, 9* 11 τὸ δεύτερον βιβλίον τῶν Ἐπιδημιῶν] *Gal. XVII A 372 K.* 22 ἐν τοῖc Ἀφοριcμοῖc] *III 26 (IV 498, 4 L.)*

1 τὸ] τῶ A πνεῦμα ἢ //// (ν *vel* c *erasa*) τὸ ἄνω ἑλκόμενον λέγειν, ἐφ' οὗ κατὰ τὸν ἔμπροcθεν λόγον R: πνεῦμα λέγειν τὸ [τὸ *om.* A] ἐφ' οὗ τὸ ἄνω ἑλκόμενον κατὰ τὸν ἔμπροcθεν λόγον LA 3 ποιῆι L: ποιεῖ RA 4 φαίνεcθαι τὰc ὠμοπλάταc κινουμέναc LA: φαινομέναc κινεῖcθαι τὰc ὠμοπλ. R 5 ἐδήλωcαν R: *ambiguo comp.* A 6 πνιγμωδῶc L; *cf. ad p. 93, 5* 7 τῷ *(prius)* LA: *om.* R οὐδὲ *scripsi*: οὔτε RLA 8 μὲν R: *om.* LA τε RA: *om.* L 11 βιβλίον *om.* LA 12 τάδε *Hipp.* 13 ἔλαccον *Hipp.* 14 ἔξωθεν (*ex* ἔχωθεν *corr.* R[1]) RL, *Hipp. C*: ἔcωθεν *Hipp. ceteri* ἦν δῆλοc (*extrema l. ex* ν *corr.* R[1]) R, *Hipp.*: δ' ἦν δῆλοc A: ἔκδηλοc ἦν L ἐγκοίλωc RL: ἔγκοιλον *Hipp.* ἤλγεε *Hipp.* ταύτῃ LA, *Hipp.*: ταῦτα R 15 κατωτέρω L *et (comp. ambiguo)* RA: καὶ κατωτέρω *Hipp.*: κατώτερον *ex Aldo edd.* καλευμένου *scripsi*: καλειμένου L: καλουμένου RA, *cf. v. 20* 16 ὅλον ἀπὸ μέρουc] *i. e. quamvis revera parti tantum dentis forma sit, totam tamen vertebram Hipp. dentem appellat cf. Gal. II 757. XVII A 371* 18 παραπληcίωc L 20 καλουμένου A ὃ *om.* LA 21 ὀξύc A 24 *post* ἰνίον *iter.* τὸ L 26 ἐκταθέντεc ἐπιcπάcωνται πρὸc αὐτοὺc L 28 cπανιωτάτη *comp., ut videtur,* RA: cπανιώτατα L

καὶ νῦν οὖν ὁ cπόνδυλοc αὐτὸc ἐγκαθῆcθαι λέλεκται, τὸ δὲ κινδυνῶδεc τοῦ πάθουc δεδήλωται διὰ τῆc προκειμένηc ῥήcεωc, ἔνθα φηcί· τούτοιcιν ἐπὶ τῶν τελευτῶν ὡc cυcπῶντόc τινοc τὸ πνεῦμα γίνεται. τὸ γὰρ ἐπὶ τῶν τελευτῶν ʽὅταν ἀποθνήcκωcιν’ δηλοῖ· τὸ δ᾿ ὡc cυcπῶντοc, ἐπειδὴ cπαcμώδηc αὐτοῖc ἡ ἀναπνοὴ γίνεται τελευτῶcιν, cφοδρῶc μὲν ἕλκοντοc τοῦ θώρακοc, ὁδὸν δ᾿ οὐκ ἔχοντοc αὐτάρκη τοῦ πνεύματοc, ἀλλὰ διὰ τῆc cτενῆc ὀπῆc βιαίωc εἰcπνεομένου. τοῦτ᾿ οὖν ἡγούμενοι δηλοῦcθαι κἀκ τῆc ἀνέχεται φωνῆc ἔγραψάν τινεc οἷc πνεῦμα ἀνέχεται.

II 55 [I 88. V 532, 7] Οἱ κεφαλαλγικοὶ κατόχωc παρακρούοντεc κοιλίηc ἀπολελαμμένηc, ὄμμα θραcύνοντεc, ἀνθηροί, ὀπιcθοτονώδεεc γίνονται. |

Ἐδείχθη καὶ πρόcθεν ὁ ἀνὴρ οὗτοc ἐξ ἀνομοιογενῶν cημείων γρά- 683
φων cυνδρομάc, ἃc ἐφ᾿ ἑνὸc ἢ δυοῖν ἐθεάcατο, καὶ διὰ τοῦτο πολλάκιc αὐτὸc προcτίθηcι τὸν ʽἆρα’ cύνδεcμον, ὃν καὶ νῦν ἄμεινον ἦν αὐτῷ cυντεθεικότι φάναι· ἆρά γε ὀπιcθοτονώδεεc γίνονται; ἡ μὲν γὰρ κεφαλαλγία δηλοῖ πεπονθέναι τὴν κεφαλήν [αὐτήν], τὸ δὲ κατόχωc τὸν ἐγκέφαλον αὐτόν, ὥcπερ δὴ καὶ τὸ παρακρούοντεc. ἐδείχθη δὲ καὶ πρότερον, ὡc οὐ μάχεται τὰ τοιαῦτα cυμπτώματα, καθάπερ οἴονταί τινεc, ἀδύνατον εἶναι φάcκοντεc ἅμα τε κατέχεcθαι καὶ παρακρούειν τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διὰ τῶν ἔμπροcθεν εἶπον, ὁπηνίκα τὴν πρώτην ἁπαcῶν ἐξηγούμην ῥῆcιν καὶ τήνδε· "τρομώδεεc, ψηλαφώδεεc παρακρούcιεc πάνυ φρενιτικαί." ὥcτ᾿ οὐδὲν ἔτι χρῆναι λέγειν περὶ αὐτῶν. βέλτιον δ᾿ ἐπιcημήναcθαι δύο ταῦτα ὑπόλοιπα τῶν προγεγραμμένων ἐν τῇ προκειμένῃ ῥήcει, τὸ μὲν ἕτερον ἔνθα φηcί κοιλίηc ἀπολελαμμένηc, τὸ δ᾿ ἕτερον ὄμμα θραcύνοντεc.

αἱ μὲν γὰρ ἀπολελαμμέναι κοιλίαι, τοῦτ᾿ ἔcτιν ἐπεχόμεναι, τῆc
κατὰ | τὸν ἐγκέφαλον διαθέcεωc οὐκ εἰcὶν οἰκεῖον cημεῖον, αὐξάνουcι 684
μέντοι καὶ χείρονα ποιοῦcιν αὐτήν· τὸ δ᾿ ὄμμα θραcύνοντεc ἀναγκαίωc πρόcκειται τῇ cυνδρομῇ· τοὺc γὰρ ἰδίωc κατόχουc καλουμένουc καὶ οἱ περὶ τὸν Ἀρχιγένην καὶ Φίλιππον ἴcαcιν ἀναπεπταμένουc

13 ἐδείχθη καὶ πρόcθεν] *cf. test. ad p. 45, 3* 21 διὰ τῶν ἔμπροcθεν εἶπον, ὁπηνίκα τὴν πρώτην ἁπαcῶν ἐξηγούμην ῥῆcιν] *p. 7, 4 sqq.* 22 καὶ τήνδε] *I 33 p. 46, 1*

3 τῶν τελευτῶν R: τῶν τελευτώντων L: τῆc τελευτῆc A, *cf. p. 93, 6 et infra v. 4* 4 τῶν τελευτῶν *(sic)* RA: τῶν τελευτώντων L ἀποθνήcκωcιν A: ἀποθνήcκουcιν RL 6 μὲν RA: δὲ L 7 ἀλλὰ *om.* A 8 ἀνέχεται RA: ἐνέχεται *(ut v. 9)* L 10 *lemma cum comm. om.* L 11 ἀπολελαμμένηc R *(cf. v. 26 sqq)*: ἀπολελυμμένηc A: ἀποβεβλαμμένηc *vel* ἀποβεβλαμένηc *vel* ἀπολελυμένηc *Hipp. codd.* 15 αὐτὸc *scripsi*: αὐτῷ R: α'ὐ[τ] A 15. 16 ἀὐ[τ] cυντεθεικο[τα,] A 17 αὐτὴν *delevi cf.* R *v. 18* 18 αὐτὸν A, *Aldus*: *om.* R 20 τε R: τε καὶ A 23 ψηλαφώδεεc A: ψηλαφώδεc R 25 γεγραμμένων A 26 κοιλίαι ἀπολελυμμέναι A 27 ἀπολελυμμέναι A

ἔχοντας τοὺς ὀφθαλμούς, οὐχ ὡς οἱ κωματώδεις καὶ οἱ καταφορικοὶ κεκλεισμένους. ἐπ᾿ ἐκείνων μὲν γὰρ ὑγρότης αἰτία τοῦ παθήματος ἐκλύουσα τὸν τόνον τῶν νεύρων, ἐπὶ τούτων δὲ διὰ ξηρότητα τάσις γίνεται.

καί τις τῶν ἡμετέρων συμφοιτητῶν καμὼν, συχνῶς κἀμοὶ συνών ποτε περὶ μαθήματα ἔπαθε τὸ πάθος τοῦτο. κατέκειτο γὰρ οἱόνπερ ξύλον ὅλον ἄκαμπτος ἀποτεταμένος ἐφαίνετό τε βλέπων ἡμᾶς ἀνεῳγότων τῶν ὀφθαλμῶν, ὡς μηδὲ σκαρδαμύττειν, οὐ μὴν ἐφθέγγετό τι. οὗτος μέντοι καὶ ἀκούειν ἔφη κατὰ τὸν καιρὸν ἐκεῖνον, ὅσα λαλοῦντες ἐτυγχάνομεν, οὐ μὴν ἐναργῶς τε καὶ σαφῶς ἔλεγε δέ τινα ἀναμεμνημένος. ἐμβλέπειν τ᾿ ἔφη τοὺς παρόντας ἅπαντας, ὡς καὶ τὰς ἐνεργείας ἐνίων
685 ἀπομνημονεύων διηγεῖσθαι, μήτε δὲ φθέγγεσθαι δύνασθαι μήτε τι | μέλος κινεῖν.

διὸ καὶ νῦν ἔστιν ἀπορῆσαι κατὰ τὴν εἰρημένην συνδρομήν, τὸ παρακρούοντες ὅπως πρόσκειται. τὸ μὲν γὰρ ἐπὶ τῆς ῥήσεως "αἱ τρομώδεες, ἀσαφώδεες, ψηλαφώδεες παρακρούσιες" οὐ παντελῶς ἀκινήτους εἶναι τοὺς οὕτω διακειμένους σημαίνει, ὥσπερ οὖν οὐδὲ τοὺς ἐν κώματι παραφρονοῦντας. ἐπὶ δὲ τῶν κατόχων οὐδεμίαν κίνησιν κινουμένων οὐδὲ τὴν παραφροσύνην ἔστιν γνωρίσαι. τάχ᾿ οὖν οὗτος εἶδε κατοχῆς εἶδος, ὡς ἀκίνητον μὲν εἶναι καὶ πεπηγὸς ὅλον τὸ σῶμα, βραχὺ δέ τι φθεγγόμενον τὸν ἄνθρωπον, ἐξ οὗ δυνατὸν ἦν γνωρίσαι καὶ παραφροσύνην· ἢ προηγησαμένης τῆς παραφροσύνης παρηκολούθησεν ἡ κατοχή, καὶ γραπτέον ἐστὶν κατ᾿ αὐτὴν τὴν ἐξήγησιν· οἱ κεφαλαλγικοὶ καὶ κατόχως παρακρούσαντες. ἐγχωρεῖ δὲ καὶ κατὰ τὴν πρώτην αὐτοῦ σύστασιν ἐπιφθεγγομένων αὐτῶν δηλοῦσθαι τὴν παραφροσύνην, συμπληρωθείσης δὲ τῆς κατοχῆς μηκέτι φθέγγεσθαι τοὺς κάμνοντας.

ἀνθηροὺς δὲ ὠνόμασεν ὡς εἰκὸς αὐτούς, οὕσπερ ὀλίγον ἔμπροσθεν
686 'ἐξερύθρους' ἐκάλεσε. σημεῖον δ᾿ ἂν εἴη τοῦτο τοῦ κατὰ τὴν | κεφαλὴν πλήθους ἠθροισμένου μετὰ θερμότητος, ἐφ᾿ ᾧ καὶ ἡ προηγησαμένη κεφαλαλγία καὶ ὁ μετ᾿ αὐτὴν ἀκολουθῶν ὀπισθότονος. ἀλλὰ ταῦτα μὲν εἰς τὴν γένεσιν αὐτῶν πρώτως ἄν τις λάβοι σημεῖον, δευτέρως δὲ τὴν ἀπολελαμμένην κοιλίαν παροξύνουσαν ἀεὶ τὰ τῆς κεφαλῆς συμπτώματα.

14 ἐπὶ τῆς ῥήσεως] *I 33 (supra p. 46, 1)* 26 ἔμπροσθεν] *Prorrh. II 39 (I 72) cf. ad p. 83, 23 et p. 62, 23 sqq.*

4 καμὼν RA: καμνῶν *Aldus, unde* κάμνων *edd.* κἀμοὶ συνών *scripsi*: κἀμοὶ συνον (τ supra) A: *om.* R *et ab Aldo edd.*: *ut. var. lect. delebat Kalbfleisch* 5 μαθήματος A 6 ἀποτεταμμένος R 8 ἐτυγχάνωμεν R 13 *post* ἀπορῆσαι *add.* τὸ *Aldus et seqq.* 15 ἀσαφώδεες RA *ut p. 46, 1; lege* ἀσαφέες 18 οὕτως RA: *corr. Basileensis; addiderim* τοιοῦτον 19 κατοχῆς *scripsi*: κατόχου *(hiatum efficiens)* RA 20 καὶ R: τὴν A 22 *fortasse* κατὰ ταύτην 23 κατόχως καὶ παρακρούσαντες *prop. Cornarius* παρακρούσαν R 24 αὐτοῦ R: α᾿ὐ (τ supra) A; αὐτίκα *Kalbfleisch* 26 οὕσπερ ὀλίγον R: ὡς ὀλίγω A 27 δὲ εἴη ἂν A 28 ἐφ᾿ ᾧ R: ἐφ᾿ η A ἡ *om.* A 29 ταυτα A: καὶ ταῦτα R 30 πρώτως RA: πρώτερον *(male intellecto compendio* ως*) Aldus, unde* προτέρως *em. Cornarius* 31 ἀπολαμβανομένην A

II 56 [I 89. V 532, 9] Ἐπ᾽ ὀμμάτων διαστροφῇ πυρετώδει, κοπιώδει ῥῖγος ὀλέθριον καὶ οἱ κωματώδεες ἐν τούτοισι πονηρόν.

Ἐδείχθη κἀν τοῖς ἔμπροσθεν ὁ ἀνὴρ οὗτος ἐπιπλέκων ἀλλήλοις χαλεπὰ συμπτώματα, περὶ ὧν ἑκάστου κατὰ μόνας ἐχρῆν ἅπαξ εἰπεῖν, ὡς ἡμῶν δυναμένων ἐννοεῖν, ὡς ἐπειδὰν ἀλλήλοις ἐπιπλέκηται πλείω, σφοδρότερον μὲν ἀποτελεῖσθαι κίνδυνον ἐξ αὐτῶν τοῖς κάμνουσιν, βεβαιοτέραν δ᾽ ἡμῖν γίγνεσθαι τὴν πρόγνωσιν. οὐδὲν οὖν εἴρηται καινόν· ἐμεμαθήκειμεν γὰρ τήν τε τῶν ὀμμάτων διαστροφὴν κατὰ | τίνα γίνεται 687 διάθεσιν, τίνες τε τῶν κόπων αἱ διαφοραὶ καὶ πότε χρὴ ῥῖγος ἐπιφαίνεσθαι χρησίμως, ὁποῖόν τε τὸ κῶμα καὶ ἥτις αὐτὸ διάθεσις ἐγκεφάλου γεννᾷ.

II 57 [I 90. V 532, 11] Αἱ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι ἀναύδως, ἱδρῶτι λυόμεναι, κακοήθεες, τούτοισιν ἐς ἰσχία ἀλγήματα ἅμα καυσώδει πυρετῷ· καὶ ἢν κοιλίη καταρραγῇ, ὀλέθριον.

Ἀπορίαν τοῖς ἀναγιγνώσκουσιν αἱ ἀσαφεῖς τῶν ῥήσεων ἐργάζονται, καὶ τῶν σαφῶν ὅσαι τοῖς ἐναργῶς φαινομένοις ἐναντίως ἀποφαίνονται. τινὲς δὲ καὶ κατ᾽ ἀμφοτέρους τοὺς τρόπους τὴν ἀπορίαν ἐπιφέρουσιν, ὥσπερ καὶ ἡ νῦν προκειμένη. πλέον δὲ ἐν αὐτῇ τὸ μὴ συμφωνεῖν τοῖς φαινομένοις ἐπὶ τῶν νοσούντων τὰ κατ᾽ αὐτὴν λελεγμένα. προχείρως μὲν οὖν δοκεῖ τοιόνδε τὸν λόγον τινὰ δηλοῦν ἡ προκειμένη ῥῆσις· αἱ ἐν πυρετοῖς πρὸς ὑποχόνδρια ὀδύναι ἅμα ἀφωνίᾳ, ἱδρῶτι λυόμεναι, κακοή|θεες. 688

ψευδοῦς δ᾽ εἶναι φαινομένου τοῦ τὰς μεθ᾽ ἱδρῶτος λύσεις κακοήθεις εἰρῆσθαι, κατ᾽ αὐτὸ τοῦτο πρῶτον ἀπορία τις ἡμᾶς καταλαμβάνει. τὰ μὲν γὰρ ἄνευ τινὸς ἤτοι τεχνικοῦ βοηθήματος ἢ φυσικοῦ παυσάμενα παθήματα προσηκόντως ὡμολόγηται τὴν λύσιν ἄπιστον ἔχειν. τὰ δὲ μετὰ τοιούτου τινός, ὁποῖον καὶ νῦν ὁ ἱδρὼς εἴρηται, βεβαίως λελύσθαι

4 ἔμπροσθεν] *velut p. 89, 16. 91, 4*

1 διαστροφῇ RLA: διαστροφῆς *Hipp. codd. plerique* 2 *ante* καὶ οἱ *add.* ὀξέως οἷς πνεῦμα ἀνέλκεται καὶ φωνὴ ἀσαφὴς πυρετώδει κοπιώδει ῥῖγος ὀλέθριον *(iterata ex II 54 et ipso 56) Hipp. codd.* τούτοις A: τουτέοισι *Hipp.* 3 πονηρόν RLA, *Hipp. codd.*: κακόν *Hipp. vulg.* 5 εἰπεῖν ἅπαξ, *sed corr.* R 6 ἡμῶν LA: ὑμῶν R ὡς *alt. delebat Helmreich* 7 ἀποτελεῖσθαι A: ἀπειλεῖσθαι RL 8 *post* οὖν *add.* νῦν L καινὸν R: κοινὸν LA 9 ἐμεμαθήκειμεν LA: μεμαθήκειμεν R γίνεται R: γίνεσθαι LA 11 ἥτις RL: εἴτις A 13 ὑποχόνδρια *98, 8* (R) *cf. ad. v. 23* 14 ἱδροῦντι A *(sed recte v. 24)* *post* ἱδρῶτι *add.* μὴ *Cornarius (cf. 98, 9), at cf. Gal. ib. v. 2 sqq.* κακόηθες A τουτέοισιν *Hipp.* εἰς L: ἔστ᾽ A 15 καυσώδη R 19 ἐπιφέρωσιν R 20 *post* δέ *add.* ἐστιν L 21 *post* ἐπὶ *add.* τοῖς LA 23 ὑποχόνδριον L: *dub. comp.* A ἀφωνίη R 25 τοῦ *om.* L 27 *post* ἢ *iter.* ἄνευ τινὸς LA

φαίνεται. τοὐναντίον γὰρ ἅπαν, ὅταν ἱδρῶτος ἤ τινος ἄλλου φυσικοῦ βοηθήματος γενομένου μὴ λύηται, τὸ νόσημα κακόηθες νομίζεται. διὸ καὶ πιθανῶς τις ἐπ᾿ αὐτῆς τῆς ῥήσεως ἔλεγε λείπειν ἀπόφασιν τὴν μὴ παραλελειμμένην ὑπὸ τοῦ πρῶτον τὸ βιβλίον μεταγραψαμένου, καθάπερ καὶ ἄλλα πολλὰ πολλάκις ἐν πολλοῖς βιβλίοις ὡμολόγηται τὰ μὲν παραλελεῖφθαι, τὰ δὲ ὑπηλλάχθαι, μηδενὸς ὕστερον ἐπανορθῶσαι τὰ ἡμαρτημένα τολμήσαντος. ἀληθὴς γὰρ ὁ λόγος, ἐὰν οὕτω γράψωμεν, ἔσται· αἱ ἐν πυρετῷ πρὸς ὑποχόνδρια ὀδύναι ἀναύδως, ἱδρῶτι μὴ λυόμεναι, κακοήθεες. ἀλλὰ τὰ σαφῆ καὶ γνώριμα καταλιπόντες οἱ πολλοὶ τῶν ἀνθρώπων χαίρουσι τοῖς αἰνιγματωδῶς εἰρημένοις. |

689 ἔνιοι δὲ καὶ τοῖς προφανῶς ἡμαρτημένοις συναγορεύειν ἐπίδειγμα σοφίας ἡγοῦνται παραπλησίως τοῖς κατὰ τὰ δικαστήρια ῥήτορσιν, οἳ τοὺς φανερῶς ἤτοι φόνον ἐργασαμένους ἤ τι τοιοῦτον κακὸν ἐρρύσαντο τῆς προσηκούσης κολάσεως ἐξαπατήσαντές τε καὶ παρακρουσάμενοι τοὺς δικαστάς, ὅταν ἰδιῶται λόγων ὦσιν καὶ τὰς ἐν αὐτοῖς πανουργίας ἀγνοῶσιν. οὕτως οὖν κἀπὶ τῆς προκειμένης ῥήσεως ἐπενόησάν τινες ἀναύδως εἰρῆσθαι τὸ ἀλόγως, ἐπειδήπερ ὁ λόγος μὲν ἐν τῷ γένει τῆς φωνῆς ἐστιν, λέγεται δὲ ἡ φωνὴ παρὰ τοῖς παλαιοῖς οὐχ οὕτω μόνον, ἀλλὰ καὶ αὐδή. κατὰ δὲ τὴν μετάβασιν ταύτην τὸ ἀλόγως φασὶν ἐκ τοῦ ἀναύδως σημαίνεσθαι· τὰ δ᾿ ἀλόγως παυσάμενα πάντα ἐστὶν ἄπιστα.

μαχομένων δὲ καὶ τούτῳ τῷ λόγῳ τοῦ τε κακοήθεις εἰρῆσθαι τὰς τοιαύτας ἐκκρίσεις, οὐκ ἀπίστους, καὶ τοῦ μηδ᾿ ἀλόγως λύεσθαι σὺν ἱδρῶσιν, ὡς αὐτὸς εἶπεν, ἕτεροί τινες ὑπερβαλλόμενοι τῇ σοφίᾳ τούτους ἀλόγως λύεσθαί φασιν οὐ μόνον, ὅσα χωρὶς τοῦ γενέσθαι τι βοήθημα
690 τεχνικὸν ἢ φυσικὸν ἐρρᾳστώνησεν, ἀλλὰ καὶ ταῦτα τὰ γενό|μενα μέν, οὐ μὴν κατ᾿ ἀξίαν τοῦ νοσήματος, ὥσπερ εἰρηκότος τοῦ συγγράψαντος ὀλίγον γενέσθαι τὸν ἱδρῶτα καὶ μὴ χωρὶς ἁπάσης προσθήκης γράψαντος ἱδρῶτι λυόμεναι.

ἀλλὰ προσυπακοῦσαί φασι τὸ 'ὀλίγῳ'. τάχα δέ τις καὶ ἄλλος ἀναφανείς ποτε τούτων τολμηρότερος ἀξιώσει τὸ 'πολλῷ' καὶ 'ἀμέτρῳ' προσυπακούειν, εἶτα περὶ συμμετρίας ἀμαθέσι παισὶ καὶ ἀγυμνάστοις πάσης παιδείας ληρήσας μακρὰ δόξει τις εἶναι σοφός. εἰ δ᾿ ὅλως οἷσπερ ἔξεστιν τῷ ἱδρῶτι λυόμεναι προστιθέναι τι τοιοῦτον, πολλῷ βέλτιον ἦν

3 μὴ *om.* LA 4 παραλελυμμένην R γραψαμένου LA 6. 7 τὰ εἰρημένα A 8 ὑποχόνδρια R: ὑποχόνδριον L *(cf. ad 97, 13. 23)*: *ambigue* A 11 προσαγορεύειν L: ἀπαγορεύειν A 12. 13 οἳ τοὺς φ. L: οἷον τοῦ φ. R: *om.* A 13 ἐρρύσαντο A: ἐρύσαντο RL: εἰρύσαντο *Chartier* 15 λόγων L: λόγου R: *ambiguo comp.* A 17 ἀλόγως RA: ἀναλόγως L ἐπειδή πως L μὲν RL: καὶ A γένει RA^{2}: κένει LA^{1} 19 ἀναλόγως L φασὶν L: φαμὲν R: Φα A 21 μαχομένου καὶ τούτου τοῦ λόγου τῷ τε L 22 ἐκκρίσεις R: φύσεις L: ῥήσεις A ἀπιστίαι *corr. in* -στως A λύεσθαι RA: γίνεσθαι L 24 λύεσθαι RL: ἀνίεσθαι A 25 ἐραστώνησαν *Aldus* τὰ *om.* L *et Kalbfleisch, qui coni.* γενομένου *(sc.* βοηθήματος ῥᾳστωνήσαντα) μὲν RA: νῦν L 26 γράψαντος L 27 γράψαντος LA: γράψαντα R 28 λυόμενα *ex Aldo edd.* 29 προϋπακοῦσαι A φησι RLA: *corr. Cornarius cf.* τούτων *v. 30* 31 συμμέτρου A 32 σοφὸς . . . προστιθέναι τι *om.* A οἷσπερ R: ὅπερ L: οἱσπεροῦν *(cuilibet) coni. Kalbfleisch* 33 προστιθέναι τι *scripsi*: προστιθέντι R: προστίθεται τί L τοιοῦτος A *post* πολλῷ *add.* δὲ A

προςτιθέντας μίαν ςυλλαβὴν τὴν μὴ γράψαντας μὴ λυόμεναι πραγμάτων ἀπηλλάχθαι. αἱ γὰρ ςὺν πυρετῷ τῶν ὑποχονδρίων ὀδύναι, ἃς ἱδρὼς μὴ λύει, κακοήθεις εἰςίν. ἔργῳ τοίνυν ἐδείχθη μοι καὶ νῦν, ὥςπερ ἤδη πολλάκις ἐπὶ πολλῶν ἀςαφῶν ῥήςεων, οὐδὲν μὲν ὧν οὐκ ἴςμεν ὑπ᾽ αὐτῶν διδαςκόμενον, ἀνηλωμένον δὲ χρόνον, ὥςπερ ἐπὶ τῶν αἰνιγμάτων, ἵν᾽ ἐφαρμόςωμεν ἃ γινώςκομεν τῇ λέξει.

καὶ γὰρ οὖν καὶ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήςεως εἰρημένον οὐ ςμικρὰν ἔςχε ζήτηςιν ἀπορούντων αὐτῶν, διὰ τί, ἐὰν ἡ κοιλία καταρ-| 691 ραγῇ, τοῦτ᾽ ἔςτιν ἀθρόως ἐκκριθῇ πολλά, θανατῶδες εἶναι τὸ νόςημα δηλώςει. "τὰ"" γὰρ "χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεςθαι", φηςὶν ὁ Ἱπποκράτης, "ἀλλ᾽ ὡς ἂν χωρέῃ, οἷα δεῖ, καὶ φέρῃ εὐφόρως". οὗτος μὲν ὁ λόγος, ὅτι καὶ ςαφής ἐςτιν καὶ καθόλου τι διδάςκει, καταφρονεῖται, τὰ δ᾽ αἰνιγματωδῶς εἰρημένα ςπουδάζεται τοῖς μὲν ςοφιςταῖς εἰκότως, ἵνα τι θαυμαςτὸν διδάςκειν δόξωςι τοὺς μαθητάς, αὐτοῖς δὲ τοῖς μαθηταῖς διὰ τὴν ἀπαιδευςίαν τῶν πρώτων μαθημάτων, ἐν οἷς οἱ παλαιοὶ τοὺς παῖδας ἔτρεφον. ἀγύμναςτος δὲ ὢν ὁ λογιςμὸς αὐτῶν οὔθ᾽ ἕπεται τοῖς λεγομένοις οὔτε κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν δύναται· ἐπεὶ τίς ἀκούςας ἄνευ διοριςμοῦ ἐπὶ καταρρηγνυμένης κοιλίας ἀπόφαςιν ἡντινοῦν, οὐκ εὐθέως μέμφεται τὸν λόγον, ὡς μηδὲν διδάςκοντα; κοιλία γὰρ ἐν ᾡτινιοῦν νοςήματι καταρραγεῖςα χωρὶς μὲν τῶν τῆς πέψεως ςημείων, ἃ πολλάκις ἀκήκοας, οὐδὲν ὀνίνηςιν, ἐὰν δὲ δυςφορώτερον ἐργάςηται, πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι καὶ βλάβην ἤνεγκεν. ἅμα δὲ τούτοις ὠφελεῖ καὶ μᾶλλον, ἐὰν ὁ λυπῶν ἐκκενῶται χυμός. | 692 ἔτι δὲ μᾶλλον, ἐὰν εὐφορώτερος ὁ κάμνων ἐπὶ τῇ κενώςει γίγνηται, καὶ βεβαιότερον, ὅταν ἐν ἡμέρᾳ κριςίμῳ φανῇ τι προδεδηλωμένον διὰ τῆς ἐπιδήλου.

ταῦτ᾽ οὖν ὁ ἐπιγινώςκων καὶ τῆς εἰρημένης ῥήςεως καταφρονεῖ καὶ τῶν ἄλλων ἁπαςῶν, ὅςαι τῶν ςυμπτωμάτων τῶν κατὰ μέρος ἢ νοςημάτων μνημονεύουςιν. ἐφ᾽ οἷς γὰρ ἂν ἡ κοιλία καταρραγῇ νοςήμαςιν ἢ ςυμπτώμαςιν, ἐν οἷς ⟨ἂν⟩ μεθ᾽ ὧν εἶπον ἄρτι γένηται διοριςμῶν, ἀςφαλῆ τὴν γνῶςιν ἐργάζεται, χωρὶς δὲ τούτων τῶν διοριςμῶν

11 Ἱπποκράτης] *Aphor. I 23 (IV 470, 1 L.)*

2 αἱ R: τὴν L: τὰς A   ὀδύναι R: ὀδύναν L: ὀδύνας A   2. 3 ἂν ἱδρὼς μὴ λύῃ LA   4 ἐπὶ LA: τῶν ἐπὶ R   5 ἀνηλωμένος RLA: *corr. Aldus* γὰρ χρόνος L: δὲ ὁ χρόνος A   6 ἵν᾽ R: εἰ A: *om.* L   ἐφαρμόςομεν LA   7 οὖν *om.* A   8 ςμικρὰν LA: μικρὰν R   ἀπορούντων LA: *om.* R   9 πολλὰ L: πολλῶ R: πο^λλ͡ A   10 ὁ *om.* A   11 χωρέει R: χωρέοι A   φέρῃ A, *Hipp.*: φέρει RL   16 δὲ R: γὰρ LA   ὢν RL: ἂν A   οὔθ᾽ R: οὐδ᾽ L: οὐχ A   17 δυνατός L   ἐπεί τις LA *vulgo*   ἀκούςας *om.* A   18 ἐπι-καταρρηγνυμένης RL: *distinxit* A   κοιλίαν R (*comp.* A)   ἀπόφηςιν L 19 κοιλία RLA: κοιλία μὲν *ex Aldo edd.*   20 ᾡτιοῦν L: ὁτῳοῦν A   21 δὲ *om.* A   δυςφορώτερον *(comp.)* RA: δυςφορωτέρους L *et Cornarius, at cf. v. 24*   22 μηδὲν RA: μηδὲ L   ἐκκενῶ^τ A: ἐκκενῶτο RL   24 γίγνηται R: γένηται L: γίγνοιτο A   25 ὅταν *om.* LA   φανεῖ L   27 οὖν ὁ *om.* LA εἰρημένης R: προκειμένης LA   28 ὅςαι τῶν κατὰ μέρος ςυμπτωμάτων LA 30 ἂν *addidi*   μεθ᾽ ὧν *sic* RLA: μηδ᾽ ὧν *Kühn (vitio typogr.?)* 31 ἐργάςεται L

οὐδέποτε ἀληθὴϲ ὁ λόγοϲ ἔϲται κοιλίαν λέγων καταρρηγνυμένην ὠφελεῖν ἢ βλάπτειν· ἐπὶ πάντων γὰρ ἑκάτερον γίνεται. κατὰ δὲ τοὺϲ ὡριϲμένουϲ διοριϲμοὺϲ οὐδὲ ἔϲτιν εἰπεῖν ἐπὶ μὲν ἥπατοϲ φλεγμονῇ φαῦλον εἶναι ϲύμπτωμα καταρραγεῖϲαν κοιλίαν, ἐπὶ δ' ἄλλου τινὸϲ ἀγαθόν, ἀλλ' ἐπὶ πάντων, ὡϲ εἴρηται, καὶ ἀγαθὸν καὶ κακὸν γίνεται μετὰ τῶν οἰκείων διοριϲμῶν. |

693 **II 58** [I 91. V 532, 14] Οἷϲι φωναὶ ἅμα πυρετοῖϲιν ἐκλείπουϲαι μετὰ κρίϲιν τρομώδεεϲ καὶ κωματώδεες τελευτῶϲιν.

Καὶ ἥδε ἡ ῥῆϲιϲ ὁμοία ταῖϲ εἰϲ ἀϲάφειαν ἐξεπίτηδεϲ ἐπιτετηδευμέναιϲ ἐϲτί. τὸ γοῦν ἐκλείπουϲαι ἔνιοι μὲν ἐπὶ τῶν φωνῶν μόνων ἤκουϲαν, ἔνιοι δὲ καὶ τοὺϲ πυρετοὺϲ αὐταῖϲ προϲέθηκαν ἄμφω λέγοντεϲ εἰρῆϲθαι ἐκλείπειν καὶ τὰϲ φωνὰϲ καὶ τοὺϲ πυρετούϲ, ὡϲ εἶναι τὸν λόγον τοιοῦτον· 'οἷϲι δοξάντων λελύϲθαι τῶν πυρετῶν ἀφωνία γίνεται καὶ μετὰ τὴν κρίϲιν, οὗτοι τρομώδεεϲ τελευτῶϲιν καὶ κωματώδεεϲ', δηλονότι τῶν πυρετῶν οὐκ ἀϲήμωϲ, ἀλλὰ μετὰ κακῆϲ κρίϲεωϲ δοξάντων πεπαῦϲθαι. κακὰϲ δ' ἴϲμεν κρίϲειϲ ἐκείναϲ λεγομέναϲ, ὅϲαι γινόμεναι μετὰ φυϲικῶν κενώϲεων ἢ ἀποϲτάϲεων οὐ μόνον οὐδὲν ὠφέληϲαν τοὺϲ κάμνονταϲ, ἀλλὰ καὶ χεῖρον ἔχειν ἢ πρόϲθεν ἐποίηϲαν. ἕτεροι δὲ οὐ τὰϲ φωνὰϲ ἅμα τοῖϲ πυρετοῖϲ, ἀλλὰ μόναϲ αὐτὰϲ νομί-
694 ζοντεϲ ἐκλείπειν, ὅλον τὸν λόγον τοιόνδε ποιοῦϲιν· 'οἷϲιν ἐκλεί|πουϲιν φωναὶ μενόντων τῶν πυρετῶν, εἰ τοῦτο γίνεται μετὰ κρίϲιν, οὗτοι τρομώδεέϲ τε ἅμα καὶ κωματώδεεϲ τελευτῶϲιν. καίτοι κἀνταῦθα πάλιν ἑτέρα διαφωνία τοῖϲ ἐξηγουμένοιϲ ἐγένετο. τινὲϲ μὲν γάρ, ὅταν ἐπὶ τοῖϲ εἰρημένοιϲ τρομώδειϲ γένωνται, τελευτᾶν φαϲιν τούτουϲ καὶ κωματώδειϲ ἅμα καὶ τρομώδειϲ, τινὲϲ δὲ καὶ κωματώδειϲ γενομένουϲ οὕτωϲ ἀπόλλυϲθαι, οὐδεὶϲ δ' αὐτῶν οὔτ' ἐκ τῆϲ τῶν πραγμάτων φύϲεωϲ ἀπόδειξιν ἔγραψε λογικὴν οὔτε τὴν ἐμπειρίαν ἔχει δεῖξαι μαρτυροῦϲαν· οὔτε γὰρ τρομώδειϲ οὔτε κωματώδειϲ ἐπὶ τοῖϲ προειρημένοιϲ ὡϲ τὸ πολὺ φαίνονται τελευτῶντεϲ. εἰ δέ τινεϲ ἐν τῷ ϲπανίῳ γίγνονται τοιοῦτοι, τοῦ προγνωϲτικοῦ τε καὶ προρρητικοῦ μέρουϲ τῆϲ τέχνηϲ ἐκπεπτώκαϲιν· οὐ γὰρ τῶν τοιούτων, ἀλλὰ τῶν ἢ διηνεκῶϲ ἢ ὡϲ τὸ πολὺ γιγνομένων εἰϲ τὰϲ προρρήϲειϲ χρήζομεν, εἰ δὲ βούλει, καὶ τῶν ἀμφιδόξωϲ ἀποβαινόντων, οὐ μὴν ⟨τῶν⟩ γε ϲπανίωϲ· οὐδεὶϲ γὰρ βούλεται πολλάκιϲ ἀποτυχὼν ἅπαξ ἐπιτυχεῖν. |

2 δὲ *om.* LA 3 οὐδὲ LA: οὐδὲν R 7 οἷϲι αἱ φ. *Hipp. codd.* πυρετῷ *Hipp. codd.* ἐκλείπουϲι L *ex Hipp.* 8 καὶ R: ἢ A: *om.* L 9 ταῖϲ LA: τοῖϲ R ἐπιτετηδευμέναιϲ LA: ἐπιτετηδευμένοιϲ R 10 ἐκλείπουϲιν *(cf. v. 7)* L 11 τοὺϲ *om.* A 13 οἷϲι A: οἷϲ RL τὸν πυρετὸν RL 14 τελευτῶϲι *post* κωματώδεεϲ L 15 δηλονότι RA: δῆλον δέ ἐϲτι L 16 δὲ κρίϲειϲ ἴϲμεν L 17 γινόμεναι *om.* L 18 ἔχον, *in* ἔχειν *corr.* R 19 οὐ LA: οὐδε *(sic)* R 22 οὗτοι LA: *om.* R 25 κωματώδουϲ R τινὲϲ LA: τινὰϲ R δὲ καὶ A: δὲ RL 26 οὔτ' ἐκ πιϲτῶν πρ. ἀπόδειξιν φύϲεωϲ ἔγρ. L 29 φαίνον L 31 ἐκπεπτώκαϲιν L: ἐπεπτώκηϲαν R: ἐπεπτώκειϲαν A 32 προρρήϲειϲ RA: προγνώϲειϲ L 33 τῶν *addidi* ϲπανίωϲ *Schoene (coll. I 273, 11 K.)*: ϲπανίων RLA

II 59 [I 92. V 534, 1] Οἷϲι καυϲτικά, μεμωρωμένα, κάτοχα, 695 ποικίλλοντα ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, ϲίτων ἀπολελαμμένοι, ἐφιδρῶϲι, ἆρα τούτοιϲ τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲϲ ἐπελθὸν λύγγα ϲημαίνει, καὶ κοιλίη δὲ ἔπαφρα χολώδεα προϲδιέρχεται; τὸ λαμπῶδεϲ ἐν τούτοιϲιν ὠφελέει οὐρηθέν, κοιλίη δὲ τούτοιϲιν ἐπιταράϲϲεται.

Ἤθροιϲε πάλιν ἐνταῦθα ϲυμπτώματα διαθέϲεων οὐχ ὁμογενῶν, ἐφ᾽ ὧν ἐδείχθη πρόϲθεν οὐδεμία διδαϲκαλία γιγνομένη τεχνική. πάντα μὲν γὰρ ἐπιϲκέψαϲθαι δεῖ τὰ κατὰ τὸν νοϲοῦντα καὶ μηδὲν μήτε παρορᾶν μήτ᾽ ἀργῶϲ ὁρᾶν, ἑκάϲτου δ᾽ αὐτῶν ἰδίᾳ μεμαθηκέναι τὴν δύναμιν. οἷον εὐθέωϲ τὰ καυϲτικὰ πρῶτα πάντων εἴρηται, δυναμένων μὲν ἀκούεϲθαι καὶ παθῶν καυϲτικῶν, ὡϲ εἰ θερμῶν καὶ διακαῶν εἰρήκει, δυναμένων δὲ καὶ διαχωρημάτων νοεῖϲθαι τοιούτων, ὧν ἡ δύναμίϲ ἐϲτιν ὀξύ τε τὸ νόϲημα | καὶ ταχυκρίϲιμον ἐργάζεϲθαι καὶ μέντοι καὶ κινδυ- 696 νῶδεϲ, ἐὰν ἰϲχυρῶϲ γένηται καυϲτικά.

μεμωρωμένα δὲ καλεῖ τὰ μώρωϲιν ἐμποιοῦντα τῇ διανοίᾳ. αὕτη δέ ἐϲτιν χωρὶϲ παραφροϲύνηϲ ϲύμπτωμα τοῖϲ φύϲει μωροῖϲ ὁμοίουϲ ἀποφαῖνον τοὺϲ νοϲοῦνταϲ, ὁποίουϲ καὶ τῶν λεγομένων ἀπογηρᾶν ἐνίουϲ ἴϲμεν γιγνομένουϲ. ᾧ παθήματι παραπλήϲιον μέν ἐϲτιν, οὐ μὴν ταὐτόν, ὅπερ ὀνομάζουϲιν ʽἄγνοιαν', ὑπὲρ ἧϲ καὶ ὁ Θουκυδίδηϲ ἔγραψεν ἐπὶ τῶν ἐκ τοῦ λοιμοῦ διαϲωθέντων ὡδί· "καὶ ἠγνόηϲαν ϲφᾶϲ τε αὐτοὺϲ καὶ τοὺϲ ἐπιτηδείουϲ". ᾧτινι δὲ διαφέρει τῆϲ λήθηϲ, οὐκ ἀναγκαῖον εἰϲ τὰ παρόντα ϲκοπεῖϲθαι.

τά γε μὴν κάτοχα τὰ τὴν καλουμένην κατοχὴν ἐπιφέροντα νοούντων ἡμῶν, ἕτεροί φαϲι τὰ βεβαίωϲ ἱδρυμένα καὶ οἷον κατεχόμενα νοϲήματα κεκλῆϲθαι κάτοχα.

καὶ μέντοι καὶ ποικίλλοντα τὰ ϲυνεχεῖϲ ἐπὶ τἀναντία ϲυμπτώ-

8 ἐδείχθη πρόϲθεν] *cf. ad 83, 25 sqq.* 20 Θουκυδίδηϲ] *II 49 extr.*

1 μωρωμένα A 2 κοιλι΄ (α supra) A ἀπολελαμμένοι R *(ut Coac. 182* ἀπόϲιτοι, ἀπολελαμμένοι *cf. p. 102, 10)*: ἀπολελειμένων LA, *Hipp. cf. p. 104, 7* 3 ἐφ᾽ ἱδρῶϲι(ν) RA: ἐφ᾽ ἵδρωϲιν L: ἐφιδρῶϲιν *vel* ἐφιδροῦϲιν *Hipp. codd.*; *Gal. legisse videtur* ἐφίδρωϲιϲ *(p. 102, 16; cf. 87, 14), at puto verum* ἐφιδρῶντεϲ (ἐφιδροῦντεϲ) *Coac. 182 (praeter A) cf. Prorrh. I 42 (supra p. 57, 8)* ἦρα τουτέοιϲι *Hipp.*: ἆρα τούτοιϲι *Gal. 104, 9* 4 γωνοειδὲϲ L ἐπελθὸν R *(cf. 103, 6)*: διελθὸν *Hipp. codd.*: ἐλθὸν LA *(ut Coac. 182 codd.)* ϲημαίνει *Gal. 103, 5; Hipp.*: διαϲημαίνει RLA; *puto* δια *ad variam lectionem* ἐλθὸν *pertinere* δὲ RA: δ᾽ L: *om. Gal. 103, 11* 5 προδιέρχεται *var. l. Gal. p. 103, 11 sqq.* ὠφελήϲει A 5. 6 οὐρηθὲν ἐπωφελέει *ponit Hipp. hic et Coac. l. c.* 6 *post* οὐρηθὲν *add.* καὶ *Gal. p. 105, 24* κοιλίαι *et* ἐπιταράϲϲονται *Gal. 103, 29; 105, 24; item et hic et Coac. 182 Hipp. codd.* ἐπιρράϲεται A 8 γιγνομένη RA: γενομένη L 9 τὰ *om.* L μήτε *om.* A παρορμᾶν L 10 μεμαθήκαμεν A 11 μὲν RA: μὴ L 12 θερμῶν καὶ διακαῶν] *utrum assimilationem ad* παθῶν καυϲτικῶν *statuis an accusativos restituis (cf. 29, 9. 102, 12 al.)?* εἰρήκη R 16 δὲ *om.* L καλεῖται τὰ LA ἐπιφέροντα τῆϲ διανοίαϲ L 17 μωροῖϲ RA: μνυροῖϲ L ὁμοίωϲ RLA: *corr. Kalbfleisch* 18 ἀποπαραγηρᾶν L 19 ᾧ] ἐν ᾧ A 21 ἔγραψε περὶ L ὡδί R: ὦ δὴ LA 27 ϲυνεχεῖϲ LA: ϲυνεχῆ R

ματα τὰς μεταβολὰς ποιούμενά τινες ἤκουσαν, ἀποχωρίζοντες δὲ τῆς λέξεως ταύτης τὸ ὑποχόνδρια ὑφ' ἓν αὐτῷ πάλιν ἀναγινώσκουσιν τὸ
697 κοιλίην ἐπηρμένοι. τινὲς δὲ | ὑφ' ἓν ἀναγνόντες τὸ ποικίλλοντα ὑποχόνδρια καθ' ἑαυτὸ πάλιν ἀναγιγνώσκουσιν τὸ κοιλίην ἐπηρμένοι, καί φασιν ἐπὶ τῶν ὑποχονδρίων εἰρῆσθαι τὸ ποικίλλοντα. καθάπερ γὰρ εἴρηται ἔμπροσθεν ἐπὶ τῶν καθ' ὅλον τὸ σῶμα γιγνομένων ἐπὶ τἀναντία μεταπτώσεων, οὕτως ἐπὶ τῶν ὑποχονδρίων ἐποίησαν. καὶ μὴν καὶ οἱ συνάπτοντες ὅλην τήνδε τὴν λέξιν ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι τοὺς παρὰ φύσιν ὀγκουμένους τὰ μέρη ταῦτα δηλοῦσθαί φασιν. ὥσπερ καὶ σίτων ἀπολελαμμένους, ὧν ἐφεξῆς ἐμνημόνευσεν, ἔνιοι μὲν τοὺς ἀνορέκτους φασὶν εἰρῆσθαι νῦν, ὡς εἰ καὶ ἀποκεκλεισμένους εἰρήκει τῆς τῶν σιτίων προσφορᾶς, ἔνιοι δὲ τοὺς ἐπεσχημένους τὴν γαστέρα. καὶ γὰρ κἂν τῷ Περὶ διαίτης ὀξέων ἐπὶ τῶν διαχωρουμένων εἰρῆσθαί φασι τὴν φωνὴν ταύτην.

ἅπαντα οὖν ταῦτα προειπὼν ὁ γράψας τόδε τὸ βιβλίον, εἶτα ἐπὶ τῷ τέλει προσθεὶς ἐφιδρῶσιν, ὃ καὶ αὐτὸ πάλιν ὅλου τοῦ σώματος ὀλίγον ἱδρῶτα καθάπερ νοτίδα δύναται δηλοῦν ἢ τὸν περὶ θώρακα καὶ
698 κεφαλὴν μόνην, ἐπήνεγκεν αὐ|τοῖς αἰνιγματωδεστέραν ἔτι καὶ τούτων αὐτῶν ῥῆσιν εἰπών· ἆρα τούτοισι τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲς ἐπελθὸν λύγγα σημαίνει; πάλιν γὰρ ἐνταῦθα τὸ θολερὸν πνεῦμα, καθάπερ ἤδη καὶ πρόσθεν εὕρομεν, ἀμφισβητουμένην ἔχει τὴν νόησιν. ἀλλ' ἐν ἐκείνῃ μὲν τῇ ῥήσει τὸ κατὰ τὴν ἐκπνοὴν θολερὸν πνεῦμα εἰρῆσθαι ὑπ' αὐτοῦ, ὡς λέλεκται, πιθανὸν ἐφαίνετο· νῦν δὲ καὶ τὸ κατὰ τὰς ἐρυγὰς ἔνιοι κελεύουσιν ἡμᾶς ἡγεῖσθαι λελέχθαι, καθάπερ ἄλλοι τὸ κατὰ τὰς φύσας. εἴρηται δὲ καὶ πρόσθεν ὅτι θολερὸν οἱ μὲν τὸ δυσῶδες, οἱ δὲ τὸ ἀτμῶδες ἤκουσαν, ὥσπερ γε καὶ θαλερὸν ἔνιοι διὰ τοῦ ᾱ γράψαντες τὸ οἷον θάλλον καὶ ἀκμάζον καὶ μέγα λέγουσιν εἰρῆσθαι. προείρηται δέ μοι καὶ ὅτι πολλάκις ἐν τοῖς ὁμολογουμένοις γνησίοις συγγράμμασιν ὁ Ἱπποκράτης εἰρηκὼς ἄλλοτε ἄλλας

6 εἴρηται ἔμπροσθεν] *p. 101, 27 sqq.* 13 Περὶ διαίτης ὀξέων] *neque in ipso libro neque in appendice* (Νόθα) *locus similis invenitur neque vero Galenus ipse invenisse videtur, ut qui* φασὶ *adhibeat. fortasse interpres antiquus* ἀπόληψις *vocabulum similiter adhiberi in Nothis (1. II 398, 1 L., 14. 468, 11. 3. 400, 1. 4. 402, 10) adnotaverat* 21. 25 πρόσθεν] *Prorrh. II 3 (I 39. cf. supra p. 54, 31 sqq.; vide etiam Gal. XVI 201. XIX 104)* 28 προείρηται] *cf. ad p. 103, 7*

2 ταύτης LA: ταῦτα R τὸ *hic ut 3 et 5 scripsi:* τὰ RLA ὑφ' ἓν αὐτῷ *scripsi*: ὑφ' ἓν αὐτὸ RA: καθ' ἑαυτὸ L 3 κοιλίη ἐπηρμένη R *(ut v. 4 et 9)* ἀναγνόντες LA: ἀγνοοῦντες R τὸ *om.* L 6 *lege* εἴρητ' ἔμπρ. 8 τὴν λέξιν τήνδε A 9 τὰ μέρη ... ἐφεξῆς *om.* L 10 ἀπολελαμμένους R *(cf. ad 101, 2)*: ἀπολελειμμένων A: ἀπολελαμμένων *ex Aldo edd.* 12 σιτίων] σιτ A 15 *post* οὖν *praecepit iteratum* προειπὼν L τόδε τὸ βιβλίον R: τὸ β. τόδε A: τὸ δεύτερον β. L 16 *an* ἐφίδρωσιν? *cf. ad 101, 3; 104, 8. 25* 17 τὸν R: τῶν LA 18 μόνην RLA: *an* μόνον, *vel si* τῶν *praeferatur,* μόνων? 20 ἐπελθὼν R: *om.* A 21 ἔχει LA: ἔχον R 22 ἐν *om.* LA 22. 23 πνεῦμα θολερὸν *transp.* LA 24 κατὰ *iter.* R 25 φύσεις A 26 οἱ δὲ τὸ R: ἢ τὸ LA γε καὶ θαλερόν R: τε καὶ θ. L: καὶ τὸ θ. A 27 καὶ μέγα *corr. ex* τε καὶ μ. R 29 ἄλλοτε ἄλλως L

δυσπνοίας διαφορὰς ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν Ἐπιδημιῶν πάσας ἐφεξῆς οὐδαμόθι θολερὸν ὠνόμασε πνεῦμα, καθάπερ οὐδὲ λύγγα θολερὰν οὐδὲ φῦ|σαν οὐδὲ ἄλλο τι τῶν τοιούτων. ἔτι δὲ μᾶλλον αἰνιγμα- 699 τωδῶς εἴρηται τὸ γονοειδὲς ἐπελθὸν εἴτε οὖρον εἴτε διαχώρημα. καὶ μετὰ ταῦτα διὰ τί προσέθηκεν λύγγα σημαίνει ⟨τῷ⟩ τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲς ἐπελθόν, ἄπορον εὑρεῖν· ἐν γὰρ ταῖς τῶν συμπτωμάτων αἰτίαις ἡ λὺγξ ἐδείχθη γινομένη τῆς γαστρὸς ὁρμώσης ἐκκρῖναι τὰ τοῖς χιτῶσιν αὐτοῖς οἷον ἐμπεπλασμένα δυσλύτως ὑγρὰ δύναμιν ἔχοντα δακνώδη.

οὐκ ἀρκεσθεὶς δὲ τῷ πλήθει τῶν συμπτωμάτων ἑξῆς προσέθηκε· κοιλίη ἔπαφρα χολώδεα προσδιέρχεται. ὃ πάλιν καὶ αὐτὸ διττῶς γράφουσιν ἔνιοι μὲν ἐπὶ τῆς πρώτης συλλαβῆς τὸ σίγμα προστιθέντες, ἔνιοι δὲ ἀφαιροῦντες. ἀλλ᾽ εἰ μὲν προστεθείη, τὸν ἐφεξῆς χρόνον δηλώσει τῷ προειρημένῳ, εἰ δ᾽ ἀφαιρεθείη, τὸν ἔμπροσθεν· οὐ μὴν ἴσον γε οὐδ᾽ ὅμοιον προδιεξέρχεσθαι τὸ ἕτερον θατέρου λέγειν ἢ ἐπιδιεξέρχεσθαι. τὸ μὲν γὰρ προδιερχόμενον σημεῖον ἔσται τοῦ μέλλοντος ἐκκρίνεσθαι, τὸ δὲ ἐκκρινόμενον ὑπὸ τοῦ προδιελθόντος ἀγγελθήσεται.

τοσαύ|της οὖν ἀσαφείας ἐν ἅπασι τούτοις ὑπαρχούσης οὐδ᾽ ἐκ τῶν 700 ἐπιφερομένων αὐτοῖς ἔνεστί τι πρὸς τὴν τῶν παρόντων ἐξήγησιν λαβεῖν, ὥσπερ οὐδ᾽ εἰς ἐκεῖνα· φησὶν γάρ· τὸ λαμπῶδες ἐν τούτοισιν οὐρηθὲν ὠφελεῖ. διττὴ δὲ καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν ἡ ἀσάφεια, μία μὲν ἡ τοῦ λαμπῶδες [τοῦ] τί σημαίνει, γραφομένου πρὸς τινῶν μὲν διὰ τῶν δυοῖν $\overline{\pi\pi}$, πρὸς τινῶν δὲ διὰ τοῦ $\overline{\mu}$ καὶ $\overline{\pi}$· μία δ᾽ ἄλλη ⟨ἡ⟩ τοῦ ἐν τούτοισιν. ἐν τίσι γὰρ λέγει; πότερον ἐν ἅπασι τοῖς προειρημένοις ἢ τοῖς ἐσχάτοις καὶ ποίοις ἐσχάτοις; δύναται γὰρ ἔσχατα λέγεσθαι καὶ πάνθ᾽ ὅσα μετὰ τὴν ἀρχὴν εἶπεν· ἆρα τούτοισι τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲς ἐλθὸν λύγγα σημαίνει ἢ μόνα ταῦτα ἔσχατα εἰρήκει κοιλίη ἔπαφρα χολώδεα προσδιέρχεται;

καὶ μέντοι καὶ τούτοις ἅπασιν ἐπὶ τῷ τέλει προσθεὶς κοιλίαι τουτέοισιν ἐπιταράσσονται καὶ καταπαύσας ἐνταῦθα τὸν λόγον

1 ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν Ἐπιδημιῶν] *Epid. II 3, 7 (V 108, 17 L.), VI 2, 3 (V 278, 6)* 7 ἐδείχθη] *cf. supra 37, 11 sqq. (lacunosum caput) et VII 171 K.*

1 *post* δευτέρῳ *add.* δὲ A τῶν ἐπιδημίων L: *om.* RA; *fortasse etiam post* Ἐπιδ. *participium velut* διιὼν *hiatu haustum est* 2 οὐδαμόθεν RA 3 φύσσαν A οὐδ᾽ ἄλλο τι τοιοῦτον L 4 ὑπελθὸν A 5 τὸ *ante* λύγγα *add. a Basil. edd.* ⟨τῷ⟩ τὸ *scripsi*: τὸ RLA: καὶ τὸ *ex Aldo edd.* 6 ἐλθὸν A

7 ὁρμωμένης L 8 αὐτοῖς RL: αὐ$^{\tau}$ A: *conicio* αὐτῆς ἐμπεπάρμενα L ὑγρὰν L 10 τῷ πλήθει RA: τῷ τοιούτῳ πάθει L 11 *ante* κοιλίη *add.* καὶ A 12 μὲν RA: δ᾽ L προσθέντες L 14 τὸ προειρημένον LA 16 προδιερχόμενον R: προερχόμενον LA 17 προδιελθόντος LA: προελθόντος R 18 γοῦν L 21 ὠφελεῖ RA: ὠφελέει L ἡ *om.* L 22 τοῦ *(alt.)* RLA *(vide v. 24)*: *del. Chartier* γραφομένου L: γραφομένη R: γραφόμενον A 23 $\widetilde{\pi\pi}$ RA: $\tilde{\pi}$ L δὲ διὰ LA: διὰ R 24 ⟨ἡ⟩ τοῦ *scripsi*: τοῦ R: τίς LA πότερον A: πρότερον L: πότε R ἐν ἅπασι R: ἀναθήσει LA 26 τὴν δὲ ἀρχὴν L 28 ἔσχατα *om.* LA εἰρήκει LA: εἰρήκη R: *an* εἴρηκεν? προδιέρχεται L 30 ἐπιτάσσονται L

οὐδενὸϲ ἕνεκα φαίνεται τῶν ἐν ἀρχῇ μνημονεύϲαϲ. τὰ γάρ τοι μεμωρωμένα καὶ τὰ κάτοχα μεγάλην βλάβην ἐνδεικνύμενα τοῦ τὸ τῆϲ
701 ψυχῆϲ | ἡγεμονικὸν ἔχοντοϲ μορίου μάτην εἰρῆϲθαι φαίνεται καὶ χωρὶϲ μὲν τῶν καυϲτικῶν ἀποκτεῖναι δυνάμενα, ϲὺν ἐκείνοιϲ δὲ μᾶλλον, ἀλλ᾽ ὅμωϲ οὐδὲν εἴρηται περὶ θανάτου, καθάπερ ἐπ᾽ ἄλλων ἔμπροϲθεν οὐκ ὀλίγων, ἀλλὰ μετὰ τὸ προϲθεῖναι ποικίλλοντα ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, ϲίτων ἀπολελαμμένων, ϲυνάψαϲ δ᾽ αὐτοῖϲ καὶ τὴν ἐφίδρωϲιν, ἆρα τούτοιϲι, φηϲίν, τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲϲ ἐλθὸν λύγγα ϲημαίνει; τίϲι τούτοιϲ; οἷϲ ἅπαντα τὰ προειρημένα ϲυμπτώματά εἰϲι. καὶ μὴν εἰ μετ᾽ ἐκείνων ἁπάντων τὸ θολερὸν πνεῦμα γενόμενον ἅμα ταῖϲ γονοειδέϲιν ἐκκρίϲεϲι λύγγα ϲημαίνει, κἂν ἓν ὁτιοῦν λείπῃ τῶν εἰρημένων, ἡ λὺγξ οὐκ ἔϲται· καὶ τάχα πού τιϲ ἅπαξ ἐν ἔτεϲι πολλοῖϲ ἄρρωϲτον ὄψεται τοιοῦτον.

ὃ δὲ πάντων τῶν εἰρημένων ἐϲτὶν ἀτοπώτατον, ἤδη ϲοι φράϲω. πολλοὺϲ μὲν ἀρρώϲτουϲ τεθεαμένοϲ, μυρία δὲ προειρηκὼϲ τῶν ἐϲομένων, οὔτε διὰ τῆϲ πείραϲ ἔγνων ἐκ τῶν τοιούτων ϲημείων λύγγα προλεγομένην οὔτ᾽ ἐκ τῆϲ τῶν πραγμάτων φύϲεωϲ ἐνδεικτικῶϲ ἢ αὐτὸϲ
702 εὗρον ἤ τινοϲ γράψαντοϲ ἀνέγνων. ἀλλ᾽ ἔϲτιν | ἡ προκειμένη ῥῆϲιϲ ἐοικυῖα τῷ κατὰ τὴν παροιμίαν ἐν παιδιᾷ λεγομένῳ· "ὤδινεν ὄροϲ καὶ ἔτεκε μῦν." πολλὰ γὰρ εἰπὼν παθήματα, τινὰ μὲν ἐϲχάτωϲ ὀλέθρια, τινὰ δ᾽ ἧττον ἐκείνων, ἔνια δὲ μέτρια, λυγγὸϲ πρότερον ἔγραψε πρόρρηϲιν.

ἐφεξῆϲ δὲ τὸ λαμπῶδεϲ, φηϲίν, ἐν τούτοιϲιν οὐρηθὲν ὠφελέει. τίϲι φηϲὶ τούτοιϲ; τοῖϲ καυϲτικοῖϲ, τοῖϲ μεμωρωμένοιϲ ἢ τοῖϲ κατόχοιϲ ἢ οἷϲ ὑποχόνδρια ποικίλα καὶ ἡ γαϲτὴρ ἐπηρμένη ἢ τοῖϲ ἀνορέκτοιϲ ἢ τοῖϲ ἐπεϲχημένοιϲ τὴν κοιλίαν ἢ οἷϲ ἐφίδρωϲιϲ ἢ οἷϲ τὸ πνεῦμα θολερὸν ἢ οἷϲ ἂν ἔκκριϲιϲ γονοειδὴϲ ἢ τοῖϲ λύζουϲιν ἢ οἷϲ ἡ γαϲτὴρ ἔπαφρα καὶ χολώδεα προϲδιῆλθεν ⟨ἢ⟩ προδιῆλθεν, ἐπειδὴ καὶ τοῦτο αὐτὸ διττῶϲ γέγραπται μετά τε τοῦ ϲίγμα καὶ χωρὶϲ

19 κατὰ τὴν παροιμίαν] *Diogen. VIII 75*; *cf. Athen. XIV 616 D*

1 μεμωροκένα L: μεμωραμένα A   4 δυναμένων A   5 ἄλλων *iteravit, sed corr.* R   6 προϲθῆναι R   ποικίλλοντα A: ποικίλλον τὰ L: ποικίλλον τὸ R   ὑποχόνδρια L: ὑποχον′ [δρ] RA: ὑποχόνδριον *ex Aldo edd.*   7 ἐπηρμένοι A: ἐπηρμε′ R: ἐπηρμένην L   ἀπολελαμμένων LA: ἀπολελυμμένων R *cf. ad 101, 3*   8 καὶ *(alt.) om.* L   9 τούτοιϲιν *ex Aldo edd.*   10 *post* προειρημένα *add.* δηλονότι L   εἰϲι RA: ἐϲτὶ L   εἰ LA: ἢ R   11 ταῖϲ *Chartier*: τὸ R: *om.* LA   γονοειδέϲιν LA: γονοειδὲϲ R   12 λείπει R   λὺξ R   13 τοιοῦτοϲ A   16 τῶν *om.* L   προλεγομένην RL: προεϲομήνην A *(Aldus)*; *volebat nisi fallor* ἐϲομένην *cf. v. 15*   17 αὐτὸϲ RLA: αὐτοὺϲ *Chartier, Kühn*   19 ἐν *om.* L   παιδίωι (παι′ [δ] A) λεγομένωι ὤδινε μωρὸϲ LA   21 προτερεῖν *coni. Schoene*   22 ἐφεξ *sic* R   ὠφελέειν A   23 μεμωρωμένοι R   24 ἢ (*ante* οἷϲ) *om.* L   ἐπηρμένοι A   25 τοῖϲ (*ante* ἐπεϲχημένοιϲ) *om.* L   τοῖϲ ἐφιδροῦϲιν LA   26 γονοειδὴ A   ἢ] *conicio* ⟨ἢ⟩ ἢ   27 προϲδιῆλθεν ⟨ἢ⟩ προδιῆλθεν *Kalbfleisch*: προϲδιῆλθεν R: προδιῆλθεν A: προῆλθον L   28 τε RL: γε A *Aldus*   *post* χωρὶϲ τοῦ ϲίγμα *add.* ἕκαϲτον τῶν εἰρημένων προϲήκει A *et inde Aldus et edd. omnes*

τοῦ ϲίγμα; ἤτοι γὰρ οἷϲ ἕκαϲτον τῶν εἰρημένων ἢ οἷϲ ἅπαντα εἰρῆϲθαι προϲήκει δέξαϲθαι. τὸ γὰρ τούτοιϲιν ἀκόλουθόν ἐϲτιν τοῖϲ καθ᾽ ἕκαϲτα, ὥϲτε ϲυνεπινοεῖται πάντωϲ, εἰ μὴ τύχοι λεχθέν.

καὶ γὰρ ἓν ἕκαϲτον αὐτῶν ὠφελέει τὸ λαμπῶδεϲ οὐρούμενον· κἂν δύο | κἂν τρία κἂν πλείω ϲυνέλθῃ, τὴν ὠφέλειαν αὐτοῖϲ παρέχει. 703
θαυμαϲτὸν δ᾽ ἂν εἴη τοϲαῦτα παθήματα διαφερούϲαιϲ ἑπόμενα διαθέϲεϲιν ἄλλων καὶ ἄλλων μορίων μετὰ τοῦ λαμπώδουϲ ὠφελεῖϲθαι, πάντωϲ μὲν ἀφρώδουϲ ὄντοϲ, εἴ γε λάμπην ἴϲμεν τὸ τοῖϲ οὔροιϲ ἐποχούμενον λευκόν. οἱ δ᾽ ἀφρώδη πάντα φαϲὶν ὀνομάζεϲθαι γενομένου δὴ τοῦ ἀφροῦ πνευματικῆϲ οὐϲίαϲ ἀναμιγνυμένηϲ ἢ τοῖϲ ὠμοῖϲ καὶ φλεγματώδεϲι χυμοῖϲ ἢ τηκεδόνι πιμελῆϲ, μετὰ τοῦ καὶ διοριϲμοῦ δεῖϲθαι τὴν ἀπόφαϲιν, οἵου καὶ κατὰ τὴν πρὸ ταύτηϲ ῥῆϲιν ἐπὶ τῶν κριϲίμωϲ ἐκκρινομένων εἶπον. ἅπαντα γάρ ἐϲτιν ἀγαθῶν τε καὶ κακῶν κρίϲεων κοινά, διοριζόμενα μάλιϲτα μὲν καὶ πρώτοιϲ τοῖϲ τῆϲ πέψεωϲ ϲημείοιϲ, ἃ διὰ παντὸϲ ἀγαθόν τι ϲημαίνει, ϲὺν αὐτοῖϲ δ᾽, ὡϲ ἔφην, τῇ εὐφορίᾳ καὶ τῷ τὸν λυποῦντα χυμὸν ἐκκενοῦϲθαι καὶ τῷ τῆϲ ἡμέραϲ, ἐν ᾗ ταῦτα γίνεται, πιϲτῷ, παραλελειμμένου ζητεῖν ἡμᾶϲ, εἰ μὴ λαππῶδεϲ ἐπιγεγραμμένον διὰ τῶν δυοῖν $\overline{\pi\pi}$ ϲημαίνει τὸ λαμπῶδεϲ, ὃ διὰ τοῦ μ̄ καὶ π̄ γράφουϲί τινεϲ. ὥϲπερ γὰρ τὸ λαμπῶδέϲ ἐϲτι γεγραμμένον διὰ | τῶν αὐτῶν ἀπὸ τῆϲ λάμπηϲ, οὕτω λαππῶδεϲ ἀπὸ τοῦ λάππειν 704
ὠνόμαϲται.

ταῦτ᾽ οὖν ἅπαντα ϲυμπεφόρηται καθάπερ αἰνίγματα· κἂν διεξέλθῃ τιϲ αὐτὰ πάντα, τοῦ κατὰ τὸ τέλοϲ ὥϲπερ ἐπῳδοῦ γεγραμμένου καὶ κοιλίαι δὲ τούτοιϲιν ἐπιταράϲϲονται τὸν λογιϲμὸν οὐκ ἔϲτιν εἰπεῖν· οὔτε γὰρ ὁ λόγοϲ οὔθ᾽ ἡ πεῖρα τῶν ὡϲ ἐπὶ τὸ πολὺ τοῖϲ εἰρημένοιϲ ἑπομένων ἔδειξε κοιλίαν ἐπιταραϲϲομένην. |

13 εἶπον] *p. 99, 17 sqq.*

1 ἤτοι LA: εἴτοι R ἅπαντα εἰρῆϲθαι R *et* A *text.*, L *mrg.*: ἕκαϲτα ϲιγῆϲθαι L *text.*, *vix sanum* εἰρῆϲθαι, *desideres* ἀκολουθεῖ *vel* ἕπεται 2 τούτοιϲιν RA: τιϲὶ τούτων L 3 εἰ RA: εἰ καὶ L τύχῃ RAL 5 ϲυνέλθοι RL 7 μετὰ] διὰ *coni. Cornarius* λαμπῶδεϲ L 8 γε LA: *om.* R λάμπην *scripsi cf. v. 20*: λάμπειν RLA 9 ἀφρώδη πάντα L: ἀφρα^{δ} παν^{τ} A: ἀφρῶ^{δ} πάντεϲ R 10 δὴ R: δὲ LA 11 πιμελοῖϲ R τοῦ καὶ A: καὶ τοῦ R: καὶ τοῦ καὶ L 12 οἷον L 14 μὲν μάλιϲτα *transp.* L πρῶ^{τ} A: *an* πρῶτον? 16 τῷ RLA: τὸ *ab Aldo edd.* 17 πιϲτῷ *post* ἡμέραϲ *(16) transp* L παραλελειμμένου LA: παραλελειμένου RA: *fort.* παραλέλειπται μὲν οὖν λαππῶδεϲ RA: λαμπῶδεϲ L 18 ἐπιγεγραμμένον RLA: *praepositio abundare videtur; cf.* ἐϲτι γεγραμμένον *(19)* 19 τὸ λαμπῶδεϲ LA: *om.* R 20 διὰ τῶν αὐτῶν RL: διὰ τῶν μ̄ καὶ π̄ *Cornarius; melius coniectet aliquis* διὰ τούτων, *at vide ne explicandum sit: ʽsicut a* λάμπη *derivatur* λαμπῶδεϲ *eisdem litteris quibus vox primaria effertur'* λαππῶδεϲ RA: λαμπῶδεϲ L λάππειν RA^2: λάμπειν LA^1. *forma* λάππειν *alibi non extat. sed variabant antiqui in* Λάππα *(sic nummi et tituli) vel* Λάμπα *(v. Steph. B. p. 410, 5) urbe Cretensi. tertiam formam* λάπη *(cf. Erotian p. 91, 11) ignorat Galenus* 22 *distinxit fortius post* αἰνίγματα A: *post* πάντα *(23)* LR *edd.* διεξέλθοι *ex Aldo edd.* 23 τοῦ] τὸ A γεγραμμένα R καὶ *om. Gal. 101, 6. 103, 29* 25 ὡϲ *et* τὸ *om.* LA 26 *subscr.* τέλοϲ τοῦ δευτέρου τμήματοϲ R

705 ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΡΡΗΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ

III 1 [I 93. V 534, 7] Οἷς κῶμα γίνεται ἐπάφρων περιελθόντων πυρετὸς παροξύνεται ὀξύς.

Τὴν πρώτην ἁπασῶν ῥῆσιν ἐξηγησαμένῳ τοῦ προκειμένου βιβλίου γέγραπταί μοι βιβλίδιον ἐπιγεγραμμένον Περὶ τοῦ παρ' Ἱπποκράτει κώματος, ἐν ᾧ ἐπιδέδεικται τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς ταύτης
706 εἶναι τὴν εἰς ὕπνον κα|ταφοράν, ἐγρηγορέναι μὲν ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς οὐ δυναμένων τῶν κωματωδῶν, οὐκ ἐξ ἅπαντος δὲ κοιμωμένων, ἐπειδὰν μύσωσιν αὐτούς, ἀλλ' ἔστιν ὅτε καὶ ἀγρυπνούντων. ἔδειξα δὲ σημαίνεσθαι τοῦτο δι' ὧν εἶπεν ὁ Ἱπποκράτης ἐν ὁμολογουμένοις γνησίοις βιβλίοις, τῷ τε πρώτῳ καὶ τῷ τρίτῳ τῶν γνησίων Ἐπιδημιῶν, ἐκ τῶν συμφραζομένων ἢ φαινομένων ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ τῷ τοῦ κώματος ὀνόματι. μόνως γὰρ οὕτως εὑρίσκεται τὸ σημαινόμενον ὑφ' ἑκάστης φωνῆς, οὐ μὴν ἐν τούτῳ γε τῷ βιβλίῳ δυνατὸν ἐγένετό μοι μέχρι δεῦρο διὰ τῶν συμφραζομένων εὑρεῖν τὸ σημαινόμενον ἐκ τοῦ κώματος ἁπασῶν δὴ τῶν ῥήσεων αἰνιγματωδῶς ἑρμηνευομένων. ἀλλ' οὐδ' ἐν τοῖς ἐφεξῆς οἷόν τε διὰ τῶν συντεταγμέ-

1 *schol.* A: κῶμά ἐστιν ἡ εἰς ὕπνον καταφορὰ μὴ δυναμένου τοῦ τὸ κῶμα ἔχοντος ἐγρηγορέναι ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, οὐκ ἐξ ἅπαντος δὲ κοιμωμένων, ἐπειδὰν μύωσιν αὐτούς, ἀλλ' ἔστιν ὅτε καὶ ἀγρυπνούντων. γίνεται δὲ ὑπὸ πλήθους χρηστοῦ βαρυνομένου τοῦ ἐγκεφάλου καθάπερ ἐπὶ τῶν μεθυόντων, ἔστι δ' ὅτε καὶ διὰ φλεγματικὸν χυμὸν καὶ χωρὶς τοῦ χυμοῦ δύσλυτον ψύξιν
6 γέγραπται] *cf. p. 6, 2* 12 τῷ τε πρώτῳ καὶ τῷ τρίτῳ τῶν γνησίων Ἐπιδημιῶν] *I 2, 4 (II 624, 7) III 3, 6 (III 82, 6). Plura dat Galeni libellus de comate VII 647 sqq.*

1 Γαληνοῦ εἰς τὸ προρρητικὸν ἱπποκράτους ὑπόμνημα τρίτον R: τμῆμα τρίτον *(nil amplius)* L: ἀρχὴ τοῦ τρίτου λόγου A[1]: λόγος γ' εἰς τὸ προρρητικὸν ἱπποκράτους *in mrg. sup.* A[2] 3 οἷσι *Hipp.* προσδιελθόντων *Hipp. codd.* 4 ὀξὺς *om. Hipp. codd.* 5 ἅπασαν L ἐξηγουμένῳ *haud inscite* L 6 βιβλίον A Περὶ . . . σημαινόμενον *om.* L Ἱπποκράτει *scripsi*: ἱππ͡ο RA: ἱπποκράτην *ex Aldo edd.* 7 κώματος A: κώμα͞τ R: κώματι *Aldus* 13 φαινομένων] *conicio* συμφαινομένων (*cf. 107, 10*): συνυφαινομένων *(i. e. e contextu, cf. Lucian. de hist. conscr. 48) Kalbfleisch* ἄν τις *om.* LA *post* ἐθέλοι (*sic* RLA) *add.* τίς LA 14 μόνος A 15 ὑφ' RA: ἐφ' L 16 συμφραζομένων *Cornarius (cf. v. 13. 107, 10)*: συμφραζόντων RLA 17 δὴ *Cornarius*: δὲ R: γὰρ L: *om.* A 18 οὐδ' ἐν L: οὐδὲ ἐν A: οὐδὲν R τοῖς RA: τούτοις L

νων ὀνομάτων αὐτῷ τὸ δηλούμενον εὑρεῖν, ὅθεν ὡς ἐν ἀσαφέσι πάσαις ταῖς ῥήσεσιν ἀσφαλέστερον ὑπέλαβον εἶναι τῆς φωνῆς ἀκούειν ταύτης, ὡς Ἱπποκράτης ἐχρήσατο.

γίγνεσθαι δὲ καταφορὰν [ὡς] ἐν ἄλλοις τέ τισιν ὑπομνήμασι κἀν τοῖς Περὶ τῶν πεπονθότων τόπων ὑπέδειξα, τὸ μὲν ὑπὸ | πλήθους 707 χρηστοῦ βαρυνομένου τοῦ ἐγκεφάλου καθάπερ ἐπὶ τῶν μεθυσθέντων, ἔστι δ' ὅτε διὰ φλεγματικὸν χυμὸν ἢ καὶ χωρὶς τοῦ χυμοῦ δύσλυτον ψύξιν. ὅταν δ' ἀγρυπνίᾳ ζευχθῇ τὸ κῶμα, δακνώδους μίξει χυμοῦ τὴν τοιαύτην διάθεσιν ἐδείκνυον γίνεσθαι. κατὰ μὲν οὖν τὰ τῶν Ἐπιδημιῶν βιβλία, εἴτ' ἐκ τῶν συντεταγμένων εἴτ' ἐκ τῶν συμφραζομένων ἐθέλοι τις ὀνομάζειν, ἐδηλοῦτο τοῦ κώματος ἡ διαφορὰ μετὰ τοῦ καὶ αὐτὸν τὸν Ἱπποκράτην διορίζεσθαι, ποτὲ μὲν 'βαθὺ κῶμα' λέγοντα, ποτὲ δὲ 'ὑπνῶδες', ποτὲ δὲ 'ἄγρυπνον' ἤ τι τοιοῦτον. κατὰ δὲ τοῦτο τὸ βιβλίον, ὃ νῦν ἡμῖν πρόκειται, μήτ' ἐκ τῶν τοιούτων διορισμῶν μήτ' ἐκ τῶν συμφραζομένων ἡμῶν δυναμένων νοεῖν τὴν διαφορὰν τοῦ κώματος, οὐδὲ τὴν ἐξ αὐτῶν πρόγνωσιν οἷόν τε καταστήσασθαι βεβαίως.

ἔνθα μὲν οὖν ἤτοι παραφροσύνην ἢ φρενῖτιν ἢ μώρωσιν ἢ κατοχὴν ἐξ ἧς ἔγραψε συνδρομῆς προλέγει, χρήσιμόν ἐστι τὴν διαφορὰν τοῦ κώματος ἐπίστασθαι· ἐν δὲ τῇ νῦν προκειμένῃ παντάπασιν ἄχρηστός ἐστιν ἡ τοιαύτη γνῶσις. ὥσπερ γὰρ ἐπ' ἄλλων συνδρομῶν | οὐκ 708 ὀλίγα συμπτώματα προστίθησιν ὁ γράψας τὸ βιβλίον οὐδὲν εἰς ἣν ἀποφαίνεται πρόρρησιν συντελοῦντα, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν ἄχρηστός ἐστιν πρὸς τὴν ἐνεστῶσαν κρίσιν τοῦ κώματος ἡ μνήμη. προπαροξυνόμενον γὰρ τὸν πυρετὸν ἐπὶ τοῖς ἀφρώδεσι διαχωρήμασιν ἐγὼ μὲν διηνεκῶς εἶδον, ἕκαστος δὲ τῶν ἄλλων ἀναμιμνῃσκέσθω τῆς ἰδίας αὐτοψίας, οὐ μὴν ἐπί γε τοῖς κώμασιν οἱ πυρετοὶ παροξύνονται πάντως. ἀλλ' ἴσως ἐθεάσατό τινα κωματώδη τε ἅμα γενόμενον ἀφρώδη τε διαχωρήσαντα, κἄπειτα παροξυνθέντα, καὶ διὰ τοῦτ' ᾠήθη συντελέσαι τι τὸ κῶμα τῷ γινομένῳ τοῦ πυρετοῦ παροξυσμῷ. καθάπαξ οὖν ἐγὼ μὲν 'ἀφρῶδες' ὠνόμασα τὸ διαχώρημα, καθάπερ Ἱπποκράτης ἐν τῷ Προγνωστικῷ λέγων "ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰσχυρῶς

4 ἐν ἄλλοις ὑπομνήμασιν] *ut In Epid. III 1, 7 (XVII A 540 K.)* 5 τοῖς Περὶ τῶν πεπονθότων τόπων] *VIII 163 K.* 30 Ἱπποκράτης ἐν τῷ Προγνωστικῷ] *11 (II 136, 11 L.)*

1 αὐτὸ A 2 ὑπέλαβεν L 4 ὡς A: ἂν ὡς R: *om. utrumque* L: *fortasse latet adverbium* 5 ἀπέδειξα L ποτὲ μὲν *Schoene*: ὁτὲ μὲν *Helmreich* 6 μεμυσθέντων L 7 *post* ὅτε *add.* καὶ A 8 ζευχθῇ RA: μιχθῆι L 9 γίνεσθαι RA: δείκνυσθαι L 10 εἴτε συντεταγμένων εἴτε συμφραζομένων L ἐθέλοι . . . συμφραζομένων *(15) om.* R ἐθέλει A 14 μήτ' . . . μήτ' *scripsi*: μηδ' *utrobique* LA 15 νοεῖν RA: *om.* L 18 συνδρομῆς RL: συγγραφῆς A 19 ἐπίστασθαι *post* ἐστι *transp.* L ἐν] ἂν A 21 προτίθησιν A: προστιθεὶς L γράψας LA: γράφων R ἀποφαίνεσθαι L 22 ἄχρηστον LA: 23 προσπαροξυνόμενον A 26 αὐτοψίας RA: ἀπεψίας L 27 τε ἅμα L: ἅμα τε RA 28 παροξυνθέντα L *et comp.* RA: παροξύνοντα *ex Aldo edd.* τοῦτ' ᾠήθη συντελέσαι τι τῷ κώματι R: τοῦτο συντελέσαι τί τὸ κῶμα (*om.* ᾠήθη) A: τούτων ἤδη συντ. τι τὸ κῶμα L 29 γενομένῳ παροξυσμῷ τοῦ πυρετοῦ L καθάπαξ RA: καθάπερ L 31 ἢ χλωρὸν ἢ ἐρυθρὸν ἰσχυρῶς ἢ ἀφρῶδες *Hipp.*

καὶ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα", καὶ κατὰ τὰ τῶν Ἐπιδημιῶν οὐκ ὀλιγάκις. ἐξηγητὴς δέ τις τοῦ προκειμένου συγγράμματος ἔπαφρα καλεῖν ἔφη τὰ τὸν ἀφρὸν ἄνωθεν ἐποχούμενον ἔχοντα, ὥσπερ ῥυτῶν τινων ὄντων ἢ διαχωρημάτων ἢ οὔρων ἢ χυμῶν, ἐφ'
709 ὧν ἐν ἄλλῃ | τάξει θέσεως ὁ ἀφρὸς φαίνεται.

διὰ τί δ' ἐν τοῖς πυρικαέσι πυρετοῖς μόνοις ἀφρῶδες διαχωρεῖται, λέλεκταί μοι πολλάκις, ὥσπερ γε καὶ ὅτι τὰ συνήθη τῶν ὀνομάτων ἐξαλλάττειν ὁ τοῦ προκειμένου βιβλίου συγγραφεὺς ἔργον πεποίηται, κἂν μὴ δύνηται τοῦτο πρᾶξαι, τὰ σημαινόμενα γοῦν ὑπαλλάττειν μετὰ τοῦ καὶ τὴν σύνταξιν αὐτῶν ἐπιτηδεύειν ἐν σολοικώδεσι ποιεῖσθαι σχήμασιν. εἰ δὲ οὐ βούλει σύνταξιν ὀνομάζειν, ἔξεστί σοι σύνθεσιν αὐτὴν καλεῖν.

III 2 [I 94. V 534, 8] Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶτι πυρετώδεες χαλῶνται ἐφ' ἑαυτούς, ἐπανιέντα, χρονιώτερα· ἐπιρριγῶσαι τούτοισιν οὐ πονηρόν.

Διαφωνία τις οὐ σμικρὰ γέγονε πρὸς ἀλλήλους καὶ κατὰ ταύτην τὴν ῥῆσιν ἄλλων ἄλλως ἐξηγησαμένων αὐτήν. ἐγὼ δὲ ὅσα μὲν δυνατόν ἐστίν μοι τῶν εἰρημένων ἐν αὐτῇ προσάγειν τοῖς ἀληθέσι, πειράσομαι τοῦτο πρᾶξαι· | τὸ δ' ὑπόλοιπον οὐκ ἐμόν, ἀλλὰ τῆς τοῦ γράψαντος
710 ἀσαφείας ἔγκλημα. τὸ γὰρ τοιούτων ἀνδρῶν μετὰ πολλῆς σπουδῆς σαφηνίσαι τὰ λεγόμενα καὶ συναγορεῦσαι προελομένων ἅπαντας ἀπιθάνους φανῆναι, αὐτοῦ τοῦ συγγραφέως ἐστὶν ἔγκλημα.

δοκεῖ δή μοι τὸ μὲν ἐκ κεφαλαλγίης ἀφωνίαι διὰ τοῦτο εἰρῆσθαι, διότι σημεῖον εἶναι βούλεται τὴν κεφαλαλγίαν τοῦ πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων, οὐ τοπικὴν εἶναι διάθεσιν τῆς ἀφωνίας, οἷαι γίνεσθαι πολλάκις εἰώθασιν ἢ διὰ σύντασιν σφοδρὰν ἢ ἔκλυσίν τε καὶ

1 κατὰ τὰ τῶν Ἐπιδημιῶν] *cf. Gal. in Epid. II 3 (XVII A 321 K.)*

1 κατὰ τὰ L A *(cf. 110, 14. 114, 11. 118, 15)*: κατὰ R; *scil. Galenus in commentariis, nam Hipp.* ἀφρώδης *in Epidemiis non adhibet* 3 καλεῖν L A: καλ῀ (*i. e.* καλῶν) R 4 ὄντων *om.* L ἐφ'] ὑφ' A 5 θέσεως L A *et comp.* R: θέσθαι *ex Aldo edd.*: *fort.* τίθεσθαι 6 δ' ἐν *Schoene*: δὲ R L A περικαέσι L A ἀφρώδη L: ἀφρω^δ' A 10 σύντασιν L 11 ὀνομάζειν *om.* R 13 *lemma cum comment. om.* L αἱ R A: καὶ *Hipp. codd. plerique* ἱδρῶτι A, *Hipp. (cf. 109, 2. 18)*: ἱδρῶσι R 14 *post* πυρετώδεες *add.* λυγγώδεες *Hipp. codd.* χαλῶνται ἐφ' ἑαυτοὺς *hic* R A: χαλῶντα ὑπὸ σφᾶς *Hipp. cf. 109, 4. 16* ἐπανιέντος A: ἐπανιόντα *Hipp. cf. 109, 13 sqq.* χρονιω^τρ' *ambigue* R A: χρωνιώτερα *Hipp. nonnulli codd. cf. paraphrasis Gal. 109, 22*: χρονιώτερον *ex Aldo edd. Gal. et Hipp. codd. plerique* 15 ἐπιρριγοῦν τουτέοισιν *Hipp. codd.* οὐ A, *Gal. p. 109, 30* : ὡς R *(quae lectio orta est fortasse ex antiqua emendatione* ὡ^ς *i. e.* ὦσαι *scripta super* ἐπιρριγοῦν*)*: *om. Hipp. codd. sec. criticos antiquos Gal. p. 109, 27* 16 γέγονε ⟨τοῖς ἐξηγηταῖς⟩ *Schoene* κατὰ ταύτην *scripsi*: κατ' αὐτὴν A: ἐκ ταύτης R 17 ἐξηγησαμένων A: ἐξηγησομένων R 18 αὐτῇ R: αὐτῷ A 20 τοσούτων *Schoene* 21 προελόμενος A 23 δή] δ' ἤ *ex* δ' εἴ *corr.* R 26 σύντασιν A: *idem, at* σ *pr. ex* τ *corr.*, R: τὴν τάσιν *ex Aldo edd.*

χάλαcιν τῶν τὴν φωνὴν ἐργαζομένων μυῶν τε καὶ νεύρων. τὸ δὲ ἅμα ἱδρῶτι πλῆθος ὑγρότητος λεπτῆς ἢ τῆς καθεκτικῆς δυνάμεως ἔκλυcιν ἐνδείκνυται.

τὸ δὲ χαλῶντα ἐφ᾽ ἑαυτούς ἐὰν μέν, ὡς οἱ πλεῖcτοι τῶν ἐξηγητῶν ἤκουcαν [ὡς] ἐπὶ τῶν ἀκουσίως διαχωρουμένων, οὕτω καὶ ἡμεῖς ἀκούσωμεν, ἤτοι τῆς διανοίας ἐνδείξεται βλάβην ἢ τῶν κλειόντων τὴν ἕδραν μυῶν τε καὶ νεύρων· εἰ δ᾽, ὡς ἔνιοι νομίζουcιν, δηλοῦται τὸ χαλᾶν ἐπὶ τῆς διαθέσεως, ὅπερ ἔστιν μετριωτέραν αὐ|τὴν ἐργάζεcθαι, 711 διὰ μὲν τοὺς ἱδρῶτας, φαcὶν ἐκεῖνοι, cυμβήcεται χρονιώτερον ἐργάζεcθαι τὸ νόcημα. διὰ τοῦτο παραλείπουcιν οὗτοι τὴν τοῦ ἐπανιέντος ἐξήγηcιν, ἐπειδὴ ταὐτὸν ἀναγκαcθήcονται λέγειν, ὅπερ ἐπὶ τοῦ χαλῶντος προειρήκαcιν. διὰ τοῦτ᾽ οὖν ὑπαλλάξαντες τὸ ε̄ γράμμα καὶ γράψαντες τὸ ο̅ν̅ κατὰ τὴν πρὸ τέλους cυλλαβὴν ἐπανιόντα φαcὶν εἰρῆcθαι, δηλοῦντες δι᾽ αὐτοῦ τὰ ἐπανερχόμενα νοcήματα. καλοῦcι δ᾽ 'ἐπανερχόμενα' νοcήματα τὰ μετριάcαντα μὲν ἐπ᾽ ὀλίγον, αὖθις δὲ παροξυνθέντα. εἰ μέντοι τὰ χαλῶντα ἐφ᾽ ἑαυτούς ἐπὶ τῶν διαχωρουμένων ἀπροαιρέτως εἴρηται, ὁ cύμπας λόγος ἔcται τοιοῦτος· ἂν ἐπὶ κεφαλαλγίᾳ ἀφωνία γένηται τοῦ κάμνοντος πυρέττοντος cὺν ἱδρῶτι καὶ χωρὶς προαιρέcεως ἀποκρίνωνται τὰ περιττώματα, κἂν ἐπάνεcίς τις γένηται τῶν cυμπτωμάτων, ὁμοίως εἰς χρόνον πλείονα ἐκπίπτει τὰ τοιαῦτα νοcήματα. πρόδηλον δὲ ὅτι χαλεπῶν cυμπτωμάτων εἰρημένων οὐκ ἐχρῆν εἰπεῖν μόνον, ὅτι χρονιώτερα γίνεται, ἀλλὰ καὶ πρὸ αὐτοῦ, πότερον ἐλπίζειν χρὴ cωθήcεcθαι τοὺς οὕτω νοcοῦντας ἢ | τεθνήξεcθαι, παρα- 712 λιπὼν ὁ γράψας αὐτὰ περὶ τοῦ χρονίcαι μόνον ἐδήλωcεν.

ἀλλὰ τούτῳ πάλιν ἐναντιοῦται τὸ κατὰ τὴν τελευτὴν εἰρημένον ἐπιρριγῶcαι τούτοιcι οὐ πονηρόν, ὅπερ ἔνιοί φαcιν ἡμαρτῆcθαι· χρῆναι γὰρ ἄνευ τῆς ἀποφάcεως πονηρόν, οὐ μετ᾽ αὐτῆς οὐ πονηρὸν γεγράφθαι. cυγχωρηθείcης δὲ τῆς ἐν ἅπαcι τῶν ἀντιγράφων εὑριcκομένης γραφῆς, ἥτις ἐcτὶν μετὰ τῆς ἀποφάcεως, εἰκότως φαcὶν εἰρῆcθαι τὸ ῥῖγος οὐ πονηρὸν εἶναι διὰ τὸ τὴν φύcιν ἐκλελυμένην ἐπεγείρειν. ὅτι δὲ ἐκλέλυται, τήν τε ἀφωνίαν καὶ τὴν ἀκούcιον ἀπόκριcιν τῶν περιττῶν καὶ τοὺς ἱδρῶτας δηλοῦν.

1 χάλαcιν A: λάληcιν *(comp.)* R 2 ἱδρῶτι A: ἱδρῶ R: ἱδρῶcι *Aldus* καθεκτικῆς R: καθ᾽ ἕκα^cτ A 4 χαλῶντα RA *(cf. v. 16)*: χαλῶνται *ab Aldo edd.* ἐφ᾽ ἑαυτοὺς A *(cf. v. 16)*: *om.* R ἐὰν μὲν *scripsi*: εἰ μὲν A[2]: οἱ μὲν R: ομεν, *sed prima littera incerta* A[1] 5 ὡς *del. Schoene* 6 ἀκούcωμεν A: ἀκούcομεν R 10 ἐπανιέντος R: ἐπανιέτ^ν A *cf. 108, 15* 12 ε΄. γράμμα *Aldus*: ἔγγραμμα R: ἓν γράμμα A; *debebant saltem* τὰ ε̅ν̅ γράμματα 13 ο̅ν̅] ὂν RA ἐπανιέντα A 16 τῶν, *correctum nescio unde,* R 19 ἀποκρίνονται RA 20 τοῦ cυμπτώματος A ὁμοίως *videtur ad duo symptomata v. 18 sq. allata respicere* 21 *fortasse* πρόδηλον δ᾽ ⟨ὂν⟩ 22 χρονιώτερα *scripsi*: *ambiguo comp.* RA: χρονιώτερον *ex Aldo edd.* πρότερον A 23 τεθνήξεcθαι A: τεθνήξαcθαι R 27 χρῆναι *scripsi*: χρὴ RA 28 τῆς A[1] *post corr.*: τοῖς RA *ante corr.* 30 τὸ RA: *om. ex Aldo edd.*

III 3 [I 95. V 536, 1] Χεῖρεϲ τρομώδεεϲ, κεφαλαλγίη, τραχήλου ὀδυνώδεεϲ, ὑπόκωφοι, οὐρέοντεϲ μέλανα δεδαϲυμένα, οἷϲι ταῦτα μέλανα προϲδέχεϲθαι ἥξειν, ὀλέθριον. |

713 Ἡ μὲν κεφαλαλγία τούτοιϲ τὴν κεφαλὴν ἐνδείκνυται πάϲχειν, ὥϲπερ γε καὶ ἡ τῆϲ ἀκουϲτικῆϲ αἰϲθήϲεωϲ βλάβη τὸν ἐγκέφαλον αὐτόν, ὥϲτε καὶ τὴν ὀδύνην τοῦ τραχήλου καὶ τὰϲ τρομώδειϲ χεῖραϲ τὴν τῶν νεύρων ἀρχὴν πεπονθυῖαν βεβλάφθαι. τὸ δ' οὖρα μέλανα πολλάκιϲ εἴρηται τῆϲ ἑτέραϲ ἀρχῆϲ εἶναι πάθοϲ καὶ γίνεϲθαι τοῦτο διὰ τὴν ϲφοδροτάτην θερμότητα. τὰ δ' οὖρα τὰ δεδαϲυμένα τῶν εἰϲ ἀϲάφειάν εἰϲιν ἐπιτετηδευμένων, ὥϲπερ καὶ ἄλλα πολλὰ κατὰ τοῦτο τὸ βιβλίον, ἵνα κἀνταῦθα φλυαρεῖν ἔχωϲιν, οἷϲ φίλον τοῦτο. κατὰ γοῦν τὸ Προγνωϲτικὸν ἁπάϲαϲ τῶν οὔρων τὰϲ διαφοράϲ, αἳ γίνονται τοῖϲ ὀξέωϲ νοϲοῦϲιν διερχόμενοϲ, οὐκ ἐμνημόνευϲε δαϲέων οὔρων, ὥϲπερ οὐδ' ἐν τοῖϲ τῶν Ἐπιδημιῶν ἢ κατὰ τοὺϲ Ἀφοριϲμούϲ. ἀλλ' οἵ γε τὰ τοιαῦτα μὲν ἀποφαίνεϲθαι τολμηροί, περὶ ὧν οὔτε γνῶϲιν ἀκριβῆ λαβεῖν ἔϲτιν οὔτ' εἰ λάβοιμεν ἔχειν τι πλέον ὧν ἐπιϲτάμεθα, τὰ δ' ὄντωϲ χρήϲιμα μὴ γινώϲκοντεϲ, ἀνώμαλον ἔχειν φαϲὶ τὴν ἐπιφάνειαν τὰ δαϲέα τῶν οὔρων ἐξοχαῖϲ βραχείαιϲ τε καὶ λευκαῖϲ οἷόν περ θριξὶ τετραχυϲμένα. |
714 καὶ τινὲϲ μὲν αὐτῶν ἀφρώδη φαϲὶν εἶναι τὰ τοιαῦτα τῶν οὔρων, ἀφρὸν λεπτὸν ἐπιπολῆϲ ἀνωμάλωϲ διεϲπαρμένον ἔχοντα, τινὲϲ δὲ παχέα μὲν αὐτά, κατὰ δὲ τὴν ἐπιφάνειαν ἔχοντα ϲκληρότητα πάνυ λεπτὴν ὡϲ ψάμμον. ἀλλά γε ταῦτα πάντα διελθοῦϲιν ἡμῖν οὐδὲν πλέον. αὐτὸϲ γὰρ ἐπὶ τῷ τέλει τῆϲ ῥήϲεωϲ ἔγραψε μέλανα προϲδέχεϲθαι ἥξειν καὶ τούτῳ γε πάλιν αὐτῷ προϲέθηκεν ὀλέθριον· εἴρηκε δὲ ἔμπροϲθεν αὐτὸν οὐρεῖν μέλανα. τὸ γοῦν 'ἐλπὶϲ μέλανα ἥξειν' ἀπολείπεται περὶ τῶν διαχωρουμένων ἢ ἐμουμένων ἀκοῦϲαι. περιττὸν δὲ ἀναμένειν ἐκεῖνα προρρήϲεώϲ γε ἕνεκεν, ὀλεθριώτερα αὐτῶν ἑωρακότα ϲημεῖα οὖρα μέλανα πρὸϲ τῷ μήτε διὰ παντὸϲ μήθ' ὡϲ τὸ πολὺ μελάνων οὔρων γενομένων ἔκκριϲιν διὰ γαϲτρὸϲ ἢ ἔμετον ἕπεϲθαι διὰ παντὸϲ μελάνων.

8 πολλάκιϲ εἴρηται] *cf. huius comm. p. 14, 14 sqq.* 11 Προγνωϲτικόν] *12 (II 138, 15 sqq. L.) supra p. 74, 3*

1 κεφαλαλγίη RLA *(v. 4. 111, 10)*: κεφαλαλγέεϲ *ex Hipp. Aldus* 2 οὐρέονεϲ R 4 τὴν κεφαλὴν τούτοιϲ L 7 τὸ δ' RL: τὰ δ' A, *ex Aldo edd.* 8 *post* εἶναι *add.* τὸ L γίνεϲθαι L: γίνεται RA 9 τὴν R: *om.* L ϲφοδροτάτην *ambiguo comp.* RA: ϲφοδρότητα L τὰ (*post* οὖρα) RLA: *om. ex Basileensi edd.* 10 εἰϲιν RA: ἐϲτὶν L *(cf. 35, 13)* πολλὰ *om.* A 11 ἔχωϲι κἀνταῦθα φλ. L 13 ὥϲπερ RL: ἐπείπερ A 15 οὔτε *scripsi*: οὐ τὴν RLA 20 ἐπὶ πολλῆϲ R διεϲπαϲμένον RLA: *corr. Basileensis* 21 δὲ L: *om.* RA λεπτὰ LA: *comp. ambiguo* R: *corr. Aldus* 22 ὡϲ LA: καὶ R 23 προϲδέχεϲθαι LA: προϲ *(in extrema pagina)* R 24 τούτου R: *comp. ambiguo* A αὐτοῦ R 25 αὐτὸν *om.* A τὸ γοῦν RA: τὸ οὖν L ἐλπὶϲ RLA: *fortasse Gal. scripsit* ἐλπίζειν *circumscribens* προϲδέχεϲθαι, *sed hic placet ei ad Prorrhetici morem (cf. II 40 p. 85, 25) loqui* 26 *ante* ἐκεῖνα *add.* ἢ L 27 γε LA: *om.* R ἕνεκεν] ἔνθα L αὐτῶν *Cornarius*: αὐτὸν RLA 28 *post* παντὸϲ *add.* μελάνων L 29 γινομένων L μελάνων RLA: μέλανα *ex Aldo edd.*

διό μοι δοκεῖ καὶ ὁ Διοσκορίδης ὑπομέλανα γράψαι τὰ τοιαῦτα οὖρα προσθεὶς τὴν ὑπό πρόθεσιν, ἵνα προρρητικόν τι κἂν ὀλίγον ὁ λόγος ἔχῃ. περιττὴ δὲ παντοίως ἔσται τῶν ἄλλων συμπτωμάτων ἡ προσθήκη. τὰ γὰρ ὑπομέλανα | οὖρα ῥοπὴν ἔχοντα πρὸς τὸ μέλανα γενέσθαι τῆς ἰδέας δεῖται τοῦ πυρετοῦ διοριζομένης ἀσφαλεστέραν 715 πρόρρησιν, ἑτέρου δὲ οὐδενός. ἐὰν γὰρ ἱκανῶς ᾖ δριμὺς καὶ πυρώδης ὁ πυρετός, ἡ μετάπτωσις εἰς τὰ μέλανα τῶν ὑπομελάνων οὔρων ἔσται ῥᾳδίως. ἐὰν δὲ μὴ τοιοῦτος, οὐ πάνυ τι [πυρώδης] τούτῳ τρομώδεσι αἱ χεῖρες, ὥσπερ καὶ ἡ κεφαλαλγία καὶ τὸ ὑπόκωφον καὶ τὸ τοῦ τραχήλου ὀδυνῶδες· ταῦτα γὰρ ἅπαντα φρενιτικὰ σημεῖα.

III 4 [I 96. V 536, 3] Αἱ μετ᾿ ἐκλύσεως κατόχως ἀφωνίαι ὀλέθριαι.

Πάλιν κἀνταῦθα λόγον ἔγραψε ἕνα τῶν κατὰ μέρος, ὥσπερ καὶ πρόσθεν, ἡνίκα ἔλεγεν "αἱ παραφροσύναι κάκισται", κοινὸν πᾶσι τοῖς τοιούτοις εἶπεν ὃ καὶ τοῖς ἰδιώταις δῆλον ὑπάρχει, τὸ τὰ μεγάλα πάθη τοῖς προκεκμηκόσι τὴν δύναμιν ὀλέθρια γίνεσθαι. ἀλλ᾿ ὅπερ ἐκεῖ "προεξαδυνατησάντων", | τοῦτο ἐνταῦθα μετὰ ἐκλύσεως εἶπε. δύναται δέ τις καὶ μετὰ ἐκλύσεως ἢ ἀσθενείας ἢ ἀρρωστίας εἰπὼν ἐκπέμψαι 716 φαντασίαν τοῖς πολλοῖς καὶ ἀμαθέσιν ἄλλο τι λέγειν· δύναται δὲ καὶ τῶν κατὰ μέρος παθῶν μνημονεύειν, ἵνα ἐν τῷδε δόξῃ λέγειν ἄλλοτ᾿ ἄλλα. καὶ γὰρ αἱ περιπνευμονίαι καὶ αἱ πλευρίτιδες ἐν ἀσθενείᾳ δυνάμεως γιγνόμεναι καὶ πᾶν ὁτιοῦν πάθος ἰσχυρὸν ὀλέθριόν ἐστιν. ὅπου γὰρ οὐδὲ οἱ τὴν δύναμιν ἰσχυροὶ διασῴζονται πάντες ἐξ αὐτῶν, εὔδηλον ὡς τῶν ἀσθενῶν οὐδένα σωθῆναι δυνατόν ἐστι. νῦν μὲν οὖν ἐμνημόνευσεν δύο συμπτωμάτων ἑπομένων τῇ βλάβῃ τοῦ ἐγκεφάλου, καὶ θάτερον δ᾿ αὐτῶν μόνον εἰπών τις ἀληθεύει· καὶ γὰρ αἱ μετ᾿ ἐκλύσεως κατοχαὶ μοχθηραὶ καὶ αἱ μετ᾿ ἐκλύσεως ἀφωνίαι παραπλησίως αὐταῖς.

15 ἔλεγεν] *Prorrh. I 8 (V 512, 5) cf. supra p. 23, 16* 17 ἐκεῖ] *l. c.*

1 γράψας L 2 προσθῆς R 3 *an* πάντως *vel* παντελῶς? *(prorsus Rasarius)* 5 διοριζομένης ⟨εἰς⟩ *Kalbfleisch* 6 πυρώδης A *(cf. v. l. 9)*: πυρετώδης RL 7 εἰς τὰ A: εἰς τὸ RL 8 τοιοῦτον A πυρώδης RLA: *ut emendatam ad v. 7 lectionem delevi, qua extrusum veri simile velut* σημαίνουσι; οὔτε *pro* οὐ *reponebat Cornarius frustra* 9 τοῦ *om.* L 12 ὀλέθριαι LA: ὀλέθριοι *Hipp. FGHK*: *ambiguo comp.* R 13 ἕνα τῶν RLA: *om. ex Aldo edd.* 14 κοινὸν L: κοινῶς RA: κοινῶς ⟨γὰρ⟩ *Cornarius* πᾶσιν LA: $\overset{\alpha}{\pi\gamma}$ R 15 εἶπεν *Mewaldt*: εἰσιν RLA ὑπάρχει L: $\overset{\chi}{\text{ὑπάρ}}$ RA: *fortasse* ὑπάρχειν 17 ἐνθάδε L 19 δὲ RLA: *om. ex Aldo edd.* 20 *ante* ἵνα *add.* νῦν L τῷδε RA: τούτῳ L 24 μὲν *om.* L 25 δυοῖν *Mewaldt* 28 αὐτοῖς A

III 5 [I 97. V 536, 4] Πλευροῦ ἄλγημα ἐπὶ πτύσεσι χολώδεσιν ἀλόγως ἀφανισθέν, ἐξίστανται. |

717 Καὶ τούτου τοῦ λόγου τὸ καθόλου πολλάκις εἴρηται πάντων τῶν ἀλόγως ἀφανισθέντων κακόν τι σημαινόντων. καὶ ἐνταῦθα δὲ πρόσκειται τῶν κατὰ μέρος τι κακὸν γιγνόμενον ἐπὶ χολώδεσι πτύσμασιν ἐν πλευριτικοῖς πάθεσιν ἐξαίφνης ἀφανισθεῖσιν, οὐ μὴν διὰ παντὸς ἢ πλειστάκις, ἀλλ' ὅταν ἡ μετάστασις τοῦ χολώδους ἐπὶ τὴν κεφαλὴν γένηται, τηνικαῦτα μόνον οἱ κάμνοντες ἐξίστανται. τῷ μέντοι συνήθει τῆς ἑρμηνείας εἴδει χρησάμενος ὁ γράψας τὸ βιβλίον ἀλλόκοτον ἐποίησε τὴν λέξιν, οὐκ ἐχόντων ἡμῶν, τίνι τὸ ἐξίστανται συντάξομεν· ὅσον μὲν γὰρ ἐπὶ τῇ λέξει, τῷ τῆς πλευρᾶς ἀλγήματι, φάντος γε αὐτοῦ πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθέν, ἐξίστανται. πάνυ δ' ἀκύρως ἂν εἴη λεγόμενον τὸ τοῦ πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθέν, ἐξίστανται. κἂν γὰρ ἀντὶ τοῦ ἐξίστανται ἐξίσταται γράφωμεν χωρὶς τοῦ ν̅ τῆς πρὸ τέλους συλλαβῆς διὰ μόνου τοῦ τ̅ καὶ α̅, καὶ οὕτως
718 ἄτοπος ἡ ἑρμηνεία γίνεται καὶ πολὺ | χείρων αὐτῆς. τὸ μὲν γὰρ ἀπὸ τῶν παθῶν ἐπὶ τὸν κάμνοντα σολοικώδης ἡ μετάβασις γίνεται, τὸ δ' ἄνευ τοῦ ν̅ λεγόμενον ἐξίσταται τὴν ἀρχὴν οὐδ' οὕτως τί πρότερον σημαίνει, δυνατὸν εὑρεῖν. κατὰ φύσιν γὰρ ἦν εἰρηκέναι πλευροῦ ἀλγήματος ἐπὶ πτύσεσι χολώδεσιν ἀλόγως ἀφανισθέντος οἱ κάμνοντες ἐξίστανται, σημαίνοντος δηλονότι τοῦ ἐξίστανται παρακοπὴν σφοδρὰν καὶ μανιώδη.

III 6 [I 98. V 536, 6] Ἐπὶ τραχήλου ἀλγήματι κωματώδει, ἱδρώδει, κοιλίη φυσηθεῖσα· εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίστανται. τὰ τοιαῦτα διασῳζόμενα μακροτέρως διανοσέει. ἆρά γέ εἰσιν ἄχολοι περιπλύσιες εὐηθέστεραι καὶ τὸ φυσῶδες ὄγκῳ προσωφελέει;

Καὶ κατὰ τήνδε τὴν ῥῆσιν ἀνομοιογενῶν ἐστι συμπτωμάτων ἄθροι-
719 σμα. τραχήλου μὲν γὰρ ἄλγημα μετὰ κώματος | ἐν τῇ κεφαλῇ νοσώ-

1 ἀλγήματα ἐν πτύσει χολώδει ἀλ. ἀφανισθέντα ἐξίσταται *Hipp. codd.* ἐπὶ πτύσει χολώδει LA *(ex Hipp.)*: ἐπᾶσι χολώδεσι R: *corr. Aldus ex v. 5* 2 ἐξίστανται RA: κακὸν ἐξίστανται πάλιν L 4 ἀλόγων *ex Aldo edd.* κακὸν LR[2]: κακῶν R: *om.* A σημαινόμενον A; *post* σημαινόντων *omisso* καὶ *iter.* κακὸν L ἐνταυθί L δὲ *om.* A 5 κακῶν R 8 μόνον RA: μὲν L 9 εἴδει LA: ἤδη R 10 *fortasse* συντάξωμεν 11 φανέντος A γε RA: γὰρ L 12 πάνυ . . . ἀφανισθέν, ἐξίστανται *(14) om.* A 15 *post* πρὸ *add.* τοῦ L 16 γίνηται L: *fortasse* γίνοιτ' ἂν *an* τῷ μὲν? 18 *conicio* τί ποτε 20 πτύσεσι χολώδεσι *scripsi*: πτύ/ χολῶδ´ R: πτύσει χολώδει LA: πτύσμασι χολώδεσιν *ex Aldo edd.* ἀλόγως *om.* A 23 ἐπὶ RLA: ἐν *Hipp. codd.* 24 ἱδρῶτι L 25 τούτων L ἄχηλα L: ἄχολος A ἐξίσταται *Hipp. codd.* τὰ *om.* A 26 ἦρά *Hipp. codd.* *post* εἰσὶν *add.* αἱ *Hipp.* 27 προσωφελέει L, *Hipp. codd. (cf. 113, 20)*: προσωφελεῖ A *et comp.* R: προσωφελέοι *ex Aldo edd.* 30 τῇ LA: τῶ R

δη διάθεςιν εἶναι cημαίνει. ὁ δ᾽ ὡς cύμπτωμα καὶ μὴ κριτικὸς ἱδρὼς ἤτοι πλῆθος ἢ ἀρρωςτίαν ἐνδείκνυται τῆς ἑλκτικῆς τε καὶ καθεκτικῆς ὀνομαζομένης δυνάμεως. ἐμφυςηθεῖςα δ᾽ ἡ γαςτὴρ αὐτὸ δὴ τοῦτο πεπονθέναι τὸ μόριον δηλοῖ, τὴν γαςτέρα. τὸ δὲ πρὸς ἀνάγκην ὑγρὰ χαλᾶν, ὑποπεριπλυθεῖςαν δέ τοῦτο ποιεῖν, τὸ ἧπαρ ἐνδείκνυται πεπονθέναι. ἐξίςταςθαι δέ, ὅπερ ἐςτιν παρακόπτειν ςφοδρῶς, τούτους φηςί, καίτοι μηδενὸς ςημείου γενομένου τῆς ἐκςτάςεως. τὸ γὰρ κωματῶδες εἴρηται μόνον ἐγκεφάλου πάθος ἐναντίον ὑπάρχον ἐκςτάςει, πλὴν εἰ τὸ τραχήλου τις ἄλγημά φηςι τῆς ἐκςτάςεως εἶναι ςημεῖον, ὃ μηδὲ τὴν ἁπλῆν παραφροςύνην ςημαίνειν δύναται μόνην, ἄνευ γε τοῦ καὶ ἄλλα προςελθεῖν αὐτῷ ςημεῖα, οἷον ἀγρυπνίαν, κεφαλαλγίαν, ὄμμα θραςύ, θραςεῖαν ἀπόκριςιν, ὕπνους ταραχώδεις ἤ τι κατὰ τὰς αἰςθήςεις ἢ προαιρετικὰς κινήςεις βεβλαμμένον.

εἰκότως οὖν ἀντὶ τοῦ ἐξίςτανται ἔνιοι ἐφίςτανται ⟨γράφουςιν⟩ ἐπὶ τῶν διαχωρημάτων εἰρῆςθαι φάςκοντες αὐτὰ καὶ ςυνῆφθαι μᾶλλον ἐκείνοις, ὡς εἶναι τὸ | ςυνεχὲς τῆς λέξεως τοιόνδε· κοιλίη φυςηθεῖςα· 720 εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶςα, ὑποπεριπλυθεῖςα, ἐκ τουτέων ἄχολα ἐφίςτανται. τούτοις οὖν ἐφεξῆς εἰπὼν τὰ τοιαῦτα διαςῳζόμενα μακροτέρως διανοςέει τελευταῖον ἔγραψεν· ἆρά γε ἄχολοι περιπλύςεις εὐηθέςτεραι καὶ τὸ φυςῶδες ὄγκῳ προςωφελέει; ὡς εἰ καὶ οὕτως εἶπε ʿκαὶ φυςῶδες ὄγκωμα προςωφελοῦςι᾽, τοῦτο δ᾽ αὐτὸ πάλιν ἴςον δύναται τῷ τοὺς φυςώδεις ὄγκους ὠφελεῖν. εἰ δὲ ἀλλόκοτός ςοι ἡ ςύνταξις εἶναι δοκεῖ, χρὴ ςυγγινώςκειν τοῖς οὕτως ἐξηγουμένοις· πάμπολλα γὰρ ἐν τῷ βιβλίῳ τούτῳ τοιαῦτα φαίνεται ἀςυνήθεςι τῶν ὀνομάτων ἑρμηνευόμενα. εἰκότως δὲ φαίνεται ζητῶν, εἰ ἄχολοι περιπλύςεις τοὺς τοιούτους ὄγκους ὠφελέουςι, τεκμαιρόμενος τοὺς φυςώδεις οὐχ ὑπὸ χολῆς, ἀλλ᾽ ὑπὸ ψυχρῶν, ὑγρῶν, ὑδατωδῶν κατὰ τὴν ςύςταςιν ἅμα πνεύματι φυςώδει γίγνεςθαι. κατ᾽ αὐτὴν μὲν οὖν τὴν ἐξήγηςιν ὁμολογεῖν ἀλλήλοις φαίνεται ταῦτα καὶ καλῶς ὑπό τινων γέγραπται τὸ ʿςυνίςταται᾽ ἢ ʿἐφίςταται᾽ κατὰ τῶν διαχωρημάτων, καὶ μᾶλλόν γε αὐτὸ τὸ ἐφίςταται· διότι γάρ ἐςτιν | ἄχολα, 721 διὰ τοῦτο ἐφίςταται καὶ πρὸς ἀνάγκην μόγις χαλᾶται, τουτέςτι μετὰ τοῦ πραγματεύςαςθαί τι τὸν ἰατρόν. ἐκ περιττοῦ δὲ πάλιν φαίνεται τὸ κατὰ τὴν ἀρχὴν ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ςυνῆφθαι κατὰ μηδὲν ςυνημμένον τοῖς περὶ τὴν κοιλίαν ςυμπτώμαςιν.

2 ἑλκτικῆς *Chartier*: ἑκτικῆς RLA   3 αὐτὴ A   δὴ RA: *om.* L   5 ὑποπεριπληθεῖςαν A   6 ἐξίςταςθαι *Aldus*: ἐξίςτανται RL: τὸ δὲ ἐξίςτανται A   δὲ R: *om.* LA   παρακόπτον L   7 φηςί *om.* LA   ἐκςτάςεως R: ἐκςτάςει L: *comp. ambiguo* A   9 εἰ τὸ RA: οὔτε L   10 ςημαίνει A   μόνην L: μόνον R: *comp. amb.* A   γε *post* ἄλλα *transp.* L   14 *post* ἐφίςτανται *lacunam quinque litt. exhibet* R: γράφουςιν *addidi*   18 τούτων L   20 περιπλύςιες *Aldus*   καὶ . . . προςωφελοῦςι *om.* A   21 ὄγκωμα R: ὄγκῳ L   προςωφελοῦςι R: προςωφελέει L   22 ἴςον *om.* A   23 ςοι *om.* L   ἡ LA: ἢ R   ςυγγινώςκειν χρὴ L   24 φαίνεται τοιαῦτα L   25 *fortasse* τοῖς ὀνόμαςιν   28 πνεύματος φυςςώ^{δ} A   30 *desideres sec. v. 14* ςυνίςτανται ἢ ἐφίςτανται, *quamquam conferendum p. 112, 14*   34 *post* κωματώδει *supplebat* ἱδρώδει *Cornarius*

ἔοικεν οὖν, ὥσπερ ἄλλας πολλὰς συνδρομὰς ἐφαίνετο τεθεαμένος ἐφ᾽ ἑνὸς ἢ δυοῖν ἐπὶ τὸ γράφειν ἀφῖχθαι, καὶ νῦν οὕτω πεποιηκέναι χωρὶς τοῦ προσγράψαι τὸν ἄρρωστον ὀνομαστί, καθάπερ ἐπ᾽ ἄλλων ἐποίησε. καὶ εἴπερ τοῦθ᾽ οὕτως ἔχει, δυνατόν ἐστιν ἐν ἀρχῇ μὲν τῆς νόσου πλῆθός τι χυμῶν ψυχρῶν μὲν τῇ κράσει, λεπτῶν δὲ τῇ συστάσει, τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἐνοχλῆσαι μόρια, μεταρρυὲν δὲ ἐπὶ τὰ κατὰ τὴν γαστέρα τόν τε φυσώδη κατ᾽ αὐτὴν ὄγκον ἐργάσασθαι καὶ τὰ διαχωρήματα λεπτὰ καὶ ὑδατώδη ποιῆσαι καὶ διὰ τοῦτο μένοντα κατὰ τὴν γαστέρα καὶ μὴ διεξερχόμενα καθάπερ τὰ χολώδη καὶ δάκνοντα.

διαφέρει δὲ οὐ σμικρὸν ἢ τὰ συμβάντα τινὶ διηγουμένου τοῦ τὸ
722 βιβλίον | γράψαντος αἰτίας αὐτῶν ἡμᾶς ἀποδιδόναι πιθανάς, ὡς ἐν τοῖς τῶν Ἐπιδημιῶν ἐποιήσαμεν, ἢ ὡς καθολικοὺς τοὺς λόγους ἐξετάζειν. ἀπὸ μὲν γὰρ τῆς κεφαλῆς εἰς τὴν γαστέρα μεταρρυῆναί τις δύναται χυμός, ὥσπερ γε καὶ εἰς φάρυγγα καὶ λάρυγγα καὶ πνεύμονα καὶ εἰς θώρακα καὶ διάφραγμα καὶ σπλῆνα καὶ ἧπαρ καὶ ὁτιοῦν ἄλλο, καθάπερ γε κἀξ ἐκείνων ἑκάστου πάλιν ἐπὶ τὴν κεφαλὴν ἀνενηνέχθαι. τὸ δ᾽ ἤτοι διὰ παντὸς ἢ πλειστάκις εἰς ἓν τῶν εἰρημένων τὴν μετάστασιν γίνεσθαι ψεῦδος, ὅπερ αἱ πλεῖσται τῶν κατὰ τοῦτο τὸ βιβλίον ἐνδείκνυνται ῥήσεις, ἐφ᾽ αἷς ἁπλῶς ἀποφαίνεται χωρὶς τοῦ προσθεῖναι τὸν ἐπαπορητικὸν σύνδεσμον ἢ τὸν ἄρρωστον αὐτὸν ὀνομαστί. ἀλλά γε κατὰ τὴν προκειμένην ῥῆσιν εἰπών "ἆρά γέ εἰσιν αἱ ἄχολοι περιπλύσιες εὐηθέστεραι;" δῆλος ἐγένετο μὴ θαρρεῖν ὡς καθολικῷ τῷ λόγῳ.

τὸ δὲ εὐηθέστεραι ῥῆμα σημαίνει μὲν καὶ τὸ κακοηθέστεραι (καὶ πολλάκις κατὰ τοῦτο τὸ σημαινόμενον τούτῳ φαίνονται κεχρημένοι πολλοὶ τῶν παλαιῶν), σημαίνει δὲ καὶ τὸ εὔτροποι· κέχρηνται γὰρ καὶ
723 τούτῳ | τινὲς τῶν παλαιῶν, καθὸ καὶ νῦν ἔοικεν εἰρῆσθαι· συνεκφαίνει γὰρ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον προσωφελέειν.

III 7 [I 99. V 538, 4] Κοιλίης περίτασις πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ταχὺ ὀγκουμένη, ἔχει τι σπασμῶδες, οἷον καὶ τῷ Ἀσπασίου υἱῷ· τὸ ἐπιρριγοῦν τούτοις ὀλέθριον. ἐκ τουτέων

1 πολλὰς RA: τινὰς L τεθεαμένος RA: τιθέμενος L 2 ἐπὶ τῷ A 6 μόρια] $\overset{o}{\mu}$/ *ambiguo* μόρια *vel* μόνα *significante compendio* A μεταρρυὲν R: μεταρυὲν L: μετάρραν *(comp.)* A 7 ὄγκον ἐργάσασθαι L: ἐργάσασθαι ὄγκον RA 11 τοῖς *scripsi cf. ad p. 108, 1*: τ⌒ *(ambigue, sed 111, 20* πολλοῖς *sic breviatur)* R: τῷ LA 14 $\chi\upsilon^{\bar{\mu}}$ (*i. e.* χυμῶν) R *ante* φάρυγγα *add.* τὸν R 15 καὶ (*post* ἧπαρ) *om.* L 16 ἐκείνων A: ἐκείνων γε R: ἐκείνου γε L ἀνηνέχθαι LA: ἀνηνέχθη R: *correxi* 17 ἢ RA: καὶ L 19 προσθῆναι R 20 ὀνομάσαι (ὀνο$\overset{α}{μ}$/ A) LA τὴν *om.* A 21 εἰσὶν αἱ R: εἰσὶ καὶ A: εἰσὶν L 22 δῆλον L: *ambigue* A 23 εὐηθέστερον R μὲν *ante* ῥῆμα *transp.* A κακοηθέστερον R 24 πολλάκις LA: πολλ᾽ (πολλὰ) R τούτω RA: οὕτως L 25 εὔτροπον R 26 τούτῳ L: τοῦτο RA συνεκφαίνει R *(cf. 115, 30)*: συνεμφαίνει LA 27 προσωφελέει *malim* 28 *lemma et comm. usque ad 116, 8* ὧδε *om.* L 29 ὀγκουμένη RA *(cf. 115, 30. 116, 1)*: ὀγκυλλομένη (ὀγκυλωμένη) *Hipp.* 30 ἀσπασίου *Aldus ex 115, 26*: σπασίου RA τουτέοισιν *Hipp.*

σπασμώδης γενηθεὶς καὶ ἐμφυσηθείς, μακροτέρως διανοσήσας, στόματι σῆψις χλωρὴ ἐπεγένετο.

Εἴρηταί μοι καὶ πρόσθεν ὡς ἡ διδασκαλία τῆς ἰατρικῆς θεωρίας ὑφ' Ἱπποκράτους διὰ τῶν καθόλου γέγονεν ἐν ἅπασι τοῖς γνησίοις βιβλίοις προχειριζομένου ποτὲ καὶ τῶν κατὰ μέρος ἔνια παραδείγματος ἕνεκα πρὸς σαφήνειαν τῶν μανθανόντων. ἐπεὶ δ' οὐκ ἀπόχρη τὰ καθόλου θεωρήματα μαθεῖν εἰς τὸ διαγινώσκειν ἑτοίμως ἐπὶ τῶν ἔργων αὐτὰ χωρὶς τοῦ γυμνάζεσθαι, διὰ τοῦτο γυμνασίας ἕνεκεν | ἔγραψε τοὺς **724** ἐν τοῖς τῶν Ἐπιδημιῶν ἀρρώστους, ἐφ' ὧν οὐδὲν παρέλιπεν τῶν συμβάντων αὐτοῖς. ἡ δ' ὑπὸ τοῦ τὸ Προρρητικὸν γράψαντος ἀνδρὸς γενομένη διδασκαλία δέδεικται μὲν ἤδη πολλάκις οὐκ ἔχουσα τὸ καθόλου, πλὴν εἴ που σπανίως, ἀπολειπομένη δὲ καὶ τῆς τῶν κατὰ μέρος ἀκριβοῦς διηγήσεως, ὁποῖα γέγραπται κατὰ τοὺς ἐν τοῖς τῶν Ἐπιδημιῶν ἀρρώστους, ἔνθα πρῶτον μέν, ἐὰν ἐπίσημόν τι ᾖ τῶν προκαταρξάντων αἰτίων, δεδήλωκε λέγων (οἷον εἴ τις ἐκ κόπων ἢ γυμνασίων ἀκαίρων ἢ μέθης ἤρξατο νοσεῖν), εἶθ' ὅτι τὴν μὲν πρώτην τῶν ἡμερῶν ἐγένετο ταυτὶ περὶ αὐτόν, ἐν δὲ τῇ δευτέρᾳ ταυτί, καὶ οὕτως κατὰ τὴν τρίτην καὶ τὴν τετάρτην καὶ τὰς ἐφεξῆς ἅπαντα διηγεῖται τὰ γενόμενα τοῖς παρ' αὐτοῦ μεμαθηκόσι τὴν καθόλου θεωρίαν ἐφαρμόττειν προτρέπων τοῖς πεφηνόσι κατὰ τοὺς ἀρρώστους μετὰ τοῦ καὶ αὐτὸν ποδηγεῖν ἐνίοτε πρὸς τὴν γυμνασίαν, ὡς ἐπιδέδεικταί μοι κατὰ τὰς ἐξηγήσεις αὐτῶν.

ὁ δὲ τοὺς ἐν τούτῳ τῷ βιβλίῳ γράψας ἀρρώστους ἀπὸ τῆς τοιαύτης διηγήσεως ἐπί τισι τῶν ὀφθέντων ἅπαξ ἤδη βούλεται κα|θόλου **725** θεωρήματα συνίστασθαι σφαλλόμενος ἐν πολλοῖς οὐ σμικρά, καθάπερ ἐν τῷ τὸ ἑτέρῳ γενόμενον ἑτέρῳ προσνέμειν, ὥσπερ καὶ νῦν. τῷ γοῦν Ἀσπασίου υἱῷ τὰ περὶ τὴν γαστέρα συμπτώματα γράψας μόνον σπασμῶδές τί φησιν ἔχειν αὐτά. τρία δ' ἐστίν, ἃ ἔγραψε συμπτώματα, πρῶτον μὲν κοιλίης περίτασις, ἐφεξῆς δ' αὐτῆς τὸ πρὸς ἀνάγκην ὑγρὰ χαλᾶν, ὅπερ ἀντὶ τοῦ διαχωρεῖν εἴωθε λέγειν, καὶ τρίτον ἐπ' αὐτοῖς τὸ ταχέως ὀγκοῦσθαι. συνεκφαίνει δὲ τούτῳ καὶ τὸ μειοῦσθαι τὴν αὐτήν, ἴσως ἐπὶ τοῖς ὑγροῖς διαχωρήμασι. καὶ γὰρ ἐφεξῆς

9 Ἐπιδημιῶν] *universe*

1 σπασμώδης A: *corr. ex* σπασμώδεες *(quod in Hipp. FK legitur)* R μακροτέρως *Hipp. codd. et fortasse (compendio ambiguo)* RA: μακρότερον *Aldus* διανοήσας A 2 στόμα σαπεὶς χλωρὰ ἀπεγένετο *Hipp. codd.* 5 προχειριζομένῳ A παραδείγματα RA: *corr. Aldus* 8 ἕνεκεν A: ἕνεκα R 10. 11 γενομένη διδασκαλία A: γινομένη δ. *Aldus*: γινομένου διδασκάλου R 12 ἀπολειπομένη A: ἀπολειπόμενον R τῶν A: *om.* R 13 τοῖς τῶν A: τοῖς R *(cf. ad 114, 11)* 14 τι ᾖ *scripsi*: ἐστὶ τί A: ἐστῖν τῖ R 15 κόπτων A 18 τὰς R: τὰ A τοῖς *om.* A 22 γράψας A: γρά *(quod comp.* γράψας *significare solet cf. v. 26. 109, 24. 118, 5 al.)* R, *qui et ipse* γράψας *in* γράφων *pessumdedit 107, 21. 116, 5*: γράφων *ex Aldo edd.* 25 τῷ τὸ RA: τῷ *a Basil. edd.* 27 σπασμῶδές τί *Cornarius*: σπασμω^δ' τί RA: σπασμώδη τί *ex Aldo edd.* 28 αὐτῆς *Aldus*: αὐτῆι A: αὐτη *(sic)* R 29 χαλ˜ *ambigue* R ἀντὶ τοῦ RA: ἂν τῖσι *Aldus, unde* ἔν τισι *Basileensis, Cornarius* 30 συμφαίνει A

αὐτῶν εἴρηται τὸ ταχὺ ὀγκουμένη. τούτοις δὲ τοῖς συμπτώμασι μόνοις ἐζεῦχθαι σπασμῶδές τι ἐάν τις ἐπὶ νοσοῦντος οὕτως ἀνθρώπου προείπῃ, σφαλήσεται μὲν πάνυ πολλάκις, ἐπιτύχοι δ᾽ ἄν ποτε κἂν ἅπαξ ἐν τῷ σπανίῳ.

καὶ αὐτὸς δὲ ὁ ταῦτα γράψας ὅμοια τοῖς νῦν εἰρημένοις συμπτώμασι κατὰ τὴν γαστέρα προειρηκὼς ἐν τῇ πρὸ ταύτης ῥήσει, περὶ σπασμοῦ λόγον πεποίηται οὐδένα, καίτοι τραχήλου πόνον εἰρηκὼς γεγονέναι μετὰ κώματος. ἔχει δ᾽ ἡ ῥῆσις ὧδε "ἐπὶ τραχήλου ἀλγήματι
726 κω|ματώδει ἱδρώδει κοιλίη φυσηθεῖσα· εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα". δῆλον οὖν ὅτι τὰ μὲν κατὰ τὴν κοιλίαν συμπτώματα παραπλήσια τοῖς νῦν εἰρημένοις εἰσίν, ἔξωθεν δ᾽ αὐτῶν 'ἄλγημα τραχήλου' πρόσκειται νευρώδους μορίου καὶ πλησίον ἐγκεφάλου κειμένου καὶ τὸν νωτιαῖον περιέχοντος μετὰ τοῦ καὶ τὸν ἐγκέφαλον ἤδη πεπονθέναι· τὸ γὰρ κωματῶδες ἐκείνου σύμπτωμα. πιθανώτερον δὲ ἦν ἐπὶ τοῦ κάμνοντος οὕτως γεγράφθαι τὸ ἔχειν τι σπασμῶδες, οὐκ ἐπὶ τοῦ νῦν, ἐφ᾽ οὗ δυνατόν ἐστιν ἕτερόν τι σύμπτωμα γεγονέναι τοῦ σπασμοῦ δηλωτικόν, ὃ παρέλιπεν ἐν τῇ διηγήσει, εἰ μὴ ἄρα τὸ ἐπιρριγοῦν αὐτὸν εἰρημένον ἐν αὐτῇ νομίζει τις σπασμοῦ σημεῖον· εἴρηται γὰρ καὶ τοῦτο τῶν ἐξηγητῶν ἐνίοις οὐδὲ τὰς ὁσημέραι τριταίας τε καὶ τεταρταίας περιόδους ὁρῶσι μετὰ σφοδροτάτου ῥίγους ἐνίοις γινομένας οὐδὲν ἐχούσας σπασμῶδες. ἀλλ᾽ οὕτως εἰσὶ σοφώτατοι τὰ τῆς ἰατρικῆς οἱ τὰ τοιαῦτα γράφοντες, ὡς ἡγεῖσθαι νεύρων εἶναί τι πάθος τὸ ῥῖγος ὡς σπασμὸν καὶ τρόμον.

727 οὔτε δὲ διὰ τί σπασμώδης ὁ τοῦ | Ἀσπασίου υἱὸς ἐγένετο δύναιτ᾽ ἄν τις εἰπεῖν ἁπάντων μὴ γεγραμμένων τῶν συμβάντων αὐτῷ, οὔτε διὰ τί χλωρὰ σηπεδὼν ἐν τοῖς κατὰ τὸ στόμα τόποις ἐγένετο· κακοχυμίας μὲν γὰρ ἔκγονα τὰ τοιαῦτα παθήματα. πόθεν δ᾽ ἤθροισέ ποτ᾽ αὐτὴν ἄδηλον, οὐκ εἰδότων ἡμῶν ὅπως διῃτήθη. οὐ μὴν οὐδὲ τὰ κατὰ τὴν κοιλίαν αὐτοῦ γενόμενα σηπεδονώδους ἐστὶ κακοχυμίας σημεῖον πρὸς τῷ μηδὲ τίνα λέγει τὴν χλωρὰν σηπεδόνα γινώσκεσθαι σαφῶς, ἐπειδὴ χλωρὰ καὶ τὰ τὴν ἰώδη χροιὰν ἔχοντα καλοῦσιν καὶ τὰ τὴν ὠχράν.

6 προειρηκώς] *III 6 (I 98) cf. p. 112, 23*

1 ὀγκομένη *(brev.)* R 3 προείπῃ A: προει(π) (προειπὼν) R: προείποι *ex Aldo edd.* ἐπιτύχοι *scripsi*: ἐπιτυ(χ)′ R: ἐπιτύχῃ A 5 γράψας A: γράφων R 7 σπασμοῦ A *(ut 18)*: σπασ(μ) (σπασμῶν) R 8 ἐπὶ τραχήλου . . . ὑποπεριπλυθεῖσα *lemmatis instar exhibet, incipiens denuo* L 9 ἱδρω(δ)′ R: ἱδρῶτι L: ὑδρώδει A 11 εἰσίν RA: ἐστὶν L 12 πρόκειται L 13 περιέχοντα L μετὰ] με *extr. vers.* R 15 δὲ R: οὖν L: *om.* A, *edd.* ἐπὶ . . . νῦν *om.* L τοῦ κ. οὕτως] *opp.* τοῦ νῦν 17 εἰ μή τι ἄρα L 18 αὐτὸν RA: αὐτὸν εἶναι L: αὐτὸ *Aldus* τις R: τοῦ L: τί A 20 ὁρῶσαι A 21. 22 τὰ τῆς ἰατρικῆς RA: τὴν ἰατρικὴν L 23 τὸ RLA: *om. Kühn* ὡς LA: καὶ R 24. 25 δύναιτ᾽ ἄν A: δύναταιτ᾽ ἄν R: δύναται L 27 ἔγγονα L 28 *post* εἰδότων *add.* τε L 29 αὐτοῦ R: αὐτῶι LA ἐστὶ LA *ut coniecit Cornarius*: καὶ R σημεῖα L: ση(μ) A 30 τῷ LA: τὸ R

III 8 [I 100. V 538, 8] Τὰ κατ᾽ ὀcφὺν ὑπὸ λεπτὸν χρόνια ἀλγήματα, πρὸc ὑποχόνδριον γριφόμενα, ἀποcιτικά, ἅμα πυρετῷ, τούτοιcιν εἰc κεφαλὴν ἄλγημα cύντονον ἐλθὸν κτείνει ὀξέωc τρόπῳ cπαcμώδει.

Εἴθ᾽ ὑπὸ λεπτόν ἢ κατὰ λεπτόν (ἑκατέρωc γὰρ γράφουcιν), ἀcάφειαν ἔχει πολλήν· διό τινεc ἔγραψαν ὑπὸ πλευ|ρόν. 728 οἱ δ᾽ οὖν ὑπὸ λεπτόν ἢ κατὰ λεπτόν γράψαντεc ἐcχίcθηcαν ταῖc γνώμαιc, ἔνιοι μὲν ἔντερον λεπτὸν εἰρῆcθαι λέγοντεc, ἔνιοι δὲ τὸ πλατὺ καὶ ἱερὸν ὀνομαζόμενον ὀcτοῦν. εἰcὶ δ᾽ οἳ καὶ τρίτον τι τούτων ἐποίηcαν, ὡc λέγειν ἄμφω ⟨γ᾽⟩ ἅμα, καὶ cυνάπτουcι τὸν λόγον τοῖc ἐπιφερομένοιc. φαcὶ γὰρ ἀπὸ τῆc ἐπὶ πύλαιc ἥπατοc φλεβὸc ἀποφύcειc τε καὶ καταcχίcειc παμπόλλαc κατὰ τὸ μεcάραιον γίγνεcθαι. τούτων οὖν παcχουcῶν ὀδύναc ἕπεcθαι κατὰ τὴν ὀcφὺν οὐ cυνεχεῖc, ἀλλὰ κατὰ λεπτάc τιναc διαcτάcειc, ἅcτιναc ἀνάγεcθαί τε καὶ cυνάγεcθαι καὶ οἷον cυcπᾶcθαι πρὸc τὸ δεξιὸν ὑποχόνδριον ἐπὶ τὰc πύλαc τοῦ ἥπατοc, ἔνθα τὴν οἷον ῥίζαν εἶναι τοῦ πάθουc ὑποτίθενται, φλεγμαινούcηc τῆc φλεβὸc ταύτηc ἅμα ταῖc ἀποφύcεcιν ἁπάcαιc.

διὰ τί δ᾽ οὕτωc ἀκούειν χρὴ τοῦ γριφόμενα, παραλείπουcιν μὲν οὗτοι, λέγουcι δ᾽ ἄλλοι τινὲc παρὰ τὸν γρῖφον ὠνομάcθαι. καλεῖται δ᾽ οὕτωc τι τῶν ἁλιευτικῶν δικτύων, οὐχ ὡc οὗ|τοι νομίζουcι διὰ τοῦ φ̅ 729 γραφόμενον (ἕτερον γὰρ τὸ τῆc φωνῆc cημαινόμενον ταύτηc), ἀλλὰ διὰ τοῦ π̅· διὸ καί τινεc ἐν τῇ προκειμένῃ ῥήcει γριπόμενα γράφουcι. τινὲc δὲ τοὺc ἐνειλουμένουc ὑμέναc γριφωμένουc φαcὶ λέγεcθαι cυνήθωc, ὅταν τιc διαγράφῃ τε καὶ διαγινώcκῃ τῷ δακτύλῳ. ἐκ μεταφορᾶc οὖν τὰ τοῖc δακνομένοιc τε καὶ διαγραφομένοιc ἀλγήματα γιγνόμενα κεκλῆcθαι γριφώμενα. τινὲc δὲ καὶ κατὰ τὴν ἀρχὴν τῆc ῥήcεωc εἰρῆcθαί φαcι τὰ κατὰ τὴν ὀcφὺν καὶ κατὰ λεπτὸν χρόνια ἀλγήματα, ὡc εἰ καὶ κατὰ τόνδε τὸν τρόπον εἰρήκει τὰ κατὰ cμικρὸν ἀλγήματα γινόμενα, τοῦτ᾽ ἔcτι τὰ ἀcθενῆ.

1 ὑπὸ R: καὶ ὑπὸ L: κατὰ A: καὶ *Hipp. codd. cf. infra v. 7. 27* 2 *ante* πρὸc *add.* καί τι *Hipp. codd.* γριφώμενα *Hipp. codd. cf. v. 23* 3 τούτοιcιν] τουτέω *Hipp. codd.* ἐc *Hipp.* κεφαλῆc R (*comp.* κ with ε above A) *cf.* ἐν κεφαλῇ *118, 6*
4 τρόπῳ cπαcμῶδεc R: τρόμῳ cπαcμώδει L: τρο with π above cπαcμω with δ above A: τρόπον cπαcμώδεα *Hipp. codd. cf. infra 118, 7* 6 τινεc *om.* LA 8 ἔντερον LA: ἕν τι R 9 ὀcτοῦν ὀνομάζοντεc L: ὀνομαζόμενον (*om.* ὀcτοῦν) A τούτων RA: τοιοῦτον L 10 γ᾽ *addidi cf. 87, 11* *fortasse* cυνάπτειν 11 βλεβὸc R
14 διατάcειc L 15 οἷαν A 16 εἶναι ῥίζαν *transp.* L ὑποτίθεται A
18 γριφόμενα *Aldus*: γριφομένου RA: γριφομέναc L διαπαραλείπουcι L: παραλίπουcι A 19 τὸν RA: τὸ L 20 δικτύων RA: ἰχθύων L 21 ταύτηc cημαινόμενου *transp.* L ἀλλὰ καὶ διὰ L 22 γρειπόμενα R *post* γράφουcι *iter.* διὰ τοῦ π̅ L 23 τὰc ἐνειλουμέναc (*om.* ὑμέναc) LA; *conicio* ἐξειλουμένουc
γραφομένουc R: cημαίνεcθαι LA: *correxi; Laconum* γριφᾶν *secundum lexicographos idem est ac* γράφειν 24 διαγινώcκηι LA: διαγινώcκει R; *intellegas digito perlegere explicatas membranas, quod tamen quid ad* γριφᾶν *pertineat, non capio; fortasse* διακνώῃ 25 δακνουμένοιc A 26 γριφόμενα RA: γριφώματα L: *correxi cf. ad v. 23* 27 λεπτὸν R: λεπτὰ LA 28 μικρὸν L

συγχωρήcαντεc οὖν καὶ τοῖc οὕτωc ἐξηγηcαμένοιc καὶ τοῖc τὰc
πύλαc τοῦ ἥπατοc πάcχειν ὑποcχομένοιc ὀρθῶc εἰρῆcθαι πάντα (καὶ
γὰρ τὸ ἀποcιτεῖν κατὰ τῶν ἀνορέκτων εἰρημένον ἕν τι τῶν τεκμη-
ρίων εἶναί φαcι τοῦ πεπονθέναι τὸ ἧπαρ) ἀκούcωμεν παρ' αὐτοῦ, τίc
ἐκ τῶν οὕτωc εἰρημένων ἡμῖν ὠφέλεια γενήcεται. φηcὶ γὰρ ὁ γράψαc
τὴν ῥῆcιν· τούτοιcιν ἐν κεφαλῇ ἄλγημα cύντονον ἐλθὸν κτείνει
ὀξέωc τρόπῳ cπαcμώδει. ἆρ' οὖν cυμβουλεύουcιν ἡμῖν προειπεῖν
730 ἑπόμενα | πάντωc ταῦτα; τὸ μὲν γὰρ ὅτι δύναται μετάcταcιc οὐ μόνον
ἐπὶ κεφαλήν, ἀλλὰ καὶ πᾶν ὁτιοῦν ἄλλο μόριον γενέcθαι τῶν λυπούν-
των, εἴτ' οὖν τὸ μεcεντέριον εἴτε καὶ τὸ ἧπαρ πάcχειν βούλονται,
cυγχωρήcειεν ἄν τιc· τὸ δ' ὅπωc μεταcτήcεται, πρὶν γενέcθαι τινὰ τῶν
ἰδίων τῷ μορίῳ cυμπτωμάτων, τοῦτ' οὐχ οἷόν τε προγνῶναι, γενομέ-
νην μέντοι γνωρίcαι τὴν μετάcταcιν, καὶ μάλιcθ' ὅταν παύcηται τὰ
πρότερον λυποῦντα. καὶ μέντοι καὶ τοιαῦται μεταcτάcειc ἐπὶ ἀρρώcτων
ἐν τοῖc τῶν Ἐπιδημιῶν γεγραμμέναι εἰcίν. καὶ εἴπερ καὶ νῦν ἐγέγραπτο·
'τῶνδέ τινων εἰρημένων κατὰ τὴν κοιλίαν cυμπτωμάτων, εἶτα ἀφανι-
cθέντων ἐξαίφνηc ἤλγηcεν ὁ κάμνων cφόδρα κατὰ κεφαλῆc', ἔφαμεν
ἂν εἰc ταύτην γεγονέναι τὴν μετάcταcιν. οὐ μὴν ὅ τί περ ἂν ἐργά-
ζηται, βεβαίωc ἦν εἰπεῖν, πρὶν ἄλλο τι φανῆναι cημεῖον ἢ καταφορᾶc
ἢ παραφροcύνηc ἢ cπαcμοῦ. δυνατὸν μὲν γὰρ καὶ τοῦτο γενέcθαι, δυ-
νατὸν δὲ καὶ τὴν φύcιν ἰcχυροτέραν τοῦ νοcήματοc εὑρεθεῖcαν αἱμορ-
ραγίαν ἐργάcαcθαι διὰ ῥινῶν ἢ παρωτίδαc ἐγεῖραι. μεμάθηκαc γὰρ |
731 τούτων ἁπάντων ἀρχομένων γίνεcθαι cημεῖα, πρὶν δ' ἄρξαcθαι τὸ τῆc
κεφαλῆc ἄλγημα μόνον ὑπάρχον, ὑποψίαν μὲν πάντων παρέχειν, βε-
βαίαν δὲ πρόγνωcιν οὐδενὸc ἐξ αὐτῶν.

15 ἐν τοῖc τῶν Ἐπιδημιῶν] *Galen. in Epidem. I 2, 21 (XVII A 115, 12 K.)*

1 cυγχωρήcαν R   ἐξηγουμένοιc *ex Aldo edd.*   6 ἐν κεφαλῆι L: *idem comp.* RA: ἐν κεφαλῆc *Aldus, quod vulgo sec. Cornarium ad lemma accommodatur*   7 τρόπῳ cπαcμώδει] τρο^π' cπαcμω^δ' RA: cπαcμώδη τρόπον L   cυμβουλεύcουcιν L: cυμβουλεύοιcιν A   8 πάντωc RA: πάντα L   9 κ/^ε͂ (*i. e.* κεφαλῇ *vel* κεφαλῆc) A   12 τοῦτ' *om.* LA   προγνῶναι *om.* A   15 εἰcὶ γεγραμμέναι L   καὶ εἴπερ RLA: καὶ οἵπερ *Aldus, unde* οἷάπερ *Cornarius,* καθάπερ *Basileensis falso effecerant*   16 τῶνδέ τινων A: τῶν δὲ τινῶν RL *(cf. 120, 29. 121, 3).* ὅδε τιc *apud posteriores singulas incerto nomine vel personas vel res significat; cf. Ind. ad Simplic. phys. (Comm. Arist. X) p. 1410^a s. v.* ὅδε   εὑρημένων *vel* τετηρημένων *Schoene*   17 ὁ κάμνων ἤλγηcεν L   κεφαλῆc L: κε/ RA   18 ἐργάζηται . . . πρὶν *om.* L   ἐργάcηται A   20 ἢ (*ante* cπαcμοῦ) RA: καὶ L   γενέcθαι A: γίνεcθαι L: γίγνεcθαι R   21 τοῦ νοcήματοc ἰcχυροτέραν *transp.* L   αἱμορραγίαc A, *ex Aldo edd.*   22 παρωτίδαc L: παρωτι^δ' RA *(unde* παρωτίδοc *Aldus)*   γὰρ RA: δὲ L   23 cημεῖα L: cη^μ̄ RA: cημεῖον *ex Aldo edd.*   24 παρέχειν R *(intransitive)*: ὑπάρχειν LA

III 9 [I 101. V 540, 2] Τὰ ἐπιρριγοῦντα καὶ ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φλεβοδονώδεα ὄντα ἐν τοῖς ὕπνοις, ἔστιν ὅτε οὖρα ὑφ᾽ ἑαυτοὺς χαλῶντες, ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας.

Ἔργον ὁ ταῦτα γράψας πεποίηται καθ᾽ ἑκάστην ῥῆσιν ἢ ὄνομά τι τῶν ἀήθων ἢ σύνθεσιν ἐξευρίσκειν, ὥσπερ καὶ νῦν ἄμφω πεποίηκεν. ἀλλὰ τὸ μὲν τῆς ἀήθους συνθέσεως ἐν ἑκάστῃ ῥήσει γινόμενον, ἀπὸ τῶν παθῶν μεταβαίνοντος αὐτοῦ πρὸς τοὺς πάσχοντας ἢ ἀπ᾽ ἐκείνων ἐπὶ τὰ πάθη, παραλειπτέον ἡμῖν ἐστιν, ὅταν, ὅσον ἐπὶ τούτῳ, μηδεμίαν ἀσάφειαν ὁ λόγος ἴσχῃ.

τὸ δὲ φλεβοδονώδεα καινὸν καὶ | ξένον ὄνομα κατὰ τὴν προ- 732 κειμένην ῥῆσιν ἐποίησεν ἐμφαίνων, ὅσον ἐπὶ τῇ φωνῇ, φλέβας δονουμένας. εἴτε δέ, ὥς τινες ἔγραψαν αὐτό, διὰ τοῦ τ̄ φλεβοτονώδεα τὰς τεινομένας φλέβας εἴτε τὰς κυρίως ὀνομαζομένας φλέβας εἴτε καὶ τὰς ἀρτηρίας, ὅτι καὶ ταύτας ἐνίοτε φλέβας ὀνομάζουσιν οἱ παλαιοί, δονουμένας ἢ τεινομένας ἀκούειν χρή, θαυμαστόν, ὅπως νῦν πρῶτον αὐτῶν ἐμνημόνευσε. τὰς μὲν γὰρ ἀρτηρίας εἴπερ βούλεται σημαίνειν ἤτοι τεινομένας ἢ δονουμένας, ὅπερ ἐπὶ τῆς κλονώδους κινήσεως ἀκούειν χρή, κατὰ πολλοὺς τῶν ἀρρώστων ἐχρῆν αὐτὸν εἰρηκέναι τι περὶ αὐτῶν. εἰ γὰρ ἦν οὕτως ἐπιμελὴς ὁ ἀνὴρ περὶ τὴν τῶν ἀρτηριῶν κίνησιν, ὥστε καὶ κλονουμένας αὐτὰς καὶ τεινομένας παραφυλάττειν, οὐ δήπου τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἠγνόει. πῶς οὖν οὐδὲν ὑπὲρ αὐτῶν ἔγραψεν; εἰ δὲ τῶν κυρίως ὀνομαζομένων φλεβῶν μνημονεύει τεινομένων, πῶς οὐχὶ καὶ τούτου τοῦ συμπτώματος ἤδη πρότερον ἐμνημόνευσεν ἐν κεφαλαλγίαις σφοδραῖς γινομένου; φαίνονται γὰρ ἐν αὐταῖς, καὶ μάλισθ᾽ ὅταν μετὰ πολλῆς θερμασίας γίνωνται, σφύ|ζουσαι καὶ 733 οἱονεὶ κλονούμεναι αἱ κατὰ τοὺς κροτάφους φλέβες. πολλάκις δὲ καὶ τὰς ἐν τραχήλῳ σφαγίτιδας τὰς ἐπιπολῆς δηλονότι δονουμένας ἐθεασάμεθα σφυγμῷ τινι παραπλησίαν κίνησιν, καὶ δοκεῖ καὶ ἐν τοῖς κροτά-

24 πρότερον] *cf. Hipp. Prorrh. I 10. 88. 94 (ord. vulg.)*
27 *schol.* R: σημείωσαι· περὶ τοῦ κατὰ τοὺς κροτάφους σφυγμοῦ

2 τι *om. Hipp. codd.* φλεβοδονώδεα LA: φλεβονώδεα R: φλεγμονώδεα *Hipp. codd. cf. infra v. 11 sqq.* ὄντα *om. Hipp. codd.* 3 χαλῶντες R *(quod ex Coac. 20 Hipp. et Gal. 120, 7 Littré restituerat)*: χαλῶντα L *ex Hipp. codd.*: χαλῶν^τ *ambigue* A ἐς *om.* A 5 ἢ *om.* L 5. 6 ὄνομά τι RL: ὀνομάτων A 6 πεποίηκεν RA: πέπραχεν L 9 τούτωι RL *(cf. v. 12)*: τούτων A, *ab Aldo edd.* 9. 10 μηδεμίαν ὅλος ἀσ. ἴσχῃ L ἴσχει R 11 φλεβονώδεα R 12 ἐμφαινόμενος A: ἐμφαινόμενον L 13 δὲ *om.* L αὐτὸ RA: αὐτὰ L τ̄ φλεβοτονώδεα *Cornarius*: τὰ βλέφαρα L: φλεβονώδεα (*om.* τ̄) RA 15 καὶ RLA: *om. Aldus, cett. edd.* ἐνίοτε *om.* A 16 πρῶτον L: πρώτως R: πρῶ^τ A: πρῶτος *Basileensis* (*ex Aldinae* πρότως) 18 κινήσεις R 19 πολλοὺς L: πο^{λλ} RA: πολλὰ *ab Aldo edd.* αὐτὸν (*post* ἐχρῆν) *corr. ex* αὐτῶν R 20 οὕτως L: οὗτος RA περὶ RA: ἐπὶ L 25 σφοδροῖς A αὐταῖς RL: ἄλλαις A 26 γίνονται R 28 ἐπὶ πολλῶν *(comp.)* R 29 παραπλησίαν L (*ambigue* RA): παραπλήσιον *Aldus* *post* κίνησιν *ex v. proximo* προσγίνεσθαι *iteratum occupavit* A

φοις ἐκ τῶν ὑποκειμένων ἀρτηριῶν ἡ κίνηςις προςγίνεςθαι, καθ' ὃν καιρὸν ἐκεῖναι μέγιστον ςφύζουςι.

ταύτας οὖν τὰς ἀπορίας ἔνιοι φεύγειν βουληθέντες ἀντὶ τοῦ φλεβοδονώδεα φλεδονώδεά φαςι, ποιήςαντες ἀπὸ τῶν φλεδόνων τοὔνομα. φλεδόνας δὲ ὅτι φλυαρίας καὶ λήρους ὠνόμαςαν ἔνιοι τῶν παλαιῶν, οἶςθα. τὰ οὖν ἄγρυπνα ὄντα πάθη, φηςί, καὶ παραληροῦντα κατὰ τοὺς ὕπνους ἀπροαιρέτως οὖρον χαλῶντες, ὅπερ ἔςτιν ἀποκρίνοντες. ἀπὸ γὰρ τῶν παθῶν ἐπὶ τοὺς πάςχοντας μετέβη καὶ πάλιν ἐπανελθὼν ἐπὶ τὸ πάθος φηςίν· ἔςτιν ὅτε εἰς ςπαςμοὺς τελευτᾷ κωματώδεας. εἰπὼν δὲ ἔςτιν ὅτε πραγμάτων ἡμᾶς ἀπήλλαξε· πεπονθυίας γὰρ τῆς ἀρχῆς τῶν νεύρων, ὡς ἥ τε ἀγρυπνία καὶ ἡ παραλήρηςις ἥ τε τῶν οὔρων ἀπροαίρετος κίνηςις δηλοῖ, θαυμαςτὸν οὐδέν 734 ἐςτι καὶ φρενῖτιν ἐπ' αὐτῆς γενέςθαι καὶ | κῶμα καὶ ςπαςμὸν καὶ ἀφωνίαν καὶ πᾶν ὁτιοῦν ἄλλο πάθημα τοιοῦτον. περιττὰ τοίνυν ἐςτὶν ὡς πρὸς τὴν πρόρρηςιν ταύτην τό τε ἐπιρριγοῦν καὶ τὸ εἰς νύκτα παροξύνεςθαι. ἀλλ' ὅπερ ἤδη πολλάκις ἐδείχθη, καὶ τὰ μηδὲν προςήκοντα ταῖς ὑφ' ἑαυτοῦ λεγομέναις προρρήςεςι γράφει μὴ δυνάμενος ἀπὸ τῶν ἰδίων χωρίςαι τὰ κοινά.

III 10 [I 102. V 540, 4] Οἱ ἐξ ἀρχῆς ἐφιδροῦντες οὔροις πέποςι, καυςτικοί, ἀκρίτως περιψύχοντες, διὰ ταχέων περικαέες, νωθροί, κωματώδεες, ςπαςμώδεες, ὀλέθριοι.

Πάλιν ἐνταῦθα τὸ ἐξ ἀρχῆς ἐφιδροῦντες ςὺν οὔροις πέποςι περιττόν· ἱκανὰ γὰρ ἀποκτεῖναι τὸν ἄνθρωπον τὰ καυςτικὰ μετὰ τοῦ περιψύχειν ἀκρίτως, ἔπειτα διὰ ταχέων γίνεςθαι διακαῆ, καθάπερ γε καὶ τὰ τῆς ἑτέρας ἀρχῆς ἱκανὰ πάλιν αὐτὰ καθ' αὑτὰ διαφθεῖραι τὸν νοςοῦντα, περὶ ὧν οὕτως ἔγραψε· νωθροὶ κωματώ-735 δεες, | ςπαςμώδεες. ἐπὶ τούτοις οὖν ἑκατέροις τοὺς ἐξ ἀρχῆς ἐφιδροῦντας ἅμα πέποςιν οὔροις ἔγραψεν, ὃ τοιοῦτόν ἐςτιν οἷον εἴ καί τις λέγει κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ τὸν ἄνθρωπον, ἐπεὶ

5 ἔνιοι τῶν παλαιῶν] φλέδων *Aesch. Ag. 1195 Timon 37 D.*; φλεδόνες *Tim. 28 D.*

3 τὰς RLA: *om. ex Aldo edd.* ἀπορίας *(comp.)* RA: ἀρτηρίας L φλεβοδονώδεα *Chartier*: φλεβοτονώδεα RLA 4 φλεδονώδεά *Cornarius*: φλεβοιδονώδ′ R: φλεβοδονώδεα LA φαςι *om.* LA φλεδόνων *Cornarius*: φλεβοιδόνων R: φλεβοειδῶν A: βλεβωδῶν L 5 φλεδόνας *Cornarius*: φλεβοδῶνας L: φλεβοιδόνας RA 6 φαςὶν L παραληροῦνται R 9 ἐπελθὼν A τὰ πάθη L ςπαςμὸν R 10 δὲ R: *om.* LA 11 ἡ (*post* καὶ) *om.* L 12 κίνηςις RA: ἔκκριςις L: *immo* κένωςις *cf. 121, 8* 14. 15 ἐςτὶν ὡς A: ἐςτὶν καὶ RL (*quod* καὶ *delebat Cornarius*) 16 μὴ δὲ A 17 ὑπ' αὐτοῦ L 19 οἱ *om.* L ἐφιδρῶντες *Hipp.* οὔροιςι *Hipp.* 20 ταχέος L περικαεῖς RA 21 ὀλεθρ′ *ambigue* R 25 *post* ἀρχῆς *habet* τοῦ ἐγκεφάλου R: *om.* LA αὐτά τε καθ' ἑαυτὰ L 26 *post* νωθροὶ *add.* καὶ LA 29 τις LA: τι R λέγει LA: λεγ′ R

τήν τε μήνιγγα τέτρηται καὶ τὰ κατὰ τὸν θώρακα συντέτρηται καὶ κατὰ τὸν μηρὸν ἑλκύδριον ἔχει cμικρόν, ἢ εἴ τις λέγει κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ διὰ τὸν ὕδερον καὶ τὴν παρωνυχίαν.

τί οὖν ἔτι ζητῶμεν ἅττα ποτ᾽ οὖρα λέγει πέπονα; περὶ ὧν ἔμπροcθεν ἔφην ἐπιτιμῆcαι τὸν Ἐφέcιον Ῥοῦφον Ζεύξιδι τῷ ἐμπειρικῷ. ψεῦδος μὲν γὰρ εἶναι τοῦτο, μηδέποτε κακόν τι τῶν τοιούτων οὔρων γεννώντων, ἀληθὲς δὲ τὸ τὰ ‛ἐπίπονα οὖρα᾽ κακόν τι cημαίνειν· δηλοῦcθαι γὰρ τὰ μετὰ πόνου κενούμενα. δεύτερον μέντοι τοῦτο γεγραμμένον τὸ τῶν πεπόνων οὔρων, οὐκέτι πιθανόν ἐcτιν ὁμοίωc κατ᾽ ἀμφοτέρας τὰς ῥήcειc ἡμαρτῆcθαι τὴν λέξιν, ὡς ὁ Ῥοῦφος ἠξίου μεμφόμενος τὸν Ζεῦξιν. ἀλλ᾽ ἴcωc αὐτὸc ὁ γράψας τὰ παχέα καὶ λευκὰ πέπονα κεκληκώc ἐcτιν, ἐπειδὴ τοιαύτην ὑπόcταcιν ἑώρα κἀν τοῖc ἀληθῶc πέποcιν οὔροιc. τὰ δ᾽ | ἀνατεταραγμένα παραπληcίωc τοῖc 736
τῶν ὑποζυγίων οὐ πέπονα.

III 11 [I 103. V 540, 6] Τῇcιν ἐπιφόροιcι κεφαλαλγικὰ καρώδεα μετὰ βάρεοc γινόμενα φλαῦρα, ἴcωc δὲ ταύτῃcι καὶ cπαcμῶδέc τι παθεῖν ὀφείλει.

Πάλιν κἀνταῦθα τὴν cύνταξιν τῶν ὀνομάτων εἰδότεc cολοικώδη μετέγραψαν ἔνιοι τὴν ταύτῃcι τοιάνδε ποιήcαντεc τὴν λέξιν· ἴcωc δὲ ταῦτα καὶ cπαcμῶδέc τι παθεῖν ὀφείλει. ἀλλ᾽ ὡc ἔφην καὶ πρόcθεν, ὅταν ἡ αὐτὴ cῴζηται διάνοια, γράφειν ἐπιτρέψαντεc, ὡc ἂν ἕκαcτοc ἐθέλῃ, περὶ τῆc ἀληθείαc τῶν εἰρημένων cκοπῶμεν. ἀλλ᾽ οὐδὲ περὶ ταύτηc ἤδη cκοπεῖν ἐπιτρέπει παρεγκείμενον τῇ ῥήcει τοὔνομα τὸ ἐπιφόροιcιν ἐξηγήcεωc δεόμενον. οὐ γὰρ μόνον ἀήθη cύνθεcιν ὀνομάτων ὁ cυγγραφεὺc εὑρίcκειν πειρᾶται | καθ᾽ ἑκάcτην ῥῆcιν, ἀλλὰ 737
καὶ τῶν ὀνομάτων αὐτῶν ἓν † μέντοι τῶν πάντων, ἔcτι δ᾽ ὅτε καὶ δύο που καὶ τρία παρεντίθηcιν ἤτοι ξένα παντάπαcιν ἢ μὴ κατ᾽ αὐτὸ τὸ cημαινόμενον, ὅπερ παρὰ τοῖc Ἕλληcιν εἴθιcτο.

τὰc δ᾽ οὖν ἐπιφόρουc ἔνιοι μὲν ἤκουcαν τὰc ἐγκυμονούcαc, ὅcαι πληcίον εἰcὶ τῆc ἀποκυήcεωc, ἔνιοι δὲ τὰc ῥᾳδίωc cυλλαμβανούcαc καὶ

5 ἔμπροcθεν] *p. 73, 11* 21 πρόcθεν] *non memini*; *cf. XVIII B 322. XVI 487 K. al.*

1 τέτρωται A (*at cf.* cυντέτρηται) 3 τὸν *ante* διὰ *iter.* A παρονυχίαν RLA 4 ζητοῦμεν L 5 Ῥοῦφον] οὔρων A 7 τι *om.* A 8 τοῦτο LA: τοῦτο τὸ R; *absolutum partic. agnoscas* 9 τῶν *deleam* πεπόνων] πεπονθότων L 11 *post* αὐτόc *iter.* ἐcτιν L 12 κεκληγὼc L ἐcτιν *om.* A ἐπεὶ L ἑώρα καὶ ἐν R: ἑώρα καὶ A: ἑώρακεν L 15 *lemma cum comm. om.* L τοῖcι A: τῇcι δὲ *Hipp. codd.* ἐπιφόροιc A 16 βάρουc RA: βάρεοc *Hipp. cf. 122, 2* φαῦλα *Hipp. codd.* δὲ RA: γε *Gal. 128, 2* 17 cπαcμῶ^δ A ὠφελεῖ A, *sed recte v. 20* 20 ταῦ^τ RA: ταύταc *recte Littré (V 541 not.)* 22 ἐθέλῃ A: ἐθέ^λ R: ἐθέλοι *ex Aldo edd.* 26 μέντοι τ͡ παν^τ RA: *conicio* μὲν τοιοῦτον πάντωc 28 ὅπερ R: ὡc A 29 ἐπιφορὰc *(comp.)* A ἐγκύμοναc A

cυνεχῶc κυούcαc. ταύταιc οὖν φηcιν τὰ κεφαλαλγικὰ καρώδη μετὰ βάρεοc γινόμενα φλαῦρα. τῷ κοινῷ δὲ ἁπάντων τῶν οὕτωc ἐχόντων τὸ ἐπιφόροιc ὄνομα προcέρριψε, πάλιν δὲ τὸ μετὰ βάρεοc ἐνταῦθα, ἵνα ζητῶμεν, ἆρά γε μετὰ τοῦ τὸ cύμπαν cῶμα φαίνεcθαι βαρὺ τῇ καμνούcῃ τοῦτο προcέθηκεν ἢ κεφαλαλγικὰ μετὰ τοῦ βαρύνεcθαι τὴν κεφαλὴν ἢ καρώδη μετὰ βάρουc.

ἀλλὰ καὶ ταῦτα πάντα διεξελθών τιc οὐδὲν ἕξει πλέον εἰc πρόρρηcιν οὐδὲ κατ' αὐτὸν τὸν γράψαντα. φηcὶ γοῦν ἴcωc γε ταύτηcι καὶ cπαcμῶδέc τι παθεῖν ὀφείλει. ὅταν δ' ἀκούcῃc ἀνθρώπου λέγοντοc 'ἴcωc' περὶ τῶν κατὰ μέροc ὡc καθόλου τὴν ἀπόφαcιν πεποιη-
738 μένου προπετῶc, γίνωcκε cαφῶc cπάνιον εἶναι τὸ | πρᾶγμα. λέλεκται δέ cοι πολλάκιc ἐκπεπτωκέναι τὰ cπάνια τῆc προρρητικῆc θεωρίαc. ἐὰν γὰρ ὡc ἐνδεχόμενον γενέcθαι λέγῃ τιc, ἀκήκοαc ἤδη πολλάκιc ἐγκέφαλον παθόντοc ἐνδέχεcθαι cύμπτωμα πᾶν ὁτιοῦν ἀκολουθῆcαι τῶν κατὰ τὰc αἰcθήcειc ἢ προαιρετικὰc κινήcειc, ἐὰν δ' ὡc πολλάκιc γιγνόμενον, οὐ μόνον οὐ γίγνεται πολλάκιc, ἀλλ' οὐδὲ ἀμφιδόξωc ὃ νῦν εἶπεν.

III 12 [I 104. V 541, 8] Τὰ ἐν φάρυγγι ἰcχνῷ ἀλγήματα πνιγώδεα ἔχει τι cπαcμῶδεc, ἄλλωc τε καὶ ἀπὸ κεφαλῆc ὁρμῶντα, οἷον καὶ τῇ Θραcύνοντοc ἀνεψιῇ.

Καὶ κατὰ τοῦτ' ἄν τιc οὐκ εἶναι γνήcιον Ἱπποκράτουc ὑπολάβοι τὸ cύγγραμμα, καθ' ὃ ἔγραψε φάρυγγι ἰcχνῷ. ταύτην γὰρ ἔχει τὴν γραφὴν τά τε παλαιὰ τῶν ἀντιγράφων πάντα καὶ τὰ τῶν ἐξηγηcαμένων ὑπομνήματα, πλὴν εἰ καὶ τοῦ γραφέωc ἐcτὶν ἁμάρτημα, καθάπερ
739 καὶ ἄλλα | πολλὰ κατὰ πολλὰ τῶν ἀντιγράφων εὑρίcκεται. οἵ γε μὴν περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοcκορίδην ἄντικρυc ἔγραψαν τὰ ἐν φάρυγγι ἰcχνῇ· καὶ γὰρ τοῖc ἀνωτέρω πᾶcιν ὁμολογουμένη ἡ γραφὴ τῆc φάρυγγοc ὡcεὶ θηλυκῶc λεγομένηc εὑρίcκεται καὶ κατὰ τήνδε τὴν λέξιν· "φάρυγξ ἐπώδυνοc ἰcχνὴ μετὰ δυcφορίηc πνιγώδηc".

11 λέλεκται . . . πολλάκιc] *cf. e. g. p. 100, 31* 27 τήνδε τὴν λέξιν] *Hipp. Prorrh. I 86 (V 532, 4 L.) cf. supra p. 91, 22*

1 ταύταιc R: ταῦτ' A *edd.* τὰ R: *om.* A, *Aldus* 1. 2 μετὰ βάρεοc RA: βαρέοc μετὰ (μέτα) *Aldus cett.* 2 τῷ κοινῷ R: τὸ κοινὸν A; *intellego: signorum horum summae* 3 τὸ (superscript ο) *(sic)* ἐπιφόροιc R: τὰc ἐπιφορὰc *(sed man. sec.)* A: τὸ ἐπιφορὰc *Aldus, unde* ἐπιφόρουc *edd.*: τὸ ἐπιφόροιcιν *Cornarius* πάλιν δὲ τὸ R: πάλιν τῷ A: πῶc τῷ *Aldus edd.* 5 τοῦτο A *(Cornarius)*: τούτω R 7 διελθὼν τϊcιν *(ultima aegre leguntur)* A 8 ἴcωc γε . . . λέγοντοc *(9) om.* A γε *hic* R *cf. 121, 16* 12 ἐμπεπτωκέναι A 13 ἐνδεχόμενον ($\overset{\text{μν}}{\text{ἐνδεχο´}}$) R *(cf. v. 14)*: ἐνδεχόμενα A λέγῃ A: $\overset{\text{γ}}{\text{λε´}}$ R: λέγει *Aldus cett.* 14 παθόντοc *Kalbfleisch*: παθόν, *superscripto* τ, A: παθόντα R 15 γιγνόμενον A: $\overset{\text{μν}}{\text{γιγνο´}}$ R 16 ἀμφιδόξωc] *cf. p. 125, 18 al.* 17 ἰcχνῷ RLA, *Hipp. Prorrh.*: ἰcχνῇ *Dioscorides (v. 26) et Hipp. Coac. 257 (cf. Ilberg Mus. Rh. 45, 118)* 18 ὁρμῶντο R 19 ἀνιψειῇ L 22 παλαιὰ RL: πολλὰ A 24 οἵ LA: εἵ R 25 διοcκουρίδην LA 26 τοῖc *om.* LA ἀνωτέρω L: $\overset{\text{τρ}}{\text{ἀνω´}}$ A: ἀνωτέροιc R; *scil. Artemidoro et Dioscoride antiquiores editores intellegit* ὁμολογούμενον R 27 ὡcεὶ *scripsi*: ὡc ἡ R: ὡc L καὶ *iter.* R 28 φάρυγξ RL: φάρυγξ δ' A δυcφορίαc L

ὅτι δ᾽ ἀρρώστους θεώμενος ἔγραφεν αὐτῶν τὰς συνδρομάς, οὐκ ἐξ ὧν ἐθεάσατο τεχνώσας ἑαυτὸν οὐδ᾽ εἰς τὸ καθόλου τὰ κατὰ μέρος ἀνάγων, εὔδηλόν ἐστιν κἀκ τούτου. φάρυγγος γὰρ κἂν ἅπαξ ἐμνημόνευσε, καθάπερ ἐν τῷ Προγνωστικῷ ἐποίησεν ὁ Ἱπποκράτης, ἅπαντα τὰ κατ᾽ αὐτὴν διελθὼν ἐφεξῆς, οὐ πολλάκις ἄλλοτε ἐν ἄλλῳ μέρει τοῦ συγγράμματος. ὃ δ᾽ οὖν λέγει κατὰ τὴν προκειμένην ῥῆσιν ὁ συγγραφεύς, εἰ τῶν πολλάκις εἰρημένων ἰδίᾳ μέμνησαι καὶ κατὰ ταύτην νοήσεις, ὅπως ἐκ τοῦ κατὰ μέρος εὑρεθέντος ἐπὶ τὴν καθολικὴν ἀπόφασιν ἐτόλμησε μεταβῆναι μεμνημένος ὀνομαστὶ τῆς Θρασύνοντος ἀνεψιῆς, ἐφ᾽ ἧς τὴν γεγραμμένην συνδρομὴν ἐθεάσατο. |

III 13 [I 105. V 542, 3] Τὰ τρομώδεα, σπασμώδεα γενόμενα, 740
ἐφιδρῶσι φιλυπόστροφα, τούτοις ἡ κρίσις ἐπιρριγώσασιν. οὗτοι ἐπιρριγέουσι περὶ κοιλίην καύματι προκληθέντες.

Ταύτην τὴν ῥῆσιν ἔνιοι διαιροῦσιν εἰς δύο λόγους, ἕνα μὲν τόνδε· τὰ τρομώδεα σπασμώδεα γενόμενα· καὶ μέντοι καὶ ὁμολογοῦσιν αὐτοὶ κολοβὸν εἶναι τὸν λόγον τοῦτον καὶ κελεύουσιν προσυπακούειν αὐτῷ τι, περὶ οὗ σμικρὸν ὕστερον ἐρῶ. δεύτερον δὲ ἀφ᾽ ἑτέρας ἀρχῆς ποιοῦσι· τὰ ἐφιδρῶσι φιλυπόστροφα· τούτοις ἡ κρίσις ἐπιρριγώσασιν. οἱ δέ γε συνάπτοντες ἀμφοτέρους τοὺς λόγους χωρὶς τοῦ ἄρθρου τοῦ τά γράφουσι· τὰ τρομώδεα σπασμώδεα γενόμενα, ἐφιδρῶσι φιλυπόστροφα. τοῦτο μὲν οὖν, ὅτι ψεῦδός ἐστιν, διὰ τῶν ἐξηγητῶν κατέγνωσται, τὸ δ᾽ ἕτερον, ὅτι κολοβόν.

ἀλλὰ τὸ μὲν ἐλλιπὲς τῆς λέξεως καὶ διὰ τὴν τοῦ γραφέως ἁμαρτίαν δύναται γεγονέναι, τὸ δὲ ψεῦδος οὐδεμίαν ἔχει παρα|μυθίαν. τὰ 741
γὰρ τρομώδεα σπασμώδεα γενόμενα τοῖς ἐφιδρῶσι φιλυπόστροφα γενέσθαι ψεῦδός ἐστιν, οὐ φιλυποστρόφων αὐτῶν, ἀλλ᾽ ὀλεθρίων ὄντων, ἐάν τε ἐφιδρῶσιν αὐτοῖς εἴτε καὶ μή.

θεασώμεθα οὖν αὐτά, ἃ λέγουσιν οὗτοι· ʽτὰ τρομώδεα σπασμώδεα γενόμενα θάνατον ἐπιφέρει᾽. δύνασθαι δὲ καὶ οὕτως· τὰ τρομώδεα ἢ σπασμώδεα καθ᾽ ἑαυτὰ κελεύοντες ἀναγινώσκειν. δύνασθαι μὲν γάρ φασι καὶ οὕτω νοεῖσθαι· ʽτὰ τρομώδεα σπασμώδεα γενό-

4 ἐν τῷ Προγνωστικῷ] *Hipp. Progn. 23 (II 174, 14 sqq. L.)*

2 εἰς τὰ A 3 εὔδηλον LA: εὔδηλος R κἂν L: ἂν A: οὐχ R; *nimirum, nisi singulis observatis aegrotis notas suas conscripsisset, uno certe loco omnia, quae ad fauces pertinent, ordine protulisset* 4 τῷ *om.* L ὁ *om.* A 5 κατὰ ταύτην L 7 ταύτης A 8 εὑρεθέντος R: ἐλλόντος L: ἐλθόντος A 9 ἀνεψιᾶς A 12 ἐφ᾽ ἱδρῶσι L *constanter* τουτέοισι (*om.* ἡ) *Hipp.* 13 προκληθέντες L, *Hipp. Prorrh. et Coac.*: προκλϊθέντες RA *cf. 124, 17* 16 κολογὸν L 17 μικρὸν RA 18 φιλυπότροφα L 20 τοῦ τά RL: ταῦτα A τὰ (*ante* τρομ.) *om.* A σπασμώδεα *om.* LA γινόμενα L 21 ἐν ἱδρῶσι L οὖν LA: *om.* R 25 τρομώδη σπασμώδη L: *compend. ambiguo* RA, *itemque v. 28 sqq.* ἐφιδροῦσι *vel* ἐφ᾽ ἱδροῦσι *hic* RLA 27 ἐφιδρώσωσιν A εἴτε] *immo* ἐάν τε 29 δύνασθαι *scripsi*: δύναται RLA; *scil.* ἀναγινώσκειν 30 ἑαυτὸ LA δύναται L *itemque 124, 1* 31 νοεῖσθαι... ἐπιφέρει *(124, 1) om.* A

μενα θάνατον ἐπιφέρει', δύναcθαι δὲ καὶ οὕτω· 'τὰ τρομώδεα ἢ cπαcμώδεα γενόμενα μοχθηρά', ἵνα τὸ μὲν πρότερον τὴν πάνυ τελείαν μετάπτωcιν ἐκ τῶν τρομωδῶν εἰc τὰ cπαcμώδη διδάcκῃ, τὸ δὲ δεύτερον, ὅταν τοῖc τρομώδεcι πάθεcιν ἐπιγένηται τὸ cπαcμῶδεc, ἕπεcθαι θάνατον· ἑκάτερον μὲν γὰρ ὀλέθριον, ἀλλὰ τὸ μὲν πρότερον, ὡc μεταπιπτόντων τῶν τρομωδῶν εἰc τὰ cπαcμώδη, πρὶν ἀποθνῄcκειν τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον, ὡc πάντωc μὲν μετὰ τούτου γιγνομένων, ὁπόταν δὲ γένηται, βέβαιον θάνατον ἐπιφερόντων. ᾧ δὲ ταῦτα φίλα, πάρεcτιν αὐτοῖc χρῆcθαι.

742 ἐγὼ δὲ μεταβή|cομαι πρὸc τοὺc ἀφ' ἑτέραc ἀρχῆc ἀναγινώcκονταc ἅμα τῷ ἄρθρῳ τὴν ῥῆcιν τὰ ἐφιδρῶcι φιλυπόcτροφα, εἶτα διαcιωπηcάντων ἡμῶν καὶ μετὰ ταῦτα ἀναγνόντων τούτοιc ἡ κρίcιc ἐπιρριγώcαcιν, ἵνα ὁ λόγοc γένηται τοιοῦτοc· τὰ ἐφιδρῶcι πεπαῦcθαι δόξαντα πάθη καὶ πάλιν ὑποcτρέψαντα καὶ πάλιν ἀναπυρώcαντα καὶ πάλιν ἱδρῶcι δόξαντα λυθῆναι τὴν ἀληθῆ καὶ βεβαίαν ἴcχει λύcιν καὶ κρίcιν, ὅταν ἐπιρριγώcωcι. τὸ δ' ἑξῆc εἰρημένον οὗτοι ἐπιρριγέουcι περὶ τὴν κοιλίαν καύματι προκληθέντεc ἕξει διάνοιαν τοιάνδε· καῦμα κατὰ τὴν κοιλίαν προηγεῖται μέλλοντοc ἐπιγίνεcθαι τοῖc προειρημένοιc τοῦ ῥίγουc.

III 14 [I 107. V 512, 5] Ὀcφύοc πόνοc καὶ κεφαλαλγικὸc καὶ καρδιαλγικὸc μετὰ ἀναχρέμψεωc βιαίηc ἔχει τι cπαcμῶδεc. ⟨τὸ ὑπάφωνον ἅμα κρίcει ῥῖγοc⟩. |

743 Ἔνιοι μὲν ὡc ἅπαξ γεγραμμένου τοῦ καί cυνδέcμου τὴν ῥῆcιν ἐξηγοῦνται βουλόμενοι τὸ ἔχειν τι cπαcμῶδεc οὐκ ἐπὶ τοῖc προειρημένοιc τέccαρcι γινόμενον, ἀλλὰ τριcὶν ἀληθῶc προλέγεcθαι. τέτταρα δὲ λέγω, τόν τε τῆc ὀcφύοc πόνον καὶ τὴν κεφαλαλγίαν καὶ τὴν καρδιαλγίαν καὶ τὴν βιαίαν ἀνάχρεμψιν. διόπερ οὕτω γράφουcιν· ὀcφύοc πόνοc κεφαλαλγικῷ καὶ καρδιαλγικῷ. τινὲc δὲ γράφουcι τὸν καί cύνδεcμον δίc, ὡc κἀγὼ κατὰ τὴν ἀρχὴν εὐθέωc ἔγραψα, διότι τὰ πλεῖcτα τῶν ἀντιγράφων οὕτωc ἔχει. δηλώcει δὲ πάλιν ἡ διαγραφὴ τοιόνδε τι τὸ τῆc ὀcφύοc ἄλγημα· ἐάν τε καὶ κεφαλαλγικόc τιc ἐάν τε καὶ καρδιαλγικόc τιc ᾖ, μετὰ ἀναχρέμψεωc βιαίαc ἔχει τι cπαcμῶδεc. καίτοι καὶ οὕτω γραφόμενον ἐνδέχεται δηλοῦν αὐτὸ cυναμφότερον γεγονέναι τῷ κάμνοντι καὶ τὸν τῆc ὀcφύοc πόνον καὶ

5 ἑκατέρωc LA 6 τὸ cπαcμῶδεc R 7 ὡc R: ἐκ τοῦ LA μὲν *om.* LA τούτων γινομένων LA 8 ὁπόταν RA: ὁπότε L βεβαιοί L ἐπιφέρειν L 14 ἀναπυρώcαντα LA: ἀναπυρώcοντα R; *verbum ignotum lexicis* 16 ἐφεξῆc L οὗτοι] ἤδη A 17 προκλιθέντεc RA: προβληθέντεc L: *corr. Aldus* 18 τὴν *om.* L 20. 21 κεφαλαλγικῷ καὶ καρδιαλγικῷ *Hipp. codd. cf. Gal. v. 28* 21 βιαίαc *(comp.)* R 22 τὸ ὑπάφωνον . . . ῥῖγοc *om.* RLA: *suppl. Chartier cf. p. 125, 19 sqq.* 23 καὶ *om. in lemmate Hipp. FH*

25 τριcὶν *Cornarius*: πᾶcιν RLA 26 λέγω LA: λε^γ´ *ambigue* R 27 κραδιαλγίαν L 28 κεφαλαλγικῷ] *cf. ad lemma v. 20* 29 δὶc *post* δὲ *(28) transp.* L κατὰ LA: *om.* R 31 τε RA: δὲ L 32 ᾖ *scripsi*: ἢ RL: ἢ καὶ A ἔχῃ A 33. 34 αὐτὸc ἀμφότερον L

τὴν κεφαλαλγίαν. ἐγὼ δ᾽ οὐκ ἐκ τῆς πείρας, ἀλλ᾽ οὐδ᾽ ἐκ τῆς τῶν πραγμάτων φύσεως ἀκόλουθον τοῖς εἰρημένοις σπασμὸν ἀποφήνασθαι δύναμαι. καὶ μέντοι καὶ αὐτὸς ὁ γράψας ταῦτα προσέθηκεν ἔχει τι σπασμῶδες, ὅπερ οὐ ταὐτόν ἐστιν | τῷ φάναι σπασμώδη τὰ τοιαῦτα 744 συμπτώματα ὑπάρχειν. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς οὐχ ὁμοίως ἀκούειν προσήκει λέγοντος εὐλαβοῦς ἀνθρώπου τὰς τοιαύτας φωνὰς καὶ τοῦ ῥαδίως ἀποφαινομένου περὶ τῶν κατὰ μέρος ὡς καθολικῶν. ὅταν γὰρ ὁ προπετὴς ἀμφιβάλλων εἴπῃ ἔχει τι σπασμῶδες, ἐνδείκνυται σμικρὸν ἢ σπανίως γιγνόμενον εἶναι τὸ λεγόμενον.

περὶ δὲ τῆς δυνάμεως ἑκάστου τῶν εἰρημένων συμπτωμάτων ἐν ταῖσδε ταῖς ῥήσεσιν ἁπάσαις, ὅσας κατὰ τὸ τρίτον ὑπόμνημα τοῦτο μεταχειρίζομαι, λέλεκταί μοι διὰ βραχέων μὲν ἐν τῷ πρώτῳ καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων, κατὰ διέξοδον δὲ ἔν τε τοῖς Εἰς τὸ προγνωστικὸν ὑπομνήμασι καὶ μᾶλλον ἔτι κατά τε τὰ Περὶ κρίσεων καὶ τὰς τῶν Συμπτωμάτων αἰτίας. οὐκ ὀλίγα δὲ καὶ ἐν τοῖς τῶν Ἐπιδημιῶν εἴρηται περὶ αὐτῶν· ἀρκέσει τοιγαροῦν ἐνταῦθα μόνην τὴν λέξιν ἐξηγεῖσθαι μετὰ τοῦ προσεπιφθέγγεσθαι, πότερον ἀληθὲς ἢ ψευδές ἐστιν τὸ λεγόμενον καὶ πότερον ὡς τὸ πολὺ ἢ ἀμφίδοξον ἢ σπάνιον.

ἐφεξῆς δὲ τῷ ἔχει τι σπασμῶδες γέγραπται τὸ ὑπάφωνον ὄνομα, τινῶν | μὲν συναπτόντων αὐτὸ τοῖς προειρημένοις, ὡς γίνεσθαι 745 τοιαύτην τὴν λέξιν ἔχει τι σπασμῶδες ὑπάφωνον, τινῶν δὲ ἀρχὴν ἡγουμένων τῆς ἐπιφερομένης ῥήσεως καὶ τούτων αὐτῶν πάλιν ὑπαλλαττόντων τὴν γραφήν· ἔνιοι μὲν γὰρ ἄνευ τοῦ ἄρθρου γράφουσιν, ἔνιοι δὲ προστιθέασιν ἄρθρον οὐδέτερον τοιάνδε ποιοῦντες τὴν λέξιν· τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα καὶ οὖρα λεπτά. τινὲς δὲ καὶ καθ᾽ ἑαυτὸ μόνον ἀναγινώσκουσι τὸ ἅμα κρίσει ῥῖγος οὔτε τοῖς προειρημένοις συντάττοντες οὔτε τοῖς ἑπομένοις. ἔνιοι δὲ ὅλην ὑπαλλάξαντες τὴν λέξιν οὕτως ἔγραψαν· ὑπόφοβον ἅμα κρίσει ῥῖγος.

ἐφεξῆς οὖν σοι τὴν ἐξήγησιν ἑκατέρων ἀκριβῶς κατὰ μόνας γράψω. ἅμα κρίσει ῥῖγος· τοῦθ᾽, ὡς ἔφην, ἔνιοι καθ᾽ ἑαυτὸ γεγράφθαι βούλονται σημαῖνον κρίσεις πολλὰς γίνεσθαι σὺν ῥίγει. ὑπόφοβον ἅμα κρίσει ῥῖγος. εἶπον ἤδη καὶ πρόσθεν ὑπαλλάξαντας ἐνίους τὴν ὑπά-

5 πρόσθεν] *cf. e. g. 123, 2* 13 ἐν τοῖς Εἰς τὸ προγνωστικὸν ὑπομνήμασι] *XVIII B 222 sqq. K.* 14 Περὶ κρίσεων] *IX 612 sqq. K.* 15 Περὶ αἰτιῶν συμπτωμάτων] *cf. VII 147 sqq. K.* Ἐπιδημιῶν] *cf. XVII A 155*

1 οὐκ RA: οὔτ᾽ L: οὐδ᾽ *Aldus* οὐδ᾽ *om.* A 3 προέθηκεν L ἔχειν A 5 δέ *om.* LA 6 προσῆκον A ἀνθρώπου RA: προσώπου L 8 ἔχειν A 9 σμικρὸν R: μικρὸν LA 11 ὅσον LA 12 μὲν *om.* A 13 δὲ *om.* L 14 καὶ μᾶλλον ἔτι *om.* L τε L: γε RA 15 καὶ ἐν R: κἀν L: ἐν A 18 ἀμφόδοξον A 19 ἔχειν R ὑπο ἄφωνον L 20 αὐτὰ L 21 τὴν λέξιν τοιαύτην LA ἀρχῶν A 25 ὑποπέλια ταρ. RL: ἀποπέλει. ἀταραχώδεα A 26 καὶ *(alt) om.* LA ἑαυτὸ LA: ἑαυ (ἑαυτοῦ) R 31 ἑαυτὸ LA: αὐτὸ τὸ R 32 σημαίνειν LA κρίσεις πολλὰς R: κρίσιν πολλὰ LA: *conicio* κρίσιν πολλάκις 33 ὑπαλλάξαντες L ὑπόφωνον LA

φωνον γραφὴν ὑπόφοβον γράψαι. τὴν δ' ἐξήγηςιν αὐτὴν διττὴν 746 ποιοῦνται, τινὲς μὲν | ἀντὶ τοῦ φοβερὸν ἅμα κρίςει ῥῖγος εἰρῆςθαι νομίζοντες, ἔνιοι δὲ τὸ μετρίως φοβερὸν, ἵν' ὅμοιον ᾖ τὸ ὑπάφωνον ἅμα κρίςει ῥῖγος τῷ ὑπόφοβον. εἴη δ' ἂν καὶ τρίτη τις ἐξήγηςις τῆς γραφῆς ταύτης τοιάδε· τὸ ςυντίθεςθαι καθ' ὁντινοῦν τρόπον ῥῖγος οὐκ ἀγαθόν ἐςτιν, οἷον ἐὰν ἤτοι δι' αἱμορραγίας τις ἢ ἐμέτου ἢ γαςτρὸς κενώςεως ἢ ἱδρώτων ἢ αἱμορροΐδος κρινόμενος ἢ γυνὴ διὰ καταμηνίων ἐν ῥίγει γένηται, τὸ μὲν προηγήςαςθαι ῥῖγος ἐκκρίςεώς τινος ἀγαθῆς πολλάκις φαίνεται γινόμενον, τὸ δὲ ἐκκρινόντων ἤδη ῥῖγος ἄρξαςθαι φαῦλον. τοῦτο δ' ὅτι μὲν ἀληθές ἐςτιν, οἱ πολλοὺς ἀρρώςτους τεθεαμένοι ἐπιμελῶς γινώςκουςιν, εἰ δ' ὁ γράψας τὸ Προρρητικὸν οὕτως ἐνόηςε, μαντείας δεῖται· τὴν ἀρχὴν γὰρ οὐδ' εἰ γέγραπται πρὸς ἐκείνου τὸ ὑπόφοβον ἴςμεν· ἐν γοῦν τοῖς πλείςτοις τῶν παλαιῶν ἀντιγράφων οὐχ οὕτως γέγραπται. |

747 **III 15** [I 108. V 512, 7] Ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα καὶ οὖρα λεπτά, ὑδατώδεα, ὕποπτα.

Περὶ τούτων ἑκατέρων κατὰ μόνας ἐδίδαξεν Ἱπποκράτης ἐν τῷ Προγνωςτικῷ τά τε κατὰ κοιλίαν ὑπερχόμενα πελιὰ μοχθηρὰ λέγων εἶναι καὶ τὰ οὖρα τὰ λεπτὰ καὶ ὑδατώδεα. νυνὶ δ' οὗτος, ὥςπερ αὐτῷ ςύνηθες, ἑτερογενῆ ςημεῖα ςυμπλέκων οὐδὲν πλέον διδάςκει. ἐξῆν γοῦν αὐτῷ καὶ τούτοις ἐπιςυνάψαι περὶ πτυςμάτων πονηρῶν ἢ δυςπνοίας ἤ τινος ἄλλου τῶν φαύλων ςημείων.

ἔνιοι μέντοι τῶν ἐξηγητῶν ταύτην τὴν ῥῆςιν ἐπιςυνάπτουςι τῷ "ὑπάφωνον ἅμα κρίςει ῥῖγος" καὶ μίαν ὅλην ποιήςαντες ἐπὶ πᾶςι τοῖς εἰρημένοις φαςὶν ἀπόφαςιν γεγονέναι τῷ ςυγγραφεῖ τὸ κατὰ τὸ τέλος εἰρημένον ὕποπτα. καὶ τούτοις μὲν γὰρ τοῖς ἀπὸ κοιλίης ὑποπελίοις καὶ οὔροις λεπτοῖς ὑδατώδεςι οὐκ ἀλόγως ἐπιφέρεται τὸ 748 ὕποπτα. τούτοις δ' ἄν τις προς|θῇ καὶ τὸ "ὑπάφωνον", οὐχ ὕποπτον φήςει τὴν ςυνδρομήν, ἀλλὰ καὶ κακὴν εἶναι ςαφῶς.

17 ἐν τῷ Προγνωςτικῷ] *11 (II 138, 2. 12 (140, 8. 142, 1 sqq. L.)*
24 ὑπάφωνον . . . ῥῖγος] *cf. 124, 22*

1 *post* γραφὴν *iter.* ἐνίους L: ἐνίους δὲ A δ' R: δὲ LA: *om. Aldus, unde* ποιοῦντες *corr. Basileensis,* ποιοῦντας *Chartier* αὐτὴν RLA: αὐτῆς *edd.* 3 ὑπόφωνον LA 4 τῷ . . . τοιάδε *(5) om.* L 6 τις LA: *om.* R ἐμέτων L (*comp. amb.* A) 7 ἱδρῶτος L (*comp. amb.* A) αἱμορραΐδος A κρινόμενον A 10 τεθαμένοι R 12 ἐννόηςε R: ἐνόηςαν A 13 παλαιοτάτων L 15 *lemma cum comm. om.* L 16 *post* λεπτὰ *add.* καὶ R *(cf. 19)*: *om.* A *et Hipp. plerique codd. cf. v. 27* 17 μόνας *(ut 125, 30 al.)* A: μόνον R 18 ὑπερχόμενα RA: ὑπαρχόμενα *ex Aldo edd.* 19 νῦν A οὕτως RA, *sed* ο *superscr.* R[1] 20 ςημεῖα διδάξας πλέον ςυμπλέκων. ἐξῆν κτλ. A 23 τῷ R: τὴν A 26 γὰρ *om.* A 27 ἀλόγως R: ὀλίγως A τὸ A: τὰ R 29 φή (*i. e.* φήςει) R: φὴ (*i. e.* φηςὶν) A: φήςιν *sic Aldus, unde* ὕποπτόν φηςι *Basileensis* καὶ R: *om.* A

III 16 [I 109. V 544, 2] Φάρυγξ τρηχυνθεῖcα ἐπ᾽ ὀλίγον καὶ κοιλίη διαβορβορύζουcα κεναῖc ἐξαναcτάcεcι καὶ μετώπου ἀλγήματα, ψηλαφώδεεc, κοπιώδεεc, ἐν cτρώμαcι καὶ ἱματίοιc ὀδυνώδεεc, τὰ ἐκ τούτων αὐξανόμενα δύcκολα· ὕπνοc πολὺc ἐν τούτοιcι cπαcμῶδεc καὶ τὰ εἰc μέτωπον ἀλγήματα βαρέα καὶ οὔρηcιc δυcκολαίνουcα.

Καὶ τὴν διαβορβορύζουcαν κοιλίαν κεναῖc ἐξαναcτάcεcιν ἔνιοί φαcι φρενιτικὸν εἶναι cύμπτωμα. διττὸν γὰρ ἁμαρτάνειν τρόπον αὐτούc, ἢ τῶν αἰcθητῶν οὐκ αἰcθανομένουc, καίτοι cὺν ὀδύνῃ γιγνομένων πολλάκιc, ἢ τῶν μὴ αἰcθητῶν αἰcθάνεcθαι δοκοῦνταc. κατὰ δὴ τὸν δεύτερον τρόπον φαcὶν ἐξανίcταcθαι μὲν ὡc δακνομένουc, μὴ ἐνεργεῖν δέ, ἐπεὶ μηδὲ τὸ δάκνον ἦν τι· δάκνεcθαι γὰρ οἴονται | μὴ 749
δακνόμενοι.

τὸ δὲ ἐν cτρώμαcι καὶ ἱματίοιc ὀδυνώδεεc κατὰ τὸ cύνηθεc εἶδοc αὐτῷ τῆc ἑρμηνείαc ἀλλοκότωc εἴρηται διάνοιαν ἔχον τοιάνδε· ʻμὴ φέροντεc τὴν ψαῦcιν τῶν ὑποβεβλημένων τε καὶ ὑπεcτορεcμένων αὐτοῖc, ἀλλ᾽ ὀδυνώμενοιʼ. πότερον μέντοι γε διὰ τὸ βαρύνεcθαι ὑπὸ τῶν ἐπικειμένων (cκληρὰ γὰρ εἶναι δοκεῖ ἢ δακνώδη τὰ ὑποβεβλημένα καὶ ὅcα περίκειται) δυcχεραίνουcι τοῖc ἱματίοιc ἢ δι᾽ ἄλλο τι, τοῦτο αὐτοῖc cυμβαίνει παντάπαcιν ἄδηλον.

μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων κατὰ λόγον ἐφεξῆc εἰπὼν ὕπνοc πολὺc ἐν τούτοιcι cπαcμῶδεc ἀφορμὴν παρέχει ζητήcεωc τοῖc cοφιcταῖc, εἰ δύναταί ποτε βλάπτειν ὕπνοc. ἢ γὰρ ὠφελεῖν αὐτόν φαcιν ἢ εἰ μηδὲν ὠφελεῖ, οὐ μὴν βλάπτειν ποτέ. λέλεκται δέ μοι περὶ τούτου πρόcθεν ἐν τοῖc Εἰc τοὺc ἀφοριcμοὺc ὑπομνήμαcιν. οὐ μὴν οὐδ᾽ εἰ βλάπτει ὁ πολὺc ὕπνοc, δοκεῖ cπαcμῶν εἶναι ποιητικόc, ἀλλὰ μόνον, ὅτι κινδυνῶδέc ἐcτιν τὸ νόcημα, δηλοῖ.

25 ἐν τοῖc Εἰc τοὺc ἀφοριcμοὺc ὑπομνήμαcιν] *XVII B 451 sqq. K.*

1 τρηχυνθεὶc *Hipp. codd. plerique cf. Gal. supra p. 122, 21 sqq.* 1. 2 καὶ ἡ κ. *Hipp. codd.* 2 διαβορβορύζουcα RLA: διαβορβορίζουcα *ex Aldo edd.*: βορβορύζουcα (*vel* -ίζουcα) *Hipp. codd.* κεναῖc RLA: κενῇcιν *Hipp. Prorrh. codd.*: κενέῃcιν *Hipp. Coac. 261 (praeter A)* 3 ἀλγήματα RA: ἄλγημα *(ex Hipp. codd.)* L κοπώδεεc L ἱματίοιcιν *Hipp.* 4 τουτέων *Hipp.*: τούτου A αὐξόμενα *Hipp. codd.* 5 τουτέοιcι *Hipp. codd. plerique* cπαcμῶδεc L *(i. e. signum convulsionum) ut Hipp. Coac. 342 (V 656, 20 L.)*: cπαcμώδεcι R *(quod quadrat ad lectionem infra ex exegetis citatam p. 128, 9* ὕπνοc πολὺc ἐπὶ τοῖc cπαcμώδεcιν *et ad Prorrh. III 17 (p. 128, 16)*: cπαcμώδεεc *Hipp. Prorrh. codd. boni*: cπαcμώδηc *comp. incerto* A *et Aldus ex v. 22* (RA), *Hipp. codd. dett.* 7 διαβορβορίζουcαν *edd. (cf. v. 2)* 8 φρενιτικὸν LR (*hic* φρενητ.) A: φρενιτιῶν *Basileensis cett.* τρόπον *om.* A 10 μὴ *om.* LA 11. 12 μὴ ἐνεργεῖν δὲ *om.* LA 12 οἴονται RL: οἷον τὸ A 14 ὀδυνῶδεc LA 15 εἶδοc αὐτῷ L: αὐτῶ εἶδοc A: αὐτοῦ εἶδοc R 16 φέροντοc L 17 αὐτῆc R μέντοι γε *scripsi*: μὲν καί γε R: μὲν καὶ A: μὲν L 18 γὰρ *om.* LA 19 τοῦτο RL: τ᾽ αὐτὸ A 20 ἄδηλα R 22 πολλὰ *Aldus, cett. edd.* cπαcμῶδεc L: cπαcμῶ^δ´ RA, *cf. supra ad v. 5* παρέcχε LA 23 εἰ *om.* LA γὰρ *om.* L 24 ὠφελεῖ R: ὠφελεῖν LA οὐ μὴν RA: οὐδὲ L: *fort.* οὐδαμῇ βλάπτειν L: βλάπτει R: *comp. amb.* A τούτων A 26 εἶναι RA: γίνεcθαι L

τὸ δὲ οὔρηϲιϲ δυϲκολαίνουϲα θαυμαϲτῶϲ εἰϲ ἀϲάφειαν ἐπινε-
750 νόη|ται τῷ ϲυγγραφεῖ, ἵν᾿ ὁ μέν τιϲ εἴπῃ τῶν ἐξηγητῶν τὴν μετ᾿ ὀδύνηϲ εἰρῆϲθαι δυϲκολαίνουϲαν, ὁ δέ τιϲ τὴν ἐπεχομένην, ἄλλοϲ δέ τιϲ τὴν μόγιϲ γιγνομένην καὶ τὴν ϲυνεχῶϲ καὶ τὴν κατὰ ϲτράγγα, τὴν δάκνουϲαν δ᾿ ἰϲχυρῶϲ ἄλλοϲ.

ὅταν δὲ δὴ πάντα διεξέλθωμεν, οὐδὲν ἀξιόλογον εἰϲ πρόγνωϲιν εἰϲόμεθα δι᾿ ἣν πολλάκιϲ εἶπον αἰτίαν, ἐπιπλέκοντοϲ αὐτοῦ πάμπολλα τῶν ἀνομοιογενῶν ϲυμπτωμάτων. ἀπόδειξιϲ δὲ τούτου μεγίϲτη καὶ τὸ τῶν ἐξηγηϲαμένων τὸ βιβλίον ἐνίουϲ μὲν ἄχρι τοῦ ὕπνοϲ πολὺϲ ἐπὶ τοῖϲ ϲπαϲμώδεϲιν ἐξήκειν οἴεϲθαι τὴν ῥῆϲιν ἀπ᾿ ἄλληϲ ἀρχῆϲ κελεύοντας ἀναγινώϲκειν τὰ μετὰ ταῦτα, τινὰϲ δὲ ϲυνάπτειν, καὶ τῶν ϲυναπτόντων ἄλλουϲ ἐπ᾿ ἄλλῳ μέρει τῶν ἐφεξῆϲ εἰρημένων ἀξιοῦν περιγράφεϲθαι τὴν ῥῆϲιν. ἐὰν οὖν ἅπαντα διέρχηταί τιϲ, οἷα καθ᾿ ἑκάϲτην ὑπόνοιαν ἰδίωϲ εἰρήκαϲιν οἱ ἐξηγηταί, μακρὸν μὲν ἐργάϲεται τὸν λόγον, ὀνήϲει δ᾿ οὐδὲν τοὺϲ ἐντυγχάνονταϲ. |

751 **III 17** [I 110. V 544, 6] Οὔρου ἐπίϲταϲιϲ καὶ οἷϲι ῥίγεα ἐπὶ τούτοιϲι ϲπαϲμώδεϲιν, οἷον καὶ αὐτὴ φρίξαϲα ἐφίδρωϲεν.

Ἐὰν μεταθῶμεν τὸν καί ϲύνδεϲμον, ὁ λόγοϲ ἔϲται ϲαφέϲτεροϲ τοιοῦτοϲ γενόμενοϲ· οὔρου ἐπίϲταϲιϲ οἷϲι ῥίγεα καὶ ἐπὶ τούτοιϲι ϲπαϲμώδεϲι. τὸ μὲν οὖν οἷϲι ῥίγεα κἀν τοῖϲ τῶν Ἐπιδημιῶν εἴρηται κατὰ τήνδε τὴν λέξιν· „πρὸ ῥίγεοϲ αἱ ϲχέϲειϲ τῶν οὔρων.“ ὅτι δέ κἀπὶ τοῖϲ ϲπαϲμώδεϲι πάθεϲιν ἴϲχεται τὰ οὖρα, προϲέθηκεν οὗτοϲ ἐν τῇ προκειμένῃ ῥήϲει. τὰ δ᾿ εἰρημένα μάτην ἐνίοιϲ τῶν ἐξηγηϲαμένων εἰϲ τήνδε τὴν ῥῆϲιν ἄμεινον ϲιωπᾶν, ἐγὼ δὲ ἐξήγηϲιν εἶπον τὴν ὠφελεῖν εἰϲ πρόγνωϲιν ἱκανήν.

καὶ οὕτωϲ φρίξαϲα ἐφίδρωϲε. καὶ ὁ Κόιντοϲ μὲν μόνην εἰδὼϲ τὴν γραφὴν ταύτην, ἣν εὗρ᾿ ἐν παλαιοῖϲ ἀντιγράφοιϲ, ὥϲ φηϲιν, ὁμο-

7 εἶπον] *cf. p. 45, 7* 20 κἀν τοῖϲ τῶν Ἐπιδημιῶν] *VI 1, 8 (V 270, 2 L.)* 24 εἶπον] *cf. v. 6; p. 47, 33 sq. 118, 5, saepe al.*

1 *post* δὲ *add.* καὶ L 2 *ante* τῷ *add.* καὶ αὐτῶι L 3 ἀπεχομένην A 4 μιγνομένην L ϲτράγγα RA: ϲτάγγα L: ϲτραγγουρίαν *ex Aldo edd.* 5 δ᾿ *om.* L ἄλλο L 6. 7 εἰϲ πρόγνωϲιν ἀξιόλογον ὀνηϲόμεθα L 8 ὁμογενῶν A δὲ LA: *om.* R τὸ (*post* καὶ) *om.* LA 9 τὸ βιβλίον RLA: *om.* τὸ *ex Aldo edd.* ἐνίουϲ *Cornarius*: ἐνίοιϲ RLA 10 κελεύουϲιν A 11 τινὰ L 12 ἄλλα ἐπ᾿ ἄλλων μέρη LA 13 διεξέρχηταί L ἑκάϲτου L 14 ἰδίωϲ *Aldus*: ἰδίαν R: ἰδία LA μὲν LA: μέντοι R ἐργάϲηται R 17 τοῖϲι *Hipp.* ϲπαϲμώδεϲιν LA, *Hipp. (ut v. 20, cf. ad p. 127, 5)*: ϲπαϲμώδεα R οἷον] καὶ ὡϲ *Hipp. codd.* ἐφ᾿ ἱδρῶϲιν *Hipp. codd.* 18 καὶ] *cf. v. 26* 20 ϲπαϲμώδεϲι LA: ϲπαϲμώδεα R οἷϲι] ϲι A 21 πρὸ RA: πρὸϲ L ῥίγεοϲ *Hipp.*: ῥίγοϲ RL: ῥίγουϲ A ϲχέϲιεϲ (*om.* αἱ) *Hipp. codd.* 22 προέθηκεν R 23 μάτην RLA: ματαίωϲ *Aldus, cett. edd.* 24 εἰϲ LA: *om.* R ἐγώ δε ἐξήγηϲιν R: ἔγω γε εἰϲ ζήτηϲιν LA εἶπον τὴν *scripsi*: εἶπον RL: πάντων A: εἴπω *ex Aldo edd.* 26 *partem lemmatis* ἀϲυνδέτωϲ *quasi novum lemma ponit ut supra p. 125, 31 sqq.* ἐφίδρωϲα A Κόϊντοϲ *Aldus*: ϲίντοϲ RLA 27 εὗρ᾿ ἐν *scripsi*: εὗρεν R: εὗρον L: εὗρε A φηϲιν] ἔφην A

λογεῖ μὴ νοεῖν. ἐν δὲ τοῖς πλείστοις τῶν ἀντιγράφων γέγραπται καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν, ἵνα γυναικὸς | ὄνομα τὴν Αὐτή φωνὴν 752
ἀκούσωμεν, ἧς φριξάσης ἐφιδρῶσαι συνέβη.

III 18 [I 111. V 544, 8] [Κενώσιες] ἄκρητοι τελευτῶσαι καθάρσιες πῇ μὲν παροξυντικαί. ⟨ἐν⟩ τούτοισι δὲ καὶ πάνυ. ἐκ τοιούτων καὶ παρ' οὖς ἀνίστανται.

Ἀντὶ τοῦ καθάρσιες ἄμεινον ἦν εἰρῆσθαι 'κενώσιες'. ὅταν γὰρ ἐκκενούμενα τύχῃ τὰ διεφθαρμένα, κάθαρσις γίνεται τοῦ σώματος, ὅταν ⟨δ'⟩ ἐκκρίνηται τὰ τῷ λόγῳ τῆς νόσου γινόμενα, κένωσις. ὁπότερον δὲ τούτων λέγει, δῆλόν ἐστιν ἐκ τοῦ φάναι τελευτῶσαι, ὡς αἱ ἐκκαθαίρουσαι τὸ σῶμα κενώσεις τὴν ἀρχὴν μὲν ἴσχουσιν ἀπὸ τῶν ἀκράτων ἐνίοτε, τελευτῶσι δὲ εἰς εὔτροπα διαχωρήματα. τὸ δὲ ἐν τούτοισι δὲ καὶ πάνυ τὰς τοιαύτας κενώσεις εἶναι παροξυντικὰς ἐπὶ τὰ προειρημένα τὴν ἀναφορὰν ἔχει. προείρηται δὲ 'οὔρου ἐπίστασις οἷσι ῥίγεα καὶ ἐπὶ τοῖς σπασμώδεσι' σφοδρῶς. | ἡ πρόγνωσις δὲ ἐπὶ τούτου τὸ παρ' οὖς ἀν- 753
ίστασθαι, δυνάμενον μέν ποτε γενέσθαι (καὶ διὰ τοῦτο γράφει, ἐπειδή τινι παθόντι τὰ κατὰ τὴν εἰρημένην συνδρομὴν συνέβη ἔχειν παρωτίδα), οὐ μὴν διὰ παντός, ἀλλ' ὡς τὸ πολὺ τὴν προειρημένην συνδρομὴν τὰ παρ' οὖς ἀκολουθεῖν εὔλογον· ἐμάθομεν γὰρ τὰ τῶν τοιούτων ἀποστάσεων σημεῖα.

III 19 [I 112. V 546, 2] Αἱ ταραχώδεες θρασύταται ἐπεγέρσιες, σπασμώδεες, ἄλλως τε καὶ μεθ' ἱδρῶτος.

Ἔμπροσθεν ἤδη τοιαύτας συνδρομὰς ἐξηγησάμεθα οὐδὲν οὔτ' ἐξ ἀνάγκης ἐχούσας οὔθ' ὡς τὸ πολύ, καὶ διὰ τοῦτο καὶ τὴν προκειμένην ταύτην οἱ μὲν συνάπτουσι τοῖς ἐπιφερομένοις, οἱ δὲ διασπῶσι. |

19 ἐμάθομεν] *cf. Gal. IX 758 sqq. K., infra p. 164 sq. 167 sqq.*

1 δὲ *iter.* A τοῖς LA: τοῖσι R πλείστοις τῶν *suprascr.* R[1] 2 αὔτη φρ. A τὴν Αὐτή *scripsi*: τὴν αὐ^τ^ (*i. e.* αὐτῇ) R: τὴν αὐτὴν LA φωνὴν *om.* L 3 συνέβη ἐφιδρῶσαι *hianter transp.* L 4 κενώσιες *(ex v. 7 interpolatum)* RLA: *del. edd.* ἄκρητοι *(sic Gal. legit interpretatus v. 10)* R: ἄκρητα *ex Hipp.* αἱ ἐς ἄκρητα *[quod translatum ex Prorrh. II 14 (I 50 L. cf. p. 64, 21)]* L: ἀκρι^τ^ A τελευτῶσι R 5 πῇ RLA: ἐν πᾶσι *Hipp. codd. boni* ἐν *Gal. v. 12*: *om.* RLA *et Hipp.* δὲ *om.* A 6 τοιουτέων *Hipp.* καὶ τὰ παρ' οὖς *Hipp.* παρ' οὖς *Aldus ex Hipp.*: παρ' οὖς A: παροῦσαι L: παρούσης *(superscripto compendio incerto)* R *cf. v. 15* 7 καθαρσίοις L ἦν *om.* A ἐκκρινόμενα *ab Aldo edd.* 8 τύχοι R δ' *addidi* 9 γενόμενα L κένωσις *scripsi; cf. Gal. XVII B 357 sq.*: τίνι RLA: γινόμενά τινι *coniungebat Cornarius* ὁπότερον δὲ *scripsi*: δὲ ὅτι περὶ RLA 10 λέγει L: λέγεται RA τελευτῶσι R ὡς αἱ RL: ὅσαι A 12 δὲ *(alt.) om.* A 14 τοῖς RA: τοῖσι L 15 σφοδρῶς *del. Cornarius* τούτου RA: τοῦ τοιούτου L τὸ *scripsi*: τὴν RLA παρ' οὖς ἀνίστασθαι A: παροῦσαν ἵστασθαι L: παροῦσαν ἀνίστασθαι R 16 δυναμένην *temptabat Cornarius* καὶ *om.* L γράφει *Cornarius*: γράφειν LA: γράφων R 18 *fortasse* τῇ προειρημένῃ συνδρομῇ 18. 19 τὰ παρ' οὖς RA: τῇ παρούσῃ L 19 ἀποστημάτων L 21 θρασύταται] θρασύτητι LA: *comp. amb.* R 22 σπασμώδεις L: *ambigue* RA ἱδρῶτος A, *corr.* R[1]: ἱδρῶτας LR 23 ἐξηγησάμεθα συνδρομάς L ἐξ LA: *om.* R

754 **III 20** [I 113. V 546, 3] Καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι καὶ ὅλου δὲ τοῦ σώματος· ἐν τούτοισι καὶ ἀφρώδεες οὐρήσιες ἅμα ἀψυχίῃ καὶ ὀμμάτων ἀμαυρώσεις σπασμὸν ἐγγὺς σημαίνουσιν.

Ἐν πολλοῖς μὲν τῶν ἀντιγράφων ἡ ῥῆσις γέγραπται οὕτως καταψύξιες δοκέουσαι, κατ᾽ ἔνια δὲ ἄμεινον ὡδί δοκέουσαι δι᾽ ὅλου τοῦ σώματος, ὡς ἀδύνατον ὅλον ἅμα κατεψῦχθαι τὸ σῶμα καὶ διὰ τοῦτ᾽ αὐτὸ καλῶς προσκείμενόν ἐστιν τὸ δοκέουσαι. τὸ δ᾽ ἐφεξῆς εἰρημένον οὐ σμικρὰν διαφωνίαν ἔσχηκεν ἐν τῇ γραφῇ, τινῶν μὲν ἀφρώδεες οὐρήσιες γραφόντων, τινῶν δὲ πυώδεες. εὐλογώτερον δὲ ὡς πρὸς τὴν ὅλην διάνοιάν ἐστιν τὸ ἀφρώδεες· αἱ μὲν γὰρ πυώδεις οὐρήσεις, ἐάν γε κυρίως ἀκούωμεν, καὶ μὴ καθάπερ εἴωθεν ὁ τοῦ βιβλίου συγγραφεὺς ἀκύροις μεταφοραῖς ὀνομάτων χρῆσθαι, πῦον ἐπιμεμῖχθαι τοῖς οὔροις δηλοῦσι. πύου δὲ γένεσις οὐ μόνον οὐ δύναται
755 ση|μαίνειν σπασμόν, ἀλλὰ κἂν ὑποπτευομένῳ τινὶ σπασθῆναι γένηται, σημεῖον ἀγαθόν ἐστιν, πέττεσθαί γε δηλοῦσα τὴν νόσον. αἱ δὲ ἀφρώδεες εἴτε διὰ σύντηξιν εἴτε διὰ ταραχήν τινα καὶ πνεῦμα γίγνοιντο φυσώδεις, ἑκατέρως ὕποπτοι πρὸς σπασμόν, οὐ μὴν αἱ πυώδεις ὁμοίως ταύταις. εἰ δ᾽ ἀκύρως πυώδεις εἴρηκε τὰς τῶν ὠμῶν καὶ παχέων οὔρων ἐκκρίσεις, οὐδ᾽ οὕτως ὕποπτοι † ἐπὶ τῷ τέλει πρὸς τὴν τοῦ σπασμοῦ γένεσιν. ἡ δ᾽ ἀψυχία καὶ ἡ τοῦ ὄμματος ἀμαύρωσις ἀρρωστούσης τῆς ψυχικῆς δυνάμεώς εἰσι σημεῖα.

τὸν οὖν σπασμὸν οὐκ αὐτὰ τὰ συμπτώματα προσγενόμενα τοῖς εἰρημένοις, ἀλλ᾽ ἐκεῖνα μόνα δύναται δηλῶσαι. λέγω δ᾽ ἐκεῖνα τραχήλου καὶ μεταφρένου κατάψυξιν ἅμα τῷ παντὶ σώματι καὶ πρὸς τούτοις οὖρον ἀφρῶδες ἢ ὠμὸν καὶ ἄπεπτον. ἡ δὲ τοῦ ὄμματος ἀμαύρωσις κατὰ συμβεβηκὸς ἐπιμαρτυρήσει τῇ προσδοκίᾳ τοῦ σπασμοῦ, διότι τὴν ἀρχὴν τῶν νεύρων πεπονθέναι σημαίνει. γνωστέον δὲ καὶ

1 καὶ αἱ τοῦ τρ. *Hipp. codd.* αἱ *alt. om. Hipp.* 2 δοκέουσαι RLA: ἐοῦσαι *Hipp. codd. cf. v. 6 sqq.* 2. 3 ἐν τούτοισι δὲ πυώδεες οὐρήσιες καὶ ἀφρώδεες *Hipp. codd. cf. Gal. v. 10* 3 ὄμματος *Hipp. codd. cf. v. 21. 26* ἀμαυρώσιες *Hipp.* 4 σπασμὸν *om.* LA σημαίνουσιν L: σημαί^ν R: σημαίνει A, *Hipp.* 5 οὕτω γέγραπται L καταψύξις A 7 κατεψύχθη R 8 τοῦτο ταυτὸν L ἐστιν *om.* A 9 σμικρὰν A: μικρὰν RL ἔσχηκεν LA: ἔσχεν R 10 οὐρήσιες *Cornarius*: διαχωρήσιες RLA πυώδεες R: ὑπνώδεες LA 11 δὲ *om.* L ἀφρῶδες RA αἱ μὲν R: ἐάν τε LA 12 οὐρήσεις *Cornarius*: διαχωρήσεις RLA γε R: τε LA ἀκούσωμεν *ex Aldo edd.* 13 ἀκύροις *om.* L 15 ὑποπτεύωμεν ᾧ τινὶ LA γένηται RA: γένηθαι L: *om. ex Aldo edd.* 16 ἀφρῶ^δ RA 17 σύνταξιν, *sed* η *supra scripsit* R γίγνοιτο LA φυσώδεις *scripsi*: φυσσῶδες R *Ald., Basil.*: φυσῶδες LA: φυσσώδεες *Chartier*: φυσώδεες *Kühn* 18 ὕποπτον A αἱ *om.* LA 19 τῶν ἡμῶν καὶ παλαιῶν L 20 οὐδ᾽ οὕτως ὕποπτοι ἐπὶ τῷ τέλει *numeris superscriptis ordinat, quod turbate prima manu exhibet* ἐπὶ τῷ οὐδ᾽ οὕτως ὕποπτοι τέλει R: οὐδ᾽ οὕτως ὑπο^πτ. οὐ τε^λ ἐπὶ τὸ A: οὐ τέλος ἐπὶ τὸ L: οὐδ᾽ οὕτως ὕποπτοι, οὐ τελεῖ *Aldus, Basil.*: οὐδ᾽ οὕτως ὕποπτοι οὐδὲ συντελεῖ *Chartier, Kühn*: *conicio* οὐδ᾽ οὕτως ὕποπτοι ἐπὶ τὸ πολὺ *cf. 131, 2 sqq.* 23 οὐ ταῦτα *Schoene* γενόμενα LA: ⟨τὰ⟩ προσγ. *Schoene* 27 τῇ *om.* LA

ταύτην τὴν cυνδρομὴν τῶν δυναμένων ἐνεργεῖν cπαcμόν, οὐ μὴν διη-| νεκῶc ἢ ὡc τὸ πολύ, μᾶλλον δὲ ἀμφιδόξωc, ἐὰν ἀφρώδη γράψωμεν. 756 † οὔτε πυωδῶν γραφέντων, ἔμπαλιν, ὡc εἴρηται τὰ τῆc προcδοκίαc ἔcται, διὰ μέcου δ᾽ ἀμφοῖν ὑπνωδῶν γραφέντων, ἐπὶ μᾶλλον δὲ τούτων, εἰ ὠμὰ καὶ ἄπεπτα φαίνοιτο. τοῖc δ᾽ ἀναπαυcαμένοιc ἐξ αὐτῶν ἐγγὺc εἶναι τὸν cπαcμὸν καὶ τὸν θάνατον ἥ τ᾽ ἀμαύρωcιc τῶν ὀφθαλμῶν καὶ ἡ ἀψυχία cημαίνει. λέγει δὲ δηλονότι τὴν λιποψυχίαν. Διοcκορίδηc δὲ ἀντὶ τῆc ἀψυχίαc ʻἅμα ἀποψυχῇʼ γράφει.

III 21 [I 114a. V 546, 6] Πήχεωc ἀλγήματα μετὰ τραχήλου cπαcμώδεα. ἀπὸ προcώπου δὲ ταῦτα καὶ κατὰ φάρυγγα ἦχοι cυχνοὶ cιελίζοντεc, ἐν τούτοιcιν οἱ ἐν ὕπνοιc ἱδρῶτεc ἀγαθοί. ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεcθαι τοὺc πλείcτουc οὐ πονηρόν; |

Τὸ ἀπὸ προcώπου δὲ ταῦτα πάντεc ἤκουcαν ἐν ἴcῳ τῷ ἀπὸ κεφα- 757 λῆc. καὶ γὰρ πρόcθεν εἴρηκε κατ᾽ ἄλλην ῥῆcιν "ἄλλωc τε καὶ ἀπὸ κεφαλῆc ὁρμῶντα". διὰ τί δὲ cπαcμώδεα λέγει ταῦτα τὰ cυμπτώματα, τοῖc μεμνημένοιc τῶν ἔμπροcθεν εἰρημένων οὐκ ἄδηλον. ἔνιοι μέντοι τὸ πρῶτον μέροc τῆc ῥήcεωc αὐτὸ καθ᾽ αὑτὸ γράφουcί τε καὶ ἀναγινώcκουcιν, ἵν᾽ ὁ λόγοc ᾖ τοιοῦτοc πήχεωc ἀλγήματα μετὰ τραχήλου cπαcμώδεα, ἀπὸ προcώπου δὲ ταῦτα, μηκέτι δεομένων ἡμῶν εἰc τὴν πρόγνωcιν τοῦ cπαcμοῦ τῶν ἐφεξῆc εἰρημένων. οὗτοι δὲ τὸν καὶ cύνδεcμον ἀφελόντεc ἀρχὴν τῶν ἐφεξῆc γεγραμμένων ταύτην ἐποιήcαντο· κατὰ φάρυγγα ἦχοι cυχνοί. τινὲc δὲ ἀντὶ τοῦ ἦχοι γράφουcι κατὰ φάρυγγα ὄχλοι cυχνοί, ὥcπερ ὁ Διοcκορίδηc. ὁ δὲ Καπίτων οὕτωc ἔγραψεν "ἴcωc· καὶ κατὰ φάρυγγα ὠχροὶ ἰcχνοί". προχεί-

3 εἴρηται] *p. 130, 10 sqq.* 15 κατ᾽ ἄλλην ῥῆcιν] *Prorrh. I 104 (cf. p. 122, 17)* 17 ἔμπροcθεν] *Prorrh. III 20 (130, 1); cf. praeterea p. 116, 24 sqq.*

1 τῶν δυναμένων *Cornarius*: τῶν δῦ'/ A: τῶν δυνάμεων R: τῆc δυνάμεωc L *ante* οὐ μὴν *desidero verbum velut* γίγνεcθαι 2 ἀμφιδόξωc] *cf. ad 122, 16* 3 οὔτε RA: οὔτε τε L: *potius* οὐδὲ; *sed totus locus corruptus cum Schoeneo fortasse sic emendandus*: γράψωμεν οὖρα. πυωδῶν ⟨δὲ⟩ γρ., ἔμπαλιν ⟨ἢ⟩ ὡc εἴρηται, τὰ κτλ. ἔμπαλιν . . . γραφέντων ἔμπαλιν *(v. 4) om.* R εἴρηται τὰ LA: τὰ *del. Aldus* 4 ἔμπαλιν *post* γραφέντων *iter.* L ἐπὶ] ἔτι *Schoene* 5 φαίνοιτο *ex* γένοιτο R ἀναπαυcομένοιc RA 7 δηλονότι δὲ λέγει L λειποψυχίαν RLA 8 διοcκουρίδηc L *cum* ἀποψυχῇ *cf.* παραψυχή: *Ermerins ut Cornarius ficto vocabulo* ἀποψυχίῃ *(cum refrigeratione)*; ἀποψύξει *Ilberg Mus. Rh. 45, 127* 9 πήχεωc L *cf. v. 19*: πη^χ' RA: πήχεων *Hipp. codd.* 10. 11 ἦχοι cυχνοὶ] ὠχροὶ ἰcχνοὶ *(cf. v. 25) Hipp. codd.* 11 πτυαλίζοντεc, ἐν τουτέοιcιν οἱ ἐν ὕπν. *Hipp. codd.* ἐν τούτοιc οἱ RA *(cf. 132, 5)*: ἐν τούτοιcιν L 12 τῷ ἱδρῶτι A, *Hipp., Gal. 132, 17*: τοῦ ἱδρῶτοc RL τοῖcι πλείcτοιcιν *Hipp. FGH, Gal. 132, 17* 14 ἀπὸ κεφαλῆc . . . τε καὶ *om.* A 15 ἄλλην *ex* ἄλλων R ἀπὸ RA: *om.* L 19 πήχεοc A 22 ἐποίηcαν· τὸ A 23 ἦχοι *(alt.)*] cυχνοὶ A 25 ἴcῳ L: ἶcα R: ἴcα A: ἴcωc *corr. post Cornarium Ilberg Mus. Rh. 45, 114. ad lemma trahunt* ἴcῳ *ab Aldo edd. (non* R) ὦχροι *intell. Kalbfleisch* προχείρωc LA *(cf. 134, 21)*: πρόχειρον R

ρως γάρ, ὡς εἴρηται πολλάκις, οἱ νεώτεροι ἐπὶ τὸ μεταγράφειν ἧκον, ὡς βούλονται, τὰς παλαιὰς γραφὰς ἐν τοῖς ἀσαφέσι βιβλίοις.

758 ἀλλὰ ταῦτα μὲν ὅπως ἂν | ἔχῃ, τὰ συμπτώματα μοχθηρά, καὶ δοκεῖ τι συντελεῖν εἰς τὴν τῆς προκειμένης ῥήσεως ἀλήθειαν. ἄξιον δὲ ζητήσεως διὰ τί προσέθηκεν· οἱ ἐν ὕπνοις ἱδρῶτες ἐν τούτοισιν ἀγαθοί. οὐδὲν γὰρ ἐξαίρετον τοῖς οὕτω νοσοῦσιν ἀπὸ τῶν ἐν τοῖς ὕπνοις ἱδρώτων ὠφελούντων μόνοις. κοινὸν γάρ ἐστι τὸ τῶν ὠφελίμων ἱδρώτων ἐπί τε τοῖς εἰρημένοις παθήμασι καὶ τοῖς ἄλλοις ἅπασιν ἑτέρων διορισμῶν δεόμενον, οἷον εἰ ἐπὶ πέψει τοῦ νοσήματος, εἰ δι' ὅλου τοῦ σώματος, εἰ ἐν ἡμέραις κρισίμοις, εἰ παύσουσι τούς τε πυρετοὺς καὶ τὰ συμπτώματα. τὸ δὲ ἐν ὕπνοις τοὺς ἱδρῶτας ἐγρηγορόσι γίνεσθαι περιττόν. ἔνιοι μέντοι βουλόμενοι τῷ λόγῳ βοηθεῖν φασιν ἐπὶ τῶν σπωμένων ἱδρῶτας γίνεσθαι διὰ τὴν συντονίαν τοῦ παθήματος. ἐὰν οὖν ἐκλελυμένου καὶ κεχαλασμένου τοῦ σώματος, ὅπερ ἐν τοῖς ὕπνοις συμβαίνει, γένηται τοῦτο, κατὰ φύσιν οἰητέον ἱδροῦν αὐτούς.

τὸ δ' ἐφεξῆς εἰρημένον ἔτι μείζονα τὴν ἀπορίαν ἔχει γράψαντος αὐτοῦ· ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι τοῖσι πλείστοισιν οὐ
759 πονηρόν; οὐδεμίαν γὰρ ἀμφιβολίαν ἔχει | τοῦτο, προφανῶς ὑπάρχον ἀγαθόν, εἰ δὲ μή, ἀλλὰ πάντως γε οὐ πονηρόν.

III 22 [I 114b. V 548, 2] Οἱ εἰς τὰ κάτω μέρη πόνοι τούτοισιν εὔφοροι.

Ποῖα κάτω λέγει μὴ προσθέντος αὐτοῦ συνέβη διττὴν ποιήσασθαι τοὺς ἐξηγητὰς τὴν γραφήν, ἐνίους μὲν εὔφοροι γράψαντας, ἐνίους δὲ δύσφοροι. ἐὰν μὲν γὰρ εἰς τὰ περὶ θώρακα καὶ στόμα γαστρὸς ἀφικνῶνται πόνοι, δυσφορίαν ἐνθήσουσι μείζονα τῷ τραχήλῳ τε καὶ πήχεσιν, ἐὰν δ' εἰς τὰ σκέλη, μεγάλως ὀνήσουσιν ὅλην τὴν νοσώδη διάθεσιν.

III 23 [I 115. V 548, 3] Οἱ ἐν πυρετοῖσιν ἐφιδροῦντες, κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες. |

1 εἴρηται πολλάκις] *cf. e. g. 70, 3*

1 οἱ νεώτεροι LA: τοῖς νεωτέροις R   τὸ] τῷ A   1. 2 ἧκον ὡς L: ἥκειν ὡς R: ἢ κοινῶς A   2 παλαιὰς γραφὰς L: πα^λ^ γραφὰς A: παραγραφὰς R   3 μὲν *om.* A   4 ἄξια A   6 τοῖς *(alt.)* LA: *om.* R *(cf. v. 11. 14)*   7 ἱδρώτων *om.* A   9 δεόμενον *scripsi*: δεόμενοι A: δεομένων RL   10 εἰ παύσουσι RL: ὑπαλλάξουσί γε πάντες A, *unde* εἰ παύσουσιν ⟨ἢ⟩ ὑπαλλάξουσί γε πάντως *coni. Kalbfleisch*   11 τοὺς ἱδρῶτας *om.* A   ἐγρηγορῶσι RA   γενέσθαι A   12 μέντοι *om.* A   βοηθῆσαι A   13 τῶν παθημάτων A   17 τῷ LA: τὸ R *cf. de lemmate 131, 12*   19 εἰ δὲ μή RL: οὐδὲ μὴν A   20 μέρη *om. Hipp.*   23 ἔνιοι *utrobique* LA   24 τὰ] τὸ A   καὶ *om.* A   ἀφικνοῦνται L   25 ἐνθήσουσι R: ὠθήσουσι L: ὠθοῦσι A   μείζονα ⟨ἢ⟩ *Cornarius, sed respicit ad prius lemma*   26 ὀνίσουσιν R   27 ἐφιδρῶντες *Hipp. F*   κεφαλαλγέες *Chartier*: κεφαλαλγίης LA: κεφαλαλγικοὶ R   28 ἀπολελαμμένης R: ἀπελειλουμένης L: ἀπολελειμμένης A: ἀπολελαμμένοι *Hipp. codd. cf. 101, 2. 135, 15*

Ἀπὸ βραχυτάτης προσδοκίας ἐνίοτε γράφει σπασμώδεις ἔσεσθαι. 760
θεασάμενος γὰρ ἴσως ἅπαξ τινὰ τῶν οὕτως ἐχόντων σπασθέντα, πολλάκις δὲ οὐκ ἰδών, ὅλον ὀλίγου δεῖν τὸ βιβλίον εἰς παραφροσύνης καὶ σπασμοῦ πρόρρησιν κατηνάλωσεν. ἐὰν οὖν πιστεύσας αὐτῷ τις τοὺς ἐν πυρετῷ κεφαλαλγοῦντας μετ᾽ ἐφιδρώσεως καὶ κοιλίας ἐπεσχημένης ἀποφήνασθαι τολμήσῃ σπασθήσεσθαι, πάνυ πολλάκις ἀποτυχὼν ἅπαξ που τεύξεται.

III 23 [I 116. V 548, 4] Τὰ ὑποψάθυρα ὑγρὰ διαχωρήματα περιψύχοντα οὐκ ἀπύρως φλαῦρα, τὰ ἐπὶ τούτοισιν ῥίγεα κύστιν καὶ κοιλίην ἐπιλαμβάνοντα ὀδυνώδεα. ἆρα τὸ κωματῶδες τούτοισιν ἔχει τι σπασμῶδες; οὐκ ἂν θαυμάσαιμι.

Ψαθυρὰ διὰ μὲν τοῦ δ̄ οἱ Ἀττικοὶ γράφουσι, διὰ δὲ τοῦ θ̄ ἅπαντες οἱ ἄλλοι, τὰ κρέα τὰ τοῖς σκληροῖς καὶ ἰνώδεσι καὶ δυσδιαλύτοις καὶ δυσμασήτοις | ἐναντίως διακείμενα. μάλιστα δὲ γίνεται τοιαῦτα τὰ 761
καλούμενα πρὸς τῶν πολλῶν ʽσαχνάʼ μίαν ἡμέραν ἢ δύο τιθέμενα μετὰ τὸ σφαγῆναι τὸ ζῷον, ʽἕωλαʼ δὲ εἰώθασιν καλεῖν αὐτὰ οἱ Ἕλληνες, ʽἑωλίζεινʼ τε τὸ οὕτως προσήπειν· ὅθεν καὶ ʽʽσιτίον νέοις ἀκροσαπέςʼʼ εἴρηται τὸ ἐπὶ βραχὺ προεωλισμένον· εὔδηλον γὰρ ἐκ τοῦ μετ᾽ αὐτὸ ῥηθέντος ὧδε· ʽʽγέρουσι δὲ ἐς τέλος μεταβεβληκός.ʼʼ ἐγὼ μὲν οὖν ἐδήλωσα, τίνα λέγουσιν οἱ ἄνθρωποι ψαθυρὰ ἐπ᾽ ἐδεσμάτων, οὐ διαχωρημάτων ποιούμενοι τὸν λόγον. ὁ δὲ τοῦ βιβλίου συγγραφεὺς αὐτὸς ἦν δίκαιος εἰπεῖν ἡμῖν, τίνα λέγει διαχωρήματα ὑποψάθυρα. δῆλον γὰρ ὅτι † τὰ μετρίως ψαθυρὰ πάντως γὰρ ἦν ἐκείνου χρεία ἡμῖν δηλῶσαι, τίνα λέγει τὰ ὑποψάθυρα.

19 εἴρηται] *Hippocr. de alim. 41 (IX 112, 10 L.)*

1 ἀπὸ R: αὐτὸ L: οὐ τὸ A βραχὺ τὰ τῆς προσδ. A 2 γὰρ RA: μὲν L 3 ἰδὼν ὅλον R: εἶδεν ὅλον A: εἶδεν ὅλον γοῦν L παραφροσύνην L καὶ *om.* A 4 κατηνάλωσα L: ἡ ἀνάλωσις R: ἀνάλωσεν A: *correxi* οὖν R: γε L: *om.* A 4. 5 τῶν ἐν π. κεφαλαλγοῦντα μετ᾽ ἰδρώσεως κ. κ. ἐπεψυγμένης L 6 τολμήσει L σπασθήσεσθαι RA: σπασθήσεται L 7 τεύξηται L 8 τὰ L: καὶ A: *om.* R ὑποψάθηρα *solet scribere* R *ante* ὑγρὰ *add.* καὶ L 9 ἀκύρως A τούτοις L *ut Gal. 135, 13* 11 τουτέοισιν *Hipp. FH* ἔχει R¹LA: ἔχειν R² 12 γράφουσι RA: λέγουσι L 13 πάντες L 15 πολλῶν RL: παλαιῶν A 16 δὲ *om.* LA αὐτὰ καλεῖν L 17 τὸ οὕτως R: τῶ οὕτως A: τοιούτως L προσήπειν R: προσειπεῖν LA σιτ| (= σιτον) A νέοις *Hipp. A*: νέοισιν *Hipp. vulg.*: νέοισι μὲν *Gal. d. opt. sect. cit. a Littr. l. c.* νέοις ἀκροσαπὲς *Hipp. A* (*cf. Gal. gloss. XIX 73* ἀκροσαπές: τὸ ἐπιπολῆς μεταβεβληκός): νέοις ἄκρως ἅπερ LA: νεοσαλὲς R: νέον ἄκρως *Aldus* 18 προεωλισμένον L: προσεωλισμένον A: προσεαλισμένον R *inter* προσεωλις *(f. 172ᵛ 1) et* μένον· εὔδηλον κτλ. *(f. 173ʳ 1) intericiuntur (f. 172ᵛ 2 sqq.)* τινὰ δηλοῦται. διὰ τῆς ἐπιλαμβάνοντα φωνῆς κτλ. . . . περιέχεσθαι *(p. 135, 19—137, 5) quae verba continuantur* κατὰ τοῦτο σημεῖον κτλ. *f. 174ʳ 1,* A; *turbas signis correxit* A² ῥηθέντα R 19 γέρουσιν (*om.* δὲ) *Hipp. A* μεταβεβληκὸς R: μεταβεβηκὸς LA: μεταβεβλημένον *Hipp.* τίνα R: τί LA 20 ψαθυρὰ A: ψαθηρὰ R *(cum* η *ut solet)*: ψαθυρὸν L 21 δίκαιος A: δίκαιον RL 22 διαχωρήματα . . . τίνα λέγει *(23) om.* L δῆλον γὰρ ὅτι τὰ μετρίως ψαθηρὰ πάντως γὰρ ἦν ἐκείνου χρεία ἡμῖν δηλῶσαι τίνα λέγει τὰ ὑποψάθαρα R: δῆλον

τῶν προφητῶν δ᾽ αὐτῶν διενεχθέντων ἀλλήλοις ἔτι μείζων ἡμῖν ἀπορία γίνεται τοῖς μὴ προφήταις. ὁ μὲν γάρ τις τὰ ὑγρά φησιν ἁπλῶς εἰρῆσθαι νῦν, ὁ δὲ τὰ ὑδατωδῶς ὑγρὰ πάχος καὶ σύστασιν οὐδεμίαν
762 ἔχοντα. τινὲς δὲ | τὰ οἷον ἀλιπῆ, τινὲς δὲ τὰ οἷον γλίσχρα, τινὲς δὲ οὐκ οἶδ᾽ ὅ τι δόξαν αὐτοῖς τὰ μὴ μιγνύμενά φασιν ἑτέροις ὑγροῖς, ὥσπερ τοὔλαιον, ἄλλοι δὲ τὰ ἐν ὑγρῷ διαχωρήματι χολώδη καὶ ἄπεπτα συστρέμματα, τινὲς δὲ τὰ εὐδιάλυτα, καθάπερ εἰ καὶ ψάμμον ὕδατι δεύσας, εἶτα σφίγξας τοῖς δακτύλοις καταθλῴης, διαλυθεῖσαν ⟨ἂν⟩ εἴποις. καὶ δοκοῦσιν οὗτοι πιθανώτεροι τῶν ἄλλων εἶναι. τὰ δ᾽ αὐτὰ λέγουσιν αὐτοῖς δυνάμει καὶ οἱ τὰ μὴ γλίσχρα φάντες, ἅπερ εἴποι τις ⟨ἂν⟩ ἐν μιᾷ συνθέτῳ φωνῇ οἷον ἄγλισχρα. εἰ γὰρ ἀπὸ τῶν ψαθυρῶν ἐδεσμάτων ἐπὶ διαχωρήματα μεταφέρειν χρὴ τὴν ὁμοιότητα, πιθανώτερον ἂν εἴη λέγειν ψαθυρὰ τὰ εὐδιάλυτα καὶ μηδεμίαν ἕνωσιν ἔχοντα δύσλυτον. ἀλλὰ τά γε τοιαῦτα διαχωρήματα γένοιτ᾽ ἂν καὶ ἀπ᾽ ἐδεσμάτων ψαθυρὰν καὶ εὐδιάλυτον ἐχόντων τὴν οὐσίαν. εἶδον οὖν ἐν ἀγρῷ παιδία κηπουροῦ σίτων μὲν ἀποροῦντα, ἀπίων δ᾽ εὐποροῦντα ἐκ τῆς ἐκείνων ἐδωδῆς τοιαῦτα διαχωροῦντα· καὶ οἱ τὴν κέγχρον καὶ τὸν ἔλυμον ἐσθίοντες ἢ τοὺς κριθίνους ἄρτους ὅμοια τούτοις ἀποπατοῦσιν. εἰ δ᾽ ἄρτους
763 τις ἐκ | πυρῶν ἐσθίων τοιαῦτα διαχωρήσειεν, ὑπονοήσειν χρὴ λεπτὴν καὶ διαλυτικὴν ὑγρότητα μεμῖχθαι τοῖς ἀποπατήμασιν αὐτοῦ κωλύουσαν ἀλλήλοις ἑνοῦσθαι. Διοσκορίδης δὲ ὥσπερ ἄλλα προχείρως ἐν τοῖς ἀσαφέσι βιβλίοις ὑπήλλαξεν, οὕτω καὶ τὰ ὑποψάθυρα μεταγράψας ἐποίησεν ὑποψέφαρα καί φησιν αὐτὸς οὕτως ὠνομάσθαι τὰ ὑπομελανίζοντα· τὸ γὰρ σκότος ψέφας εἰρῆσθαι καὶ παρὰ Πινδάρῳ.

μετὰ δὲ τὴν τῶν ψαθυρῶν μαντείαν ἢ εἰκασίαν ἢ προπέτειαν (ὅ τι γὰρ ἄν τις ἐν τοῖς τοιούτοις ὡς βεβαίως ἐγνωκὼς ἀποφαίνηται,

24 Πινδάρῳ] *Nem. 3, 41 et fr. 324 cf. Et. M. 818, 33 et Gal. XIX 150, 3*

γὰρ ὅτι τὰ ὑποψάθυρα ψευδέος(?) ἐστίν. ψαθυρὰ μὲν οὖν πάντως χρή ἅτινα λέγει τὰ ὑποψάθυρα A: *hinc haec olim scripta fuisse conicio*: δῆλον γὰρ ὅτι τὸ ὑποψάθυρα μετρίως ἐστὶ ψαθυρά. πάντως μὲν οὖν ἐκεῖνον ἐχρῆν ἡμῖν δηλῶσαι, τίνα λέγει διαχωρήματα ὑποψάθυρα. *fieri potest, ut glossa vocis* ὑποψάθυρα *aliunde intrusa textum corruperit* 134, 1 αὐτοῦ L ἐνεχθέντων A μείζον A: μεῖζον R 2 φήσει R 4 τινὲς δὲ τὰ R: τίθεται LA γλίσχρα A: ἄγλισχρα R *(at cf. v. 10)*: δηγλισχρα L 5 ὅ τι] εἴ τι A φησὶν L 6 τὸ ἔλαιον L διαχωρήματα LA 7 δεύσας *scripsi*: δεύσειας RLA 8 σφίγξας R: σφίξας LA: σφίξειας *ex Aldo edd.* καταθλῴης *scripsi*: καταθῇς L: καταθὴς R: καταθεὶς A διαλυθεῖσαν εἴποις R: διαλυθῇ LA ἂν *addidi* 9 οὗτοι *om.* L 10 εἴπη LA ⟨ἂν⟩ ἐν *scripsi*: ἐν RLT *cf. Gal. VII 643, 7. XV 150, 3* 12 εἴη *om.* A 13 τὰ R: *om.* A: *corros.* L ἕνωσιν *post* δύσλυτον *transp.* A 14 καὶ *om.* A 15 ἔχοντα A *post* οὖν *add. hians* ἐγὼ L 16 κηπωροῦ R σίτων μὲν ἀποροῦντα L: σίτου μὴ εὐποροῦντα R: σίτων μὲν ἀποροῦντος A εὐποροῦντος A 17 καὶ οἱ R: καὶ οἷα LA κέγχρον τε καὶ τὴν ἔλ. ἐσθίοντα L: τὴν ἔλιμον ἐσθίοντα *etiam* A 18 ὅμοια τ. ἀποπατοῦσιν *om.* A ἀποπατοῦντα L 19 ὑπονοήσειν R *(more posteriorum pro* ὑπονοῆσαι *cf. ad Didymi Demosth. 9, 16)*: ὑπὸ ἕνωσιν LA χρὴ καὶ λεπτὴν LA 20 διαμεμῖχθαι διατοπόμασιν A 21 ἀλλήλου L διοσκουρίδης L ἄλλα RA: ἄλλα πολλὰ L 22 τὰ] τὸ *Helmreich* 23 ἐποίησεν L: ἔγραψεν RA οὕτως *om.* L: αὐτὸς A ὠνομάσας A 24 ψέφος *Et. M. l. supra l.* 26 ἀποφαίνεται L

προπετές ἐστιν) ἐπὶ τὰς ἑξῆς ἴωμεν λέξεις, ἐν αἷς ἐστιν πρώτη περιψύχοντα οὐκ ἀπύρως, ὅπερ οὖν καὶ αὐτὸ βεβαίως γνῶναι, τί βούλεται, προπετοῦς ἐστιν ἀνθρώπου· στοχαζόμενοι δέ, ὥςπερ ἐπὶ πολλῶν ἄλλων ἐποιήςαμεν ἐν τῷδε τῷ βιβλίῳ, καὶ περὶ τούτου φήςομεν εἰρῆςθαι περιψύχοντα μὴ ἀπύρως τὰ κατὰ τὴν μὲν ἐκτὸς ἐπιφάνειαν περιψύχοντα, διὰ βάθους δὲ τοῦ ςώματος αἴςθηςιν ἔχοντα πυρώδους θερμαςίας. ταῦτ' οὖν φηςιν εἶναι φαῦλα. τίς δ' οὐκ οἶδεν ὅτι περιψυχόμενος μέν τις | τὸ δέρμα, πυρώςεως δ' αἰςθανόμενος ἐν τῷ βάθει 764 φαύλως ἔχει καὶ χωρὶς τοῦ ζητεῖν ἡμᾶς, εἰ διεχώρηςεν ὑποψάθυρα. τοῖς γὰρ ἐν τῷ Προγνωςτικῷ γεγραμμένοις ἀρκούμενοι πρὸς διάγνωςιν ἀγαθῶν τε καὶ κακῶν διαχωρημάτων οὐ ςφαληςόμεθα.

τούτοις δ' ἐφεξῆς γέγραπται κατὰ τὴν προκειμένην ῥῆςιν ὧδε· τὰ ἐπὶ τούτοις ῥίγεα κύςτιν καὶ κοιλίην ἐπιλαμβάνοντα ὀδυνώδεα. ζητεῖν οὖν πάλιν ἐνταῦθα ἡμᾶς ὁ ςυγγραφεὺς βούλεται, τί ςημαίνει τὸ ἐπιλαμβάνοντα. διὰ μὲν γὰρ τῶν ἔμπροςθεν ἀπολήψεις τὰς ἐπιςχέςεις ὠνόμαςε, νυνὶ δὲ τὸ ἐπιλαμβάνοντα γράψας ἐνίοις μὲν ἐπὶ ταὐτὸ φέρειν δοκεῖ τοὔνομα ταῖς ἀπολήψεςιν, ἐνίοις δὲ τὸ οἷον ἐπὶ πλέον ἐκτεινόμενα δηλοῦν. τὸ δέ γε ὀδυνώδεα προςκείμενον ἱκανὸν ἐνδείξαςθαι κάκωςίν τινα δηλοῦςθαι διὰ τῆς ἐπιλαμβάνοντα φωνῆς.

ἐπὶ μὲν οὖν τῶν ἄλλων ςυγγραμμάτων τὰ πλεῖςτα τῶν ἀπορουμένων ἐκ τῶν ἐπιφερομένων γινώςκεται, κατὰ δὲ τὸ βιβλίον τοῦτο μεῖζον ἀεὶ τοῦ πρόςθεν | ἐπιφέρεται ζήτημα, καθάπερ καὶ νῦν εἰπόντος 765 αὐτοῦ· ἆρα τὸ κωματῶδες; ἤτοι γὰρ τοιοῦτόν ἐςτιν ὅ φηςιν ἐν τούτοις, τοῖς εἰρημένοις ἢ ἅπαςιν ἢ καὶ τοῖς ⟨γ'⟩ ὑςτέροις (καὶ γὰρ καὶ τοῦτ' ἄδηλον) τὸ κωματῶδες πάθημα ςυνυπάρχον τι ἔχειν καὶ ςπαςμῶδες, † ὡς ἐν ᾧ μὲν αὐτὸ καὶ ςυνυπῆρξεν, ὅτι τοῖς εἰρημένοις ἕπεται, τὸ κωματῶδες. ἀλλ' οὐδέτερον τούτων οὔτ' ἀναγκαῖόν ἐςτιν οὔθ' ὡς ἐπὶ πολύ. καὶ μέντοι καὶ αὐτὸς ὁμολογεῖ· προςέθηκε γὰρ τὸν ἀπορητι-

10 ἐν τῷ Προγνωςτικῷ] *11 (II 134 L.)* 15 διὰ . . . τῶν ἔμπροςθεν] *Prorrhet. I 41 (cf. p. 56, 12). 51 (65, 2). 115 (cf. p. 132, 28)*

1 προπετής A πρώτως A 2 οὖν RA: αὖ πάλιν L 3 ςτοχαζομένου A 4 τοῦδε L 5 τὰ κατὰ τὴν μὲν τὴν R: κατὰ μὲν τὴν L: κατὰ τὴν A 6 διὰ . . . ἔχοντα *om.* R 7 φαῦλα *om.* LA 8 τις *om.* A 9 ζητεῖν LA: ζητῆςαι *hians* R 14 ζητοῦν A πάλιν, *corr. ex* ἡμᾶς R^1 ἐνταῦθα R: ἐν τῷ L: *om.* A 15 γὰρ *om.* A ἀπολήψεις (*scil.* κοιλίης ἀπολελαμμένης) RL: ἀπὸ λήθης A 16 τὸ *scripsi ex em. l. adscr. v. 17*: τὰ RLA 17 ταὐτὸ *scripsi*: τούτου LA: του^τ' R δοκεῖ LA: δοκεῖν R *ante* ταῖς *iter.* τὸ ἐπιλαμβάνοντα R 18 ὅτι δὲ τό γε ὀδυνῶδες LA προκείμενον R 19 κάκωςιν RA: κακωςίη L: κάμνωςιν *ex Aldo edd.* δηλοῦται LA 21 μὲν οὖν LA: οὖν *om.* R 23 νομίζων ἀεὶ τὸν πρόςθεν L ἀεὶ *om.* A 24 κωματῶδες ⟨τούτοιςιν ἔχει τι ςπαςμῶδες⟩ *suppl. Kalbfleisch* ἐςτιν ὅ R: ἐςτι A: τι L 25 ἢ RA: εἴτ' οὖν L ἢ *Kalbfleisch*: τε RLA γ' *add. Kalbfleisch* 25. 26 τοῦτο δῆλον RLA: *corr. Kalbfleisch* 26 ςυνυπάρχον τι L: ςυνυπάρ^τχον RA 27 ὡς . . . κωματῶδες *om.* L; *tempto* ἢ *(sic pro* ὡς *Kalbfl.)* ἐν ᾧ γίνετ' αὐτὸ (*scil.* τὸ ςπαςμῶδες) κ. ςυν., τοῦτο τοῖς κτλ. 29 ἐπὶ τὸ πολύ L

κὸν ἆρα cύνδεcμον, εἶτ᾽ ἐπιπεφώνηκεν αὐτῷ τὸ οὐκ ἂν θαυμάcαιμι. γέγραπται γὰρ οὕτωc ἐν τοῖc πλείcτοιc καὶ ἀξιοπίcτοιc ἀντιγράφοιc, ὥcπερ οὖν καὶ κατ᾽ ἄλλα τινὰ μηδ᾽ ὅλωc γεγραμμένον εὑρίcκεται.

III 24 [I 117. V 548, 7] Τὰ ἐν ὀξέcι ἐμετωδέωc ἑλκόμενα φλαῦρα καὶ αἱ λευκαὶ διαχωρήcιεc δύcκολοι. ἄγλιcχρα ἐκ τούτων διεξελθόντα ἐξίcτανται καύματι πολλῷ, ἆρά γε ἐκ τοιου-
766 των κωματώδεεc | νωθροὶ ἀπογίνονται; τὰ ἐκ τοιούτων μακροτέρωc ἐπινοcέει. ἆρα περὶ κρίcιν οὗτοι βηχώδεεc δύcπνοοι;

Τὰ ἐν ὀξέcι, φηcίν, ἐμετωδῶc ἑλκόμενα φλαῦρα. τοιοῦτον δέ τι καὶ πρόcθεν ἐγέγραπτο καὶ ἡμεῖc ἐπὶ τῶν ὁμοίων ὅμοια λέγειν ἀναγκαζόμεθα. προcθήcω δὲ νῦν κἀκεῖνο πρότερον οὐκ εἰρημένον, ἡνίκα ἔφαcκον ⟨περὶ τούτων⟩, ἀποτρίψαcθαι τὰ λυποῦντα τῆc γαcτρὸc ὁρμώcηc γίγνεcθαι τὴν ναυτίαν. τινὲc δὲ καὶ διὰ φλεγμονὴν αὐτῆc εἰρήκαcι ναυτιώδη γίγνεcθαι διάθεcιν, ὅπερ ἐμπεριέχεται τῷ πρόcθεν εἰρημένῳ λόγῳ τῷ καθόλου. φλεγμονὴ γὰρ εἰ κατὰ τὸν ἑαυτῆc λόγον ἐποίει ναυτίαν, οὐκ ἂν εὑρίcκετό ποτε φλεγμαίνουcα χωρὶc ναυτίαc. cυμπίπτει δὲ αὐτῇ τὸ cύμπτωμα τοῦτο φλεγμαινούcῃ ποτὲ κατὰ διττὸν τρόπον, ἕνα μὲν ὅταν ἀπορρέοντέc τινεc ἰχῶρεc ἐκ τῶν φλεγμαινόντων μορίων εἰc τὴν ἐντὸc εὐρυχωρίαν ἀθροιζόμενοί τε κατ᾽ αὐτὸ τὸ χωρίον ἀνιῶcιν
767 αὐτῆc τὸ cτόμα, καθ᾽ ἕτερον δ᾽, ὅταν ἐπίμικτοc ἡ διάθεcιc | γίνηται, δυοῖν ἀλλήλαιc ἐπιπλεκομένων διαθέcεων, ἐν ἑκατέρᾳ καὶ κατὰ μόναc γίγνεται. τῆc οὖν τὸ ναυτιῶδεc cύμπτωμα ποιούcηc διαθέcεωc ἐπιπλακείcηc τῇ φλεγμονῇ διὰ τὴν ἑτέραν αὐτῶν οἱ κάμνοντεc γίνονται ναυτιώδειc, οὐ διὰ τὴν φλεγμονήν.

cυμβαίνει δ᾽ ἐνίοτε μὲν ἐπὶ μετρίαιc ναυτίαιc ἔμετον αὐτίκα cυμπίπτειν, ἐνίοτε δὲ cυνταράττεcθαι μὲν ἐπὶ πλεῖcτόν τε καὶ πυκνόν,

10 πρόcθεν] *Prorrhet. I 19. 60. 62. 71. 76* 11 πρότερον] *p. 43, 12 an 86, 22?*

1 εἶτ᾽ LA: οὔτ᾽ R 3 κατ᾽ ἄλλα τινα R: καταλλάττειν δ LA 4 ἐμετωδῶc R: αἱματωδέωc LA 5 διαχωρήcειc RL: διαχωρήcειc αἱ A: διαχωρήcιεc *Hipp.* ἄγλιcχρα R *(cf. 137, 18)*: πε^λα^ γλίcχρα A: πελιὰ ἄγλιcχρα L *ut Hipp. DP¹*: περίγλιcχρα *Hipp. boni codd.* τοιούτων A, *Hipp. codd. nonnulli* 6 διεξελθόντων RA (*Hipp. IK* διελθόντων): διελθόντα L *ex Hipp. codd. cett. (cf. 137, 18)* ἐξίcταται *Hipp. boni codd.* ἆρά γε *Gal. 137, 26*: οἱ RLA: ἆρα *Hipp.* τοιούτων L *(137, 26)*: τούτων RA *Hipp.*: τουτέων *Hipp. FHI* 7 *post* νωθροὶ *add.* ὑποcπαcμώδεεc *Hipp. codd.* ἐπιγίνονται *Hipp.* τὰ *om. Hipp. codd.* τοιουτέων *Hipp. eidem* 8 ἦρά γε *Hipp.* βηχώδεεc RA, *Hipp. DHVP¹Q¹*: ὠχώδεεc L: χολώδεεc *Hipp. FIJK*: ξηρώδεεc *Aldus* 9 αἱματωδῶc RLA 10 ὁμοίων ὅμοια λέγειν A: ὁμοίων ὁμοιαλγεῖν L: ὅμοια λέγειν R 12 περὶ τούτων *addidi* 13 δὲ *om.* L εἰρήκαcι *ante* τινὲc *transp.* L: *om.* A 14 ναυτιώδειc γίνεcθαι διαθέcειc L 15 αὐτῆc A 16 ηὑρίcκετο L 17 αὐτῷ A 20 ἑκάτερον LA 21 καὶ RL: *om.* A *et Aldum secutae edd.* μόναc LA: μο^ν^ *ambigue* R *(cf. ad p. 126, 17)* 25 cυμπίπτει R 26 cυνταράccεται L μὲν ἐπὶ πλεῖcτον R: ἐπὶ πλ. μὲν L: ἐπὶ πλ. δὲ A

ἐμεῖν δ᾿ ἤτοι μηδὲν ἢ παντάπαϲιν ὀλίγον, ὅπερ ἔϲτιν εἰκάϲαι τὸ ἐμετωδῶϲ ἑλκόμενα δηλοῦν, ὅπερ εἴρηται κατὰ τὴν προκειμένην ῥῆϲιν ἐν ἀρχῇ. μοχθηρὸν δέ ἐϲτιν οὐχ ὡϲ ϲημεῖον μόνον, ἀλλὰ καὶ ὡϲ αἴτιον τὸ τοιοῦτον ϲύμπτωμα. καθ᾿ ὅϲον μὲν γὰρ ἐνδείκνυται κακοχυμίαν δυϲέκκριτον ἐν τῷ ϲτόματι τῆϲ κοιλίαϲ περιέχεϲθαι, κατὰ τοῦτο ϲημεῖόν ἐϲτιν μοχθηρόν· ὅτι δὲ ϲυνεχέϲι ϲπαραγμοῖϲ ἀνιᾷ τὴν γαϲτέρα, κατὰ τοῦτο πάλιν ὡϲ αἴτιον αὐτῇ γενήϲεται τῆϲ μὲν οὐκ οὔϲηϲ φλεγμονῆϲ ὡϲ γενέϲθαι νῦν, τῆϲ δ᾿ ἔμπροϲθεν οὔϲηϲ ὡϲ αὐξηθῆναι.

ἀλλὰ καὶ αἱ λευκαὶ διαχωρήϲειϲ, φηϲίν, δύϲκολοι. τοῦτο δ᾿ | ἔνιοι μὲν ἀπὸ τοῦ προειρημένου χωρίζουϲιν, ἔνιοι δ᾿ ἐκείνῳ ϲυνάπτουϲιν. 768 εἰρήϲεται δὲ ὅπερ ἐπὶ τῶν προειρημένων διὰ τῶν ἔμπροϲθεν, ταὐτὸ καὶ περὶ τούτων. λευκαὶ γὰρ αἱ διαχωρήϲειϲ γίνονται μὴ καταρρεούϲηϲ ἐξ ἥπατοϲ εἰϲ τὴν γαϲτέρα χολῆϲ. ἀλλὰ τοῦτό γε καὶ καθ᾿ ἑαυτὸ δύναται καὶ μετὰ τοῦ προειρημένου ϲυϲτῆναι. διὰ μέντοι τὸ μιγνύειν αὐτὸν ἀλλήλοιϲ πολλὰ τῶν ἑτερογενῶν ἔξεϲτι τοῖϲ ἀναγινώϲκουϲι ϲυνάπτειν αὐτὰ καὶ χωρίζειν ἀπ᾿ ἀλλήλων.

ἀλλὰ τό γ᾿ ἐφεξῆϲ τοῖϲ λευκοῖϲ διαχωρήμαϲι γεγραμμένον ἄγλιϲχρα ἐκ τούτων διεξελθόντα ἐξίϲτανται καύματι πολλῷ τῶν ἅπαξ ἴϲωϲ ἢ δὶϲ ἑωραμένων ἐϲτὶν αὐτῷ μηδεμίαν ἀναγκαίαν ἔχοντα τῆϲ ἀκολουθίαϲ αἰτίαν, ἀλλ᾿ ὡϲ εἴρηται πολλάκιϲ ἤδη, γίγνεϲθαι δυνάμενα ποτὲ μὲν τῷ μεθίϲταϲθαι τοὺϲ λυποῦνταϲ χυμούϲ, ποτὲ δὲ τῷ μερίζεϲθαι, ποτὲ δὲ τῷ πλείοναϲ ἐπιλαμβάνειν τόπουϲ αὐξανομένηϲ τῆϲ διαθέϲεωϲ.

ἔτι δὲ μᾶλλον οὐδὲ κωματώδειϲ αὐτοὺϲ γενέϲθαι τῶν ἀναγκαίων ἐϲτίν, ἀλλὰ τῶν ἐνδεχομένων. τοῦτο δὲ καὶ αὐτὸϲ ὡμολόγηϲεν εἰπών· ἆρά γε ἐκ τοιούτων κωματώδεεϲ; ἐφάνη γοῦν αὐτὸ διὰ τῶν ἔμπροϲθεν 769 ἀεὶ προϲγράφων, ἐφ᾿ ὧν οὐδ᾿ αὐτὸϲ ἀποφήναϲθαί τι τολμᾷ. καὶ μέντοι καὶ τἆλλα τὰ ἐφεξῆϲ ἄχρι τέλουϲ τῆϲ ῥήϲεωϲ ὁμοίαν ἔχει τὴν ἀτοπίαν, ὥϲτ᾿ ἴϲωϲ ἐχρῆν ἡμᾶϲ ἤδη πεπαῦϲθαι τῆϲ ἐξηγήϲεωϲ τῶν ὑπολοίπων ἐν τῷ βιβλίῳ ῥήϲεων. τοῖϲ μὲν γὰρ ἀκριβῶϲ ἐκμεμαθηκόϲι, τίνα τε ἐν τοῖϲ Ἱπποκράτουϲ γέγραπται βιβλίοιϲ, ὅϲα τε κατὰ τὰϲ ἐξηγήϲειϲ αὐτῶν ὑπ᾿ ἐμοῦ λέλεκται, γινώϲκειν ὑπάρχει, τίνα μὲν τῶν ϲημείων

20 εἴρηται πολλάκιϲ] *e. g. 114, 13. 122, 10 al.*

1 ἐμεῖ L: ἐμεῖται A εἴπερ L αἱματῶδεϲ LA 3 ἐν *om.* LA ἀρχῇ μοχθηρὰ (*om.* δέ) LA 4 τὸ RA: τί L 5 ϲώματι L κοιλίηϲ R *et inde edd.* *post* τοῦτο *add.* τὸ L 6 δὲ *om.* A 7 αὐτῆι LA: αὐ$^{τ\frown}$ *ambigue* R: αὐτῆϲ *ab Aldo edd.* *post* μὲν *add.* οὖν L 9 διαχωρήϲειϲ *om.* LA 11 εἰρήκαμεν RLA: *corr. Kalbfleisch* δὲ ὅπερ R: δ᾿ ὥϲπερ L: δὲ ὥϲπερ A τοῦ προειρημένου LA αὐτὸ RLA: *correxi* 12 τούτου LA 13 καὶ *om.* LA 14 ϲυϲτῆϲαι L 16 ἀλλήλοιϲ *comp.* R 18 τούτου διελθόντα LA 19 αὐτοῦ A 21 τῷ μεθίϲταϲθαι LA: *om.* R λυποῦνταϲ R: λοιποὺϲ L: λεπτοὺϲ A 22 δὲ *om.* A 26 ἐφάνη R: ἀφανῆ LA αὐτὸ LR^2: αὐτῶ R^1: *om.* A 28 τἆλλα τὰ ἐφεξῆϲ R: ταῦτά γ᾿ ἐφεξῆϲ L: ταῦτα τῶν ἐφεξῆϲ A ὁμοίαν RLA: ὁμοίωϲ *ab Aldo edd.* 29 ὥϲτ᾿ RLA: ὡϲ *a Basil. edd.* 31 τε (*prius*) *om.* LA 32 μέν RLA: μέντοι *ab Aldo edd.*

ἔγραψεν, ἵνα ἔχῃ τὴν προγνωστικὴν ὡcαύτωc ἔχουcαν ἀεί, τίνα δ' ὡc τὸ πολύ, τίνα δ' ἀμφίβολον ἢ cπάνιον, ἔτι τε τὰc ἐν τούτοιc αὐτοῖc ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοράc, ὥcτ' οὐδὲν ἐμοῦ πρὸc τὰ παρόντα δέονται. τοῖc δὲ πρὶν ἐκεῖνα μαθεῖν ἐπὶ ταῦτα ἐλθοῦcι μακροῦ πάνυ λόγου καθ' ἕκαcτον αὐτῶν ἐcτιν χρεία, ὥcτε μὴ τριῶν, ἀλλὰ τριάκοντα δεηθῆναι βιβλίων.

ἐγὼ μὲν οὖν τὰc ἐν τοῖc πιcτοῖc τῶν ἀντιγράφων ὁμολογουμέναc γραφὰc ἐν τῇ προκειμένῃ ῥήcει διῆλθον. εἰcὶ δὲ καὶ ἄλλαι πολλαὶ †
770 γραφαὶ ἄλλαι ἄλλωc, | ὡc ἂν ἐθέλωcιν. ἀλλ' εἰc ἄπειρον,* ὡc ἔφην, μῆκοc ἐκπεcεῖν ἀναγκαcθήcομαι παcῶν μνημονεύων.

III 25 [I 118. V 550, 4] Τὰ ἐξ ὀcφύοc εἰc τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα παραλύcαντα παραπληκτικὸν τρόπον cπαcμώδεα παρακρουcτικά· ἆρά γε καὶ λύεται τὰ τοιαῦτα cπαcμῷ; ἐκ τῶν τοιούτων ποικίλωc διανοcέουcι διὰ τῶν αὐτῶν ἰόντεc.

Καὶ κατὰ ταύτην τὴν ῥῆcιν ἄδηλόν ἐcτιν, ὅπωc ἀναγινώcκειν ἡμᾶc ὁ γράψαc ἠβουλήθη, πότερον ἐφεξῆc ἅπαντα cυνάπτονταc τὰ cυμπτώματα, κἄπειτα ἐπ' αὐτοῖc λέγονταc, ἆρά γε καὶ τὰ τοιαῦτα λύεται cπαcμῷ ἢ μέχρι τοῦ παραλύcαντα παραπληκτικὸν τρόπον ἐφεξῆc ἀναγνῶναι, εἶτα διαcιωπήcανταc πάλιν ἐφεξῆc εἰπεῖν· cπαcμώδεα παρακρουcτικά. τινὲc μὲν γὰρ οὕτωc, τινὲc δ' ἐκείνωc ἀνέγνωcαν.
771 ἐφεξῆc γάρ φηcιν· ἆρά γε καὶ τὰ τοιαῦτα | λύεται cπαcμῷ; τὸ μὲν οὖν τὰ cπαcμώδη λύεcθαι cπαcμῷ τῶν ἀτόπων ἐcτίν, τὰ δὲ προειρημένα λύεcθαι cπαcμῷ πιθανώτερον ἄν τιc ἀκούcειεν. ἔcτιν δὲ τὰ προειρημένα ταυτί· τὰ ἐξ ὀcφύοc εἰc τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα, παραλύcαντα παραπληκτικὸν τρόπον, ὕcτερον γενέcθαι cπαcμώδη καὶ γενόμενα τοιαῦτα λῦcαι τὴν παραπληγίαν. ταῦτα γὰρ ἔχειν τινὰ νοῦν φαίνεται διὰ τὸ τὴν παραπληγίαν τοιοῦτον πάθοc ὑπάρχειν ἑνὸc μορίου τοῦ cώματοc, ὁποῖόν ἐcτιν ἡ ἀποπληξία τοῦ παντόc, τούτῳ δ' ἐναντιώτατον εἶναι κατά γε τὴν κίνηcιν αὐτὴν πάθημα τὸν cπαcμόν· ἀκίνητα γὰρ ἐργαζομένηc τὰ πεπονθότα μόρια τῆc

1 ὡcαυτὸν L 2 cπάνια A 3 ἐν *ante* τῷ *deleam* τε *om.* LA 5 τριάκοντα R: τράκοντα A: τ' L 8 *conicio* πολλαί, γραφόντων ἄλλων ἄλλωc 9 ἐθέλωcιν RA: θελήcωcιν L ὡc *(alt.) om.* L 11 ἐc *Hipp.* 12 *post* ἀναδιδόντα *add.* καὶ RA: *om.* L *ut. Hipp. codd. plerique et Gal. v. 26* ἀναλύcαντα A παραπληκτικὸν R: παραπληγικὸν L: παραλυτικὸν A *cf. v. 19* 13 γε *om. Hipp. codd. plerique* cπαcμῶ R *(cf. 19)*: cπαcμώδεα L *et compendiose* A *ordinem variat Gal. infra v. 18—22* 14 τοιουτέων *Hipp. nonnulli* *ante* διὰ *add.* καὶ RA: *om.* L, *Hipp., Gal. p. 139, 6* 15 ἰόντεc L *cf. Gal. l. c.*: ὄντεc RA 16 κατ' αὐτὴν L 19 cπαcμῷ ἢ R: cπαcμώδεα L: cπαcμῶ^δ' A παραπληκτικὸν] περιπληκτικὸν R: παραλυτικὸν LA 22 γε *om.* L 23 τὰ *(prius) om.* LA λύcαι A 26 παραπληκτικὸν RL: παραλυτικὸν A 29 ἀποπληξία *Foesius et ante eum Cornarius et Rasarius (cf. Thesaur. Dindorfiorum VI 361)*: παραπληξία RLA 29. 30 τοῦ παντὸc *om.* L 30 τούτῳ δ' A: τούτῳ γ' L: *om.* R

παραπληγίας, ὁ σπασμὸς εἰς κίνησιν ἄγων σφοδροτέραν τοῦ κατὰ φύσιν, ὡς διασεῖσαι ταῦτα βιαίως, εἰ ἔμφραξις ἢ σφήνωσις ὑγρῶν παχέων ἢ γλίσχρων ἐν τοῖς νεύροις εἴη, κατὰ τοῦτο δόξειεν ἂν ὠφελεῖν τὴν παραπληγίαν.

τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι διὰ τῶν αὐτῶν ἰόντες θεάσασθαί μοι δοκεῖ γεγονὸς ἐπί τινος. εἶδον οὖν ἅπαξ κἀγὼ παραπλησίως | τινὰ διατε- 772
θέντα καὶ μετάπτωσιν ἔχοντα ποικίλως ἄλληλα διαδεχομένων τῶν συμπτωμάτων· ἐγένετο δὲ κἀκείνῳ ταῦτα προηγησαμένων ἀλγημάτων ὀσφύος καὶ τραχήλου καὶ κεφαλῆς, ἐφ' οἷς ἡ χεὶρ ὅλη δυσαίσθητός τε καὶ δυσκίνητος ἦν, ὥσπερ γε καὶ κατὰ ταύτην τὴν ῥῆσιν εἴρηται παραπληκτικὸν τρόπον, οὐκ οὔσης ἀκριβοῦς παραπληγίας, εἶτα σπασμὸς ἐπιγενόμενος αἰσθητικωτέραν τε καὶ πρὸς τὰς κινήσεις ἑτοιμοτέραν αὐτὴν εἰργάσατο. παυσαμένου δὲ τοῦ σπασμοῦ κατὰ βραχὺ πάλιν ἐγένετο χείρων, εἶτα καὶ τὰ κατ' ὀσφὺν καὶ τράχηλον καὶ κεφαλὴν αὖθις ἀλγήσας, ἀθρόαν ἔσχεν αὔξησιν τῆς κατὰ τὴν χεῖρα παραπληγίας, εἶτ' αὖθις σπασμὸν εἶχε πάλιν οὐ σμικρόν.

III 26 [I 119. V 550, 7] Οἱ ἐν ὑστερικαῖς ἀπύρως σπασμοὶ εὐχερεῖς, οἷον καὶ Δορκάδι. |

Κἀνταῦθα τὸ γινωσκόμενον ἡμῖν ἐφαρμόζομεν τῇ ῥήσει μηδὲν ἀπ' 773
αὐτῆς διδασκόμενοι. τὸ γὰρ εὐχερὲς ὄνομα τῶν ἀμφιβόλων ἐστὶν ὅσον ἐφ' ἑαυτῷ. δύναται γοῦν τις ἀκούειν ἐξ αὐτοῦ καὶ τὸ εὔλογον τῆς γενέσεως τῶν ἐπὶ ὑστερικοῖς παθήμασι γινομένων σπασμῶν, δύναται δὲ καὶ τὸ ἀκίνδυνον αὐτῶν εἰρῆσθαι, ὥστε αὐτὴ μὲν ἡ ῥῆσις οὐδὲν διδάσκει καθάπερ οὐδ' ἄλλος τις λόγος ἀμφίβολος. οἱ φθάνοντες δ' ἐπίστασθαι τὴν ἐν τοῖς λεγομένοις πράγμασιν ἀλήθειαν ἐφαρμόττουσιν ἑνὶ μέρει τῆς ἀμφιβολίας, ἐνίοτε δὲ καὶ δυσίν, ὥσπερ καὶ νῦν ἀναγινώσκουσιν οὗτοι· ταῖς γὰρ ὀνομαζομέναις ὑστερικαῖς γυναιξίν, αἳ ταῖς ὑστερικαῖς πνίξεσιν ἁλίσκονται, καὶ γίνονται συνεχεῖς ὅλου τοῦ σώματος συνολκαὶ σπασμώδεις καὶ οὐχ ὁμοίως ἔχουσι τοῖς ἄλλοις σπασμοῖς κίνδυνον. ἐπεὶ δὲ καὶ ταῖς μεγάλαις τῆς μήτρας φλεγμοναῖς ἐνίοτε σπασμοὶ συνεδρεύουσι, τούτων ἀφώρισε τοὺς νῦν εἰρημένους προσθεὶς τῇ

2 διασεῖσαι ταῦτα R: διασεῖσαι αὐτά A: διασείεσθαι αὐτὰ L   παχέων RA: ἢ παχέων L   3 δόξει A   ἂν L: *om.* RA   4 παραπληξίαν L   6 διανοσέου L   *post* διανοσέουσι *add.* καὶ *ab Aldo edd.*: *om.* RLA   ἰόντα L: ὄντες RA   7 κἀγὼ RA²: ἐγὼ LA¹   8 ἀλλήλων L   9 κἀκείνῳ LA: κἀκεῖνο R   προηγησαμένω R   11 γε *om.* L   ταύτην *om., sed suppl.* L¹   παραπληγικὸν LA   12 παραπληγίας LA: παραπλῆ (*quasi* παραπληγῆς) R   13 ἐπιγινόμενος A   αὐτὴν L: *om.* RA   15 τὰ (*post* καὶ) *om.* A   16 παραπληγίας LA: παραπλησίως R   17 μικρὰν L   18 *lemma cum comm. om.* L   ἀπύρως RA: ἀπύροις *Hipp. codd.*   19 εὐχερέες *Hipp.*   δορκάδι A, *Hipp.*: δορδάδι R   21 διδασκομένοι A: διδασκόμενον R   22 ἐφ' ἑαυτό A   24 αὕτη A   26 ἑνὶ *om.* A   29 συνεχοῦς A   30 καὶ *om.* A   ὁμοίως (*comp.*) RA: *conicio* ὅμοιον *conlata p. 137, 28*   ἔχουσαι A   31 ἐπεὶ δὲ R: ἐπειδὴ A   32 προσθῆς R

ῥήσει τὸ ἀπύρως, ὅπερ ἐστὶ χωρὶς πυρετοῦ. πρόδηλον γὰρ ὅτι ταῖς
774 φλεγμοναῖς τῆς μήτρας * * *, ἀλλ' οὐδὲ | γίνονται πολλάκις· [ἐπὶ φλεγμονῇ μήτρας] οἱ σπασμοὶ γενόμενοι κινδυνώδεις εἰσί.

III 27 [I 120. V 550, 8] Κύστις ἀποληφθεῖσα ἄλλως τε καὶ μετὰ κεφαλαλγίης ἔχει τι σπασμῶδες. τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

Ἀπόληψιν οὔρων ὥσπερ καὶ διαχωρημάτων εἴωθεν ἀντὶ τῆς ἐπισχέσεως ὀνομάζειν. ἔχειν οὖν φησίν τι σπασμῶδες αὐτὴν ἐν ἴσῳ τῷ δύνασθαι σπασμόν ποτε ἐργάσασθαι καὶ μάλισθ', ὅταν ἄλγημα προσγένηται κεφαλῆς· δηλοῖ γὰρ ἐν συμπαθείᾳ τῆς κύστεως τὴν τῶν νεύρων ἀρχὴν γεγονέναι. τὸ δ' ἐπιφερόμενον τούτῳ κατὰ τὴν ῥῆσιν, ἐν ᾧ τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα γέγραπται, διττῶς ἐξηγήσαντο, τινὲς μὲν ἐπ' αὐτῶν τῶν οὔρων εἰρῆσθαι φάσκοντες, ὡς εἰ ἐκ τῆς
775 ἐπισχέσεως ναρκωδῶς ἐκκριθείη (βού|λονται γὰρ ἀντὶ τοῦ ἐκκρινόμενα ἐκλυόμενα λελέχθαι), τινὲς δὲ ἐπὶ μορίων τοῦ σώματος ἤκουσαν φάναι ἐκλύεσθαι, τινὲς δ' ἐφ' ὅλου τοῦ σώματος, ἵνα φήσωμεν αὐτὸ κατὰ μὲν τὴν αἴσθησιν ναρκῶδες, κατὰ δὲ τὴν προαιρετικὴν κίνησιν ἔκλυτον γεγονέναι. ταῦτ' οὖν βούλονται δύσκολα μὲν ἐν ἴσῳ τῷ ἀκίνδυνα λελέχθαι, οὐ μὴν ὀλέθριά γε. εἰ δὲ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἀπορῶν † ἀποφαίνεται παρακρουστικὸν εἶναι τὸ τοιοῦτον ἢ μή, πολλάκις ἤδη μεμαθήκαμεν αὐτοῦ τὴν γνώμην ἐν οἷς ἀπορεῖ.

III 28 [I 121. V 550, 11] Ἆρά γε καὶ περὶ κρόταφον ὀστέων διακοπαὶ σπασμὸν ἐπικαλέονται; ἢ τὸ μεθύοντα πληγῆναι ἢ τὸ ῥυῆναι πολὺ ἐν ἀρχῇσι; τοῦτο ποιεῖ σπασμώδεα;

1 ἀπύρρως R 2 *post* τῆς μήτρας *lacunam statui, quam explent* μεγάλαις ἕπονται πυρετοὶ *ab Aldo edd.* 2. 3 *varia lectione* ἐπὶ φλεγμονῇ (φλεγμοναὶ A) μήτρας *intrusa videntur expulsa* εἰ δέ, (*scil.* γίνονται) 3 οἱ σπασμοὶ R: εἰς σπας[μ] A 4 κύστις . . . ναρκωδῶς *(5) om.* L κύστεις ἀποληφθεῖσαι A 5 τὸ ναρκῶδες A: τὰ ναρκωδέως *Hipp.* τούτοισιν RLA: τοιούτοισι *Hipp. (HIJK)* 6 ἐκλυόμεναι LA δύσκολαι L: δύσκο[λ] A ὀλέθριαι L: ὀλεθρ[οι] A ἦρά γε *Hipp.*: ἆρα (*om.* γε) A 8 ὥσπερ RA: ὥσπερ δὴ L 9 τι φασὶ L 11 κεφαλῆς *Kalbfleisch*: κεφαλῆι L: *ambig. comp.* RA δηλοῖ L: δη[λ] A: δῆλον R γὰρ *om.* A 12. 13 τὰ ναρκωδῶς L: τὰ ναρκῶδες ὡς R: τὸ ναρκῶδες ὡς A 14 ὡς εἰ R: εἰ καὶ LA 15 ναρκῶδες LA ἐκκριθείη *scripsi*: ἐκκριθῇ L: ἐκκρι[θ] RA 16 *post* μορίων *habet* φασὶ L φάναι R: φασι *(comp.)* A: *om.* L 17 θήσομεν L: θήσομαι A 19 μὲν δύσκολα L ἀκίνδυνα] ‛κινδυνώδη *vel* οὐκ ἀκίνδυνα' *Cornarius* 20 εἰ δὲ κατὰ R: κατὰ δὲ L: κατὰ A 21 ἀπορῶν R: ἀπορώτερον LA ἀποφαίνεται LA: ἀναφαίνεται R; *latet fortasse* ⟨διὰ τοῦ⟩ ἆρα φαίνεται ⟨περὶ τοῦ⟩ ἢ μή R: ἢ μέν L: εἰ μὴ A 22 ἤδη RA: εἰ δὲ L μεμεμαθήκαμεν L 23 ἦρά γε *Hipp.* περὶ RA: παρὰ L: κατὰ *Hipp.* 24 ἢ τὸ (*ante* μεθύοντα) RL: τὸν A, *Hipp. codd.* 24. 25 ἢ τὸ ῥῆναι *(sic)* R *cf. p. 141, 8. 12*: *om.* LA, *Hipp.* 25 ἀρχῆσι R: ἀρχῇ LA: ἀρχαῖσι *codd. Hipp.* τοῦτον R: εἰ τοῦτο LA: τοῦτο *Hipp.* ποίει τὰ σπασμώδεα *(haec* τὰ σπασμώδεα *continuantes lemmati insequenti) Hipp. codd. (cf. Gal. v. 141, 1 sqq.)*

Τὸ μὲν ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον σπασμώδεα κατά τινα τῶν ἀντιγράφων οὐ πρόσκειται, διαφέρει δ' | οὐδὲν ὡς πρὸς τὴν διά- 776 νοιαν· εἰ γὰρ καὶ μὴ προσκέοιτο, συνυπακούεται τῷ κατ' ἀρχὴν εἰρημένῳ σπασμὸν ἐπικαλέονται. προφανῶς οὖν ἐδήλωσεν ἐνταῦθα τὸ φανὲν αὐτῷ καθ' ἕκαστον ἄρρωστον, ὅταν ἄξιον εἶναι αὐτῷ δόξῃ γραφῆς, ἑρμηνεύων, εἶτα ἐνίοτε μὲν ἀποφαινόμενος ὡς καθολικόν, ἐνίοτε δὲ διαπορῶν, ὥσπερ καὶ νῦν ἐπί τινος διακοπέντος ὀστοῦν τῆς κεφαλῆς κατὰ κρόταφον, ὃς ἐμέθυε μέν, ἡνίκα ἐπλήγη, παραχρῆμα δὲ αἱμορραγήσας ἰσχυρῶς ὕστερον ἐσπάσθη.

τριῶν οὖν αὐτῷ προσγενομένων, ἑνὸς μὲν τῆς κατὰ τὸν κροταφον διακοπῆς, δευτέρου δὲ τοῦ μεθύοντος γενέσθαι τοῦτο καὶ τρίτου τῆς αἱμορραγίας, ζητεῖ, διὰ τί τούτων ὁ σπασμὸς ἐγένετο. καὶ τοίνυν ἀποκρινοίμην ἂν ῥᾳδίως αὐτῷ, περὶ μὲν τῆς κατὰ τὸν κρόταφον διακοπῆς Ἱπποκράτην λέγειν, ὅτι καὶ "πληγαὶ καίριοι καὶ καροῦσαι αἱ κροταφῖται γίνονται" καὶ μέντοι καὶ ὅτι 'ἐν σπασμοῖς καὶ τετάνοις οἱ κροταφῖται μύες πρῶτοι πάσχουσι'. περὶ δὲ τῆς μέθης τὸν ἀφορισμὸν ἐκεῖνον εἰρῆσθαι· "ἢν μεθύων τις | ἐξαίφνης ἄφωνος γένηται, σπασθεὶς 777 ἀποθνῄσκει." περὶ δὲ τῆς αἱμορραγίας, ὅτι σπασμὸς γίνεται ὑπὸ πληρώσεως ἢ κενώσεως, ἀλλ' οὐχὶ τοῦ παντὸς σώματος, ἀλλὰ τῶν νεύρων αὐτῶν, ὅθεν ἐφ' αἱμορραγίαις οὐ σπῶνται, πλὴν εἰ καταψυχθείη ἤτοι διὰ τὴν τῶν παραμενόντων ἀμέλειαν ἢ τὸ καταπαύειν ἐθέλειν τὴν αἱμορραγίαν διὰ ψυκτηρίων βοηθημάτων.

III 29 [I 122. V 552, 2] Ἐν ἱδρῶτι πτύελα παραρρέοντα πυρετώδει ἐόντι εὐήθεα. ἆρά γε ⟨τούτοισιν⟩ ἐπί τινας ἡμέρας

14 Ἱπποκράτην] *de artic. 30 (IV 142, 6 L., II 147, 1 Kühlew.)* 15 *l. c. p. 142, 4 L.; 146, 19 Kw. cf. de cap. vuln. 13 (III 234, 4 L.; II 18, 9 sqq. Kühlew.) Prorrh. I 103 (supra p. 763)* 16 ἀφορισμόν] *V 5 (IV 534, 1 L.)* 18 *cf. Hipp. Aphor. VI 39 (IV 572, 8 L.) V 3 (IV 532, 12 L.)*

2 οὐ L A: ἡ R 3 γὰρ L A: *om.* R 4 οὖν *om.* A ἐντεῦθεν L

5 αὐτῶι L A: αὐ$^{\tau}$ R αὐτῷ εἶναι *transp.* L γραφὴ A 6 ἑρμηνεύων L A: ἑρμηνεύειν R ὡς *om.* L A 7 ὀστοῦ R L A: *correxi* 8 κατὰ τὸν κρ. L ὃς *om.* L A ἐμέθυε *scripsi (cf.* μεθύοντος *v. 11)*: ἐμέθυσε R L A; *cogites etiam de* μεθυσθεὶς *post* αἱμορραγίσας *(sic) add.* μὲν A 9 ὕστερον δὲ σπασθεὶς L A 10 οὖν R A: οὐσῶν L 11 μεθύοντος L: μεθύοντα R: μεθύον$^{\tau}$ A τοῦτο L A^{1}: τοῦτον R: τούτου A^{2} 13 ἀποκρινοίμην *scripsi*: ἀποκρινοῦμαι R L A καὶ περὶ μὲν L 14 ἱπποκράτης λέγει R L A: *corr. Kalbfleisch* καίριαι L 15 κροταφῖται R L A *(ut* κροταφῖται μύες *Hipp. l. c. 146, 12 Kw.)*: κροταφίτιδες *Hipp. codd.* σπασμῶ A 17 εἰρῆσθαι R L A: εἴρηκεν *Cornarius* τις *post* ἄφωνος *Hipp. vulg. et ipse Gal. supra p. 90, 21; sed consentit cum hac positura Hipp. codd.* $A^{1}C^{1}L^{1}$ 19 ἢ R A: καὶ L ἀλλὰ καὶ τῶν L A 20 αἱμορραγίαις R A: αἱμορραγίαι L οὐ *om.* A εἰ R A: δὲ L: *fortasse* ἐὰν *et tum* καταψυχθῇ καταψυχθείη L A: καταψυχθῇ R ἤτοι R L: τι A 21 ἀπώλειαν A τὸ *om.* L: ἢ τὸ A ἐθέλοι A 22 διὰ R L A: διὰ τῶν *ab Aldo edd.* 23 *de* τὰ σπασμώδεα *huc trahendis (ut habent Praen. Coac. 344* τὰ σπασμώδεα ἀνιδρωτὶ) *cf. supra v. 1 et infra p. 142, 4* 24 ὄντι A εὐήθεα R, *Hipp. cf. Gal. 142, 17*: εὐήθει L A: ἀήθεα *ab Aldo edd.* ἦρά γε *Hipp.* τούτοισιν *Gal. 142, 22*: *hic om.* R L A: τουτέοισιν *Hipp.*

κοιλίαι καθυγραίνονται; οἶμαι. ἆρά γε τούτοισιν εἰς ἄρθρον ἀπόστημα ἔσεσθαι;

Τινὲς τὸ πέρας τῆς προτέρας ῥήσεως ἀρχὴν ταύτης ποιοῦνται διττῶς· ἔνιοι μὲν μετὰ τοῦ ἄρθρου τὰ σπασμώδεα ἐν ἱδρῶτι πτύελα παραρρέοντα· διαφέρει δ᾿ οὐδὲν ὡς πρὸς τὴν διάνοιαν, ἐάν τε προσ-
778 θῇ τις ἐάν τε ἀφέληται τὸ | ἄρθρον. τὸ μέντοι προτάξαι τῶν ἐφεξῆς λεγομένων τὰ σπασμώδεα μεγάλην ἐξαλλαγὴν ποιεῖ τῆς διανοίας. καὶ ταύτης γε ἔτι μᾶλλον κατὰ τὴν ἑτέραν γραφήν, ἥν τινες τῶν νεωτέρων ἔγραψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες ὄνομα σύνθετον ἀνιδρωτί, τοῦτ᾿ ἔστι τὸ μὴ ἐν ἱδρῶτι ἢ ἄνευ τοῦ ἱδρώττειν. εἰ μὲν οὖν μὴ πολλάκις ἐν πολλαῖς ῥήσεσι τὰ μηδὲν εἰς τὴν πρόρρησιν συντελοῦντα τοῖς συντελοῦσιν ἀντέγραψεν, ἄντικρυς ἂν ἐμεμψάμην τοὺς προγράψαντας ἢ προτάξαντας τῇ ῥήσει τὰ σπασμώδεα. προστιθέντος δ᾿ αὐτοῦ καὶ τὰ μηδὲν συντελοῦντα, συγγιγνώσκω τοῖς γράψασι τὰ σπασμώδεα καίτοι μηδὲν ἀξιόλογον εἰς τὰ παρόντα συντελοῦν. τὰ γὰρ ἐν πυρετοῖς ἅμα τοῖς ἀκρίτοις ἱδρῶσι παραρρέοντα πτύελα διὰ πλῆθος ἄμετρον ἢ διὰ ἀρρωστίαν τῆς δυνάμεως γίνεται, καὶ διὰ τοῦτό ἐστιν εὐήθη, καθάπερ εἰ καὶ εὔτροπά τις εἶπεν.

ἀλογωτέρα δέ τι γένοιτ᾿ ἂν ἡ διάνοια γραφόντων ἡμῶν ἀνιδρωτί. καίτοι οἱ μεταθέντες τὴν παλαιὰν γραφὴν ὥς τι σοφώτερον εὑρηκότες
779 οὕτως ἔγρα|ψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες αὐτό. τὸ δὲ ἆρα γε τούτοισιν ἐπί τινας ἡμέρας κοιλίαι καθυγραίνονται; τεθεαμένος ἐπ᾿ ἀρρώστου δηλονότι γενόμενον οὕτως ἔγραψε ζητῶν, εἰ πολλοῖς δύναται τοῦτο συμβαίνειν· ἀποκρίνασθαι δ᾿ αὐτῷ βεβαίως, ὅσον ἐπὶ τοῖς εἰρημένοις, οὐδὲν ἔχομεν. ὅπως γὰρ ἔχει τὰ ἄλλα τῷ τοιούτῳ ἀρρώστῳ χρὴ προσδιορίσασθαι, περὶ ὧν οὐδὲν εἴρηκε. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν ἀποστησαμένων εἰς ἄρθρα· μεμάθηκας γάρ, ἐκ τίνων σημείων χρὴ τὰ τοιαῦτα διορίζεσθαι, περὶ ὧν οὐδὲν εἴρηται νῦν.

27 μεμάθηκας] *Hipp. Aphor. IV 31. 32 (IV 512, 11 L.) inprimis IV 74 (IV 528, 7) cf. Prorrh. II 7 (IX 24, 15 L.)*

1 οἴομαι δὲ τουτέοισιν ἐς ἄρθρον κτλ. *Hipp.* 2 ἔσεσθαι RL: αἴσθεσθαι A 4 τὰ *om.* LA 5 ὡς *om.* L 5. 6 προσθῇ τίς R: προσθῆς τ′//// *(fuit τι?)* L: προστεθῇ τί A 6 ἀφέλης LA 10 τὸ μὴ . . . ἱδρώττειν R: τοῦ μὴ ἱδρώττειν *ceteris sublatis* LA 11 μὴ *scripsi*: ἐν L: *om.* RA: οὐ *coniecit Cornarius* μηδὲν A *(cf. v. 15)*: μηδὲ RL πρόρρησιν RA: προειρημένην L 12 συντελοῦσιν R: συνελθοῦσιν LA ἀντέγραψεν *scripsi; i. e. certatim cum eis quae prosunt scripsisset*: ἀντέγρ/α *(ambiguo comp.)* R: ἀνέγραφεν LA ἐμεμψάμην . . . προτάξαντας τῆς ῥήσεως *(13)* R: ἀνεγράψαμεν τοὺς ἀναγράψαντας (γράψαντας A) τῆι ῥήσει (τῆς ῥήσεως A) LA 13 προστεθέντος αὐτῶι (*om.* δὲ) LA 14 τὰ μηδὲν συντελοῦντα R: τοῦ μηδὲν συντελοῦντος LA 15 συντελοῦν R: συν^τλ A: συντελεῖ L 17 διὰ (*post* ἢ) *om.* L καὶ *om.* LA τοῦτό] τοῦ^τ *(spatio 6 litt. postea relicto)* A: τοῦτο οὖν L: τοῦ R εὐήθη *sic* RLA: ἀήθη *ab Aldo edd.* 18 καὶ LA: καὶ εἰς R 19 δέ τι A: δέ τις R: δ᾿ ἔτι L 21 αὐτό *om.* LA 22 κοιλίαν R 23 γενομένου A εἰ πολλοῖς] εἰς πολλὰ A 28 χρὴ RL: πρὸς A

III 30 [I 123. V 552, 5] Τὰ ἐπ᾽ ὀλίγον θρασέως παρακρούοντα μελαγχολικά. ἢν δὲ ἀπὸ γυναικείων ᾖ, θηριώδεα· ἐπὶ πλείω δὲ ταῦτα cυμπίπτει, ἆρά γε καὶ cπαcμώδεεc αὗται; ἆρά γε καὶ αἱ μετὰ κάρου ἀφωνίαι, cπαcμώδεεc αὗται; οἷον τῇ τοῦ cκυτέοc θυγατρὶ ἤρξατο γυναικείων παρεόντων. |

Τίνα μὲν ὀνομάζει μελαγχολικὴν παραφροcύνην, ἔμπροcθεν 780 εἶπον, αὐτῆc ταύτηc, ἧc νῦν εἶπε ῥήcεωc, τὴν ἀρχὴν αὐτοῦ γράψαντοc. ὁ δὲ ἐνεcτὼc λόγοc ἐcτίν, ὡc αὐτὸc ὡμολόγηcεν, ἑωρακότοc αὐτοῦ τὴν τοῦ cκυτέωc θυγατέρα ἐξ ἐπιμηνίων ἐπιcχέcεωc παρακρούcαcαν θηριωδῶc. ἐνεδείξατο δὲ διὰ τῆc φωνῆc ταύτηc ἐπίταcιν τοῦ μελαγχολικοῦ. ἑτοίμων γὰρ ὄντων εἰc τὸ κακουργεῖν τοὺc πέλαc τῶν μελαγχολικῶc παρακρουόντων, ὅταν μεγάλαc ποιῶνται τὰc κακουργίαc, θηριώδειc αὐτὰc ὀνομάζει. ἀλλὰ τὸ ἐξ ἐπιcχέcεωc τῆc ἐμμήνου καθάρcεωc τοιαύτην γίνεcθαι παραφροcύνην οὔτε παντελῶc ἀληθὲc οὔθ᾽ ὡc τὸ πολύ. μελαγχολικοῦ γὰρ ὄντοc τοῦ αἵματοc τὸ ἐπὶ τὸν ἐγκέφαλον ἰέναι τοιαύτην ἐργάζεται παρακοπήν, πικροχόλου δὲ οὐκέτι τοιαύτην, ἀλλὰ τὴν cυνήθωc γινομένην. εἰ δὲ φλεγματῶδεc εἴη τὸ πλῆθοc, καταφορὰν καὶ λήθαργον μᾶλλον ἐργάcεται, μικτὸν δ᾽ εἴπερ ἐκ τούτων εἴη, μικτὴν καὶ τὴν διάθεcιν ἐκ καταφορᾶc καὶ ἀγρυπνίαc ἢ παρακοπῆc ἀποτελέcει. ὥcπερ δὲ οὐδὲν τούτων ἐcτὶ καθολικὸν αὐτοῖc, οὐ|τωc οὐδὲ τῶν ἐφεξῆc 781 εἰρημένων οὐδέν, ὅcα τῇ τοῦ cκυτέωc ἔγραψε cυμβῆναι θυγατρί.

III 31 [I 124. V 554, 1] Οἷcιν cπαcμώδεcιν ὀφθαλμοὶ ἐκλάμπουcιν ἀτενέc, οὔτε παρ᾽ ἑωυτοῖcίν εἰcιν διανοcέουcί τε μακροτέρωc.

Τὸ παρ᾽ ἑωυτοῖcιν ἔνιοι γράφουcιν παρὰ cφίcιν αὐτοῖc εἰcιν. εὔδηλον δ᾽ ὅτι περὶ τῶν cωφρονούντων ἀμφότερα λέγεται τό τε παρὰ cφίcιν αὐτοῖc εἶναι καὶ τὸ παρ᾽ ἑωυτοῖcιν εἶναι. τὸ δὲ οὐκ εἶναι παρ᾽ ἑωυτοῖcιν, τοῦτ᾽ ἔcτι μὴ κατανοεῖν, ἀλλὰ παραφέρεcθαι τὴν γνώ-

6 ἔμπροcθεν εἶπον] *cf. p. 30, 17 sqq., sed locus Hippocratis (cit. v. 1) est Prorrh. I 25 (supra p. 38, 23)*

1 *lemma cum comm. om.* L 2 δὲ RA: δὲ καὶ *Hipp.* 3 πλέον *Hipp.* ξυμπίπτει· ἠρά γε *Hipp. (DFH)* 4 αἱ *om.* A αὗται *om. Hipp.* 5 cκυτέοc R: cκυτέωc A, *Hipp.* παρεόντων πυρέξαι *Hipp. codd.* 6 μὲν R: μὲν οὖν A 9 cκῦ (τ superscr.) *hic itemque v. 21* A 10 ἐνεδείξατο τὸ δὲ A 14 ἀληθὲc *et* τὸ *om.* A 15 τὸ] τῶ A 17 εἴη *Helmreich*: ἢ RA 19 καταφορᾶc] *obscuratae vocis loco refinxit apices ut* τϐφᾶ (ν superscr.) *appareat* A[2] καὶ *(alt.) om.* A 20 δὲ *om.* A οὕτωc *om.* A 22 οἷcιν *Hipp. (cf. 144, 16)*: οἱ ἐν RLA cμαcμώδεcιν RA, *Hipp. plerique*: cπαcμώδεεc L *ut Hipp. H* ὀφθαλμοῖc LA 23 ἀτενέc *Gal. 144, 17, Hipp.*: ἀτενῶc R *(cf. 144, 2)*: ἀντενέωc L: ἀτενίωc A παρ᾽ ἑαυτοῖcιν R *(cf. Gal. v. 25 sqq.)*: γὰρ ἑωυτοῖcιν LA διανοcήcειν τὲ μακρά A *(cf. 144, 15)*: διαγνώcεώc τε μακροτέραc L 25 παρὰ cφίcιν αὐτοῖc *sic Hipp. codd.* 27 τὸ (*post* καὶ) L: *om.* RA ἑαυτοῖcιν R 28 ἑωτοῖcι A: ἑωυτοῖc L: ἑαυτοῖcι R περιφέρεcθαι RL: παράφορον εἶναι A τὴν γνώμην A: τῆ(ι) γνώμη(ι) RL

μην. τὴν δὲ διάγνωϲιν ἀγνοοῦϲιν ὥϲπερ ἐξ ἄλλων τινῶν, οὕτω κἀκ τῶν ἀτενῶϲ ἐκλαμπόντων ὀφθαλμῶν ἴϲχειν. ἤρκει δ' εἰϲ τοῦτο τὸ πρόϲθεν ὑπ' αὐτοῦ λελεγμένον ὄμματοϲ θράϲοϲ παρακρουϲτικόν, ὡϲ καὶ τοῖϲ ἰδιώταιϲ ἐϲτὶ δῆλον, ὅϲοι γε μὴ παντάπαϲιν ἠλίθιοι. πρόδηλον γὰρ ὅτι τοῦτο προϲυπακούειν ἀεὶ χρή· καλοῦμεν γὰρ εἰϲ τὰ τοιαῦτα πάντα
782 μάρτυραϲ ἰδιώταϲ ⟨οὐ τοὺϲ⟩ ἀδιανοήτουϲ | ὄνταϲ τε καὶ ὀνομαζομένουϲ, ἀλλὰ μάλιϲτα μὲν εἰ οἷόν τε τοὺϲ φύϲει ϲυνετούϲ, εἰ δὲ μή, ἀλλά γε μὴ τοὺϲ νωθροὺϲ τὴν διάνοιαν.

ἐν μέντοι τῷ νῦν λόγῳ πρόϲκειται τὸ ὑπερεκλάμπειν τοὺϲ ὀφθαλμούϲ, ὅπερ ἦν αὐτὸ καθ' αὑτὸ τῶν θυμουμένων γνώριϲμα, ὃ τάχα ϲυνελθὸν τῷ ἀτενεῖ ὄμματι, τοῦτ' ἔϲτι τῷ θραϲεῖ, ϲφοδροτέραν ἐνδείξεται γενήϲεϲθαι τὴν παραφροϲύνην. ἐκ περιττοῦ δὲ ὡϲ πρὸϲ τὴν τοῦ παραφρονῆϲαι αὐτοὺϲ τοιαύτην πρόρρηϲιν ἐμνημόνευϲε τῶν ϲπαϲμωδῶν. καὶ γὰρ καὶ χωρὶϲ αὐτῶν δύναται γενέϲθαι παραφροϲύνη καὶ παρόντων αὐτῶν μὴ γενέϲθαι. τὸ δὲ διανοϲήϲειν αὐτοὺϲ μακροτέρωϲ ἔτι καὶ μᾶλλον εἰκῇ λέλεκται· οἷϲ γὰρ ϲπαϲμώδεϲιν ἐκλάμπουϲιν ἀτενὲϲ οἱ ὀφθαλμοί, τούτουϲ εὔλογον ὀξέωϲ νοϲῆϲαι μᾶλλον, οὐ χρονίωϲ.

III 32 [I 125. V 554, 3] Τὰ ἀνάπαλιν αἱμορραγέοντα κακὸν οἷον ἐπὶ ϲπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥέοντα καὶ τὰ καθ' ὑποχόνδριον ὡϲαύτωϲ. ἐφιδρῶντι δὲ κάκιον. |

783 Εἴ τι καὶ ἄλλο πολλάκιϲ καὶ αὐτὸϲ ἀποβαῖνον εἶδον, οὕτω καὶ τοῦτο. φαίνεται δὲ καὶ Ἱπποκράτηϲ ἐκ πολλῆϲ πείραϲ τῆϲ ἐπὶ μέρουϲ αὐτῷ γεγονυίαϲ ἠθροικέναι τὰ καθόλου. καὶ γὰρ κατὰ τὰ τῶν Ἐπιδημιῶν βιβλία πολλοὺϲ ἔγραψεν ἀρρώϲτουϲ αἱμορραγήϲανταϲ ἐπ' ἀγαθῷ,

2. 3 πρόϲθεν] *Hipp. Prorrh. I 71 (supra 81, 10)* 24 Ἐπιδημιῶν] *IV 25 (V 170, 1 L.). VI 12 (V 272, 12) al.*

1 τὴν διάγνωϲιν· ἀγνοοῦϲιν δὲ R: τοῖϲ (*in corr.* A) ἀγνοοῦϲιν *(ceteris omissis)* LA: *correxi* κἀκ *scripsi*: καὶ RLA 2 ἴϲχει LA πρόϲθεν L: ἔμπροϲθεν A: *om.* R 3 αὐτῶν λεγόμενον A ὄμματι *(comp.)* A θράϲοϲ R: ἔραϲ, *mrg.* ζή(τει) A: ῥάϲι L ὡϲ RA: ὃ L 6 οὐ τοὺϲ *addidi* 7 μή *om.* A 9 πρόκειται L ὑπερεκλάμπον A 10. 11 ὃ τάχα R: τάχα οὖν LA 11 ϲυνελθον^τ (*om.* τῷ) A τῶν ἀτελεῖ L 12 ἐνδείξεϲθαι, *sed corr.* RA ἐκ RL: καὶ ἐκ A δὲ R: φηϲὶν LA 13 τοιαυ^τ A: τοιούτουϲ L: τούτουϲ R 14 καὶ *alterum om.* LA 15 παρόντων αὐτῶν RA: παρ' αὐτῶν L 17 ἀτενὲϲ LA: ἀτενῶϲ R τούτοιϲ *Kühn* 19 *ante* τὰ *habet* περὶ αἱμορραγίαϲ *in mrg.* L: *in textu* A αἱμορραγεῦντα *Hipp.* 20 ϲπληνὶ φλεγμαίνοντι μεγάλῳ *Hipp. codd. (ex Gal. 145, 11)* ῥέοντα καὶ τὰ *scripsi*: ῥέειν καὶ τὰ R *(cf. 145, 15 sqq.)*: γε ὄντα LA: ῥυέντα καὶ τὰ *Hipp. codd.* ὑποχόνδριον R, *Hipp.*: ὑποχόνδρια L: *ambigue* A 21 ἐφιδρῶντι *Hipp. (cf. 145, 26)*: ἐφ' ἱδρῶτι RLA *(Hipp. HV)*: ἐφιδροῦντι *Hipp. nonnulli* κάκιον RA: κἀκεῖνο L 22 εἴ τι LA: ὅτι R καὶ αὐτὸϲ R: καὶ αὖθιϲ LA ἀποβαίνων R 23 δὲ *om.* A τῆϲ R: ἐκ τῆϲ LA 24 γεγονείαϲ R ἠθροικέναι τὰ καθόλου *post* πείραϲ *transp.* RA καὶ *iteravit* L τὰ *(alt.)* LA: *om.* R

τοὺϲ δ' αὖ πάλιν ἐπὶ κακῷ. τὴν δ' αἰτίαν τούτων ἀποφηνάμενοι ἑτέρωθι ϲκεπτώμεθα, νυνὶ δ' ἀρκέϲει τοῦτο γινώϲκειν, ὡϲ οἱ φάϲκοντεϲ, ὥϲπερ ἐξ ἥπατοϲ ἡ κοίλη φλὲψ ἀναφέρεται διὰ τοῦ θώρακοϲ, οὕτω καὶ ἐκ ϲπληνὸϲ ἑτέραν ἀνερχομένην διανέμεϲθαι τοῖϲ ἀριϲτεροῖϲ μέρεϲιν οὐκ ἀληθεύουϲι· μία γάρ ἐϲτι μόνη φλὲψ ἐκ τῶν κάτω τοῦ διαφράγματοϲ ἀνερχομένη.

Ζητεῖται δ' οὐκ ἀλόγωϲ ὑπὸ τῶν ἐξηγητῶν, διὰ τί προϲέθηκε τῷ ἐπὶ ϲπληνὶ τὸ μεγάλῳ, καί φαϲιν οἱ τὰ πιθανώτατα δόξαντεϲ λέγειν ἐπὶ ϲμικροῦ ϲπληνὸϲ οὐ πάνυ ϲαφῆ γίνεϲθαι τὴν ἐφ' ἑκάτερα ῥοπὴν ὠφελείαϲ ἢ βλάβηϲ. ἐμοὶ δὲ δοκεῖ προϲθεῖναι τῷ λόγῳ τὸ μεγάλῳ, ὡϲ εἰ καὶ 'ἐξηρμένῳ' ἢ 'ὠγκωμένῳ' ἢ 'φλεγμαίνοντι' | προϲέγραψεν. 784 εἰ γὰρ ἁπλῶϲ ἐπὶ ϲπληνὶ ἐγεγράφει, ζήτηϲιϲ πάλιν ἂν ἦν ἑτέρα, τί πάϲχοντοϲ λέγει τοῦ ϲπληνόϲ. ἵν' οὖν τοῦτο μὴ ζητῶμεν, ἀλλ' εἰδῶμεν ἐπὶ παντὸϲ ὄγκου τοῦ παρὰ φύϲιν ἐν ϲπληνὶ τὴν ἀνάπαλιν αἱμορραγίαν βλαβερὰν οὖϲαν, ἕνεκα τοῦ διοριϲμοῦ προϲέγραψε τὸ μεγάλῳ. παράδειγμα δέ ἐϲτι τοῦτο αὐτό, δηλονότι τὸ ἐπὶ τοῦ ϲπληνόϲ, ἁπάντων τῶν ἀνάπαλιν αἱμορραγούντων, καὶ διὰ τοῦτο πρόϲκειται τῷ λόγῳ τὸ οἷον, ὡϲ εἰ καὶ οὕτωϲ εἰρήκει 'οἷον ἐφ' ἥπατι μεγάλῳ ἐξ ἀριϲτεροῦ μυκτῆροϲ αἱμορραγία γιγνομένη'. ἀλλὰ τὸ μὲν ἀπὸ ϲπληνὸϲ ὡϲ παραδείγματοϲ ἐφ' ἧπαρ μεταβῆναι προφανὲϲ εἶναι δόξαϲ οὐκέτ' ἐμνημόνευϲεν τοῦ ἥπατοϲ. ὅτι δ' ἀπὸ ϲπλάγχνου πάλιν ἐπὶ ϲπλάγχνον ἡ μετάβαϲιϲ ἐγένετο, προϲέθηκε τὸ ὑποχόνδριον εἰπὼν καὶ τὰ καθ' ὑποχόνδριον ὡϲαύτωϲ, ἵνα μὴ μόνον ἐπὶ τοῖϲ ϲπλάγχνοιϲ τὰϲ κατ' ἴξιν αἱμορραγίαϲ ἀγαθὰϲ εἶναι νομίζωμεν ἢ κακὰϲ τὰϲ ἀνάπαλιν, ἀλλὰ καὶ τοῖϲ ὑποχονδρίοιϲ. οὔϲηϲ δὲ κακῆϲ τῆϲ ἀνάπαλιν αἱμορραγίαϲ ἔτι μοχθηρότερον γίνεται τὸ ϲημεῖον, | ἐὰν μετ' ἐφιδρώϲεωϲ ϲυμβαίνῃ. ἐφ- 785
ίδρωϲιν δὲ πολλάκιϲ μὲν ἤδη κατὰ τὸ βιβλίον ἔγραψεν, οὐδαμόθι δὲ ϲαφῶϲ οὕτωϲ ὡϲ γνῶναι, πότερον τὴν περὶ θώρακα καὶ κεφαλὴν γιγνομένην ἱδρώτων ἐπιφάνειαν οὕτωϲ ὠνόμαϲεν ἢ καὶ τὴν δι' ὅλου τοῦ

27 πολλάκιϲ] *cf. ad 13, 26; 120, 19; 123, 12; 128, 17 al.*

1 δ' *om.* L ἀποφηνάμενοι R: ἀπεφηνάμεθα A: ἀποφρονοῦϲαν L; *deesse aliquid videtur* 2 ϲκεπτώμεθα R: ϲκεπτώμεθα δὲ A: ϲκοπώμεθα L νυνὶ δ' ἀρκέϲει R: νῦν εἰ ἀρκέϲει LA πάϲχοντεϲ L 3 τοῦ L: τ *(sic)* R 4 ἀνερχομένην RLA: ἀρχομένην *ab Aldo edd.* 5 *post* μία *add.* μὲν A 7. 8 τῷ ἐπὶ R: τὸ ἐπὶ L: ἐπὶ A 8 τὸ *scripsi*: τῷ R: *om.* LA 9 μικροῦ L 10 προϲθῆναι R τῶ μεγάλω R 11 εἰ LA: *om.* R ἐξηρμένη A ὀγκωμένω RL: ὀγκωμένη A: *correxi* 12 ϲπληνὸϲ LA ἂν ἦν ἑτέρα LA: ἑτέρου R 13 ἵν R: εἰ LA εἴδομεν RL: ἴδωμεν A 14 παρὰ LA: παρέχοντοϲ R 15 ἕνεκα *scripsi*: ἕνεκα δὲ L: ἕνεκεν RA τοῦ *om.* R 16 τοῦ RLA: *om. ex Aldo edd.* 16. 17 ἀνάπαλιν ἁπάντων τῶν *posuit* L 19 ἀλλὰ τὸ μὲν] ἀλλὰ τὸ R: ἄλλοτε μὲν L: ἀλλ' οὗτοϲ μὲν A: ἀλλ' οὕτωϲ *ab Aldo edd.* 19. 20 ἀπὸ ϲπληνὸϲ ὡϲ παραδείγματοϲ RL: ἐπὶ ϲπληνὶ ὡϲ παραδείγματι A, *ab Aldo edd.* 20 ἐφ' ἧπαρ R: ἔφη γὰρ L: ἔφη. τὸ γὰρ A προφανὲϲ εἶναι R: προφανῶϲ καὶ L: εἰρηκὼϲ πρὸ παντὸϲ καὶ A δόξαϲ *scripsi*: δόξαν L: δείξαϲ A: δοκήϲαϲ R 21 ὅτι δ' R: ἀντ' LA πάλιν R: γὰρ A: *om.* L 22 ἐγένετο RA *(fieri solet)*: ἐγίνετο L 26 ἐὰν LA: ἐὰν δὲ R ἐφιδρῶτοϲ R ϲυμβαίνει R 27 οὐδαμόθεν R (*ambigue* A)

ϲώματοϲ, ὅταν ὀλίγοι τε καὶ μηδὲν ὠφελοῦντεϲ γίνωνται. μοχθηρὸν μὲν οὖν ἑκάτερον αὐτῶν ἐϲτιν, μοχθηρότερον δὲ ἐν τοῖϲ ἄνω μέρεϲι γίνεται. ϲημαινούϲηϲ γὰρ ἁπάϲηϲ ἐφιδρώϲεωϲ ἤτοι πλῆθοϲ ἐν τοῖϲ ἐφιδροῦϲιν μορίοιϲ ἢ τῆϲ καθεκτικῆϲ δυνάμεωϲ ἀρρωϲτίαν, ὁπότερον ἂν ᾖ τούτων, ἐν τοῖϲ περὶ θώρακα καὶ κεφαλὴν τόποιϲ μοχθηρότερόν ἔτι ϲημεῖον ἢ κατ' ἄλλο τι μέροϲ γέγονε.

III 33 [I 126. V 554, 5] Τὰ ἐκ ῥινῶν μικροῖϲ ἱδρῶϲι περιψυχόμενα, κακοήθεα, μοχθηρά.

Κἀνταῦθ' ⟨ἀϲαφεῖ⟩ πάλιν ἑρμηνείᾳ κέχρηται μὴ προϲθεὶϲ τῷ ἐκ
786 ῥινῶν ⟨τὸ⟩ [ἀεὶ] 'αἱμορραγοῦντι'· προϲυπακοῦϲαι δ' ἡμᾶϲ ἐξ | ἀνάγκηϲ αὐτὸ χρὴ διὰ τὸ μηδὲν ἔχειν ἄλλο νοῆϲαι. γενήϲεται γοῦν ὁ λόγοϲ ὁλόκληροϲ ἑρμηνευθεὶϲ τοιόϲδε· γενομένηϲ ἐκ ῥινῶν αἱμορραγίαϲ, ὅταν ἱδρῶτεϲ ἢ ὦϲιν ἢ ἐπιγένωνται, περίψυξιν μὲν φέρουϲι μηνύουϲαν † οἷον κακὸν εἶναι τὸ νόϲημα, περιψύξεωϲ δὲ τῆϲ μὲν ἐν τοῖϲ ἄκροιϲ γινομένηϲ, τῆϲ δὲ καθ' ὅλον τὸ ϲῶμα, χαλεπωτέρα δηλονότι περίψυξίϲ ἐϲτιν ἡ καθ' ὅλον τὸ ϲῶμα.

III 34 [I 127. V 554, 6] Καθ' αἱμορραγίαν μελάνων δίοδοϲ κακόν, πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα. εἰ δέ, ἆρά γε τεταρταίοιϲι ταῦτα αἱμορραγέει; κωματώδεεϲ ἐκ τοιούτων ϲπαϲμῷ τελευτῶϲιν· ἆρα μελάνων προδιελθόντων καὶ κοιλίηϲ ἐπαρθείϲηϲ;

Cυνέχεε πάλιν κἀνταῦθα καθάπερ ἐν ἄλλοιϲ πολλοῖϲ λόγον ϲαφῆ καὶ χρήϲιμον ὑφ' Ἱπποκράτουϲ εἰρημένον. ἔϲτιν δ' αὐτοῦ τὸ μὲν
787 πρῶτον καθόλου τοιόνδε· "τὰ κρίϲιμα μὴ | κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύϲκριτα." πολλῶν δὲ ὄντων κριϲίμων, καθ' ἕκαϲτον αὐτῶν πάλιν ἴδιοϲ γίνεται λόγοϲ, ἐπὶ μέρουϲ μὲν ὡϲ πρὸϲ τὸν εἰρημένον, ἐν

22 Ἱπποκράτουϲ] *Epidem. II 6 (V 76, 5 L.)*

1 *post* ὠφελοῦντεϲ *add.* ἱδρῶτεϲ L γίνονται R 3 *post* πλῆθοϲ *add.* τῆϲ περὶ θώρακα καὶ κεφαλὴν τόπον μοχθηρότερόν εἰϲι ϲημεῖον *(cf. v. 5), sed circumpunxit* R 4 ἀρρωϲτούϲηϲ R 4. 5 ὁπότερον ἂν ᾖ (ᾖ *om.* A) τούτων LA: εἰ εἶεν ταῦτα R 6 ἐϲτι LA: εἰϲι R: *correxi cf. 145, 25* 6. 7 γέγονε. Τὰ *Schoene (cf. Hipp. Prorrh. et Coac. 40. 336)*: γεγονότα R: γεγονότοϲ L *(ambigue* A)
7 μικροῖϲ L: ψυχροῖϲ RA 8 κακοήθη A 9 Κἀνταῦθ' ἀϲαφεῖ *Schoene*: κἀνταῦθα RA: κἀντεῦθεν L τῷ LA: τὸ R 10 τὸ [ἀεὶ] *Cornarius*: ἀεὶ RLA αἱμορραγοῦϲι A 11 αὐτὸ *Cornarius*: αὐτῶι L: αὐτοῦ A: αὐ^{T} *(incerto comp.)* R διὰ τοῦ A ἄλλωϲ R γοῦν RL: οὖν A 12 ὁλοκλήρωϲ LA τοιῶϲδε R γενομένηϲ LA: γινομένηϲ R 13. 14 φέρουϲι μηνύουϲαν οἷ͡ο *(i. e.* οἷον) κακὸν εἶναι A: *item omisso* οἷον R: φέροντεϲ οἷον κακὸν ὂν L: οἷον *corruptum; conicio* ὅλωϲ 17 καθ' RA: κατ' L: μεθ' *Hipp.* αἱμορραγίην *Hipp.* 18 πονηρὸν *Hipp. codd.* τὰ ἐξέρυθρα. εἰ δὲ ἆρα γε RLA: τὰ ἐξερυθρώδεα· ἦρά γε *Hipp. Prorrh. et Coac. 324. 623 (cf. 148, 3)* τεταρταίοιϲι RLA, *Hipp. Coac.*: τεταρταῖα *(om.* ταῦτα) *Hipp. Prorrh. codd.* 19 αἱμορραγέει LA: αἱμορραγέοι R: αἱμορραγῆϲαι *Hipp. Prorrh. codd. (cf. 148, 4)* τοιαύτων A: τούτων *Gal. 148, 10* ϲπαϲμῷ R: ϲπαϲμῶν LA 21 κἀντεῦθεν L
23 κρίνονται L *(ambigue* A)

τῷ καθόλου δὲ ὡς πρὸς τοὺς ὑποτεταγμένους, οἷός περ καὶ ὁ τοιόσδε· 'αἱμορραγία μὴ κρίνουσα θανατώδης ἢ δύσκριτος.' οὕτω δὲ καὶ ἱδρὼς ἢ πλῆθος οὔρων ἢ διαχωρημάτων ἢ ἐμέτων ἢ τὰ καθ' αἱμορροΐδας καὶ μήτρας ἐκκενούμενα καὶ παρωτίδες ἅμα τοῖς ἄλλοις ἀποσκήμμασιν. ἅπαντα γὰρ ταῦτα μὴ κρίνοντα ποτὲ μὲν θανατώδη, ποτὲ δὲ δύσκριτα γίνεται, τουτέστιν ἄκριτα ποιεῖ τὰ νοσήματα. κοινότατος δὲ ἐπ' αὐτοῖς ἐστιν λόγος καὶ καθολικώτατος καὶ γενικώτατος (ὀνομαζέτω γὰρ ἕκαστος, ὡς ἂν ἐθέλῃ)· "τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδη, τὰ δὲ δύσκριτα". χρήσιμον δ' ἐνταῦθα διορίσασθαι, πότε θανατώδη καὶ πότε δύσκριτα. δέδεικται δὲ καὶ τοῦθ' ὑφ' Ἱπποκράτους αὐτοῦ. τὰ μὲν γὰρ ἐπὶ τοῖς κρισίμοις μηδὲν ὠφελούμενα δύσκριτα, τὰ δὲ | καὶ πρὸς 788 τοὐναντίον ῥέποντα θανατώδη.

μαρτυρεῖται δὲ τὰ πρὸς τοὐναντίον ῥέποντα ἐκ τῶν ἄλλων σημείων, ὥσπερ καὶ νῦν ἔγραψε τὰ κακοήθη διαχωρήματα. γένοιτο δ' ἂν ἄλλῳ τινὶ τοιοῦτον ἕτερον πάθος κακόηθες, οἷον ἔμετος ἢ οὖρα μοχθηρά, καθάπερ γε καὶ περίψυξις δυσεκθέρμαντος ἢ ὅλου τοῦ σώματος ἢ τῶν ἀκρωτηρίων μόνων. οὕτω δὲ καὶ δίψος διὰ βάθους καὶ καῦμα καὶ ἀχλὺς καὶ δυσφορία καὶ ἀγρυπνία καὶ τῶν ἄλλων τι τῶν μοχθηρῶν. ἔμαθες γὰρ ταῦτα αὐτὰ πάντα κατὰ τὰ Περὶ κρίσεων ὑπομνήματα καὶ τὰ τοῦ Προγνωστικοῦ, τινὰ δὲ κἀν τοῖς τῶν Ἐπιδημιῶν. ἔγραψεν οὖν κἀνταῦθα τὸν καθόλου λόγον ἑνὸς εἴδους τῶν κατὰ μέρος μνημονεύσας. ὁ γὰρ ἄρτι μανθάνων τὴν τέχνην οἴεται ταῦτα μόνα κακοήθη εἶναι, περὶ ὧν ἤκουσεν. εἰ δὲ καὶ φύσει ταχύς ἐστιν, ὑπονοῆσαι ἐνδέχεταί τινα καὶ ἄλλα τοιαῦτα εἶναι καὶ περιμένειν χρόνον ἄλλον, ἐν ᾧ κἀκεῖνα μαθήσεται, κἂν οὕτω τύχῃ μαθὼν ἄλλα, τὰ κατὰ μέρος αὖθις περιμενεῖ μὴ γινώσκων, ὁπόσον ἔτι λείπει τῆς διδασκαλίας αὐτῷ. ὁ δὲ τὸ καθόλου μαθὼν ἅπαντα γι|νώσκει τὰ κατὰ μέρος. 789

ἀλλ' ὁ τὸ προρρητικὸν τοῦτο γεγραφὼς ἐν τοῖς κατὰ μέρος φέρε-

10 Ἱπποκράτους] *Epid. II 6 l. c. (V 76, 7—11 L.)* 19 Περὶ κρίσεων] *Gal. IX 612 sqq. K.* 20 Προγνωστικοῦ] *e. g. Gal. XVIII B 142. 151 sqq.* Ἐπιδημιῶν] *cf. Gal. XVII A 319 sq.*

1 τεταγμένους A οἷός περ A: οἷός περ ἐστὶ L: οἷον περ R 2 αἱμορραγίη A 3 ἐμέτων RL: αἵματος A ἢ τὰ *om.* LA αἱμορροι^{δ}' A: αἱμορραίδας R: αἱμορροΐδα L 4 ἐκκενουμένου A 6 γίνεται A: γίνεσθαι L: γίνονται R ἄκρα L 7 γενικώτερος *(comp.)* A ἕκαστα R (*ambigue* A) 8 ἐθέλοι A θανατώδεα L: *comp. terminant ambiguo ut v. 9* RA 9 χρήσιμα R διορίζεσθαι L θανατώδη *sic* L 11 μηδὲν L: οὐδὲν RA δὲ *om.* L 12 θανατώδη . . . ῥέποντα *(13) om.* LA θανατω^{δ}' R: θανατώδεα *ab Aldo edd.* 14 ἂν L: *om.* RA ἄλλω R: ἄλλως LA 17 μόνον A βάθος A 18 τι τῶν R: τινὰ LA ἔμαθες LA *(cf. 79, 24)*: ἔμαθον R 19 γὰρ RLA: δὲ *ab Aldo edd.* αὐτὰ ταῦτα LA κατὰ RA: καθάπερ L 20 ἔγραψεν οὖν A: ἔγραψε γοῦν RL 22 μαθὼν L κακοήθη RL: κα^{θ}η A 23 ταχύς ἐστιν R: δριμὺς ὢν L: δριμὺς ἦν A 24 *post* χρόνον *add.* καὶ L 25 τύχῃ A: τύχει R: τυχὼν (*om.* μαθὼν) L ἀλλὰ RLA: *corr. Cornarius recte interpungens* τὰ *om.* L 28 τοῖς LA *(cf. p. 148, 8)*: τῷ R κατὰ] μετὰ *per errorem Kühn* φέρεται RL: φαίνεται A

ται καὶ διὰ τοῦτο ποτὲ μὲν ἐξ ἀνομοιογενῶν συμπτωμάτων ἀθροίζει συνδρομήν, ποτὲ δ᾽ ἐξ ἑνὸς ἢ δυοῖν ἀρρώστοιν ἀπόφασιν ποιεῖται καθόλου, ποτὲ δ᾽ ἀπορεῖ καὶ ἀμφιβάλλει, καθάπερ καὶ νῦν εἰπών· ἆρά γε τεταρταίοισι ταῦτα αἱμορραγέει; ὡς γὰρ ἑωρακώς τινα τεταρταῖον αἱμορραγήσαντα, παραλιπὼν δὲ τοὔνομα γράψαι, τὸν λόγον ἐποιήσατο· καίτοι τὰ περὶ τῶν ἡμερῶν καθόλου διδασκαλίαν ἔσχεν ἐν τῷ Προγνωστικῷ.

πάλιν δὲ τὰ κατὰ μέρος ἀποφαινόμενος οὗτος ὁ τὸ Προρρητικὸν γράψας οὐχ ὡς κατὰ μέρος, ἀλλ᾽ ὡς καθόλου τὸν λόγον ἐποιήσατο γράψας ὧδε· κωματώδεες ἐκ τούτων σπασμῷ τελευτῶσιν, οὐκ ἀναγκαίως γιγνόμενον εἰπών, ἀλλ᾽ ἔσθ᾽ ὅτε συμβαῖνον, ὥσπερ καὶ ἄλλο τι τῶν ἀόριστον ἐχόντων γένεσιν. ἀλλὰ τοῦτο μὲν ἁπλῶς ἀπεφήνατο, περὶ δὲ τῶν μελάνων προδιελθόντων καὶ κοιλίης ἐπαρθείσης ⟨ἀπορεῖ⟩. ἀποκρινόμεθα τοιγαροῦν αὐτῷ κἀνταῦθα δύνασθαι μὲν καὶ ταῦτα γενέσθαι, ἀλλ᾽ οὔτε διὰ παντὸς οὔθ᾽ ὡς τὸ πολύ. |

790 **III 35** [I 128. V 556,1] Τὰ αἱμορραγέοντα ἐφιδροῦντα τρώματα κακοήθεα· διαλεγόμενοι λαθραίως τελευτῶσιν.

Ἔνιοι μὲν ἔγραψαν τρώματα διὰ τοῦ τ̄ καὶ ρ̄ καὶ ω̄ τὴν πρώτην συλλαβήν, ἔνιοι δὲ τρομώδεα διὰ τοῦ τ̄ καὶ ρ̄ καὶ ο̄. συνηθέσταται μὲν αἱ γραφαὶ αὗται τοῖς τ᾽ ἐξηγηταῖς ἐγένοντο καὶ τοῖς γραφεῦσι, σπάνιαι δὲ ταῖς συνδρομαῖς, ὥσπερ καὶ ἡ διὰ τοῦ τ̄ καὶ ρ̄ καὶ ᾱ καὶ ῡ τὴν πρώτην συλλαβὴν ἔχουσα γεγραμμένην. ἀρκτέον οὖν ἐστι καὶ ἡμῖν ἀπὸ τῆς συνήθους, ἣν διὰ τοῦ τ̄ καὶ ρ̄ καὶ ω̄ γεγραμμένην εὑρίσκομεν ταὐτὸν σημαίνουσαν τῇ διὰ τοῦ τ̄ καὶ ρ̄ καὶ ᾱ καὶ ῡ γεγραμμένῃ. τρώματα γὰρ τὰς ἀπὸ τῶν ἔξωθεν αἰτίων βλάβας ὀνομάζει καὶ Ἱπποκράτης. εἰκὸς οὖν ἐστι καὶ νῦν τοῦτον τὸν λόγον οὐ μόνον ἐπὶ τραυμάτων ἢ ἐξανθημάτων ἢ ἀποστημάτων καὶ διαστάσεων γεγονέναι, ἀλλὰ καὶ ἐπὶ τῶν αἱμορραγιῶν. συμφωνότεραι γάρ εἰσιν αἵδε ἐπὶ τοῖς τραύ-

6 Προγνωστικῷ] 7 *(II 126, 13 sqq. L.)*

2 συνδρομὰς L (*ambigue* A) ἀρρώστων L 4 αἱμορραγία R 5 παραλειπὼν *sic* R 5. 6 ἐποιήσατο. καὶ περὶ τῶν ἡμερῶν δὲ LA 8 τὰ R: τὸ LA 9 ὡς τὰ κατὰ L 10 τούτων] *cf. ad 146, 19* 12 τι *om.* L ἀόριστον *scripsi*: ἀρίστην LA: ἀχρήστην R: ἄχρηστον *Cornarius*: ἀχρήστων *ab Aldo edd.* 13 διελθόντων LA 14 ἀπορεῖ *addidi (cf. v. 3)*: *om.* RLA τοιγαροῦν RA: *om.* L 16 αἱμορραγοῦντα L τρώματα *Gal. v. 18 sqq.*: κώματα L: κωματώδεα R: καὶ κωματώδεα A; *cf. Hipp. HV* 17 κακοήθεα] κακὴ (θ *suprascr.*) A διαλεγόμενα L (*ambigue* A): οὗτοι διαλεγόμενοι *Hipp., at cf. Coac. 322* 19 τρομώδη R (*ambiguo comp.* A) ο̄] ω̄ A 20 αὗται αἱ γραφαὶ A: *item, sed om.* αἱ L: *graviorem labem haec contraxisse videntur. desidero:* συνηθεστέρα μὲν ⟨οὖν⟩ ἡ πρώτη (*i. e.* προτέρα) γραφὴ ταύτης τοῖς τ᾽ ἐξ. ἐγένετο κ. τ. γρ., σπανία δὲ ταῖς συνδρομαῖς (*symptomata pauca habet i. e. pauciora quam si addatur* τρομώδεα): σπάνιαι δὲ ⟨αἱ τὰ κώματα προστιθεῖσαι⟩ ταῖς συνδρομαῖς *coni. Kalbfleisch* 21 ὥσπερ R: *om.* LA ἡ *om.* LA ᾱ] ω̄ *sic* A 22 ἔχουσα *Chartier*: ἔχουσαι RLA ἐστι *om.* A 24 τρώματα R: πρώτας LA 27 ἐξαρθρημάτων τε καὶ ἀποστημάτων L 28 καὶ *om.* L συμφωνότερον γάρ ἐστιν ἐπὶ τ. τρ. LA ἐπὶ τοῖς *iteravit* R

μαςι· ταῦτα γὰρ αἱμορραγοῦςι μόνον. | τινὲς δέ φαςιν, ὅτι περὶ τῶν 791
ἐκ ῥινὸς αἱμορραγιῶν ἔτι καὶ νῦν ὁ λόγος ἐςτὶν αὐτῷ γιγνόμενος οὐκ ἐν πυρετοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄρτι λελεγμένοις πάθεςι. ἐάν τ' οὖν περί τε πάντων αὐτῶν ὁ λόγος ἐάν τε καὶ περὶ τραυμάτων μόνον, αἱ μετ' ἐφιδρώςεως αἱμορραγίαι κακοήθεις εἰςίν, ὡςαύτως δὲ κἂν τρομώδεα γεγραμμένον ᾖ.

τὸ δὲ διαλεγομένους αὐτοὺς [ἐν ἄλλῳ τραυματώδεα] λαθραίως τελευτᾶν τοιοῦτόν τι δηλοῦν φαςι· 'μηδὲν ἔχειν δοκοῦντες οἱ τοιοῦτοι κακόν, ἀλλ' ὡς ἐν ἀκινδύνῳ καθεςτῶτες καὶ διαλεγόμενοι τοῖς παροῦςιν ἐξαίφνης τελευτῶςιν.' εἰ δὲ τοῦτο αὐτοῖς βούλεται ςημαίνειν τὸ λαθραίως, ἄκρως φαίνονται [οἱ] ςπουδάζοντες ἐξαλλάττειν τὴν κατὰ φύςιν ἑρμηνείαν ἀλλοκότοις μεταφοραῖς. ἡγοῦνται γὰρ ἀρετὴν εἶναι λόγου τὸ διὰ παντὸς ἀφίςταςθαι τῆς ςυνηθείας, ὡς οὐδὲν διαφέρον, εἰ καὶ πρὸς τὸ χεῖρόν τις ἀφίςταται. |

III 36 [I 129. V 556, 3] Ἡ μεθ' αἱμορραγίαν βραχεῖαν καὶ 792
μελάνων διαχώρηςιν ἐν ὀξέςι κώφωςις κακόν· αἵματος διαχώρηςις ἐν τούτοιςιν ὀλέθριον· κώφωςιν δὲ λύει.

Περιέχεταί τι κατὰ τὴν ςυνδρομὴν ταύτην ἀληθὲς καθολικόν· ἐπὶ γάρ τοι τοῖς μέλαςιν διαχωρήμαςιν ἐν τοῖς ὀξέςι νοςήμαςιν ἂν αἷμα διαχωρήςωςιν, ὀλέθριον ὄντως ἐςτίν. καὶ γὰρ καὶ ἡμεῖς εἴδομεν τοῦτο καὶ ἄλλοι γεγηρακότες ἐν τοῖς τῆς τέχνης ἔργοις. καί μοι φαίνεται γίνεςθαι τὸ ςύμπτωμα κατὰ τὸν αὐτὸν λόγον, καθ' ὃν ἐν ταῖς ὑπερκαθάρςεςιν ὕςτατον ἐκκρίνεται τὸ αἱματῶδες. ἀλλὰ τῶν κατὰ μέρος ἐςτίν, ἐν οἷς ὁ ςυγγραφεὺς ὠνόμαςεν.

III 37 [I 130. V 556, 5] Ὀςφύι ἐπωδύνῳ καρδιαλγικὰ προςεόντα ςημεῖα αἱμορραγώδεα, οἶμαι καὶ προγεγενημένου ςημείου. |

1 αἱμορραγήςαντα μόνα LA ὅτι L: *om.* RA 3 καὶ] κἂν *Ilberg* ἐάν τ' οὖν R: θανατοῦν LA 5 τρομῶδες R (*ambigue* A) 7 ἐν ἄλλῳ τραυματῶδ' (τρωματώδεα L) RA; *variam lectionem in archetypo ad v. 5 adscriptam del. Cornarius* 10 παρούςοις *(eodem compendio quo* τοῖς *antea)* R αὐτοῖς R: αὐτῶι LA 11 φαίνεςθαι LA οἱ *del. Cornarius* 12 ἀλλοκότας μεταφορὰς R γὰρ *om.* LA 13 ἀφίςταςθαι LA: ὑφίςταςθαι R τῆς LA: *om.* R ςυνηθείας *(ut videtur) compendiose* RA: ςυνήθους L 15 *lemma distinguit* A: *ut textum continuant* LR; *quare in mrg. adnotat super* ἡ R κείμενον, *idemque in mrg.* κείμενόν ἐςτι, κατ' ἀλήθειαν δὲ γέγραπται· διὰ τοῦ μέλανος *scil. pro tradito* μελάνων *(16)* ἡ RA: *om. Hipp.*: τὸ L 16 μελάνων] *sic etiam Hipp. Prorrh et Coac.* 17 ἐν τούτοιςιν L: ἐν τούτοις A: ἐν τοῦτ (τούτω) R: τουτέοιςι (*om.* ἐν) *Hipp. codd. (cf. Coac. 324)* 19 γάρ τι R 20 καὶ *alt. om.* LA 21 ἔργοις LA: *om.* R 22 γίνεται R 23 ὕςτατον RL: ἵςταται A ἐκρίνεται R 24 ὠνόμαςεν R: ὠνόμαζεν L: ὠνόμα/ A; *deesse aliquid videtur* 25 ἐν ὀςφύι *Hipp. Coac. 306* προςιόντα *Hipp. Prorrh.*: προςελθόντα *Coac. l. c.* 26 αἱμοραγῶδ' R: αἱμορρώδεα *Hipp. utrobique* οἶμαι RA:

793 Οὐ καλῶς τὴν ῥῆσιν ταύτην ἐξηγήσαντο πολλοὶ τῶν γεγραφότων εἰς τὸ βιβλίον ὑπομνήματα μετὰ τοῦ καὶ διενεχθῆναι πρὸς ἀλλήλους. ἐμοὶ δ᾽ ἄν τις αὐτὴν δοκεῖ χρησίμως τοῖς μανθάνουσιν ἐξηγήσασθαι κατὰ τόνδε τὸν τρόπον· ʽοὐκ ἐμνημόνευσεν ἐν τῷ λόγῳ πυρετῶν ἢ ὀξέος νοσήματος, ὥσπερ εἴωθεν. εἰκὸς οὖν ἐστιν ἐπὶ τῶν ἀπυρέτων αὐτῷ γίνεσθαι τὸν λόγον, ἐπ᾽ οὐδεμιᾷ προφάσει φανερᾷ πλείοσιν ἡμέραις ἐφεξῆς ὀδυνωμένων ὀσφὺν καὶ καρδιαλγούντων. ἐπὶ τούτων οὖν προσδοκᾶν χρὴ δι᾽ αἱμορροΐδων αἷμα κενωθήσεσθαι.᾽

δύναιο δ᾽ ἂν οὐ μόνον ὅτι γενήσεται τοῦτο προλέγειν, ἀλλὰ καὶ δι᾽ ἐπίσχεσιν αἱμορροΐδων αὐτὰ γενέσθαι τεκμαίρεσθαι, καὶ μᾶλλον, εἰ βλέποις τὴν κρᾶσιν τοῦ ταῦτα πάσχοντος μελαγχολικήν, ὥστε σοι τὴν ἐκ τῶν εἰρημένων πρόρρησιν οὐ μόνον μέλλοντος, ἀλλὰ καὶ προγεγονότος εἶναι καὶ τρίτον γε τοῦ ἐνεστῶτος. ὅταν γὰρ ἀπὸ τῶν ἄλλων διορισθῇ τὸ τῆς ὀσφύος ἄλγημα καὶ ἡ καρδιαλγία, προγεγονότος μὲν ἔσται πρόγνωσις ἐκ τοῦ γνῶναι καὶ πρόσθεν αὐτῷ γεγονέναι δι᾽ αἱ-
794 μορροΐδος κένωσιν, μέλλοντος | δέ, ὅτι καὶ νῦν ἔσται, ἐνεστῶτος δὲ τῆς διαθέσεως αὐτῆς σαφῆ τὰ συμπτώματα· πλήθους γὰρ ἠθροισμένου κατὰ τὰς φλέβας λεπτὸς μέν τις ὀρρὸς αὐτῷ συρρέων εἰς τὴν γαστέρα τὰς καρδιαλγίας ἐργάζεται προσαναβαίνων ἐπὶ τὸ κατ᾽ αὐτὴν στόμα, πάντων σχεδὸν αἰσθητικώτατον ὑπάρχον τῶν μορίων. τὸ δὲ πλεῖστον τοῦ πλήθους εἰς τὰ κάτω χωρία ῥέπον, ἐφ᾽ ἃ καὶ πρῶτον εἰώθει γε φέρεσθαι, τὰ τῆς ὀσφύος ἀλγήματα γεννήσει.

III 38 [I 131. V 556, 6] Τὰ τεταγμένοισι χρόνοισιν αἱμοραγέοντα διψώδεα, δύσκολα, ἐκχλοιούμενα, μὴ αἱμορραγήσαντα, ἐπιληπτικὰ τελευτᾷ.

οἶμαι γε L: οἶμαι δὲ *Hipp. Prorrh.*: ἢ *Coac.* προγεγενημένου σημείου R *(cf. 150, 14)*: προγεγενημένον σημεῖον L: *ambiguis compendiis* A: προγενόμενα *Hipp. Prorrh.*: προγεγενημένα *Coac.*: προγεγενημένων σημεῖον *coni. Cornarius itemque Littré V 557 adn.* 150, 2 μετὰ τοῦ R: μετ᾽ αὐτοῦ L: μεταυ, *tum vacuum duarum litt. spat.*, A 3 δοκεῖ *sic* RLA; ἂν *cum* ἐξηγήσασθαι *coniungendum*

4 οὐκ . . . πυρετῶν *om.* L ἐν τῶ R: ἀυ$^{\tau}$ A 5 ὀξέως R 6 αὐτῶ A: αὐτοῦ R: αὐτὸν L ἐπὶ δὲ μιᾷ L φανερᾷ *om.* L 7 ὀδυνωμένην L οὖν *om.* L 8 αἱμορροίδων *iteravit, sed alterum del.* R αἷμα κενώσεσεως *(sic)* R: αἷμα κενώς *(terminatio corrosa)* A: αἷμα *solum* L: *correxi*: κενώσεως (*om.* αἷμα) *ab Aldo edd., quod emendabat* κένωσιν *coniciens Cornarius* 10 ἐπίσχεσιν RA: ἐσχέσεων L τεκμαίρεσθαι *om.* L 11 μελαγχολικήν LA: *om.* R

16 δέ *om.* A ἐνεστῶ$^{\tau}$ A: ἐνεστώσης RL 18 αὐτῷ] αυ$^{\tau}$ *ambigue* R: αὐτοῦ LA γα$^{\sigma\tau\rho}$ R 19 τὴν καρδιαλγίαν L προσαναβαῖνον A κατ᾽ αὐτὸ A 21 τὰ κάτω χωρία A: τ᾽ κάτω χώριον R: τὸ κάτω χωρίον L ῥέπων R ἐφ᾽ ἃ RL: ἐφ᾽ ὧν A: ἐφ᾽ ὃ *ab Aldo edd.* εἰώθει A: εἴωθέ L: εἰώθασίν R 22 γεννήσει A: γεννήσεται *(comp.)* RL 23 *lemma cum comm. om.* L αἱμορραγέοντα RA, *Gal. XVII A 343, 14*: αἱμορραγεῦντα *Hipp. Prorrh.*: αἱμορρώδεα *Coac. 339* 24 δύσκολα *Gal. XVII A 343, 14 et ab Aldo edd.*: δύσκολος R: δύσκο$^{\lambda}$ A: *om. Hipp.; utrobique fortasse* δύσκολος (*sc.* ὁ τόπος) *glossatoris antiqui nota* ἐκχλοιούμενα *scripsi ex Galeno XVII A 342, 13 et 343, 14 quo ipse spectat 151, 13: verum servavit etiam Erotianus p. 66, 7 Klein*: ἐκλυόμενα RA, *Hipp. codd.; similiter antiquitus peccatum infra p. 151, 9. 13. 14 et 161, 14: om. Coac. l. c.* 25 τελευτᾶν A

Κἀνταῦθα πάλιν ἤρκει καθόλου φάναι πρῶτον μέν, οἷς ἂν συνήθης κένωσις αἵματος ἐπίσχηται, τούτοις ἔσεσθαι νοσήματα πληθωρικά, ῥυέντος αὐτοῦ πρὸς ἐκεῖνα τὰ μόρια τοῦ σώματος, ὅσα πλησίον ἐστὶ τῶν ἐπεσχημένων ἐκρύσεων ἢ τῶν ἄλλων ἀσθενέστερα, κατὰ μέρος δὲ περὶ | τῶν ἐξ αἱμορροΐδων ὡς ἂν μελαγχολικῶν περιττωμάτων τρεφόντων 795 ἤτοι μελαγχολίαν ἢ φθίσιν ἢ ὕδερον ἢ κιρσοὺς ἢ καρκίνον ἢ ἐλέφαντα· τούτων δὲ ἔξωθεν ἑκάστῳ κατ᾽ ἐκεῖνο τὸ μόριον ἔσεσθαι τὸ πάθος, ὃ τῶν ἄλλων ἐστὶν ἐπιφανῶς ἀσθενέστερον. ἕνα δὲ ὅρον προέθηκεν ἐν τῷ προκειμένῳ ῥησιδίῳ δυοῖν συμπτωμάτων, τῆς δίψης καὶ τοῦ ἐκχλοιοῦσθαι, τὴν ἐπίσχεσιν. τὸ μὲν γὰρ τῆς δίψης οὐδ᾽ ὅλως ἴδιον ἐπισχέσεως αἵματός ἐστιν, τὸ δὲ ἐκχλοιοῦσθαι ταῖς ἀμέτροις ἐκρύσεσι τοῦ αἵματος, οὐ ταῖς ἐπισχέσεσιν ἕπεται. καὶ καλῶς εἴρηται κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν αἵματος πολλοῦ ῥυέντος ἐκχλοιοῦσθαι, ἔνθα καὶ τὸ σημαινόμενον ἐξηγησάμην ἐκ τῆς ‘ἐκχλοιοῦται’ φωνῆς.

III 39 [I 132. V 556, 8] Τὰ εὔθετα ταραχώδεα, ἄγρυπνα, ἀποστάξαντα, ἑκταῖα κουφισθέντα, νύκτα πονήσαντα, εἰς τὴν αὔριον ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα, αἱμορραγή|σει λάβρως. ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει; 796

Ἐδήλωσε πάλιν ἐνταῦθα σαφῶς αὐτὸ ⟨τὸ⟩ ἐν ταῖς κατὰ μέρος συνδρομαῖς φαινόμενον· αἱμορραγίας γάρ εἰσιν ἴδια σημεῖα τὰ γεγραμμένα σαφῶς ἐφεξῆς ἐν τοῖς Περὶ κρίσεων ὑπομνήμασι, νῦν δὲ ἐπ᾽ ἀν-

13 Ἐπιδημιῶν] *Galen. ad Epid. II 14 [12] (XVII A 342, 10 sqq.)*
22 ἐν τοῖς Περὶ κρίσεων] *I 7 (IX 577 K.)*

1 φάναι A: φησὶν R οἷς ἂν R: ἂν οἷς A 4 ἐκρύσεων *ab Aldo edd.*: ἐκρίσεων R: ἐκκρίσεων A ἄλλως ἀσθενεστέρων A *(at cf. v. 8)* 5 αἱμορροΐδων A *(cf. 150, 8 sqq.)*: αἱμορροίδος R μελαγχολικὰ περιττω^μτ´ RA: *correxi* 6 φθίσις A κιρσοὺς R: κι, *tum spat. 6 litt.*, A 7 τούτων R: τούτοις A ὃ R: ὡς A 8 ἕνα δὲ ορ, *lacuna trium litt.*, R: *om.* A: *supplevi*: οὐκ ὀρθῶς δὲ *ab Aldo edd.* πρ^ο ἔθηκεν (*i. e.* πρὸς ἔθηκεν) R: προσέθηκε δὲ A: *correxi* 8. 9 ἐν τῶ προκειμένω ῥησι^δ´ R: ἐν τῇ προκειμένῃ ῥήσει A, *ab Aldo edd.* 9 ἐκχλοιοῦσθαι *scripsi (cf. ad 150, 24)*: ἐκλύεσθαι RA; *locum ita sanare studebat Cornarius, ut post* ἐκλύεσθαι *adderet* συνδρομὴν κατὰ τὴν τοῦ αἵματος *deleto* τὴν *ante* ἐπίσχεσιν 10 τὴν ἐπίσχεσιν *et* μὲν γὰρ *om.* A 11 δὲ A: *om.* R ἐκλύεσθαι RA: *correxi* τοῖς A ἐκκρίσεσι A 12 αἵματος R: ἐμέτου A 13 ἐκχλοιοῦσθαι *scripsi*: ἐνοχλεῖσθαι RA 14 ἐκλύεται RA: *correxi;* ἐκχλοιοῦνται *codd. Hipp. Epid. II 12 (V 88, 18 L.). idem vitium corrigendum Gal. XVII A 343, 6* 15 εὔθετα RLA: εὐθὺ *Hipp. Prorrh. et Coac. 86. 109* 15. 16 ἄγρυπνα καὶ ἀποστ. *Hipp. Prorrh. codd. (non Coac.)* 16 *post* ἀποστάξαντα *spat. 10 litt. vacuum rel.* A ἐς *Hipp.* 18 λαύρως *(hic et 152, 1)* LA ἆρά γε RL, *Hipp. Coac 326, quae quidem recte hoc lemmati insequenti (III 40) adiungit, ubi Galenus in suo Prorrhetici exemplo legisse videtur cf. 152, 11*: ἦρά γε *Hipp.* τι LA: *om.* R 20 αὐ^τ̃ R τὸ *addidi*
21 αἱμορραγίαι R εἰσιν R: φησιν A: φησίν ἐστι L 22 τοῖς R²LA: τῶ R¹ νυνὶ δ᾽ L

θρώπου λάβρως αἱμορραγήσαντος πάντα τὰ προηγούμενα τῆς αἱμορραγίας ἔγραψεν.

III 40 [I 133. V 557, 4] Οἷσιν αἱμορραγίαι πλείους, προεληλυθότος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ τὰ οὖρα πεπανθῇ.

Ἐν μὲν τοῖς Ἀφορισμοῖς ὁ Ἱπποκράτης εἶπεν· "οἷσιν ἐν πυρετοῖσιν αἱμορραγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσιν τούτοισιν αἱ κοιλίαι καθυγραίνονται," οὗτος δὲ ἁπλῶς ἔφη πονηρεύονται, τάχα περιλαβεῖν τῷ πονηρεύονται ῥήματι βουληθεὶς καὶ τὸ 'ἐξυγραίνονται' καὶ τὰ ἄλλα
797 | ὅσα κατὰ κοιλίαν πλημμελεῖται, τινῶν μὲν δακνομένων, τινῶν δ' ἐμφυσωμένων ἢ ὀξυρεγμίαις ἁλισκομένων ἢ ὅλως ἀπεπτούντων. ἅπαντα δ' ἕπεται τῇ τῆς ἐμφύτου θερμασίας ἐνδείᾳ, δι' ἣν καὶ τὸ οὖρον ὑδατῶδες φαίνεται.

III 41 [I 134. V 558, 5] Ἐν κρισίμοις περιψύξεσι τῶν αἱμορραγιῶν αἱ νεανικαὶ κάκισται.

Σαφὴς ὁ λόγος ἐστὶν καὶ ζήτημα οὐδὲν ἔχων νεανικαὶ καὶ κάκισται γεγραμμένων. ἂν δ', ὡς ἔνια τῶν ἀντιγράφων, ἀντὶ τοῦ κάκισται τὸ κράτισται γεγραμμένον ἔχῃ, μέγιστον γίνεται ζήτημα· καί τινες αὐτῷ συναγορεύοντές φασι τὸ δηλούμενον εἶναι τοιοῦτον· 'ὅσαι αἱμορραγίαι νεανικαὶ περιψύχονται ἐν κρισίμοις ἡμέραις, ἄρισταί εἰσιν, ὡς ἂν ἐπισχοῦσαι τὰς αἱμορραγίας.' οὗτοι δὲ οὐ τὴν γεγραμμένην ἐξηγοῦνται ῥῆσιν, ἀλλ' ἑτέραν, ἧς ἔδει τὴν λέξιν εἶναι τοιαύτην· 'αἱ ἐν κρισίμοις
798 περιψύξιες τῶν νεανικῶν αἱμορραγιῶν | κράτισται' πρὸς τῷ καὶ μάτην προσκεῖσθαι τὸ κρισίμοις. ἐν ᾗ γὰρ ⟨ἂν⟩ ἡμέρᾳ νεανικαῖς αἱμορραγίαις περιψύξιες ἐπιγένωνται, τὰς αἱμορραγίας ἱστῶσιν.

6 Ἀφορισμοῖς] *IV 27 (IV 512, 27 L.)*

3 παρεληλυθότος *Hipp. Prorrh. codd., sed cf. Coac. 326* 4 πεπανθῇ RLA: πεπαίνῃ *Hipp. Prorrh. codd.*: πέπον ἔλθῃ *Coac.* 6 οἷσιν R: ὁκόσοισιν *Hipp.*: *om.* LA 7 οἴκοθεν οὖν R τούτοισιν R: τουτέοισιν *Hipp.*: ἐν τούτοισιν LA 8 οὗτος LA: οὕτως R 12 *post* ἕπεται *add.* θν *cum spatio 3 litt.* L 13 τὸ οὖρον ὑδατῶδες *cf. ad 151, 18* 14 αἱ ἐν κρισίμοισι περιψύξιες *Hipp. codd. Prorrh., Coac. 320, cf. v. 22 sq.* *ante* τῶν *add.* ἐκ *Coac.* 16 καὶ *(alt.)* *om.* A 17 γεγραμμένων *scripsi*: γεγραμ^μν R: γεγραμμένον LA ἐὰν L 18 κράτισται *lectio non apparet in Hipp. nisi in Coac. l. c. cod. L* ἔχει R ζήτημα γίνεται L 19 αὐτῶι L: αὐ^τ A: αὐ^τ (*i. e.* αὐτὸ) R 21 *locum absurdum esse vidit post Rasarium Littraeus (V 558 not.). conicio praeeunte versione latina* ἐπισχουσῶν ⟨τῶν περιψύξεων⟩ 22 ἑτέραν] *verisimile est Hippocrateorum codicum (v. supra) similem lectionem istos ante oculos habuisse* ἧς RL: οἷς A 24 ἂν *addidi* 25 ἐπιγένωνται R: ἐπιγίνονται LA

III 42 [I 135. V 558 7] Οἱ καρηβαρικοί, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι αἱμορραγικοί, ἄλλως τε καὶ ἤν τι ἐν τραχήλῳ ἐντείνῃ.

Αἱμορραγοῦϲι μὲν καὶ κατὰ τὰϲ τοιαύταϲ ϲυνδρομάϲ, οὐ μὴν πολλοί γε.

III 43 [I 136. V 558, 8] Τὰ ἀγρυπνήϲαντα ἐξαίφνηϲ ἀλυϲμῷ αἱμορραγικά, ἄλλωϲ τε καὶ ἢν μή τι προερρυήκῃ· ἆρά γε φρίξαντα ⟨κάτοχα, κεφαλαλγικά⟩;

Καὶ ταύτῃ τῇ ϲυνδρομῇ τὸν αὐτὸν προϲθήϲω λόγον, ὡϲ ἔνιοι καὶ τούτων αἱμορραγοῦϲιν κατὰ τὰ κεφαλαλγικά. |

III 44 [I 137. V 558, 10] Τραχήλου ὀδυνώδεα, ὄμματα ἐξέρυθρα, αἱμορραγικά. 199

Ὄντωϲ ταῦτα ϲυνελθόντα πολλάκιϲ αἱμορραγίαϲ ἤνεγκε, τὰ δ' ἄλλα τὰ πρόϲθεν ὀλιγάκιϲ. ἐν αὐτοῖϲ δὲ μεγίϲτην δύναμιν ἔχει τὰ ἐξέρυθρα ὄμματα.

III 45 [I 138. V 560, 1] Οἷϲι κοιλίηϲ ἐπιϲτάϲηϲ αἱμορραγέει καὶ ἐπιρριγέει, ἆρα κοιλίη λειεντεριώδηϲ καὶ ἐπίϲκληροϲ ἢ ἀϲκαρίδεϲ ἢ ἀμφότερον;

Τῷ αἱμορραγέει ἐμφαίνεται πολλάκιϲ οὐχ ἅπαξ αἷμα ῥυῆναι ἐκ τῆϲ ῥινὸϲ ἀξιοῦν ἀκούειν. ἑωρακέναι δέ μοι δοκεῖ τινα, ὃϲ ἐπιϲχεθείϲηϲ τῆϲ γαϲτρὸϲ ᾑμορράγει, εἶτ' ἐπερρίγου καὶ μετὰ ταῦτα ἐγίνετο λειεντεριώδηϲ. τὸ δὲ καὶ ἐπίϲκληρον ἅμα τῇ λειεντερίᾳ γενέϲθαι

2 *post* ἄγρυπνοί *add.* τε *codd. Hipp. Prorrh. (non Coac. 164)* ἐϲ τράχηλον *Coac. et pars codd. Prorrh.* 3 ἐντείνῃ A: ἐντεῖ^ν R: ἐπιτείνει *(sed* ἐπι *corrosum)* L *et edd.* 7 αἱμορραγικὰ R, *Hipp. codd. Prorrh.*: αἱμορραγεῖ καὶ A: αἱμορραγεῖ L, *Hipp. Prorrh. vulg.*: αἱμορροεῖ *Coac. 110* μή τι LA: μήτε R: μὴ *om. Hipp. utrobique* προερρυήκῃ *Hipp.*: προερρύη RLA ἦρα *Coac.* γε καὶ A *ut Hipp. Prorrh. et Coac.* φρίξαντα RL, *Hipp. Prorrh.*: φρίξαντεϲ A, *Coac. cod. A*: μεταφρίξαντεϲ *Coac. vulg.* 8 κάτοχα κεφαλαλγικά *om.* RLA: *restitui ex Hipp. Prorrh. codd. propter Gal. v. 10 ex proximi Hippocratei lemmatis initio, quo Littraeus Coac. 162 secutus ex priore transposuerat* 9 καὶ *prius om.* A *post* ταύτῃ *add.* δὲ LA 11 *de initio, quod dedi secundum* RLA, *cf. ad v. 8. Coac. 162 distat forma* 16 ἐπιϲτάϲηϲ *Hipp. Prorrh. et Coac. 338 (cf. Gal. v. 20)*: ἐπίϲταϲιϲ R: ἐπίταϲιϲ LA 17 ἐπιρριγέει A: ἐπιριγέει R: ἐπιρριγέα L: ἐπιρριγέουϲιν *Hipp. Prorrh. codd. optimi et Coac. 338; cf. Dioscuridis lect. 154, 10* κοιλίη ... ἀμφότερον *(18) om.* L λειεντεριώδεεϲ A καὶ *(alt.) om.* A 17. 18 ἢ ἀϲκαρίδεϲ ἢ ἀμφότερον *om.* A 19 Τῷ *scripsi*: τὸ RLA αἱμορραγέει LA: αἱμορραγέειν R ἐμφαίνει LA 20 ἀξιῶν ἀκούειν A: ἀκούειν ἀξιῶν L δὲ R: δὴ LA μοι LA: με R ὃϲ R: ὡϲ LA 21 ᾑμορράγει *scripsi*: αἱμορραγέει L: αἱμορραγεῖν R: αἱμορραγέειν A ἐπιρριγοῦν RLA: *correxi* ἐγένετο R: γενέϲθαι LA: *correxi* 22 λειεντεριῶ^δ RA: λειεντεριώδη L λειεντερίηι L

800 τὴν γαςτέρα | μάχην ἐμφαίνει, οἷον δή τινες μὲν ἐπ᾽ αὐτοῦ τοῦ ςώματος τῆς γαςτρὸς αὐτὸ ἐπήκουςαν τὸ ἐπίςκληρον, οὐκ ἐπὶ τῶν διαχωρημάτων, ἔνιοι δὲ οὐδὲν τοῦτο κωλύειν φαςὶ τινὰς μὲν τῶν οὕτως αἱμορραγούντων ἔτι μᾶλλον ἢ πρόςθεν ἐπιςκληρυνθῆναι τὴν γαςτέρα, τινὰς δὲ λειεντεριώδεις γενέςθαι, καθάπερ γε καὶ ςχεῖν ἀςκαρίδας. ἔνιοι δὲ καὶ δύναςθαί φαςι λειεντερίαν ἐπίςκληρον γενέςθαι, τῶν διερχομένων οὐ μόνον ἀτρέπτων ἢ ἀμεταβλήτων κατὰ ποιότητα μεινάντων, ἀλλὰ καὶ ςκληρῶν οἷα κατεπόθη μενόντων ἄνευ τοῦ διαβραχῆναι.

Διοςκορίδης δὲ τὴν προκειμένην ῥῆςιν ταύτην διχῇ ἑλὼν ἰδίᾳ μὲν γράφει τὸ "οἷςι κοιλίης ἐπίταςις, αἱμορραγέει καὶ ἐπιρριγώςαςι, ἆρά γε καὶ πρὸς τὸ αἱμορραγέει τοιοῦτον;" μετὰ ταῦτα δὲ ἀφ᾽ ἑτέρας ἀρχῆς "κοιλίη λειεντεριώδης ἰὴ ἐπ ςκληρον ⟨ἢ⟩ ἀςκαρίδας ἢ ἀμφότερον". γράφει δὲ οὐκ ἐπίςκληρος, ἀλλ᾽ ἐπίςκληρον διὰ τοῦ ν̄, καὶ κατ᾽ αὐτοῦ τὸ Λ ἄνωθεν ἐπιθεὶς ἑκατέρωθεν περιςτίζει βούλεται ςημαίνειν τὴν ἐπίςκληρον ταύτην φωνὴν τὸ κατεςκληρυκὸς ςῶμα. |

801 **III 46** [I 139. V 560, 3] Οἷςιν ἐξ ὀςφύος ἀναδρομὴ ἐς κεφαλὴν καὶ χεῖρας, ναρκώδεες, καρδιαλγικοί, ἰχωρώδεες, αἱμορραγέουςι λάβρως καὶ κοιλίη δὲ καταρρήγνυται, τούτοιςι καὶ γνῶμαι ταραχώδεες ἐπὶ πολύ.

1 οἷον δή *scripsi*: ὅτᾶν δέ R: ὅτι δὲ LA μὲν *ante* τοῦ *transp.* A 2 ἤκουςαν LA 3 οὐδὲν τοῦτο LA: τούτων R κωλύει LA τινὰς RA: τιν *extremis corrosis* L οὕτως LA: ὄντως R 4 ἢ R: μὴ LA 5 τινὲς L ςχεῖν ἀςκαρίδας *in lacuna 10 litt. om.* A 6 δὲ καὶ *sed corrosa* L: *item, sed obscuro compendio superscripto* καὶ R: δὲ οὐ A ἐπιςκλήρους RLA: *corr. Cornarius* 8 οἷα κατεπόθη μενόντων RA: καὶ καταπεπονημένων L; *mirum ni etiam hic* μεινάντων *fuit* 9 διοςκουρίδης RL διχεῖ ἑλὼν R: διχ̃ ἑλὼν A: δίχα διελὼν L 10 μὲν *om.* A γράφει L: γρᾱ˪ (*i. e.* γράψας) R: ἔγραψε A ἐπίταςις RLA: ἐπιςτάςης *etiam hic Cornarius* αἱμορραγεῖ L αἱμορραγέουςι καὶ ἐπιρριγέουςι *ex Coac. 338 coni. Ilberg Mus. Rhen. 45, 128; intellego* τούτοις καὶ ἐπιρριγώςαςι αἱμορραγεῖ *verba* καὶ ἐπιρριγώςαςι . . . αἱμορραγέει *om.* R ἐπιρριγήςαςι A 11 *conicio* πρὸς τῷ αἱμορραγέει L: αἱμορραγέειν *recte Littraeus; intellego 'acceditne ad profluvium sanguinis etiam hoc signum' (quod proximo lemmate v. 12 exprimitur)* 12 λειεντεριώδης ⟨ποιέει⟩ *Ilberg* ἐπίςκληρον *Ilberg (cf. v. 13)*: ἐπίςκληρος A: ἐπίςκηρος RL; *suppleo* ποιεῖ, *quo addito non opus in hoc scriptore* ἢ *add. Ilberg* 13 ἀςκαρίδας L: καρ^{δ}ι′ RA ἀμφο^{τρ}′ RA: ἀμφότερα L γράφει L: γραφὲν RA 15 περιςτίζει A: ἐπιςτίξει R: ἐπιςτίξας L: *fortasse* περιςτίξας βούλεται δὲ *cum Ilbergio Brinkmann Mus. Rhen. 59, 159, qui quidem* ·Λ· *significare opinatur* λείπει; *at fortasse Dioscorides* λ *circumpuncto omittendam esse eam litteram docebat ut* ἐπίςκηρον *i. e.* ἐπίςκιρον *legeretur cf. Dindorf. Thes. VII 401c* τὴν RA: τὸ L 16 κατεςκληκὸς L 17 ἀναδρομέες κεφαλὴν L 18 χεῖρας RLA, *Hipp. vulg.*: χεῖρα *Hipp. Prorrh. optimi*: χεῖρες *Coac. 302* ἰχωρώδεες A: ἰχωρώδιες R: ἠχώδεες *(ex Coaca variante*: καὶ καρδιαλγικὰ καὶ ἠχώδεα αἱμορραγικὰ *vel ex III 50 [157, 8] cf. p. 155, 5 not.)* L αἱμορραγεύει L 19 λαύρως *constanter* A 19. 20 τούτοιςι καὶ γνῶμαι ταραχώδεες ἐπὶ πολύ *scripsi secundum Coac. 302*: τούτοιςι γνῶμαι ταραχώδεες ὡς ἐπὶ τὸ πολὺ *Hipp. Prorrh.*: τούτοιςιν ἔγνω ταραχώδεςιν: Ἐπὶ πολὺ L: τούτοιςι ταραχώδεςι: Ἐπὶ πολύ RA

Πρόσεχε πάλιν ἐνταῦθα τὴν συνδρομὴν αὐτῷ γράφοντι, καθὼς ἐθεάσατό τινας αἱμορραγήσαντας, καὶ εἰ μέμνησαι τῶν ὑπ᾽ ἐμοῦ διδαχθέντων, αὐτὸς κρίνειν δύνασαι, τίνα περιττῶς γέγραπται γενόμενα τοῖς αἱμορραγήσασι τῶν σημείων. τὰ μὲν οὖν ἄλλα τῆς ῥήσεως ὡσαύτως οἱ πλεῖστοι γράφουσι, τὸ δὲ ἰχωρώδεες ἔνιοι χολώδεες ἔγραψαν. πρόδηλον δέ ἐστιν, εἰ μέμνησαι τῶν ἔμπροσθεν, ὅπως ἑκάτερα δύναται συναγορεύεσθαι.

III 47 [I 140. V 560, 6] Οἷς ἐφ᾽ αἱμορραγίῃ λάβρῳ πυκνῇ
μελάνων συχνῶν διαχώρησις, ἐπιστάσης δ᾽ αἱμορραγοῦσιν,
οὗτοι κοιλίας ὀδυνώ|δεες, ἅμα δέ τινι ῥύσει εὔφοροι. ἆρα 802
οὗτοι ψυχροῖς ἐφιδρῶσι πολλοῖς; τὸ ἀνατεταραγμένον ἐν
τούτοισιν οὐ πονηρὸν οὐδὲ τὸ ἐφιστάμενον γονοειδές. ἐπὶ
συχνὸν δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν.

Καὶ ταῦτα πάντα δῆλός ἐστιν τεθεαμένος ⟨μέν, οὐ⟩ δυνάμενος δὲ τὸ καθόλου συλλαβεῖν ἐπ᾽ αὐτοῖς διὰ τὸ μὴ γινώσκειν ἑκάστου τῶν εἰρημένων τὴν δύναμιν, ἣν ἔμαθες, εἰ μέμνησαι τῶν ἔν τε τούτοις τοῖς ὑπομνήμασιν εἰρημένων καὶ τῶν Εἰς τὸ προγνωστικόν, ἔτι τε ἐν τοῖς Περὶ κρίσεων· ἀλλὰ καὶ τὴν ἐν αὐτοῖς ἄσκησίν τε καὶ γυμνασίαν ἐκ τῶν τῶν Ἐπιδημιῶν ἔμαθες. οὐ χρὴ δ᾽ ἅπαξ ἢ δὶς ἀναγνόντα τῶν τοιούτων οὐδὲν ἐᾶν σε τοῦ λοιποῦ θαρρήσαντα τῇ μνήμῃ. μόλις γὰρ ἄν τις ἑτοίμην τε καὶ πρόχειρον αὐτὴν σχοίη, συνεχῶς μεταχειριζόμενος ἕκαστα τῶν ὑπομνημάτων. |

17 Εἰς τὸ προγνωστικόν] *de deiectionibus Gal. XVIII A 130 K., de sudoribus XVIII A 81, de haemorragiis XVIII A 94, de urinis XVIII A 146*
18 Περὶ κρίσεων] *Gal. IX 594 sqq. IX 567 sqq. 607 sqq.* 19 Ἐπιδημιῶν] *universe*

1 ἐνταῦθα L: ἐν ταῦ´ RA τῇ συνδρομῇ RA: συνδρομὰς L: *correxi* 2 καὶ RA: ευαι . . *corrosa* L 3 *post* γενόμενα *add.* μὲν L 4 τῶν σημείων *(ut videtur)* A[1]: τὰ σημεῖα RLA[2] 5 ἰχωρώδεες R: ἰχωρῶδες A: ἠχώδεες L χολῶδες RA 6 ἑκάτερον L 7 συνχορεύεσθαι A 8 οἷσιν *Hipp.* ἐφ᾽ *om.* R λάβρῳ *scripsi sec. Hipp. Coac. 327*: λάβρῃ *Hipp. Prorrh.*: λάβρως RL: λαυρῶς A πυκνά R: πυκνῶν A: πύην L: *corr. ex Hipp.* 9 συχνῶν RA, *Hipp. Prorrh.*: συγχνῶν L: συχνὴ *Hipp. Coac.* ἐπίτασις διαιμορραγοῦσιν RA: ἐπίτασις δι᾽ αἱμορρογίας L: *correxi ex Hipp. Prorrh.* αἱμορραγέουσιν *Hipp. Prorrh.*: αἱμορροεῖ *Coac.* 10 κοιλίας *Hipp. Prorrh. Coac. libri optimi*: κοιλίης RLA τινι ῥύσει RL: τινι ῥίγει A: τῇσι φύσῃσιν *Hipp.* ἆρα RLA, *Hipp. Coac.*: ἦρα *vel* ἠρά γε *Hipp. Prorrh.* 11 οὗτοι RLA: οἱ τοιοῦτοι *Hipp.* ψυχροῖς L: ψυχροὶ A: ψυχῆς *(compend.)* R: ψυχροῖσιν *Hipp.* ἐφιδροῦσι πολλοῖσιν *Hipp.* ἀνατεταγμένον L[1]: ἀνατεταμένον L[2] 12 τουτέοισιν *Hipp.* *post* τούτοισιν *add.* οὖρον *ex Hipp. Chartier*: *om.* RLA ἐφιστάμενον RLA, *Hipp. Coac*: ὑφιστάμενον *Hipp. Prorrh.* 14 μέν, οὐ *addidi* δυνάμενος δὲ L: *om.* RA 16 εἰ RA: εἴ γε L ἔν τε R: ἔν γε A: γε ἐν L 17 ἐν τῶι προγνωστικῶι L ἔτι LA: ἔστι R 18. 19 ἐκ τῶν τῶν *scripsi*: εἰς τὰ τῶν A: εἰς τῶν R: ἐν οἷς (*volebat* τοῖς) εἰς τὰ τῶν L 20 ἐᾶν σε *Aldus* (*possis etiam* ἐᾶσαι): εἶα σέ L: *om.* RA 21 μεταχειριζόμενα R

803 **III 48** [I 141. V 562, 4] Οἷς ἂν ἀπὸ ῥινῶν ἐπὶ κωφώσει καὶ νωθρίῃ μικρὰ ἡ ἀπόσταξις, ἔχει τι δύσκολον· ἔμετος τούτοισι συμφέρει καὶ κοιλίης ταραχή.

Οὐκ οἶδ' ὅπως ὡς περὶ σμικροῦ κακοῦ τῆς ἐκ τῶν ῥινῶν ἀποστάξεως φρονεῖ. τὸ γὰρ ἔχει τι δύσκολον ἐπὶ τῶν μικρῶν εἰώθασιν λέγειν οἱ ἄνθρωποι. τὸ δὲ ἔστιν οὐ σμικρὸν κακόν, εἰ καὶ χωρὶς κωφώσεως καὶ νωθρότητος γένοιτο· σὺν ⟨δὲ⟩ τούτοις δηλωτικοῖς οὖσι τοῦ πεπονθέναι τὸν ἐγκέφαλον ὀλέθριον ἔσται σημεῖον ἡ ἀπὸ ῥινῶν στάξις. εἰ δ' ἔμετος ἢ κοιλίης ταραχὴ συμφέρει τούτοις, δυνατὸν οὐκ ἔστιν ἁπλῶς ἀποφήνασθαι χωρὶς διορισμοῦ. διορισμὸς δέ ἐστιν· ἐν οἷς ἂν ἐν ἀρχῇ τοῦ νοσήματος ᾖ, ὅταν δύναμιν ἰσχυρὰν ἢ αἵματος ἔχῃ πλῆθος ἢ φλέγματος ἢ χολῆς ὁποτερασοῦν. εἰ γὰρ ἰσχυρῶς κενοῖντο πλῆθος αἵματος ἔχοντες, εὔδηλον ὅτι φλεβοτομίας, οὐκ ἐμέτων ἢ γαστρὸς ταραχώδους
804 δέονται. | καὶ τοῦτ' αὐτὸ κατὰ τοὺς ἐμέτους καὶ τὴν τῆς γαστρὸς ταραχὴν δηλοῦν ἐστιν, ὅπερ εἴρηται πρότερον, τὸν ἰατρὸν ἀξιοῦντα αὐτὸν κινεῖν ἔμετον καὶ τὴν γαστέρα ταράττειν, μὴ περὶ τῶν ὑπὸ τῆς φύσεως γιγνομένων ἀποφαινόμενον.

III 49 [I 142. V 562, 6] Ἧισιν ἐκ ῥίγεος πυρετοὶ κοπώδεες, γυναικεῖα κατατρέχει, τράχηλος δ' ἐν τούτοις ὀδυνώδης αἱμορραγικόν.

Καὶ χωρὶς τοῦ ῥιγῶσαι μετὰ τοῦ πυρετοῦ ταῖς ὑγιαινούσαις γυναιξὶν ἡ ἔμμηνος κάθαρσις † εἴτε μετά τινος αἰσθήσεως κοπώδους· ὅταν οὖν

15 εἴρηται πρότερον] *nescio ubi*

1 ἐπὶ κωφώσει *(quod Gal. interpretatur v. 6 sqq.) Hipp.*: ἐπικώφωσις RL: ἐπὶ κώφῳ A 2 νωθρίῃ LA: νωθρείῃ R ἔμετος *Hipp.*: αἵματος RLA τούτοις RL 4 ὡς περὶ σμικροῦ L: ὥσπερ ἐκ μικροῦ R: ἐκ μικροῦ A 5 μικρῶν RA: σμικρῶν L 7 δὲ *addidi* τούτοις δηλω^τι A: του^τ *(i. e.* τούτω?) δηλωτικὰ(?) R: τῶι δηλωτικῶι *proximis vocabulis corrosis* L πεπονθέναι LA: πεπονθότος R 8 ἀπὸ τῶν ῥινῶν LR 9 κοιλίας L τούτοις συμφέροι R 10 ἐν οἷς ἂν *scripsi*: ἐνίοισιν RLA 11 ᾖ, ὅταν *scripsi (cf. ad v. 13)*: εἰ τὴν R: εἴη, τὴν L: εἰ, εἰ τὴν *(sic)* A; ᾖ *scil.* ἀπὸ ῥινῶν ἡ ἀπόσταξις ἰσχυρ^ο' A ἔχῃ *scripsi*: ἔχων RA: ἔχειν L: εἰ τὴν . . . ἔχοιεν *Cornarius* 12 κενοῖντο *scripsi*: κενοῖ A: κενεοῖ R: κενέοι L 13 ἔχοντες *Chartier*: ἔχοντος R: ἔχοντα A: *om.* L; εἰ γὰρ ἰσχυρὰν δύναμιν καὶ πλῆθος αἵματος ἔχοιεν *temptabat Cornarius* ὅτι LA: ὅτᾶν R *(fortasse emendaturus* εἰ τὴν *v. 11)* R ταραχω^δ' LA: ταραχώδεα L 14 τὴν τῆς . . . ἔμετον καὶ *(16) om.* A 15 δηλοῦν *scripsi*: δῆλον RL 15. 16 ἀξιοῦντος αὐτοῦ κινεῖν ἐμέτους L 16 καταράττειν RA *ante* ὑπὸ τῆς *add.* τῆς L 17 γιγνομένων RL: γενομένων A ἀποφαινόμενον L: ἀποφαινόμενος A[1]: ἀπὸ φαινο^μν' R: ἀπὸ καινόμενος *male refictis litteris obscuratis* A[2] μὴ τῶν ὑπὸ τ. φ. γινομένων ἐπιφαινομένων *frustra coni. Cornarius* 18 ἧισιν *Hipp. Prorrh. codd. LV (hi ex Coac. 544)*: εἰσὶν RL: οἷσιν A: αἷς *Hipp. codd. rel.* κοπιώδεις *(comp.)* R 19 κατατρέχειν R τράχηλος *Hipp. et Gal. 157, 5*: τραχήλου L *et comp.* RA ἐν τούτοις A, *Hipp. Coac.*: του^τ' RL: τούτοισιν *Hipp.*: ταύτῃσιν *Cornarius. aut* τούτοις *intellegenda* γυναικεῖα *aut* ἐπὶ τούτοις *sec. Gal. 157, 5 emendandum* ὀδυνώδης *Hipp.*: ὀδυνῶδες RA: ὀδύνη L 22 κάθαρσϊ A εἴτε RLA: *fortasse* ἔσται

καὶ ῥίγη γένηται, μείζονα τὴν κίνηϲιν ἐργαζόμενα ὅλου τοῦ ϲώματοϲ καὶ τοῦ κατ᾽ αὐτὸ πλεοναζοντοϲ αἵματοϲ ἐπεγείρει τὴν φύϲιν εἰϲ ἀπόκριϲιν τοῦ περιττοῦ, μᾶλλον δ᾽ ἐλπὶϲ γενέϲθαι τὴν κένωϲιν τῶν γυναικείων, ὅπερ ἐϲτὶ τῶν καταμηνίων, ἐὰν καὶ ἡ προθεϲμία τῆϲ κατὰ περίοδον καθάρϲεωϲ ἐμπέϲῃ. ἐὰν μέντοι | τράχηλοϲ ὀδυνώδηϲ ἐπὶ 805 τοῖϲ προειρημένοιϲ γένηται, τῆϲ ἄνω ῥοπῆϲ αὐτὸ τίθεται γνώριϲμα.

III 50 [I 143. V 562, 8] [καὶ διὰ ῥινῶν αἱμορραγήϲαϲιν ἐλπίζειν] Τὰ ϲείοντα κεφαλὴν καὶ τὰ ἠχώδεα αἱμορραγίαϲ ἢ γυναικεῖα καταβιβάζει, ἄλλωϲ τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθήϲῃ. ἴϲωϲ δὲ καὶ περὶ δυϲεντεριῶν.

Προϲέγραψεν ἐνταῦθα πάλιν ἓν ἀμφίβολον ὄνομα, πᾶϲαν ῥῆϲιν ἔργον πεποιημένοϲ ἔχειν τι ζήτημα. τίνα γάρ ἐϲτιν τὰ ϲείοντα κεφαλήν, ἀϲαφὲϲ πάνυ. τινὲϲ μὲν ἅπαντα τὰ κατὰ τὴν κεφαλὴν ϲυμπτώματά φαϲιν οὕτωϲ εἰρῆϲθαι γενικήν τινα φωνὴν ταύτην εὑρόντοϲ αὐτοῦ, καθάπερ ἔμπροϲθεν ἐπὶ τῆϲ κοιλίαϲ τὸ "πονηρεύεϲθαι", τινὲϲ δὲ κατὰ τοὺϲ παλμοὺϲ ἢ ϲφυγμοὺϲ τῶν ἐν κροτάφῳ φλεβῶν κινήϲειϲ τινὰϲ τῆϲ ὅληϲ κεφαλῆϲ ἤτοι τρομώδειϲ ἤ πωϲ | κλονώδειϲ. ταῦτ᾽ οὖν τὰ 806 ϲείοντα κεφαλὴν ἢ κινοῦντα ⟨ποιεῖ⟩ ποτε καὶ τὰϲ ἐκ τῶν ῥινῶν αἱμορραγίαϲ, ὥϲπερ γε καὶ καταμήνια· μᾶλλον δ᾽ ἐλπίζει τοῦτ᾽ ἔϲεϲθαι, καύματοϲ αἴϲθηϲιν ἐχούϲηϲ ἐν τοῖϲ κατὰ ῥάχιν χωρίοιϲ τῆϲ γυναικόϲ, ἐγχωρεῖν δ᾽ ἡγεῖται τὴν ἐπὶ τὰ κάτω ῥοπὴν τῶν λυπούντων, εἰ μὴ διὰ τῆϲ μήτραϲ κενωθείη, καὶ δυϲεντερίαν ἐργάϲαϲθαι.

15 ἔμπροϲθεν] *III 40 (I 133) cf. supra p. 152, 3*

1 *post* γένηται *add.* καὶ A ἐργαζόμενοϲ A 2 αὐτὸ RA: αὐτὴν L: αὐτοῦ *Chartier, Kühn* ἐπεγείρει L: ἐπείγει A: ἐπ᾽ εἴγε R 3 πυρετοῦ A δ᾽ RLA: γ᾽ *ab Aldo edd.* 5 ἐμπέϲῃ RLA: ἐμπέφυκεν *ab Aldo edd.* τραχῆ^λ *(ut 156, 19)* R ὀδυνώδηϲ *sic hoc loco* RLA 6 γένηται LA: γένοιτο R 7 καὶ διὰ ῥινῶν αἱμορραγῆϲαι ἐλπίζειν *(sic ex* αἱμορραγήϲαϲι, *quod habent* RLA, *correxerunt) inserere solebant ut lemmatis initium (in* L *continuatur lemmati III 49, in* R ·.· *tantummodo dirimitur) editores Hippocratis ante Littraeum, qui glossema Prorrh. et Coac. ignotum semovit, natum illud e Gal. v. 18, cf. 158, 18* 8 ἠχώδεα L: ἰχωρώδεα *ex III 46 (I 139, cf. 154, 18)* RA αἱμορραγίαϲ *scripsi e Gal. v. 19*: αἱμορραγαῖ^α, *sed* α *post* γ *in* ϵ *vel* κ *corr. vel del.* R: αἱμορραγι^α L: αἱμορραγεῖ A: αἱμορραγέει *ex Hipp. Prorrh. Aldus*: αἱμορραγέειν *Kühn*: αἱμορροεῖ *Coac. 163* ἢ L: ἢν R: ἦν A 9 καταβιβάζει L: καταβιβάζῃ A: καταβιάζει R ἢν LA: ἶν R κατὰ ῥάχιν L, *Hipp. (cf. v. 20)*: τραχήλω RA παρακολουθῇ *Hipp.* 10 περὶ δυϲεντεριῶν RA: περὶ δυϲεντερικὸν L: δυϲεντερικὸν *Hipp. Prorrh.*: δυϲεντερικὰ *Coac.*: *conicio* ποιεῖ δυϲεντερίην *cf. v. 22* 11 πᾶϲι R 12 πεποιημένον R ἔχειν *(post* ῥῆϲιν *traiectum)* R: ἔχει L: ἔχον A; *verte: 'id studens, ut suam quodque lemma difficultatem haberet'* *post* ϲείοντα *add.* τὴν R 13 *post* μὲν *add.* οὖν L τὰ *om.* L τὴν *om.* LA 15 αὐτοῦ A *(comp.)* R: αὐτῆϲ L καθάπερ ... πονηρεύεϲθαι *om.* L 16 τοὺϲ *et* ἢ ϲφυγμοὺϲ *om.* L φλεβῶν ... κλονώδειϲ *(17)*] ἑλκῶν ἡ κίνηϲιϲ τῆϲ κεφαλῆϲ L κίνηϲίν τινα RA: *corr. Kalbfleisch* 18 ἢ κινοῦντα ... αἱμορραγίαϲ *(19)* RA: *om.* L ⟨ποιεῖ⟩ ποτε *scripsi*: ποτε RA 20 ἐχούϲαιϲ L 21 ἐγχωρεῖν δ᾽ ἡγεῖται *scripsi*: ἐγχωρεῖν διηγεῖται A: ἐγχῶ διηγεῖται R: ἐγχειρῶν τε διηγεῖται L τὰ κάτω RL: τὴν κεφαλὴν *(comp.)* A, *et sic ab Aldo edd.* 22 εἰ μὴ ... κενωθείη *om.* L μὴ διὰ A: μήδε *sic* R δυϲεντερίαν A: δυϲεντερίην L: δυϲεν^τρ R ἐργάϲαϲθαι *sic* RLA

III 51 [I 144. V 562, 11] Καὶ οἱ κατὰ κοιλίην παλμοὶ ὑποχονδρίου ἐντάσει ὑπομάκρῳ ὀγκώδει αἱμορροϊκοί· φρικώδεες οὗτοι.

Ἄδηλόν ἐστιν, ἐπὶ τίνος συμπτώματος εἴρηται τὸ τῶν παλμῶν ὄνομα. πρὸς γὰρ τῷ μηδὲ διακεκρίσθαι σαφῶς τὰς προσηγορίας τῶν παλαιῶν, ὡς δηλοῖ καὶ τὸ Περὶ παλμῶν βιβλίον, ἐν ᾧ περὶ τῶν κατὰ τὰς ἀρτηρίας σφυγμῶν διαλέγεται, οὕτω καὶ αὐτὸς ὁ γράψας τοῦτο τὸ βιβλίον εὐχερής ἐστιν εἰς θέσιν ὀνομάτων ἐκ καταχρήσεως ἢ μετα-
807 φορᾶς. | ἴσμεν δ' ὅτι κατὰ τὸ Προγνωστικὸν εἰπὼν Ἱπποκράτης· "εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ", ἐπήνεγκε "θόρυβον σημαίνει ἢ παραφροσύνην". ἤκουσαν δὲ κἀκεῖ τινὲς μὲν ἀντὶ τοῦ σφυγμοῦ παλμὸν εἰρῆσθαι, τινὲς δὲ κυρίως ἐπὶ τῆς σφοδρᾶς κινήσεως τῆς κατὰ ῥάχιν ἀρτηρίας, εἰσὶ δὲ καὶ οἳ παλμὸν ἔγραψαν.

οὐ μὴν αἱμορραγικὸν εἶναι σημεῖον ἀπεφήνατο κατὰ τὸ Προγνωστικὸν ὁ Ἱπποκράτης τὸν σφυγμὸν τοῦτον ὑπάρχειν, ἀλλ' ἐφεξῆς περὶ τῶν καθ' ὑποχόνδριον φλεγμονῶν γράψας προσέθηκε τῷ λόγῳ· "γίνεται δὲ τούτοισι καὶ αἵματος ῥῆξις διὰ ῥινῶν καὶ κάρτα ὠφελέει." καὶ ἵνα γε μᾶλλον ἐλπίσῃς ἔσεσθαι τὴν ἐκ τῶν ῥινῶν αἱμορραγίαν, ἐπανερέσθαι φησίν, 'εἰ κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυώττουσιν· εἰ γὰρ εἴη τούτων τι, ἐνταῦθα ἂν ῥέποι.' καλῶς δ' εἰπόντος Ἱπποκράτους ἐπὶ τῶν καθ' ὑποχόνδριον φλεγμονῶν "γίνεται δὲ τούτοισιν καὶ αἵματος ῥῆξις διὰ ῥινῶν," οὗτος κἀνταῦθα τὸν λόγον ἐκ τοῦ καθόλου

6 Περὶ παλμῶν] *liber Aegimii Elidensis, de quo cf. Anonym. Londin. (Suppl. Aristotel. III 1) p. 113* 9 κατὰ τὸ Προγνωστικὸν] *7 (II 126, 3 L.)* 13 ἔγραψαν] *cf. Gal. ad Progn. XVIII B 88 K.* 15 ἐφεξῆς] *Hipp. l. c. (II 126, 12)* 19 φησίν] *l. c. 128, 1* ἐπανερωτᾶν χρή, εἰ τὴν κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυωπέουσιν· ἢν γάρ τι τοιοῦτον εἴη, ἐνταῦθα ἂν ῥέποι 20 εἰπόντος] *l. c. 126, 12*

1 καὶ *om. Hipp.* 2 ἐντάσει *Hipp. (cf. 159, 1 sqq.)*: ἐν ταῖς RLA ὀγκώδει *Hipp.*: ὀγκῶ^δ RA: ὀγκώδεις L αἱμορροικοὶ R: αἱμορραϊκοὶ L: αἱμορραγικοὶ A, *Hipp. codd.* φρικώδεες R: φρικώδες A: *om.* L 5 τῷ LA: τὸ R μηδὲ R: μὴ LA *ante* τῶν *add.* ὑπὸ L 6 παλαιῶν] παλῶν *compendiose* A παλμῶν A *(cf. Gal. VIII 498. 751)*: παλμοῦ L: παλ^μ *ambigue* R 7 *ante* σφυγμῶν *iter.* τῶν L οὕτω καὶ αὐ^τ ἔγραψε A: οὕτως καὶ ἔγραψε R: καὶ οὕτως καὶ αὐτὰ ἔγραψεν L: *correxi*: καὶ οὗτος ὁ γράψας *Cornarius* 7. 8 τοῦτο τὸ βιβλίον *om.* L 8 θέσιν LA: αἴσθησιν R 9 κατὰ RA: καὶ L εἰπὼν RA: εἰ πὼν L 10 καὶ LA, *Hipp.*: *om.* R 11 σφυγμοῦ *Aldus*: σπασμοῦ L: σπας^μ *(ambiguo comp.)* RA παλμὸν RA: τὸν παλμὸν L 13 εἰσὶ δὲ *scripsi*: ἐπεὶ δὲ RLA: ἐπειδὴ *temptaverat Cornarius* καὶ οἳ A: καὶ οἱ R: οἱ καὶ L παλμὸν] *mira lectio* 14 οὐ LA: καὶ R 16 περὶ *ex* κατὰ *corr.* R ὑποχόνδρια L: *ambigue* RA γράψας *(usitato comp.)* R: γράφων LA 17 τούτοις L *post* τουτέοισιν *(sic Hipp.) add.* ἐν τῇ πρώτῃ περιόδῳ *(vel* ἐν τῇσι πρώτῃσι περιόδοισιν *sec. Gal. l. c.) Hipp.* *post* ῥινῶν *add.* αἱμορραγία L; *scilicet exemplar transsiluerat* καὶ . . . ῥινῶν *(18), quae om.* A 18 ἵνα R: ἢ L ἐλπίσῃς *scripsi*: ἐὰν πείσῃς L: ἐὰν πείσῃ R, *unde* ἐλπίσῃ *Aldus (cf. 157, 19)* 19 ἐπαναίρεσθαι R ἢ RA: εἰ L ἀμβλυωποῦσιν *ex Hipp.* L 20 τι τούτων L ῥέπει A 22 οὗτος *Cornarius*: οὕτως LA: οὕτω R κἀντεῦθεν L ἐκ LA: ἐν R

μετήγαγεν ἐπὶ τὸ κατὰ μέρος εἰπών· ὑποχονδρίου ἐντάσει ὑπομάκρῳ. | ἡ δὲ ὑπόμακρος ἔντασις αὕτη τῶν ⟨β̄⟩ μυῶν ἂν εἴη 808 τῶν μέσων, οἵτινες ἀπὸ τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καταφέρονται. γίγνεται δὲ καὶ σπληνὸς ὑπόμακρος φλεγμονή, ἀλλ' οὐκ ἄν τις φαίη μετὰ παλμοῦ γιγνομένας ταύτας τὰς φλεγμονὰς αἱμορραγικὰς εἶναι, τὴν δ' ἥπατος φλεγμονὴν τῶν ἄλλων μυῶν τῶν καθ' ὑποχόνδριον (ἓξ γάρ εἰσιν ὑπόλοιποι τῶν εἰρημένων δύο μυῶν) εἶναι καὶ αὐτὰς τὰς αἱμορραγίας.

ὅπερ οὖν ἐν πολλαῖς ῥήσεσιν ἐμεμψάμην τοῦ τὸ βιβλίον τοῦτο γράψαντος, οὐκ ἂν ὀκνήσαιμι καὶ τὰ νῦν μέμψασθαι περὶ τῶν κατὰ μέρος ἀπόφασιν πολλὴν ποιησαμένου, σύντομον δὲ καὶ ἀληθῆ διδασκαλίαν διὰ τῶν καθόλου παραλιπόντος. καὶ γὰρ καὶ κατὰ τὸ τέλος τῆς ῥήσεως οὗτοι προσέθηκεν φρικώδεες, ὡς καθόλου καὶ τοῦτο συμβαῖνον αὐτοῖς, καίτοι γ' οὐκ ὂν καθόλου. γίνεται μὲν γὰρ ἐπὶ ταῖς τοιαύταις συνδρομαῖς ἐνίοτε καὶ τουτὶ τὸ σύμπτωμα, διὰ παντὸς δ' ἢ πλειστάκις οὐ γίγνεται. χρὴ δὲ ταῦτα γράφειν ἐν τῇ προρρητικῇ διδασκαλίᾳ, ὅσα διὰ παντὸς ἢ πλειστάκις γίγνεται. οἷον ἵν' ἐπὶ τοῦ προκειμένου καθάπερ | ἐπὶ παραδείγματος ὁ λόγος γένηται σαφής, εἴ τις φαίη 809 τῶν κατ' ἐπιγάστριον μυῶν ὀκτὼ τὸν ἀριθμὸν ὄντων τοὺς μέσους, τοὺς ὀρθίους, αἱμορραγικωτέρους τῶν ἄλλων εἶναι, πλέον τι διδάξει τοῦ αἱμορραγίας ἐπιγίνεσθαι λέγοντος, ἔτι δ' εἰ ἁπλῶς μόνους τούτους εἴποι φλεγμαίνοντας, εἴπερ καὶ ἄλλο τι τῶν αἱμορραγικῶν αὐτοῖς ἐπιγένοιτο σημείων, ἐπιφέρειν αἱμορραγίαν.

1 ἐντάσει LA: *om.* R   ὑπὸ μακρῶν RLA   2 ὑπόμακρος *Chartier*: ὑπὸ αἵματος RLA   ἔντασις L: ἔνσταξις R: ἔμφραξις A^{2}: ἔμφαξις (?) A^{1} αὐτὴ L   β̄ (δύο) *add. Cornarius ex v. 7*: *om.* RLA   5 γιγνομένας R: γινομένας A: γιγνομένου μόνας L   ταῦτα R   6 ἥπατος LA: δήποτε R   7 ὑπόλοιπα R   εἶναι καὶ *om.* L: *inter* μυῶν *et* εἶναι καὶ *lacunam 10 litt. rel.* A   8 τὰς *om.* A   9 ἐμεμψάμην R: ἐμεμψάμεν L: ἐμεμψάμεθα A   τοῦ τὸ A: τὸ RL: τοῦ *ab Aldo edd.*   10 γράψαντα R   ὀκνήσαιμοι R   πέμψασθαι R   τῶν *Cornarius*: ὧν RLA   11 ποιησάμενος RA   12 παραλιπον$^{\tau'}$ A: παραλειπον$^{\tau'}$ R   τὰ τε$^{\lambda'}$ A   13 οὗτοι προσέθηκαν φρικώδεες (φρικῶδες A) RA: φρικώδεες οὗτοι προσέθηκαν *transloc.* L: οὗτος προσέθηκεν φρ. *Cornarius*   ὡς . . . καθόλου *(14) om.* L   14 ὂν A: ἂν R   16 ἐν τῇ προρρητικῇ διδασκαλίᾳ A: ἐν τῷ προρρητικῷ διδασκα$^{\lambda'}$ R: ἐν προρρητικοῖς διδασκαλίαις L   17 ἵν' *scripsi* (ἵνα *Cornarius*): ἣν RL: ἦν A   18 γένηται A: εἴρηται γένηται L: γενήσεται R   19 ὀκτὼ τὸν *Cornarius*: ἐκτ̄ τὸν L: ἓξ τὸν RA   20 ὀρθίους RA: ἀρτηρίους L   τοῦ *Chartier*: τοὺς RLA: τῶν *Cornarius*   21 λέγοντος *Chartier*: λέγοντας RLA: λεγόντων *Cornarius*   ἔτι δ' εἰ *Kalbfleisch*: εἰ δὲ RA: εἰ δ' L; *Cornarius suadebat* ἢ εἰ   22 ἐπιγένηται RLA: *correxi*   23 ἐπιφέρειν] ἐπιφ$^{\epsilon\rho}$ RA: φέρειν L: ἐπιφέρειν *Aldus Basil.*: ἐπιφέρει *Chartier, Kühn*   αἱμορραγίαν R: αἱμορραγίας L: *ambiguo comp.* A

III 52 [I 145. V 564, 1] Ἐκ ῥινῶν λάβρα βίαια πολλὰ ῥυέντα ἔστιν οἷσι σπασμοὺς προσάγεται, φλεβοτομία λύει.

Εἰ ἁπλῶς εἰρήκει σπασμοὺς προσάγεσθαι ταῖς τοιαύταις αἱμορραγίαις, ἐμεμψάμεθ' ἂν αὐτόν, ὥσπερ ἐν ἄλλοις πολλοῖς οὕτω κἀνταῦθα τὸ κατὰ μέρος ἀποφηνάμενον ὡς καθόλου· ἐπεὶ δὲ προσέθηκεν ἔστιν οἷσι, ἐπαινοῦμεν ἀληθεύοντα. καὶ γὰρ καὶ ἡμεῖς [ὡς] εἴδομεν πολλάκις
810 ἐπὶ τοιαύταις | αἱμορραγίαις σπασθέντας τινὰς οὐ μόνον διὰ τὴν ὑπερκένωσιν, ἀλλὰ καὶ διὰ τὴν ψύξιν, ἣν ψύχουσιν οἱ ἰατροὶ τὴν κεφαλὴν ἐπισχεῖν βουλόμενοι τὴν αἱμορραγίαν.

τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον φλεβοτομίη λύει τοιόνδε τι φαίνεται δηλοῦν· τὰς τοιαύτας διαθέσεις, ἐφ' αἷς σφοδρῶς αἱμορραγοῦσι, φλεβοτομία πρὸ τῆς αἱμορραγίας λύει παραληφθεῖσα. δῆλον γὰρ ὅτι βαρυνομένη τῷ πλήθει τοῦ αἵματος ἡ φύσις ὥρμησε μὲν ἐπὶ τὴν ἀπόκρισιν αὐτοῦ, κρατῆσαι δὲ τοῦ συμμέτρου μὴ δυνηθεῖσα τὴν καλουμένην ὑπὸ τῶν νεωτέρων ἰατρῶν 'ὑπέρκρισιν' εἰργάσατο.

δύναται δὲ καὶ αὐτῆς τῆς σφοδρᾶς αἱμορραγίας βοήθημα τὴν φλεβοτομίαν εἰρηκέναι. καὶ γὰρ καὶ ἡμεῖς πολλάκις ἐπειράθημεν τοῦ βοηθήματος ἐναργῶς ἱστάντος τὴν ἄμετρον φορὰν τοῦ αἵματος. εὔδηλον δ' ὅτι τὴν κατ' εὐθὺ χεῖρα τέμνειν χρὴ τοῦ μυκτῆρος, ἐξ οὗ ῥεῖ τὸ αἷμα λάβρως, καὶ ταύτης αὐτῆς τῆς χειρὸς τὴν ὠμιαίαν φλέβα διαιρεῖν·
811 εἰ δ' ἐξ ἀμφοτέρων, οὐδὲν κωλύει διαιρεῖν ἀμφοτέρας. οὐ γὰρ | ὑπὲρ τοῦ κενῶσαι δι' αὐτῶν, ἀλλ' ἀντισπάσεως ἕνεκα τὴν τομὴν ποιούμεθα.

8 *schol.* A: ὅτι δεῖ ψύχειν τὴν κεφαλὴν ἐπὶ τῶν αἱμορραγιῶν 19 *schol.* A: ὅτι τὴν κατ' εὐθὺ χεῖρα τέμνειν χρὴ τοῦ μυκτῆρος ἐξ οὗ ῥεῖ τὸ αἷμα λάβρως, τὴν ὠμιαίαν δὲ χρὴ τέμνειν φλέβα· ὡσαύτως δὲ χρὴ ποιεῖν καὶ ἐπ' ἀμφοτέρων τῶν μυκτήρων. λύειν δ' ἄν τι σπάσεως ἡ τοιαύτη φαίνεται κένωσις

1 ἐκ RLA: τὰ ἐκ *Hipp.* λαῦρα βίαια L, *Hipp. Prorrh. codd.*: λαῦρα βίαι A: βίαια *om.* R πολλὰ ῥυέντα RLA, *Hipp. Prorrh.; veriora serv. Coac. 330* τὰ ἐκ ῥινῶν λάβρα βίῃ ἀποληφθέντα. *hoc etiam in antiquo Prorrhetici exemplo fuisse sec. Littraeum (V 564 adn. 4) puto, sed ita formatum* βίῃ ἀπολαμφθέντα, *quod depravabatur in* ΒΙΑΙΑΠΟΛΛΑΡΥΕΝΤΑ 2 ἔστιν οἷσι *scripsi (conl. v. 5. 6)*: ἔτιμοι εἰς R: ἔτοι μοι εἰς A: ἔτοιμον εἰς L: ἔστι δ' οἷσι *Hipp. Prorrh.*: ἔστιν ὅτε *Coac. 330* σπασμὸν *Coac. cf. Gal. v. 3* 3 εἰ *om.* LA σπασμοὺς LA: σπασμὸν R τὰς τοιαύτας αἱμορραγίας L 4 ἐμεμψάμεθ' ἂν *scripsi*: ἐμεμψάμεθα L (*om.* ἂν): ἐμεμψάμην ἂν RA 5 ἀποφηνάμενος A 5. 6 ἔστιν οἷσι *scripsi*: ἔστιν οἷον L: οἷον R *et lacuna 6 litt. ante* οἷον *relicta* A 6 ἀληθεύοντα A: ἀληθεύε̄ (τ supra), *sed ultima littera* ε *an* ο *sit, incertum, videturque correcta esse,* R: ἀληθεύεται L καὶ γὰρ καὶ L *(cf. v. 17)*: καὶ γὰρ RA ὡς *delevi ut ex* καὶ *altero suppleto ortum* εἴδομεν, *super* ο *scripto* ω, R 10 φλεβοτο^{μ} λύει A: φλεβοτο^{μ} ἢ λύειν R: φλεβοτομίην λύειν L 11 φαίνεται RL: βούλεται A τοιαύτας *om.* A 12 λύει *post* φλεβοτομία *transp. ab Aldo edd.* 13 γὰρ LA: *om.* R 15 ὑπέρκρισιν RLA: ὑπερκένωσιν *Cornarius; at elucet novam vocem, non quae supra adhibita est v. 7, induci; si quid corrigendum, propono* ὑπερέκκρισιν *Alexandro Trall. usitatum* 17 εἴρηκεν . . . γὰρ *(spatio 4 litt. intermisso)* L 18 ἱστάντος A: ἱστάντα R: ἱστῶντος L 19 οὗ RA: ἧς L 21 διελεῖν L 22 ἄν τι σπάσεως *scripsit et intellexit* A *cf. schol.*

III 53 [I 146. V 564, 3] Αἱ πυκναὶ κατὰ μικρὸν ἀναστάσιες ὑπόξανθοι γλίσχραι, ἔχουσαι μικρὰ κοπρώδεα μεθ᾽ ὑποχονδρίου ἀλγήματος καὶ πλευροῦ ἰκτεριώδεες. ἆρα δὲ ἐπιστάντων αὐτῶν οὗτοι ἐκλύονται ἅμα τε καὶ αἱμορραγέει; τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν τούτοισιν αἱμορραγικά.

Συνεφόρησε πάλιν ἐνταῦθα συμπτωμάτων πλῆθος οὐχ ὁμογενῶν, ὑπὲρ ὧν ⟨ὡς⟩ ἑωρακὼς οὐδ᾽ αὐτὸς διατείνεται· ἑκάστου ⟨δὲ⟩ τὴν δύναμιν ἔμαθες ἐν οἷς ὀλίγον ἔμπροσθεν εἶπον Ἱπποκρατείοις μὲν συγγράμμασιν, ἡμετέροις δ᾽ ὑπομνήμασιν. |

III 54 [I 147. V 564, 8] Ὑποχονδρίου ἔντασις μετὰ καρη- 812
βαρίης καὶ κωφώσιος καὶ τὰ πρὸς αὐγὰς ὀχλεῦντα αἱμορραγικά [ἢ τὰ πρὸς αὐτὰς ὀχλοῦντα].

Βούλεται δηλοῦν ἅπερ Ἱπποκράτης "σκοτώδεα περὶ τὰς ὄψεις" εἴρηκεν, ὄντα ἐν τῇ εἰρημένῃ συνδρομῇ τῶν συμπτωμάτων αἱμορραγικῇ, καθὼς διὰ τῶν ἡμετέρων ὑπομνημάτων ἔμαθες. ἀναγινώσκειν γὰρ ἄρτι πάλιν, ὧν πολλάκις ἐμνημονεύσαμεν, εἰς μῆκος λόγου ἐκτείνειν ἐστὶν τὰ ὑπομνήματα.

8 ὀλίγον ἔμπροσθεν] *p. 158, 9 sq.* 13 Ἱπποκράτης] *Epid. I 6 (II 636, 10 L.)* 15 ὑπομνημάτων] *cf. Gal. XVII A 153 sq.*

1 αἱ RA: *om.* L πυκνὸν L κατὰ *scripsi*: καὶ κατὰ *Hipp.*: οὐ γὰρ κατὰ RA: γὰρ οὐ γὰρ κατὰ L: *in archetypo fuit* καὶ οὐ γρ(άφεται). *hinc delevi* καὶ *sec. Hipp. Coac. 610* μικρὸν *Hipp. Coac. 287*: μικτὸν RLA *(sed cf. ad v. 2)*: μικρὰ *Hipp. Prorrh., Coac. 610* ἀναστάσιες *Cornarius, cf. Hipp. Coac. 610 et Epid. VI 7, 1 (V 336, 6 ibique not. Littr.)*: ἀναστάσιος L: ἀνατάσιος R: ἀνατάσιν A: ἐπαναστάσιες *Hipp. Prorrh.* 2 γλίσχρον L μικρὰ *Hipp. Prorrh., Coac. 610*: μικρὰν A: μικρὸν R *(cf.* μικτὸν *v. 1)*: σμικρὸν L: βραχέα *Coac. 287* 3 ἰκτεριω^δ′ RA: ἰκτερώδεες L ἆρα RLA, *Coac. 287. 610*: ἦρά γε *Prorrh.* 4 αὐτῶν RA: *om.* L, *Coac. 610*: τούτων *Hipp. Prorrh.* οὗτοι *om. Hipp. Prorrh.* ἐκλύονται RLA, *Hipp. Prorrh. codd.*: ἐκχλοιοῖ *Coac. 287*: ἐκχλοιοῦνται *Coac. 610, cf. ad p. 150, 24. 164, 18. 166, 18* ἅμα τε RA: αἱμά τε L: οἶμαί τε *(vel* δὲ*) Hipp. Prorrh., Coac. 610* αἱμορραγέει RLA: αἱμορραγεῖ *Coac.*: αἱμορραγεῖν *Prorrh. mel. codd.*: αἱμορροεῖν *Coac. 610* τούτοις RLA, *Coac. 610*: τουτέους *Prorrh. mel.* 5 τάσις ὀσφύος RLA: τὰ γὰρ ἐς ὀσφὺν *Hipp. Prorrh. codd.*: τὰ δ᾽ ἐς ὀσφὺν *Coac. 610* αἱμορραγικὰ LA: αἱμορραγικαὶ R: αἱμορροεῖ *Coac. 610* 6 συνεφόρησαν L 7 ὧν *om.* A ὡς *addidi* ἑώρα RLA: *corr. Kalbfleisch* δὲ *addidi* 8 ἔμαθες LR¹A: ἔμαθον R² οἷσιν L 9 ὑπομνήμασι δ᾽ ἡμετέροις L: δ᾽ *om.* R 10 ἔντασις L, *Hipp.*: τάσις R: ἔνστασις A 11 κωφώσεως L αὐγὰς *Hipp. Coac. 191 (fuitque in Gal., ut comm. v. 13 et v. l. in lemmatis fine indicant)*: αὐτὰς RLA, *Hipp. Prorrh. codd. mel. (aut* αὐτούς*)* ὀχλεῦντα *scripsi*: ὀχλεύοντα RA: ὀχλεῦτα L: ἐνοχλεῖν *Coac.* αἱμορροεῖ *Coac.* 12 αὐτὰς RA: αὐτὸν L ὀχλοῦντα RA: ὀχλ *(tum lac. trium litt.)* L; *delevi variam lectionem ad genuinam* τὰ πρὸς αὐγὰς ὀχλεῦντα *adscriptam in archetypo* 13 ὄψιας *Hipp.* 14 εἴρηκεν κτλ.] εἴ η οντ ηι ρημένη συνδρομῆι *sic* L ὄντα *scripsi*: ὄντως RA *(de L vide antea)*: ⟨ἃ γέγονεν⟩ ὄντως *coni. Kalbfleisch cf. p. 177, 11* 16 ὧν RA: *om.* L

III 55 [I 148. V 564, 9] Ἐνδεκαταίοιϲι ϲτάξιεϲ δύϲκολοι, ἄλλωϲ τε καὶ ἢν δὶϲ ἐπιϲτάξῃ.

Τὸ μὲν δὶϲ ἐπιϲτάξῃ περιττόν· εἰ γὰρ καὶ τρὶϲ ⟨καὶ⟩ τετράκιϲ καὶ πεντάκιϲ, ὁμοίωϲ ἄτοπον. ἁπαϲῶν δ' οὐϲῶν τῶν ἀπὸ ῥινὸϲ ϲτάξεων
813 χαλεπῶν, ὅταν παχεῖαι καὶ μέλαιναι ⟨αἱ⟩ ἀποϲτάξειϲ, ταύταϲ | ὀλεθριωτάταϲ εὑρήϲειϲ. εἰ δὲ κατά τιναϲ τῶν ἐπιδήλων ἢ κριϲίμων ἡμερῶν ϲυμβαίνει τὸ τοιοῦτον, βεβαιότερον ἔξεϲτι προδηλῶϲαι. ἐπίδηλοϲ δὲ καὶ ἡ ια̅ τῆϲ ιδ̅, ὥϲτε τοῦ λεγομένου καθόλου θεωρήματοϲ ὑπ' ἐμοῦ νῦν ὁ γράψαϲ τὸ βιβλίον ἕν τι τῶν κατὰ μέροϲ εἶπεν, ἑνδεκάτηϲ μνημονεύϲαϲ ἐν αὐτοῖϲ ἡμέραϲ· ἔδει δὲ τὸ καθόλου περὶ τῶν ἐπιδήλων τε καὶ κριϲίμων εἰρηκέναι τοῦτον.

III 56 [I 149. V 564, 10] Τὰ φρίκηϲιν ἅμα ἱδρώϲαντα κριϲίμωϲ, εἰϲ δὲ τὴν αὔριον φρίξαντα παραλόγωϲ, ἀγρυπνεῦντα μὴ πεπαινόμενα αἱμορραγήϲειν οἴομαι.

Καλῶϲ εἶπεν οἴομαι, διατείνεϲθαι περὶ τῆϲ προρρήϲεωϲ τῶν μήτε διηνεκῶϲ μήθ' ὡϲ τὸ πολὺ γινομένων ἀφελών. |

814 **III 57** [I 150. V 566, 2] Οἷϲιν ἐξ ἀρχῆϲ αἱμορραγίαι λάβραι, ῥῖγοϲ ἵϲτηϲι ῥύϲιν.

Ῥῖγοϲ ἔϲτιν ὅτε μέτριον ἐθεαϲάμεθα προηγηϲάμενον αἱμορραγίαϲ ἐν πλήθει ϲώματοϲ. ταραχὴν γὰρ ἐν αὐτῷ ποιῆϲαν ἐπεγείρει τὴν φύϲιν ἀποκρῖναι τὸ λυποῦν. ὡϲ τὸ πολὺ μὲν οὖν ἱδρῶτεϲ ἔμετοί τε χολω-

1 ἐνδεκαταίοιϲι *Chartier*: ἐνδεκατέοιϲι *Basileensis*: ἐγκατέοιϲι RA: ν · κατα · ιϲ · L *(ex archetypo oblitterato descripta)*: αἱ ἐνδεκαταῖαι *Hipp. Prorrh, Coac. 331* ϲτάξιεϲ RA: τάξιεϲ L δύϲκολαι R 2 ἢν δὶϲ ἐπιϲτάξῃ *scripsi sec. Gal. v. 3 et Hipp. Prorrh., Coac. codd.*: ιν · δ · · · ἐπι · ταξ L: ἐπίϲταξιϲ *(antea lac. 4 litt.)* A: ἐπίϲταξιν R: ἢν ἐπίϲταξιϲ *ab Aldo edd.* 3 δὶϲ ἐπιϲτάξῃ *scripsi*: δὴ ἐπιτάξει L: ἐπιϲτάξει *(antea lac. 4 litt.)* A: ἐπὶ ϲτάξει R, *Aldus*: ἐπιϲτάξει *Basil.*: ἐπίϲταξιϲ *Chartier* εἰ] εἰϲ A τρὶϲ καὶ τετράκιϲ καὶ πεντάκιϲ *scripsi*: τοῖϲ δ̅ καὶ ε̅ RA: τοῖϲ καὶ γ L 4 τῶν *om.* L ϲτάξεωϲ L 5 παχεῖαι *Chartier*: παχεῖϲ RA: παχὺ L μέλαιναι *Chartier*: μέλαναϲ R: μέλανε A: μέλαν L αἱ *addidi* ἀποϲτάξαϲ L; *fieri potest, ut Gal. scripserit*: ὅταν παχέα καὶ μέλαν' ἀποϲτάξωϲι ὀλεθριωτάτουϲ R 6 ἐπιδήλων RLA: ἐπιδημιῶν *Chartier absurde cf. Foes s. v.* ἐπίδηλοϲ; *Gal. XVII B 510 sqq. XVIII B 232. 246* 7 προδήλωϲ L 8 λεγομένου LA: λελεγμένου R 10 ἔδει δὲ *scripsi*: ἐν δὲ RA: δὲ ἐν L τὸ R: τῶι LA 11 τοῦτον L: τοῦ^τ A: τοῦ^τ R: τοῦτο ⟨ἔδει⟩ *Cornarius* 12 φρίκηϲιν RLA: ἐν φρίκηϲιν *Hipp. Prorrh., sed cf. Coac. 24* 13 ἀγρυπνεῦντα *scripsi ex Hipp. Coac. 24*: ἀγρυπνεῖν τὰ RLA: ἀγρυπνέοντα *Prorrh.* 14 μὴ πεπαινόμενα *scripsi*: μὴ πεπαινομένων *Coac. (itemque* πεπαινομένων, *sed post* οἴομαι *codd. Prorrh.)*: ϲημαινόμενα RA: ϲη καινόμενα *(sic)* L αἱμορραγέειν οἰόμενοι L 15 οἴομαι RA: οἱ *cum spatio 4 litt.* L τῆϲ προρρήϲεωϲ A: τῆϲ προρήϲεωϲ R: τὰϲ προρρήϲειϲ L 16 ἀφελών] *an* οὐ θέλων? 18 ῥῖγοϲ *Hipp.*: ῥίγεοϲ RLA ῥύϲιν RA: ῥιϲι L: *om. Hipp.* 19 ῥῖγοϲ] ἵγοϲ R προηγηϲάμενον A: προηγηϲαμένων L: προηγηϲάμεθα R 19. 20 αἱμορραγίαν πλήθη R 20 ϲώματοϲ RA: ἐν ϲώματι L αὐτῷ A: αὐ^τ R: ἑαυτῷ L ποιῆϲαν A: ἐμποιῆϲαν R: ἐποίηϲαν L

δῶν καὶ διαχωρήσεις ἐπὶ τῷ ῥίγει γίνονται. συμβαίνει δ', ὡς ἔφην, ἐνίοτε καὶ δι' αἱμορραγίαν κενωθῆναι τὸ πλῆθος, ἐὰν δὲ ἐπιγένηται λάβρα αἱμορραγία, ἀντισπᾶται.

III 58 [I 151. V 566, 3] Ἐξ αἱμορραγίας ῥίγεα μακρά.

Ὅταν μὴ παύσῃ τὴν νόσον ἡ αἱμορραγία, διαδέξηται δ' αὐτὴν ῥῖγος, ἑκάτερον γίνεται μακρὸν ἐκ τοῦ τοῦτο δυσεκθέρμαντον εἶναι καὶ τοῦ περιμένειν ἔτι πλείοσιν ἡμέραις, γι|νόμενον ἐκ περιόδου μὲν ὡς τὸ 815
πολύ, συμβαῖνον δέ ποτε καὶ πεπλανημένως.

III 59 [I 152. V 566, 4] Οἷσι κεφαλαλγίαι καὶ τραχήλου πόνος καὶ ὅλου δέ τις ἀκράτεια τοῦ σώματος τρομώδης, αἱμορραγικὰ λύουσιν. ἀτὰρ καὶ οὕτως χρόνῳ λύεται.

Πολλὰς ἐν τούτῳ παντὶ τῷ λόγῳ συνδρομὰς ἐφεξῆς ἀλλήλων ἔγραψεν μὴ δυνάμενος ἐν ὀλίγῳ περιγράψαι τὴν καθόλου μέθοδον ἐπὶ τῶν αἱμορραγησάντων. ἐπισκέπτεσθαι γὰρ χρὴ δύο ταῦτα πρῶτα, πυρετὸν θερινὸν ἱκανῶς, ὥσπερ οἱ καῦσοι, καὶ τὰ περὶ τὴν κεφαλὴν καὶ ⟨τὸν⟩ τράχηλον συμπτώματα καὶ μάλιστ' αὐτῶν τὰ πληθωρικά (συναριθμῶ δὲ δηλονότι τῇ κεφαλῇ καὶ τὰ κατὰ τὸ πρόσωπον), εἶθ' ἑξῆς ⟨ἃ⟩ αἵματος πλήθους ἐστὶν ἐν ὅλῳ τῷ σώματι σημεῖα. καὶ τούτων οὐδὲν ἧττον, ⟨εἰ⟩ ἐφ' ὥρᾳ θέρους ἢ ἐαρινῇ χώρᾳ τε τῶν | εὐκράτων ἢ τῶν θερ- 816
μοτέρων καθ' ὑποχόνδρια φλεγμονή τις, ἐφεξῆς δὲ τούτων τὰ περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον αἱμορραγικὰ σημεῖα, καὶ εἴ τι κατὰ θώρακα καὶ ὑποχόνδρια τῆς ἄνω ῥοπῆς γνώρισμα. ταῦτα γὰρ ἅπαντα

1 ῥίγη γίνοντε R συμβαίνειν R 2 ἐνίοτε *post* αἱμορραγίαν *iter.* L αἱμορραγίαν RL: *ambiguo comp.* A: αἱμορραγίας *coni. Cornarius* ἐὰν . . . ἀντισπᾶται *(3) ut lemmatis initium ponunt* RL: *commentario continuat (ut ipsum lemma III 58)* A: *extremis Galeni* τὸ πλῆθος *adiecit Cornarius, cum desint ap. Hipp.* 3 λαῦρα L: λαῦραι R 5 ἡ] αἱ *Kühniana* αἱμορραγίαι R: αἱμορρα$^{\gamma}$ A: αἱμορραγίη L διαδέξηται A: διαδέξεται RL 6 ἑκάτερον *Aldus*: ἑκατέρως LA: ἑκα$^{\tau\rho}$ (*i. e.* ἑκατέρῳ *vel* ἑκατέρως) R τοῦτο *scripsi* (*scil.* τὸ ῥῖγος): τῶν RA: *om.* L; τὸ σῶμα *post* εἶναι *inseri iussit Cornarius* 7 παραμένειν LA ἔτι *Cornarius*: ἐπὶ RLA πλείους ἡμέρας L *desidero* γινόμενον μὲν ἐκ π. 7. 8 τὰ πολλὰ LA 8 συμβαῖνον LA: συμβαίνει R πεπλανημένως A: πεπλανημένον L: πεπλανημένη R 10 πόνος RLA, *Hipp. Coac. 166*: πόνοι *Hipp. Prorrh* ὅλου LA: λου R ἀκρα$^{\tau\epsilon}$ τοῦ σώμ. R τρώδης L αἱμορραγικὰ LA: αἱμορραγικαὶ R: αἱμορραγίαι *Prorrh.*: αἱμορραγίη (λύει) *Coac.* 11 καὶ οὕτως *om.* A χρόνῳ οὕτως λύεται *Ald. Bas.*: χρόνῳ οὕτω λύονται *Chartier* 12 πολλοὶ R τοῦτο R παντὶ *post* λόγῳ *transp.* R συνδρομὴ R 13 ἔγραψε L: ἔγραψεν καὶ RA παραγράψαι L 14 γὰρ RLA: δὲ *ab Aldo edd.* 15 ἱκανῶς θερινὸν L τὴν κεφαλὴν L: τῆς κεφαλῆς RA 16 τὸν *addidi*: τοῦ *Aldus* τράχηλον L: τραχήλου RA συναριθμῶ RA: συναριθμῶι L: συναριθμῶν *ab Aldo edd.* 17 τὰ *Cornarius (cf. v. 20)*: τὸ RLA ἃ *add. Cornarius* αἵματος RA: ἐμέτων L 18 πλήθους *Cornarius*: πλῆθος RLA 19 εἰ *addidi* θέρους RL: θέρει A: *noli* θερείᾳ *propter hiatum* τε *om.* L *post* θερμοτέρων *inserebat* καὶ ἦν *vel* καὶ εἰ *Cornarius ac post* τις *idem* εἴη 21 τῇ κεφαλῇ R τῷ προσώπω R εἴ τι LA: ἤτοι R

διὰ τῶν Περὶ κρίϲεων ὑπομνημάτων ἐξηγηϲάμην καὶ μέντοι καὶ τῶν Εἰϲ τὸ Προγνωϲτικὸν καὶ τὸ πρῶτον τῶν Ἐπιδημιῶν, ἐν οἷϲ καὶ διώριϲται τά τε μελλούϲηϲ ὅϲον οὔπω γενήϲεϲθαι τῆϲ αἱμορραγίαϲ ϲημεῖα καὶ τὰ μὴ τοιαῦτα.

III 60 [I 153. V 566, 6] Οὖρα τοῖϲι παρ᾽ ὦτα ταχὺ καὶ ἐπ᾽ ὀλίγον πεπαινόμενα φλαῦρα. καὶ τὸ καταψύχεϲθαι ὧδε πονηρόν.

Καὶ τὸ κατὰ ταύτην τὴν ῥῆϲιν εἰρημένον ἐπὶ μέρουϲ ἐϲτὶν ὑποπεπτωκὸϲ καθολικῷ λόγῳ· τὰ οὖρα κατὰ πᾶν νόϲημα πυρετῶδεϲ ταχὺ καὶ ἐπ᾽ ὀλίγον πεπανθέντα, μετὰ ταῦτα δὲ παυϲάμενα φλαῦρόν τι ϲημαίνει. πρόδηλον δ᾽ ὅτι καὶ τὸ καταψύχεϲθαι πονηρὸν οὐκ ἐν τού- **817** τοιϲ μόνον, ἀλλὰ καὶ | πᾶϲιν. οὐδὲ γὰρ ἐπὶ τῶν κοινῶν πρόϲεϲτιν ἐξαίρετόν τι καθάπερ ἐπὶ τῶν καύϲων· οὗτοι γάρ, ὅτι διακαεῖϲ ὄντεϲ οὐκ ἐκθερμαίνουϲι τὰ ἄκρα, κακοήθειϲ εἰϲί, τῶν ἐπιεικῶν ὅλον τὸ ϲῶμα διακαιόντων ὁμαλῶϲ.

III 61 [I 154. V 566, 8] Τὰ ὑποκαρώδεα ἰκτερώδεα οὐ πάνυ αἰϲθανόμενα, ⟨οἷϲι λύγγεϲ⟩, κοιλίη καταρρήγνυται, ἴϲωϲ καὶ ἐπίϲταϲιϲ, οὗτοι ἐκλύονται· ἆρα τούτοιϲι καὶ τὰ παρ᾽ ὦτα;

⟨Εἰ διὰ⟩ τούτων ⟨ὧν⟩ ἡμεῖϲ ⟨ἐγράψαμεν⟩ ὑπο⟨μνημάτων⟩ μεμάθηκαϲ τά τε τῶν παρωτίδων ἴδια ϲημεῖα καὶ τὰ τῶν ὀλεθρίωϲ ἐχόντων γνωρίϲματα, γνωριεῖϲ ῥᾳδίωϲ τὰ νῦν εἰρημένα τῶν ἰδίων οὐκ ὄντα.

1 Περὶ κρίϲεων] *I 7 (IX 577 K.); III 11 (IX 765)* 2 Εἰϲ τὸ Προγνωϲτικὸν] *III 33 (XVIII B 291 K.)* τὸ πρῶτον τῶν Ἐπιδημιῶν] *XVII A 169 sqq. K.*

1. 2 τῶν εἰϲ *om.* L 2 τῶν LA: *om.* R 3 οὔπω LA: οὕτω R 5 παρῶτα RA: παραυτὰ L: παρὰ τὰ ὦτα *Hipp. Prorrh. (non Coac. 202)* 6 καὶ τὸ A: καίτοι RL 8 κατ᾽ αὐτὴν A 9 νοϲη^μτ´ (*i. e.* νοϲημάτων) R: νόϲηματι A πυρετῶδεϲ L: *om.* RA 10 ὀλίγω R πεπανθέντα A *ut coniecit Cornarius*: πεπονθότι L: πέπονθε R παυϲάμενα RA: παυϲάμενον L 11 καταψύγεϲθαι R τούτοιϲ LA: του^τ R 12 μόνοιϲ L τὸ κοινὸν L 13 ὅτι LA: ὅτᾶν R 14 ἐκθερμαῖ´ R 17 αἰϲθανόμεθα L: αἰϲθανόμενοϲ A

οἷϲι λύγγεϲ *Hipp.*: *om.* RLA; *lacunam significat* L κοιλίαι L: κοι^λ RA καταρρήγυνται LA: κάτω ῥήγνυται R 18 ἐπίϲταϲιϲ *Cornarius (ut Coac. 480)*: ἐπίταϲιϲ RA: ἐπιϲα · ϲ · · *(litterarum spatiis vacuis)* L: ἐπιϲτάϲηϲ *Prorrh. codd. mel.* ἐκλύονται RLA, *Hipp. Prorrh.*: ἐκχλοιοῦνται *Coac., cf. ad 161, 4* ἆρα RL: ἦρα *Prorrh. codd. mel.* τούτοιϲ A: τοῦτοι R παρ᾽ ὦτα A *(cf. v. 5)*: παρόντα R: παράντα L 19 Εἰ . . . μεμάθηκαϲ *oblitterata dubitanter refeci (cf. 161, 15)*: τοῦτο ἡμεῖϲ ὑπὸ μεμαθήκαμ^αι *(extr. correcta incerto modo)* R: τούτων ἡμ. ὑπο . . . . *(litteris vacuis)* L: τούτοιϲ ἡμεῖϲ ὑπομεμαθήκατε A: εἰ ὑφ᾽ (ὑπ᾽ *Aldus*) ἡμῶν μεμάθηκαϲ *ab Aldo edd.* 20 ἴδια L: *om.* RA 21 γνωρίϲματα *om.* L

III 62 [I 155. V 566, 12] Τὰ ἐπεςχημένα μετὰ ῥίγεος οὖρα πονηρά, ἄλλως τε καὶ προκαρωθέντι. τὰ παρ' οὗς, ἆρα ἐπὶ τούτοιςιν ἐλπίς; |

Ἐν μὲν ταῖς πρὸ τούτου ῥήςεςιν γράφειν ἐβούλετο αἱμορραγιῶν 818 μελλουςῶν ςυνδρομὰς οὐ δυνάμενος, ὡς ἔφην, ἐν ὀλίγῳ περιλαβεῖν αὐτῶν τὰ ἴδια. πάλιν ἤδη δεύτερον ἔγραψεν ῥῆςιν ταύτην εἰς πρόρρηςιν ἐςομένων παρωτίδων. ἔχει δ' οὐδὲν οὐδ' αὐτὴ τῶν ἰδίων μετὰ τοῦ καί τινα τῶν ὀλεθρίων μεμῖχθαι ςυμπτωμάτων, ἐφ' οἷς ςπανίως γίνονται παρωτίδες. ὅτι δ' οὐδ' αὐτὸς ἐτόλμηςεν ἀποφήναςθαι περὶ τῆς τῶν παρωτίδων γενέςεως † ἀλλὰ τὸ περίδηλον διὰ τοῦ προςθεῖναι τὸν ἆρα ςύνδεςμον.

III 63 [I 156. V 566, 13] Ἐκ ςτροφωδέων ὑπόςταςις ἰλυώδης, ὑποπέλιος, κακή. ἆρά γε ἐκ τοιούτων ὑποχονδρίων ὀδυνᾶται; δοκέω δεξιάν. ἆρα καὶ χλοώδεες οἱ ⟨τοιοῦτοι καὶ τὰ παρ' ὦτα⟩ τούτοιςιν ὀδυνώδεα ἐπ' ὀλίγον; κοιλίη καταρραγεῖςα τούτοιςιν [ἐν ἅπαςιν] ὀλέθριον. |

Ἐν ἅπαςι τοῖς ἄλλοις ἀντιγράφοις εὗρον ἐκ ςτροφωδέων ἐν 819 ἀρχῇ τῆς ῥήςεως γεγραμμένον, ὅτι μὴ τοῖς Διοςκορίδου καὶ Καπίτωνος. οὗτοι γὰρ ἔγραψαν ἐκ τροφιωδέων, ὧν ὁ λόγος ἐπ' οὔρων λέλεκται, καὶ ἴδιον τούτων τὰς ὑποςτάςεις Ἱπποκράτει τε καὶ τοῖς ὑπ' αὐτὸν ςκοπεῖςθαι, μὴ τῶν διαχωρημάτων. αὐτὸς μὲν οὖν ὁ Διο-

1 ἐπιςχόμενα A, *Hipp. Prorrh. et Coac. codd. mel.* 2 προκαρωθέντι. τὰ παρ' οὗς ἆρα *scripsi sec. melius servatam Coac. 25*: προκαρω$^{θ'τ}$· παρ' οὗς ἆρα A: προκατατρω$^{θτ'}$ (κατα *comp.*) παρ' οὗς. ἆρα R: προκα . . . . ἐπὶ *(litt. vac.)* L; τὰ παρ' οὗς *ad proxima pertinere docet lemma 61 (164, 18)* 4 τούτου LA: τοῦ^{τ} R ἐβούλετο γράφειν *transp.* L 5 ςυνδρομὰς L: ςυνδρο^{μ} (ςυνδρομὴν?) RA 6 αὐτῶν *om.* L *post* ἴδια *add.* μὲν L δευτέραν L 7 οὐδ' αὐτὴ] ἐν αὐτῇ A 9 παρωτίδα R: παρωτίδαι A 10 ἀλλὰ τὸ περίδηλον R: ἀλλὰ τ *(spat. unius litt.)* περίδηλοι L: ἀλλὰ τοῦ περίδηλοι A; *oblitterati archetypi vestigia haud accurate presserunt* RLA; *nihil iuvat Cornarii ratio qui delebat* ἀλλὰ τὸ; *conicio* ἀςφαλῶς, πρόδηλον; ἁπλούςτερον, δηλοῖ *Kalbfleisch* προςθῆναι R 12 ςτροφωδέων L, *Hipp.*: ςτροφώδους A: ςτροφώδης R 13 τοιούτων RL: τούτων A: τῶν *166, 13* ὀδυνᾶται *166, 13*: οὐ δύναται RLA 14 δοκέω δὲ δεξιόν *Hipp. Prorrh., sed om.* δὲ RLA *hic et 166, 13; Hipp. Coac. 566 (714, 5)* ἆρα καὶ χλοώδεες οἱ *ex Coac. 566 et Prorrh. restitui*: ἆρα καὶ χολώδεες L: ἆρα καὶ χολώδες ἢ A: ἆρα χολω^{Δ}' ἢ R: ἐκλύεται ἆρα *Ald. ex 166, 18 unde potius lectio synonyma* κεχλοίωνται *possit enucleari* τοιοῦτοι καὶ τὰ παρ' ὦτα *restitui ex Hipp. l. c.*: *om. propter homoearcton* RLA 15 τούτοιςιν *Gal. 166, 26 Hipp.*: τοιούτοιςιν RLA ὀλίγον LA: ὀλίγω R 16 ἐν ἅπαςιν RLA: *delevi (cf. v. 17)*: *om. Hipp. Prorrh., Coac.* 17 τοῖς LA: τῆς R 18 διοςκουρίδου L καπίτων R 19 ἐκςτροφωδέων RA *et* (ω *corroso*) L: *corr. Opsopoeus Hipp. Iusiur. (Francof. 1687) p. 661 ex Coac. 566* καὶ τὸ ἐκ τροφιώδεος ὑπόςταςιν ἴςχον ὑποπέλιον ἰλυώδεα ὧν RLA: ὡς *Cornarius* 20 λέλεκται RA: λεπτῶν L ἴδιον *scripsi*: διὰ RLA (δὴ *coniciebat Cornarius*) τε *om.* L τοῖς RA: τοὺς L 21 αὐτὸν LA: αὐτῶν R: *poterat etiam* αὐτῷ *post* μὴ *iterav.* διὰ L οὖν *om.* A

σκορίδης τὰ τροφώδεα οὖρα λέγεσθαί φησι τὰ ἔχοντά τινα ἐν αὑτοῖς ἐμφερόμενα πεπηγότα παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι, γεγονότος τοῦ ὀνόματος. ἴσμεν γὰρ ὅτι καὶ ὁ ποιητὴς εἶπε τόδε "ὦκα περιτρέφεται κυκόωντι" δηλῶν τὸ 'περιπήγνυται'. οἱ δ' ἄλλοι σχεδὸν ἅπαντες ἐξηγηταὶ τὰς ἐν τοῖς διαχωρήμασιν ἰλυώδεις καὶ ὑπόπελίους ὑποστάσεις εἰρῆσθαί φασι νῦν, ὅταν ὑγραίνηται γαστὴρ καὶ τὰ στροφώδη συμφωνεῖν ἡγοῦνται. τοὐπίπαν γὰρ αἱ τοιαῦται διαχωρήσεις μετὰ στρόφων γίγνονται.

ὑφίστασθαι δή φησι τοῖς οὕτω διαχωρουμένοις ὑγροῖς οὖσιν ὑποστάσεις ἰλυώδεις ὑποπελίους, ὅταν μοχθηρὰ διάθεσις ᾖ, καθ' ἣν ἐκκρίνεται τὰ τοιαῦτα. καὶ τοὐπίπαν γε τοῖς τὰ τοιαῦτα διαχωροῦσι
820 τὸ | ἧπαρ πεπονθέναι φασὶ καὶ διὰ τοῦτο καὶ αὐτὸν τὸν γραφέα προστεθηκέναι τῇ ῥήσει· ἆρα ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται; δοκέω δεξιόν. ἀεὶ μὲν γὰρ ἡπατικὰ τὰ τοιαῦτα διαχωρήματα, οὐ μὴν μετὰ φλεγμονῆς ἀεὶ τοῦ σπλάγχνου, διότι τῷ λόγῳ προσέθηκε τὸν ἆρα σύνδεσμον, ὡς οὐ δυνάμενος διατείνεσθαι, ὅτι τὸ δεξιὸν ὑποχόνδριον ὀδυνᾶται τοῖς οὕτω πάσχουσιν ⟨ἀεὶ⟩. ἀλλὰ καὶ τὸ τούτοις ἐφεξῆς εἰρημένον τὸ ἐκχλοιοῦσθαι, προδήλως ἡπατικόν ἐστι σύμπτωμα, καθότι δέδεικται διὰ τοῦ δευτέρου τῶν Ἐπιδημιῶν. μετὰ ταῦτα προσέγραψε περὶ τῶν παρ' ὦτα.

φαίνεται δὲ ταύταις ἁπάσαις ταῖς ῥήσεσιν ἐπὶ συνδρομαῖς τισι προγνώσεις αὐτῶν γράφειν καὶ τοῦτ' εἶναι μάλιστα [καὶ κατὰ τὴν] προκείμενον αὐτῷ καὶ κατὰ τὴν ἐνεστῶσαν ῥῆσιν, ἀλλ' οὐκ ἐτόλμησεν ἀποφήνασθαι περὶ αὐτῶν, καίτοι γε εἰωθὼς ἐπὶ τῶν κατὰ μέρος ὡς καθόλου πολλάκις ἀποφάσεις γράφειν. ἀλλὰ νῦν γέ φησι καὶ τὰ παρ' ὦτα τούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγον, ἐμφαίνων πάλιν ὡς ἑωρακὼς

3 ὁ ποιητής] *Hom. Ε 903, cf. Herodian. ap. Eustath. 620, 14 (II 567, 15 not. Lentz)* 19 δευτέρου τῶν Ἐπιδημιῶν] *cf. Gal. XVII A 342sqq.*

1 στροφώδεα RLA: *corr. Cobet Mnem. N. S. IV (1876) 182* 2 πεπηγότα LA: πεπη^{μτ}' R τρέφεσθαι L: διαστρέφεσθαι RA 3 γεγονότα R τόδε . . . περιπήγνυται (4) *om.* L ὦκα *Hom.*: τὸ καὶ RA 4 περιτρέπεται RA: περιστρέφεται *Hom. codd., ab Aldo edd.* κυκόωντι *Hom.*: κυκλωθεν^{τ}' A: κυκλωθέντος R: κυκλωδῶς *ab Aldo edd.* δηλῶν RA: δηλοῦν *Aldus* 8 μετὰ στρόφων γίγνονται L: μεταστρέφουσιν ἢ γίνονται RA 9 ὑφίστασθαι L: ἐφίστασθαι RA φασι *Cornarius* τοῖς] τούτοις L διαχωρημένοις R 10 ἰλυώδεις *post* οὖσιν *transp.* A ὅταν LA: ὅτι R 11 καὶ τοὐπίπαν . . . δεξιόν (14) *om.* L *post* τοῖς *add.* κατὰ A 12 φασὶ A, *ut coniecerat Cornarius*: φησὶ R προστεθηκέναι R: προστεθεικέναι A 13 ἆρα *Aldus*: οὖρα RA: ἆρά γε *lemma 165, 13* τῶν RA: τοιούτων *lemma 165, 13* 14 δεξιόν *lemma*: λέξιν A: λέξειν R ἀεὶ LA: αἱ R τὰ LA: *om.* R 15 πρὸς τῶι λόγωι προστέθεικε L 16 ὡς RL: καὶ A δυνάμενος LA (*et comp.* R): δυνάμενον *ab Aldo edd.* ὅτι A: ὅταν R: *om.* L 17 ὀδυνᾶται *Aldus*: δύναται RLA ἀεὶ *om.* RLA: *suppl. Aldus* (*ante* ὀδ.) καὶ *om.* A 18 ἐκχλοιοῦσθαι *scripsi*: ἐκλυῶσθαι L: ἐκλύεσθαι RA, *cf. ad 161, 4* προδήλως L: πρόδηλον R: *ambigue* A 19 προέγραψε L 20 τῶν παρ' ὦτα A: τὸν παρόντα L: τῶν παρόντων R 22 γράφειν L: γράφων RA καὶ κατὰ τὴν (τὸ LA) *ut iteratum ex v. 23 delevi* 25 πολλάκις καθόλου RLA: *transp. Kalbfleisch* γράφειν LA: γράψαι *an* γράφειν *incerto comp.* R 25. 26 παρ' ὦτα A: παρόντα RL (*cf. v. 20*) 26 ὀδυνώθη L πάλιν LA: πᾶσιν R

εἴη τινὰ τοιοῦτον ἄρρωστον, ἐφ᾽ οὗ ὑπὸ τῆς φύσεως ὁρμή τις ἐγένετο πρὸς γένεσιν πα|ρωτίδων, οὐ μὴν ἐξίσχυσέ γε ἀποθέσθαι ταύτῃ τὰ 821 λυποῦντα καὶ συνέβη τῷ νοσοῦντι κοιλίας καταρραγείσης ὀλεθρίως ἔχειν, ὡς ἂν μὴ κρίσεως λόγῳ τῆς φύσεως ἐκκρινούσης κάτω τοὺς λυποῦντας χυμούς, ἀλλὰ δι᾽ ἀρρωστίαν τῆς ἐν ἥπατι δυνάμεως.

III 64 [I 157. V 568, 3] Ἐν τοῖσιν ἀσώδεσιν ἀγρύπνοισι τὰ παρ᾽ οὖς μάλιστα.

⟨Τὸ μάλιστα⟩ προσέθηκεν ἐνταῦθα διὰ τὸ πολλάκις ἑωρακέναι ταῦτα καὶ οὐχ ἅπαξ, ὥστε κατὰ τὴν προκειμένην ῥῆσιν ἀληθές ἐστιν ἀσώδεις εἶναι, οἷς ἀνίστανται παρωτίδες, ἀλλ᾽ οὐχ ἱκανὸν τοῦτο. καὶ γὰρ ὅτι παραφροσύνην ἀναγγέλλει τὰ τοιαῦτα συμπτώματα, διὰ τῶν ἔμπροσθεν ἐδήλωσεν. ἐὰν οὖν, ἅπερ ὁ Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν, προδιασκεψάμενος ἐλπίσῃς ἔσεσθαι παρωτίδας, εἶτ᾽ ἀσώδη καὶ ἄγρυπνον ἴδῃς τὸν κάμνοντα, ⟨προσδόκα⟩ γενήσεσθαι τὰς παρωτίδας. δι᾽ ὧν δὲ σημείων ἐλπίσεις ἔσεσθαι τὰς παρωτίδας, ἔστιν ταῦτα. πρῶτον | μὲν τὸ κοινὸν ἁπασῶν ἀποστάσεων, ὅτι χρονίζοντι περιέστηκε 822 τῷ κάμνοντι, εἶθ᾽ ἑξῆς εἰ ἀργὴ καὶ κατάρροπος ἡ νόσος ἢ θερμὴ καὶ ἀνάρροπος, εἶτα ⟨* τὰ⟩ περὶ τράχηλον καὶ κεφαλὴν βάρη καὶ τὰς ὀδύνας καὶ τὸ ἔρευθος τοῦ προσώπου. διὰ τοῦτο γάρ τοι προελπίσαντι παρωτίδας ἔσεσθαι βεβαιοτέρα πρόγνωσις ἔσται τῶν κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένων ἐπιφανέντων. ἐκείνου μὲν πρὸ πάντων μέμνησο τοῦ λόγου. μετὰ ταῦτα, ὅτι νῦν πάντα τὰ σημεῖα καθ᾽ ἕκαστον ἂν εἶπον, ⟨εἰ μὴ⟩ πρὸς Ἱπποκράτους αὐτοῦ γεγραμμένα ⟨ἦν διὰ⟩ δυοῖν ἤδη βιβλίοιν. ἐπίτασσε δ᾽ αὐτοῖς ὅσα διὰ σφυγμῶν εἰς ἑκάστου πρόγνωσιν

12 ἔμπροσθεν] *cf. Hipp. Prorrh. 1. 4. 10. 17. 85.* 23 Ἱπποκράτους . . . δυοῖν βιβλίοιν] *cf. p. 164, 2*

1 εἴη RA: ἦν L ὑπὸ A: ὑπὲρ R: ἐπὶ L 1. 2 ἐγένετο τοῦ πρὸς L 2 ἐξίσχουσαι R ὑποθέσθαι ταῦτα R 3 τὸν νοσοῦντα κοιλίης κατ. ὀλέθριον RA 4 ἐκκρινάσης L: ἐκκριν^ȣ A 6 *lemma et comm. usque ad* παρωτίδας *(v. 14) om.* L τοῖσιν R, *Hipp. Prorrh.*: τισιν A: τῇσιν *Hipp. edd.* ἀγρύπνοισι *scripsi (sec. Hipp. Coac. 552)*: ἀγρυπνίῃσι RA, *om. Hipp. Prorrh. codd.*

8 Τὸ μάλιστα *add. Cornarius* 9 προκειμένην *Cornarius*: πρὸ ταυ^τ A: πρὸς ταύτης R 10 παρωτίδαι R 14 προσδόκα *add. Cornarius*: *om.* RA

16 μὲν *scripsi*: μέν τοι RLA χρονιζο^τ *(sine acc.)* A: χρονιζόν·ων RL: *corr. Aldus* 16. 17 πεσεστηκὸς τῶν καμνόντων L 18 εἶτα L: ἢ τὰ RA; *lacunam signavi, supplenda fere haec* ἐπισκεπτέον τὰ; ἔχῃ (*volebat* ἔχει) *post* προσώπου *addebat Cornarius* 19 ερευθον R *puto* γάρ σοι 20 βεβαιότερον προγνώσεις R: *amb. comp.* A 21 μὲν RLA: *conicio* μὲν οὖν πάντων *Aldus*: παν^τ R: παντὸς LA 22 λέγειν L ὅτι νῦν *scripsi*: τοίνυν RA: νῦν L 23 εἰ μὴ *addidi* αὐτοῦ *scripsi*: αὐτὰ RA: ταῦτα L ἦν διὰ *addidi* 23. 24 δυοῖν ἤδη βιβλίοιν RA: δυῶν ἤδη βιβλίων L 24 ἐπιτάσσει RL, *Aldus*: *correxi*: ἐπιτάσσειν *Basileensis* ἑκάστου R: ἑκάστην L: *ambigue* A

συντελοῦντα παραλέλειπται μὲν πρὸς Ἱπποκράτους, ἔχεις δὲ καὶ ταῦτα γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ Περὶ σφυγμῶν πραγματείᾳ.

III 65 [I 158. V 568, 4] Ἐπὶ εἰλεοῖσι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ μετεώρῳ χρονιωτέρῳ, τὰ παρ' οὖς ἐπαρθέντα κτείνει. |

823 Ἐν ταύτῃ τῇ ῥήσει γέγονε μέν τις ἀσάφεια καὶ δι' αὐτὸν τὸν γράψαντα, γέγονε δὲ καὶ διά τινας ἐξηγητὰς ἡγουμένους ἄδηλον εἶναι, πότερον καθ' ἕκαστον τῶν εἰρημένων συμπτωμάτων ὁ ἀνὴρ ἐλπίζειν ἡμᾶς ἀξιοῖ γενέσθαι παρωτίδας ἢ πάντων ἅμα συνελθόντων. ἐν ἀρχῇ μὲν γὰρ τούτου ⟨τοῦ⟩ συγγράμματος ἔτ' ἀγνοουμένης τῆς γνώμης αὐτοῦ προσηκόντως ἄδηλα τὰ τοιαῦτα ἄν τις εἶναι νομίσειεν, ἐν ὅλῳ δὲ τῷ βιβλίῳ πεῖραν ἱκανὴν ἐσχηκότων ἡμῶν τῆς προαιρέσεως αὐτοῦ καὶ γινωσκόντων ὅτι κατὰ συνδρομὰς ὧν εἶδε τὰς προγνώσεις γράφει, δῆλός ἐστι καὶ νῦν ἐπὶ πᾶσιν οἷς ἔγραψεν ἅμα γενομένοις ἀξιῶν ἡμᾶς ἐλπίζειν τὰς παρωτίδας ἔσεσθαι. ἀλλ' ὅτι θανατώδεις εἰσίν, εἰ γένοιντο, πρόδηλον ὡς καὶ νῦν ἑώρακά τινας τῶν οὕτω νοσούντων, οἷς παρωτίδων γενομένων ἠκολούθησε θάνατος.

ὅτι ⟨δὲ⟩ διὰ τὰς παρωτίδας οὐκ ἐγενήθη [ἰστεόν, ὅτι ἰδεῖν ἔστιν τοιαύτας], δῆλον ἐξ ὧν ἔγραψεν ὅτι ⟨ὁ⟩ μὲν ὀξὺς πυρετὸς ἦν οὐκ ἀκίνδυνος, ὁ δ' εἰλεὸς ὀλέθριον πάθος. ἐπεὶ δ' οὐδὲν πλέον ἔγραψεν,
824 ἀλλὰ δυσώδη τοῦτον εἶναι βούλεται, πολὺ δὴ μᾶλλον. ὅπως γὰρ | ἂν ἀκούσῃς δυσώδη τὸν εἰλεόν, ὀλεθριώτερός ἐστι τοῦ μὴ δυσώδους.

2 Περὶ σφυγμῶν] *quem locum suorum de pulsibus librorum (IX 1—549) intellegat nescio*

1 συντελοῦντα *scripsi*: συν^τλ RA: συντελεῖ L ἔχει L 3 Ἐπὶ] τὰ ἐπὶ *Hipp. Prorrh. interpolavit ex Coac. 197 aliter formata ac 286* ἐπὶ εἰλεῷ δυσώδει *legisse videtur Gal. v. 20 sqq.* 4 ὑποχονδρίῳ μετεώρῳ χρονιωτέρῳ *Hipp.*: ὑποχόνδρια μετέωρα χρονιώτερα RL *et compendiose omnia* A 7 καὶ *om.* R εἶναι LA: *om.* R 8 εἰρημένων *om.* L 9 πάντων ἅμα συνελθόντων LA: πάν^τ συνελθόν^τ (*om.* ἅμα) R: πάντα συνελθόντα *ex Aldo edd.* 10 γὰρ A: *om.* RL τούτου τοῦ *scripsi*: τοῦ^τ R: τοῦ L: τὰ A (*qui* συγγρα^μμτ *breviavit*) 11 νομίσῃ LA: νομ/^η R: *correxi* 12 αὐτῶν L 13 συνδρο^μ RA: τὰς συνδρομὰς L 15 γένοιτο RA 16 ὡς RA: οὖν L ἑώρακά τινας *scripsi*: (*cf. 169, 4*): ἑωρακὼς τινὰς L: ἑωρακ^ὼς τινά A: ἑωρακὼς R οὕτως νοσημάτων L οἷς *scripsi*: ὡς RLA 17 ἠκολού^θ θάνατον R 18 ὅτι δὲ *scripsi*: ὁ RA: *om.* L διὰ τοῦ παρωτίδος οὐκ ἐγεννήθησεν L ἰστέον *scripsi* (*glossatoris notam delevit Cornarius*): ἵστασθαι RA: ἵστασθαι . . . βούλεται (*21*) *ut corrupta om.* L ὅτι δεῖν RA: ὅτ' ἰδεῖν *Ald. Basil.*: ὅτι δ' ἰδεῖν *Chartier* 19 τοιαύτας (*sc.* τὰς παρωτίδας) *scripsi*: τοιαῦ^τ R: τοιαῦτα A, *ex Aldo edd.* ⟨ὁ⟩ μὲν *scripsi*: περ RA ὀξεῖς, *sed corr.* R 20 ὁ δ' εἰλεὸς *scripsi* (*cf. v. 3*): ὅτι δ' ὡς RA *post* οὐδὲν *add.* ὡς R: *om.* A: *del. Cornarius* 21 τοῦτο A δὲ L 22 ἀκούσῃς *Aldus*: ἀκούσηι LA: ἀκού^ς R δυσώ^δ RA: δυσωδία L ὀλεθριώτερος *Aldus*: ὀλεθριώτατος L: ὀλεθριώτατον R: *ambigue* A δυσώδους *Aldus*: δυσώδης L: δυσώ^δ *ambigue* RA

ἀκοῦcαι δ᾽ ἐγχωρεῖ δυcώδη πρῶτον μὲν καθ᾽ ὃν ἐμεῖται κόπροc, ὀλεθριώτατον cημεῖον, εἶθ᾽ οὗ δυcώδηc ἐcτὶν ἡ ἐκπνοή, καὶ τρίτον οὗ δυcώδηc ἐρυγή, καὶ τέταρτον οὗ φῦcα δυcώδηc, καὶ πέμπτον οὗ δυcῶδεc τὸ cῶμα· καὶ γὰρ ὁ τοιοῦτοc εἰλεὸc ὤφθη ποθ᾽ ἡμῖν.

III 66 [I 159. V 568, 6] ⟨Ἐκ⟩ κωφώcιοc ἐπιεικῶc τὰ παρ᾽ ὦτα, ἄλλωc τε καὶ ἢν ἀcῶδέc τι ἐπιγένηται, καὶ τοῖcι κωματώδεcιν ἐπὶ τούτοιcι μᾶλλον.

Ἐπεὶ τὸ ἐπιεικῶc ἐν τῷ μεταξὺ τῶν πολλὴν ἐλπίδα καὶ τῶν ὀλίγην ἐχόντων ἐπὶ πάντων τῶν cυμπτωμάτων λεγόμενόν ἐcτιν, οὕτω καὶ ἄνθρωπον ἐπιεικῆ καλοῦμεν τὸν μέτριον, ᾧ μηδὲν ἄγαν πράττεται κατὰ τὸν βίον. ὁ τοίνυν ὅλοc λόγοc αὐτῷ τοιόcδε τίc ἐcτιν· ʽἐὰν κώφωcιc γένηται, ⟨τὰ⟩ παρ᾽ οὖc ἔcεcθαι μετρίωc ἔλπιζεʼ, προcτίθηcι δ᾽ ὅτι ἐλπίζει | τοῦ κάμνοντοc ἀcώδουc γενομένου, καὶ μᾶλλον, ὅταν 825 καὶ κωματώδηc ὁ αὐτὸc ἄρρωcτοc ᾖ. ἀλλὰ καὶ ταῦτα, καθάπερ καὶ τὰ πρὸ τούτων, οὐ μᾶλλόν ἐcτι παραφροcύνηc καὶ φρενίτιδοc ἢ παρωτίδων cημεῖα, ⟨* * *⟩ μὴ προcδιωριcμένωc εἰπών, ἐπὶ μὲν χολώδεcι χυμοῖc ἐν ἀρχῇ νοcήματοc αὐτῆc παραφροcύνηc μᾶλλον εἶναι cημεῖον, προϊόντοc ⟨δὲ⟩ τοῦ νοcήματοc ἐπὶ χυμοῖc ἀπέπτοιc καὶ παχυτέροιc ⟨τῶν παρωτίδων⟩, καὶ μᾶλλον, ὅταν φαίνηται περιεcτηκυῖα ἡ τῶν παρωτίδων γένεcιc. αὐτὸ γάρτοι καθόλου κεφάλαιόν ἐcτιν ἐπὶ τῶν παρωτίδων, εἰ μὴ ⟨χρονίζοι τὸ πάθοc⟩ καὶ εἴη περιεcτηκὸc καὶ ⟨ὁ⟩ κάμνων τὴν ῥοπὴν τῶν ἐνοχλούντων χυμῶν εἰc τὸν περὶ τὴν κεφαλὴν ἔχοι τόπον. ὥcτε πάλιν ἐνταῦθα δύναταί τιc πλανώμενοc ἐφ᾽ ἑκάcτῳ τῶν τὴν ῥοπὴν ἄνω cη-

1 δυcώδη L: *ambigue* RA: δυcώδεα *ab Aldo edd.* 2 εἶθ᾽ οὗ *scripsi*: εἶτ᾽ οὐ L: εἴτουν RA: εἶτ᾽ εἰ *ab Aldo edd.* οὗ *(alt.)*] οὐ L: ἡ R: ὅτι ἡ A 3 *ante* ἐρυγὴ *add.* ἡ *ab Aldo edd.* οὗ φῦcα δυcώδηc *scripsi*: οὐ φυcώδηc L: ἡ φυcῶ´ (Δ *supra*) RA: εἰ δυcώδηc ἡ φῦcα (*vel* φύcα) *ab Aldo edd.* πέμπτον οὐ RL 4 τὸ cῶμα δυcῶδεc *transp.* LA καὶ γὰρ καὶ ὁ L ἵλεώc L 5 ἐκ *Hipp.*: *om.* RLA κωφώcιεc RLA: *corr. Chartier ex Hipp.* τὰ παρ᾽ ὦτα *om.* L 6 τε *om.* A καὶ ἢ δυναcῶδέc τι L καὶ τοῖcι . . . ἐcτιν *(9) om.* L 8 ἐπὶ τῶ ἐπιεικῶc R πολλὴν *(ex -ῶν corr.)* R 9 τῶν RA: *om. ab Aldo edd.* 10 καλοῦcι L ὧ RA: ὃ L 11 αὐτῶ A: *om.* RL 12 παρ᾽ οὖc ἀcᾶcθαι R: παροῦcαν αἰτήcαcθαι L: παρ᾽ οὖc . . . cεcθαι *(4 litt. spatio relicto)* A: *correxi* προcτίθηcι . . . γενομένου *(13) om.* L προcτίθηcι δ᾽ ὅτι *Cornarius*: προcθήcει δὲ τί RA 14 καὶ *(primum) om.* A 15 οὐ μᾶλλον RLA: οὐχ ἧττον *vel* μᾶλλον *Cornarius* 16 *lac. explet* ⟨ὥcτ᾽ οὐδεμίαν παρέχει χρείαν⟩ *Kalbfleisch* προcδιοριcμένωc R: προcδιωριcμένα LA: προδιωριcμένωc *ab Aldo edd.* 17 νοcήματα αὐτὰ L: *comp. incertis* A ποcιόντοc L 18 δὲ *Aldus*: *om.* RLA τῶν παρωτίδων *suppl. Cornarius*: *om.* RLA 19 περιεcτηκὸc L 20 αὐτὸ *Aldus*: *lacuna 5 litterarum, tum* τὸ RA: ἀγγέλεται L καθόλου RA: *om.* L εἰ μὴ κην περιέcτηκεν κάμνων L: εἰ μή, *tum lac. 8 litt.*, περιεcτηκόc, ὡc κάμνον RA: *lacunam Aldinae et Basileensis inter* εἰ μὴ *et* περιεcτηκὸc *hiantem supplebat verbo* κρύπτοιτο *Cornarius*: χρονίζοιτο *(sic)* πάθοc καὶ περιεcτηκὸc ᾖ, ὡc κάμνων *Chartier, quae dubitanter correxi* 21 ῥοπὴν *Aldus*: τροπὴν RLA 22 τὸν R: τοὺc LA ἔχοι LA: ἔχει R τόπον R *et ut vid.* A: τόπουc L 23 τιc RA: τῆc L πλανώμενον A ἑκάcτη A

μαινόντων γράφειν ὡς ἐν προρρήσει παρωτίδας ἑπομένας. ἔστι δὲ καὶ τὰ νῦν εἰρημένα τῆς ἐπὶ τὴν κεφαλὴν ῥοπῆς σημεῖα, λέγω δὴ τήν τε κώφωσιν καὶ τὸ κωματῶδες. ⟨τὸ δὲ ἀσῶδες⟩ οὐ τούτων μᾶλλον ἢ τῶν κατὰ τὴν γαστέρα καὶ θώρακα πασχόντων ὑπάρχον σύμπτωμα, μεθ' ὁποτέρων ἂν γένηται, συνεπαύξειν τὴν ἐκείνων πρόγνωσιν. |

826 **III 67** [I 160. V 570, 2] Τὰ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖς.

Τὰς παραπληγίας ἔμαθες εἶναι τοιοῦτον πάθος ἑνὸς τῶν ἐν τῷ ζῴῳ μορίων, ὁποῖον τοῦ παντὸς σώματός ἐστιν πάθος ἀποπληξία. δοκεῖ δέ μοι τεθεαμένος ἴσως καὶ δύο καὶ τρεῖς παραπληγικοὺς μηδὲν ὠφεληθέντας ὑπὸ παρωτίδων ἀποφήνασθαι φλαῦρον εἶναι σημεῖον αὐτάς. ἐγὼ δ' οὐκ ἂν ἁπλῶς ἀποφηναίμην μοχθηρὸν εἶναι σημεῖον ἐπιγενομένας τοῖς παραπληγικοῖς παρωτίδας. ἀλλ' ἀρκεῖ τοῦτο μόνον εἰπεῖν, ὡς ἐλάττων ἐστὶν ἡ ἀπόστασις ἥδε τοῦ νοσήματος. ἐμάθομεν δὲ παρ' Ἱπποκράτους εἰπόντος ἀγαθὰς ἀποστάσεις εἶναι 'ἀξίως τῆς περιβολῆς τοῦ νοσήματος' εἰς τὰ κάτω τοῦ σώματος γινομένης, ὧν οὐδέτερον αἱ παρωτίδες ἔχουσι· καὶ γὰρ σμικρότεραι τοῦ πάθους εἰσὶ καὶ οὐ κάτω. τοῦτ' οὖν οὐκ ἀρκεῖ μόνον, ὀλεθρίας ἀποφήνασθαι. |

827 **III 68** [I 161. V 570, 3] Τὰ σπασμώδεα τρόπον παροξυνόμενα κατόχως τὰ παρ' οὖς ἀνίστησιν.

Ἔργῳ πάρεστίν σοι μαθεῖν, ὅπως ἐπὶ συνδρομῇ τήρησις οὐδὲν εὑρίσκει. χωρὶς γὰρ τοῦ τὴν φύσιν ἐπισκέψασθαι τοῦ πράγματος, ἐφ'

8 ἔμαθες] *cf. p. 90, 9 sqq.* 15 Ἱπποκράτους] *Epid. II 1, 7 (V 76, 18 sqq. L.)*

qui consuetudinem eius discere volunt, quandoque quidem ita scribit
"deliravit", quandoque autem ita "transductus est", quandoque au-
tem rursus "intercisizavit", | rursus autem "desipuit" et rursus "egres- 657
sus est a se" et iterum "maniacatus est" et "supermaniacatus" et
"non intelligebat" et "preterloquebatur".

hec omnia lesam habentium mentem sunt, quos universos tu 3
quidem desipientes vocas, Ypocrati vero non sufficit dicere genus
solum, sed unicuique desipientie speciei et magnitudini proprium
adinvenit nomen. "homo" enim ait "calefactus cenavit"; non fuit
ausus dicere febrem tantam caliditatem, in qua cenare quis potest.
rursus autem magnitudinem volens ostendere febris dicit "ignis as-
sumpsit eum". occupatus fui in ostendendo diligentiam viri in voca-
bulis. sed ut iam scientibus et suasis ad id quod queritur accedam.

due sunt species insompnis catafore. nominatur autem altera 4
quidem pigra, cuius nunc Ypocras meminit, reliqua vero nomine
generis utitur. commune autem ambarum est, quo et maxime diffe-
runt a sompnolenta, quoniam locuntur et delirant nulli herencia
menti et ad assurectiones promptissimi sunt, quorum nullum in li-
targicis existit cataforis; neque enim seorsum | quid locuntur et ver- 658
sute sunt difficile sencientes nec ad clamantes et pungentes excitati
faciliter.

coma vero freneticum quod insompne extra hanc est dissensi- 5
bilitatem et immobilitatem; etenim surgunt faciliter audientes et
vocem et sonum omnem et, si tetigeris partem corporis, mox oculos

2 pigra] *cf. supra p. 188, 26* Homerus] *e. g.* Ζ 79 (ὑγρὸν ἔλαιον) *et* Δ 434 (γάλα λευκόν) 7 quandoque quidem eqs.] *cf. Gal. XVII A 389. 481 K.* 8 deliravit (παρελήρει)] *Epid. III 2 (III 50, 12 L.)* transductus est (παρεφέρετο)] *ib. III 3, 17 (III 138, 11 L.)* 9 intercisizavit (παρέκρουϲε)] *ib. III 1 (III 34, 5 L.) al.* desipuit (παρεφρόνηϲε)] *Epid. I 3, 13 (II 688, 15 L.)* 9. 10 egressus est a se (ἐξέϲτη)] *non videtur exstare* 10 maniacatus est (ἐμάνη)] *cf. infra* ἐξεμάνη supermaniacatus est (ἐξεμάνη)] *Epid. III 2 (III 46, 6 L.) al.* 11 non intelligebat (οὐ κατενόει)] *ib. III 1 (III 34, 6 L.)* preterloquebatur (παρέλεγε)] *ib. III 2 (III 48, 5 L.) al.* 15 ait] *Epid. I 3, 13 (II 710, 13 L.)* 17 dicit (*scil.* πῦρ ἔλαβεν)] *Epid. I 3, 13 (II 684, 13 L.). III 1 (III 32, 2. 3 L.) alibi saepissime* 20 due species] *generum differentiam indicavit supra p. 187, 12 sqq. et 188, 29 sqq.* 21 nunc Yp. meminit] *respicit ad p. 188, 26* 24. 25 litargicis cataforis] *cf. p. 188, 30 sqq.*

6 ucile P eos *Bonardus* 10 maniacus P: *correxit Bonardus; cf.* supermaniacatus 15 *post* calefactus *add.* est P: *del. sec. Hipp. Montesaurus et Rasarius* 16 tanta caliditate *a Bonardo edd.*: *verum* P: *divinavit Gadaldinus* 18 ocupatus P 22 amborum P: *corr. Bonardus*

elevant et ad tangentem aspiciunt, in ipsa autem cataforatione vel manum movent vel crus vel universum corpus eiciunt irrationabiliter et repente et desipite exiliunt ad instar palmi alicuius vel spasmi et hec omnia faciunt cum eo quod loquuntur aliquid non congrue, quorum nullum litargici cataforati faciunt; immobiles enim semper et invociles iacent eis qui profunde dormiunt assimilantes.

6 ipsorum vero, qui non sompnolente cataforantur, alii quidem
ita facile mobiles et multum mobiles existunt, ut nec deficiant cla-
mantes magne et moveant aliquam particulam vehementer, sed si
excitaveris eos aut loquaris, aspiciunt incontinenter et magis egre-
diuntur a se et malum facere temptant et omnino in audendo prom-
659 ptissimi fiunt, nichil relinquentes ab hiis qui | summe desipiunt; alii
vero e contrario surgentes magis intelligunt et non multum moven-
tur et tunc magis desipiunt, quando commiseris eos comati, et se-
cundum hec maxime licet discernere eos a cataforatis litargice.

7 hec igitur est que ab Ypocrate dicitur "pigra catafora". quo-
niam autem manifeste didicimus, quod non solum hoc scilicet 'cata-
forari' quibusdam freneticorum accidit, sed etiam hoc scilicet 'pigre',
de quo magis utique aliquis dubitaret, ad reliquam transeamus du-
bitationem, cuius siquidem aliquam invenerimus solutionem, habebi-
8 mus iam totum. est autem dubitatio hec. postquam meminit Ypocras
in Proretica comatosorum vigilum, dubitat, utrum freneticos eos aut
aliud quid vocet. habet autem series ita: "qui comatosi in principiis
fiunt cum capitis lumbi ypocondrii colli dolore vigilantes num fre-
netici sunt?" scribitur autem dupliciter hec series, in quibusdam
quidem exemplariorum sic, in quibusdam autem simpliciter absque
hoc scilicet "sunt" sic "num frenetici".

660 9 sed nunc quidem primo | scrutemur, cur, cum due sint prime species comatis et altera quidem litargicis semper, reliqua vero freneticis aliquando coinsideat, dubitat nunc Ypocras, si oportet ita habentes nominare freneticos. hoc namque nedum dubitabile, sed e contrario sufficienter facile invenibile et promptum videbitur esse. cum enim sint duo comata, et sompnolento quidem proprio litargicorum non potente intelligi (hoc enim scilicet "vigilantes" adiacens

16 pigra catafora] *Epid. III 3, 6 (III 82, 17 L.); cf. supra p. 188, 26. 189, 21* 22 in Proretica] Προρρητ. *I 1 (V 510, 2 L.); cf. supra p. 181, 17* 25 scribitur] *cf. supra p. 4, 5 sqq.*

2 irationabiliter P 8 mobiles *(prius) om. a Bonardo edd.* 10 inconvenienter *falso a Bonardo edd.* 11 in audiendo *ridiculo errore a Bonardo edd.* 14 commisceris P: *recte iam Bonardus* 22 Proretica] *feminino genere utitur etiam supra p. 181, 17* P 24 ypocundrii P; *at supra p. 181, 18* ypocondrii P num] *in mg.* vel numquid P 26 sic] sit P: *corr. Riccus* 27 num *in mrg.,* ruum (sic) *in textu* P 28 sunt P *et Bonardus; at cf.* coinsideat *v. 30: recte iam Riccus* 32 videtur *a Bonardo edd.*

non permittit id significari), de reliquo comate, an freneticum sit,
videtur enunciare.

qualiter igitur dubitat? sillogistica, aiunt, est "num" adverbium 10
et non dubitativa. sed hoc quidem si non haberet barbaram inter-
pretationem et omni consuetudini Grece extraneam, fortassis uti-
que acceptarem. quia vero nec alii Greci nec ipse Ypocras tali
compositione propositionum inveniunter uti, qualiter suscipiam sillo-
gisticum esse "num" adverbium? ante enim quam assumptionibus
utamur in ratione et prelocemus eas conclusioni, non est sillogizare.
puta, ut quid dicitur manifestum fiat et minus | exercitatis, hoc 11 661
scilicet 'num dies est?' et 'num veniet hodie?': dubitandi habet ad-
verbium. si vero enunciare ratione eis voluero, vel simpliciter dico
ita absque omni demonstratione ⟨'dies est', 'veniet hodie', vel cum
demonstratione⟩ hoc modo 'si sol super terram est, dies est', 'si
ambulat, ergo movetur'. quando vero sine demonstratione enuncia-
mus quid, non indigemus adverbio 'ergo' (superfluus enim est sermo),
et nullus dicit ita 'dies est ergo' neque sic 'ergo est dies', cum li-
ceat dicere simpliciter sic 'dies est'. nec sic in demonstratione pos-
sibile est uti hoc scilicet 'ergo'; qualiter enim erit demonstratio,
omni demonstratione ex aliquibus assumptionibus aliam assumptio-
nem comprehendere? set nullam videtur nunc assumptionem sillo-
gisticam ad demonstrationem accipiens.

qualiter igitur "num" adverbium fiet pro dubitabili sillogisticum 12
et illativum? cum aliis enim nec eundem locum obtinent dubitandi
adverbium et sillogisticum et illativum vocatum, sed dubitativum
quidem proponitur semper, sillogisticum autem | et illativum inter 662
nomen et predicatum locatur; dubitantes enim sic dicimus 'num dies
est', sillogizantes autem sic 'dies ergo est'. qualiter igitur nunc
prelocatum est? ceu non sillogisticum existens prelocatum est; non
enim est dictum sic 'frenetici ergo sunt', set simpliciter "num fre-
netici sunt", ἀποροῦντος φανερῶς τοῦ Ἱπποκράτους καὶ μὴ τολ-
μῶντος ἀποφήνασθαι βεβαίως ὑπὲρ αὐτῶν, ὥσπερ ἀμέλει πολλάκις φαί-
νεται ποιῶν.

ἀρκέσει δ' ἓν ἢ δύο παραδείγματα χάριν τοῦ μὴ διατρίβειν ἐπὶ 13
πλέον ἐν οὕτω σαφεῖ πράγματι. ἐν μὲν οὖν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν
φησι· "μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο· ἆρά γε, ὅτι οὔρησαν

35 τῷ πρώτῳ τῶν Ἐπιδημιῶν] *Epid. I 2, 8 (II 650, 3 L.)*

1 sit *recte iam Bonardus*: sic P 9 prelotemus P: *corr. Bonardus; cf. v. 29* 12 eis] *abl. plural. neutr. intellego referendum ad exempla antea prolata* 13 dies est *ego inserui*, veniet . . . demonstratione *(14) inser. Bonardus* 26 praeponitur *fortasse coll. v. 9 et 29 Riccus* autem *scripsi; cf. v. 28*: quidem P: vero *a Bonardo edd.* 34 duo exempla P: δεύτερον παράδειγμα L: *correxi* 36 δυσεντερώδεες L: *corr. ex Hipp. Caius* *post* ἐγένοντο *ex Hipp. add.* οὗτοι πάντες *edd.*: *om.* LP minxerunt *cum Hipp.* P: οὔρησεν L: *recte iam Caius*

ὑδατώδεα; σκεπτέον.” ἐνταῦθα τὸ “σκεπτέον” προσκείμενον οὐδὲ τὸν
ἀναιδέστατον ἄλλως ἀκούειν ἐάσει τοῦ ⟨“ἆρα”⟩ συνδέσμου πλὴν ὡς
ἀπορητικοῦ· ⟨ὡς εὐλαβούμενος γάρ φησιν οὕτως⟩. ἐν δὲ τῷ ἕκτῳ τῶν
Ἐπιδημιῶν “τὸ ⟨μετ᾽ οὔρησιν⟩ σύναγμα”, φησί, “παιδίοις ⟨μᾶλλον⟩·
14 ἆρά γε, ⟨ὅτι⟩ ἔνθερμα;” ἐν αὐτῷ δὲ τῷ Προρρητικῷ “ἐν φρενιτικοῖς
λευκὴ διαχώρησις κακόν· ἆρά ⟨γε⟩ ἐπὶ τούτοις καὶ νωθρότης;” καὶ πά-
663 λιν | “ἀφωνίη πνεύματος ἐν τοῖς πνιγομένοις οὐ πρόχειρον πονηρόν.
ἆρά γε καὶ παρακρουστικοῖς οὐ τοιόνδε;” εἰ τοίνυν χρὴ κεφαλὴν ἐπι-
δοῦναι τῷ λόγῳ, καὶ μήτ᾽ ἄλλος τις τῶν Ἑλλήνων οὕτως κέχρηται
τῷ “ἆρα” συνδέσμῳ μήθ᾽ Ἱπποκράτης αὐτός, ὡς ἐγὼ νῦν ἔδειξα,
μέμψαιτ᾽ ἄν τις, οἶμαι, τοὺς ἐξηγησαμένους ὡς οὐκ ἀπορητικὸν σύνδεσμον.

1 **4.** Καίτοι χαλεπώτερον ἐμαυτῷ τὸν λόγον ἐπίσταμαι ποιῶν. δι-
ωρισμένης γὰρ τῆς ὑπνώδους καταφορᾶς ἀπὸ τῆς οὐχ ὑπνώδους φρε-
νίτιδος οὔσης, πῶς ἂν ἔτι δεόντως ἀπορῶν φαίνοιτο καὶ ⟨μὴ⟩ βεβαίως
ἀποφαινόμενος φρενιτικοὺς εἶναι τοὺς τοιούτους; ἀλλ᾽ (ἧττον γὰρ ἐμοὶ
μέλει τῆς ἐν τοῖς λόγοις χαλεπότητος ἢ τῆς ἀληθείας) ὅτι τε ἀπορη-
τικός ἐστιν ὁ σύνδεσμος ὁμολογῶ καὶ δείξω τὴν αἰτίαν, δι᾽ ἣν οὐκ
ἐτόλμησε φρενιτικοὺς εἶναι τοὺς τοιούτους ἀποφήνασθαι ὁ Ἱπποκρά-
της, ἀλλ᾽ ἔτι ἀπορεῖ.
2 τὸ γὰρ “ἐν ἀρχῇσι” προσκείμενον τὴν πᾶσαν ἔχει τοῦ λόγου

3. 4 τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν] *Epid. VI 3, 7 (V 296, 3 L.)* 5 Προρρητικῷ] *I 13 (V 514, 4 L.); cf. supra p. 28, 14 sq.* 6 καὶ πάλιν] *ibid. I 25 (V 516, 7 L.); cf. supra p. 37, 18 sqq.* 20 ἐν ἀρχῇσι] *v. supra p. 190, 23*

1 adiacens P: προκείμενον L: *corr. Caius* 1. 2 τὸν ἀναιδέστατον *om.* P 2 permittit ut aliter audias P: ἀλλ᾽ ὡς ἀκούει ἐάσει L: *corr. Caius* ἆρα *add. Caius*: ergo P: *om.* L 3 ἀπορητικὸν L: *corr. Caius* ὡς . . . οὕτως *addidi*: ceu verens enim ait sic P: *om.* L ἐν δὲ] in (sexto) vero P: ἐνδεδιὼς L: *corr. Caius* 4 μετ᾽ οὔρησιν *add. ex Hipp. edd.*: post urinationem P: *om.* L παιδίοισι *cum Hipp. edd.* μᾶλλον *ex Hipp. add. edd.*: *om.* LP 5 ὅτι *ex Hipp. add. edd.*: quoniam P: *om.* L ἔνθερμα L: in caliditate P: θερμότερα *cum Hipp. edd.* πορητικῷ L: *recte edd.* φρενιτικοῖσι *cum Hipp. edd.* 6 *post* κακόν *ex Hipp. add.* ὡς καὶ Ἀρχεκράτει *edd.*: *om.* LP γε *om.* L: *add. ex Hipp. edd.* τούτοισι *cum Hipp. edd.* *post* νωθρότης *ex Hipp.* γίνεται *add. edd.*: *om.* LP 7 ἀφωνίη πνεύματος L: invocalitas spiritus P: ἐν ἀφωνίῃ πνεῦμα *emendabant ex Hipp. edd.* ἐν τοῖς πνιγομένοις L: in hiis qui suffocantur P: οἷον τοῖσι πνιγομένοισι *cum Hipp. edd.* οὐ LP: *del. cum Hipp. edd.* πρόχειρον *bis* L 8 παρακρουστικοῖς οὐ τοιόνδε L: insipientibus non tale P: παρακρουστικὸν τὸ τοιοῦτον *cum Hipp. edd.* 10 τὸ ἄρα συνδέσμω L: *corr. Caius* μηδ᾽ L: *recte edd.* 11 ἀποκριτικὸν L: dubitandi (adverbium) P: *corr. Caius*

12 ἐμαυ^τ^ L: me P: ἐμαυτὸν *edd.*: *corr. Schoene* ποιῶν L: facere P: ποιεῖν *Chartier* διορισμένης L: *corr. Chartier* 13 *post* καταφορᾶς *inser. fragm. Gal. adv. Lyc. XVIII A 198, 3* εἰς τοὺς . . . *199, 3* βούλεται *K. in medio textu (f. 190^v ex. 191^r in.)* L 14 οὔσης, πῶς L: iam existente, qualiter non P: οὔσης *Caius*: ἤδη οὔσης, πῶς οὐ *vel* ἤδη οὔσης, οὐκ *Nicolaum Rheg. secutus Gadaldinus*: οὐκ *Chartier* δεο^τ^ L ἀπορῶν] ἀπ῀ L: absurdum P: *recte edd.* μὴ *inser. Caius*: non P: *om.* L; *at cf. supra p. 191, 31 sq.* 16 μέλει *restit. Caius*: cure est P: μένει L 20 ἀρ^χ^ L: principio P: *recte cum Hipp.* ἀρχῇσι *edd.; cf. supra p. 181, 17. 190, 23* adiacens P: προκείμενον L: *corr. Caius*

δύναμιν, ὃ παραλείπουσιν οἱ πολλοὶ τῶν ἐξηγητῶν ὥσπερ μάτην προσ-
γεγραμμένον. παραπλήσιον γάρ τι συμβαίνει πολλῶν ἀρχομένοις νοση-
μάτων, οἷον ἔν τισι | τῶν μεθυσθέντων ἔστιν ἰδεῖν γιγνόμενον· ὅταν μὲν 664
κωματώδεις ὦσι, καὶ σφάλλονται καὶ βαρῶσι τὴν κεφαλὴν καὶ μηδ᾿ εἰ
βιάζοιντο διαίρειν δύνανται τὰ βλέφαρα, δι᾿ αὐτὸ δ᾿ αὖ πάλιν τοῦτο
τὸ βάρος ὑπνοῦν ἀδυνατοῦσιν ἀσώμενοι καὶ στρεφόμενοι καὶ ῥιπτοῦν-
τες ἑαυτοὺς καὶ μεταβάλλοντες ἄλλοτε εἰς ἄλλο σχῆμα. ταῦτα γὰρ ἔστιν
ἰδεῖν πολλάκις ἐπὶ τῶν μεθυσθέντων γιγνόμενα, πληρωθείσης αὐτῶν ἐν
τῇ μέθῃ τῆς κεφαλῆς, εἶτα ὑπὸ τοῦ βάρους ἅμα τ᾿ εἰς κῶμα κατα-
σπώσης ἅμα τε ὕπνον κωλυούσης.

οὕτως οὖν καὶ πλήθους ἀπέπτου τὴν κεφαλὴν κατειληφότος ἄγρυ- 3
πνοί τε ἅμα καὶ κωματώδεις εἰσίν. καὶ τοῦτο κατ᾿ ἀρχὰς γενόμενον
ἔστιν ὅτε μὲν ἐπέφθη καλῶς, ὥσπερ κἂν ἐξ οἴνου τοιοῦτον εἴη γεγο-
νός (ἀλλ᾿ οὕτως μὲν οὔτε λήθαργος οὔτε φρενῖτις ἠκολούθησεν), ἔστιν
ὅτε ⟨δὲ⟩ δριμὺ γενόμενον εἰς φρενῖτιν ἐτελεύτησε. πολλοῖς δ᾿ αὖ τὸ
μὲν λεπτότερον ἢ πεφθὲν ἢ διαφορηθὲν ἐκενώθη, ὑπέμεινε δὲ τὸ πα-
χύτερον, καὶ οὕτω λήθαργος ἐπεγένετο.

προεληλυθότος μὲν τοῦ τοιούτου νοσήματος ἡ τοιαύτη διάθεσις, 4
ὡς μὲν ἡμεῖς ἐδείξαμεν, ἐγγὺς ἤδη φρενίτιδος, ὡς δὲ οἱ τὸ μικτὸν
πάθος ἐκ ληθάργου | καὶ φρενίτιδος εἰσάγοντες ὑπολαμβάνουσιν, ἐκείνῳ 665
δόξειεν ἂν εἶναι συγγενεστέρα. πότερον δ᾿ ἤδη τοὺς οὕτως ἔχοντας
ὀνομάζειν χρὴ φρενιτικοὺς ἢ ὀλίγον ὕστερον ἔσεσθαι ⟨προσδοκᾶν⟩,
τοῦθ᾿ ἑτέρας ἂν εἴη σκέψεως οὔτ᾿ ὠφελούσης τι τὰ νῦν προκείμενα

19 ἐδείξαμεν] *supra p. 189, 28 sqq.*

1 πρ^{ο}γεγραμμ͂ʹ (*i. e.* προσγεγραμμένων) L: prescriptum P: *corr. Caius* 2 πο^{λλ} ἀρχομένοις νοσημα^{τ} L: pluribus incipientibus egritudinibus P: *recte edd.* 3 ἔν τισι] εἴ τις L: quibusdam P: *corr. Caius* μὲν L: *non vert. solita voce* (quidem) P: *deleverim* 4 κοματώδεις L βαρῶσι L: gravantur P μηδ᾿ εἰ] nec si P: μὴ δὲ L: *corr. Caius* 5 διαιρεῖν L: elevare P: *corr. Caius* δύνον^{τ} L 8 πολλάκις *om.* P *post* πληρωθείσης *add.* γὰρ L: *om.* P: *del. Caius* αὐ^{τ} L: (in) ipsa (ebriatione) P: *recte edd.* 9 εἶτα] deinde P: ἡ^{τ} L: *corr. Caius* *post* βάρους *add.* τοῦ L: *del. Caius* 10 καλούσης L: prohibito P: *corr. Caius* 13 ἐπέφθη] πευθῇ L: *om.* P: παθῇ *Caius*: πεφθῇ *Chartier*: *coll. aoristis v. 15 sqq. correxi* κα^{λ} L: *om.* P κἂν] καὶ L: *om.* P: *correxi* τοιοῦ^{τ} L 14 sic P: οὖ^{τ} (*i. e.* οὗτος) L: *corr. Caius* λίθαργος *et* φρενῆτις *sicut solet* L 15 δὲ] vero P: *om.* L: *suppl. Caius* φρενῖτιν *scripsi*: φρενῆτιν *(comp.)* L: φρενήτιδα *vel* φρενίτιδα *falso edd.* αὖ τὸ] αὐ^{τ} L: multis autem id quod subtilius est *vert.* P: *corr. Chartier* 16 ἢ *(prius)*] ἡ L, *sed alt. recte*: *om.* P: *recte edd.* 17 οὔ^{τ} L: ita P: *recte edd.* 20 illi P: ἐκεῖνο L: *corr. Caius* 21 πότερον δ᾿ ἤδη] τότε δὴ L: utrum autem P: *corr. Caius;* πότερον ἤδη *simillimo loco Gal. etiam supra p. 4, 6 sq.* διὸ καὶ ζήτησις ἐγένετο, πότερον ἤδη φρενιτικούς τις ὀνομάσει τοὺς οὕτως ἔχοντας ἢ γενήσεσθαι προσδοκήσει 22 ἢ τὸν ὀλίγον ὕστερον ἔσεσθαι L: vel eos qui parum post futuri sunt esse P: ἢ τοὺς ὀλίγον ὕστερον ἔσεσθαι *Caius*: τοὺς *deinde del. et* προσδοκᾶν *add. Chartier; toto cum loco cf. Gal. supra p. 4, 6 sq. exscript. ad v. 21* 23 ἂν εἶναι L: utique erit P: *corr. Caius* οὔθ᾿ L

καὶ ἄλλως οὐκ εὖ διατε⟨θείσης διὰ⟩ τοῦ "εἰσίν", ὃ καὶ τινὲς μὲν προσγράφουσι τῷ "ἆρα φρενιτικοί", τινὲς δὲ οὔ.

1 εἰσίν] *cf. supra ad p. 190, 25 sqq.*

1. 2 καὶ ἄλλως οὐκ εὖ διᾱ' (*i. e.* διά τε) τοῦ δεῖ. ἃ *(sic)* καὶ τινὲς μὲν πρ̊γράφουσι (*i. e.* προσγράφουσι) τὸ ἄρα φρενητικοὶ· τινὲς δὲ οὔ L: et etiam quia nescio cur quidam quidem apponunt hoc scilicet num frenetici quidam autem non P: et etiam quia nescio cur cum quidam apponant huic scilicet num (nomen *Bonardus*) phrenitici (frenitici *Bonard.*) hoc scilicet sunt quidam (qui *add. Bonard.*) non apponunt *ex Bonardo Iuntina 1541 et hinc Riccus*: καὶ ἄλλως διὰ τοῦ εἰσίν, ὃ καί τινες προσγράφουσι τῷ ἆρα φρενιτικοί, τινὲς δὲ οὔ *quadamtenus recte a Caio edd.*: *ego* οὐκ εὖ *valde oblitterata et* μὲν *perlucidum ex* L *protraxi atque lacunam v. 1 explevi; de re cf. supra p. 190, 25 sqq. et 4, 5 sqq.*

GALENI

IN HIPPOCRATIS PROGNOSTICVM

COMMENTARIA TRIA

EDIDIT

JOSEPHVS HEEG

CONSPECTVS CODICVM

V = *Vaticanus 1858; s. XIII. f.* 242^r—249^v + *Vaticanus 1063; s. XIII. f.* 1^r—107^v
- V^1 *corrector antiquus*
- V^2 V^3 *correctores recentiores*

R = *Reginensis 175; s. XIV. f.* 1^r—88^v
- R^1 R^2 R^3 *correctores*

P = *Palatinus 157; s. XIV. f.* 2^r—104^v

F = *Parisinus (Fontanebl.) 2266; s. XIII. f.* 14^r—92^v
- F^p *supplementa; s. XVI. f.* 1^r—13^v

Numeri in marginibus pinguius adscripti Kuehnianae editionis (vol. XVIII B 1—317, Lips. 1830) paginas indicant. Hippocratei libri paginae sunt editionis Littraeanae (Œuvres complètes d'Hippocrate, II 110—190, Paris. 1840). Stephani qui dicitur philosophi in Hippocratis Prognosticum commentariorum trium paginas citamus editionis Dietzianae (Apollonii Citiensis, Stephani, Palladii . . . aliorum Scholia in Hippocratem et Galenum, I 51—232, Regimontii Pruss. 1834).

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ

XVIII B

I 1 [1. II 110, 1 L.] Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι 1
πρόνοιαν ἐπιτηδεύειν.

Ὅτι μὲν ἀντὶ τῆς προγνώσεως εἴρηκε τὴν πρόνοιαν ἄντικρυς δῆλον· ἐπιφέρων γοῦν φησι "προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν." ἐδέησε δὲ αὐτῷ προοιμίου κατὰ τοῦτο τὸ σύγγραμμα, καίτοι γε οὐ πάνυ τι προ|οιμίοις χρωμένῳ, διά τινας ὡς εἰκὸς ἰατροὺς 2
τῶν κατ' αὐτόν, οἷοι καὶ νῦν εἰσι, τῶν μεθοδικοὺς ἑαυτοὺς ὀνομαζόντων, ἰατροῦ μὲν ἔργον εἶναι φάσκοντας ἤτοι φυλάττειν τὴν οὖσαν ὑγείαν ὡς ἐπὶ τῶν ὑγιαινόντων ἢ ἀναλαμβάνειν τὴν διεφθαρμένην ὡς ἐπὶ τῶν νοσούντων, μάντεως δὲ τὸ προλέγειν τὸ γενησόμενον. ἐπιδείκνυσιν οὖν ὁ Ἱπποκράτης διὰ τοῦ προοιμίου χρήσιμον ἰατρῷ τὸ προγινώσκειν ὑπάρχον, εἰς τρία κεφάλαια τὸν λόγον ἀνάγων, ἓν μὲν ὅτι τοὺς νοσοῦντας εὐπειθεστέρους ἕξει τοῖς ὑφ' ἑαυτοῦ προσταττομένοις, δεύτερον δὲ ὅτι προειδὼς τὰ συμβησόμενα τοῖς κάμνουσιν ἐκ πολλοῦ πρὸς αὐτὰ παρασκευάσεται καὶ τρίτον ὅτι τοῦ θανάτου τῶν νοσούντων ἀναίτιος ὑποληφθήσεται αὐτός. βούλεται δ' οὐδὲν ἧττον ὑπάρχειν αὐτῷ τοῦτο, τὸ καὶ τῆς ὑγείας αἰτίῳ νομίζεσθαι. προσσχῶμεν οὖν ἤδη ταῖς ῥήσεσι, δι' ὧν κατασκευάζει τῶν εἰρημένων κεφαλαίων ἕκαστον. |

4 *schol.* R *(post lemma)*: πρόνοια λέγεται καὶ ἡ φροντὶς καὶ τὸ ἑκούσιον καὶ τὸ ἀντιδιαιρούμενον τῇ τύχῃ καὶ ἡ πρόγνωσις 6 ἐπιφέρων] *II 110, 2 L. (infra p. 198, 1 sq.)* 9 μεθοδικοὺς κτλ.] *excerps. Stephan. 57, 16 sqq.* 15 εὐπειθεστέρους κτλ.] *cf. Stephan. 54, 17. 57, 29 sqq.*

1 Γαληνοῦ εἰς τὸ προγνωστικὸν ἱπποκράτους ὑπόμνημα α′ RP: Γ. ἐξήγησις εἰς τὰ προγνωστικὰ τοῦ ἱπποκράτους F^{p2}: *in mrg. add.* περὶ προνοίας α′ R: 197, 1—211, 21 ὡς τὰ *desunt in* V *lemmatis Hippocratis numeros* α′ *sqq. superscribit Kuehn* 3. 4 *lemma evanidum add.* P^{2} *in mrg.* 3 ἰατρὸν P: ἰητρὸν P^{2}
5 *post* μὲν *add.* οὖν F^{p} *Chartier* 6 ἐπιφέρει (*omisso* φησι) F^{p} 7 *post* αὐτῷ *add.* τοῦ F^{p} *Chartier* τοῦτο PF^{p} *edd.*: τόδε R 8 τι RP: τοι F^{p}
10 φάσκοντας RPF^{p}: φάσκοντες *ab Aldo edd.* 11 ὑγείαν R *edd.*: ὑγίειαν PF^{p}
12 δὲ RP *edd.*: γὰρ F^{p} 14 ὑπάρχον P: ὑπάρχει RF^{p}: ὑπάρχειν *ab Aldo edd.* 15 εὐπειθεστέρους τοὺς νοσοῦντας P προσταττομένοις PF^{p} *edd.*: πραττομένοις R; *de* προστάττειν *et* πράττειν *passim confusis conf. Cobet. Mnem. n. s. 6 (1878) 224* 17 αὐτὸ F^{p} παρασκευάσεται P *edd.*: παρασκευάζεται RF^{p} τοῦ RPF^{p}: *om. ab Aldo edd.* 18 αὐτὸς ἀναίτιος ὑπολ. *colloc. ab Aldo edd.* ὑποληφθήσεται PF^{p}: ὑπολειφθήσεται *corr. ex* ὑποληφθήσεται R^{1} αὐτὸς *post* θανάτου *colloc.* F^{p} 19 αὐτῷ . . . αἰτίῳ] αὐτῷ τοῦτο τοῦ κ. τ. ὑ. αἴτιος ν. *Schoene*
τοῦτο R: τούτῳ PF^{p} αἰτίῳ RF^{p}: *evanidum* P: αἴτιον *ab Aldo edd.* προσχῶμεν RP *edd.*: προσκοπῶμεν F^{p} 20 οὖν] ἂν P δι' RF^{p}: *incertum* P: ἐξ *ab Aldo edd.* 20. 21 ἕκαστον τῶν εἰρημένων κεφαλαίων κατασκευάζει *ab Aldo edd.*

3 **I 2** [1. II 110, 2 L.] Προγινώϲκων γὰρ καὶ προλέγων παρὰ τοῖϲι νοϲέουϲι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔϲεϲθαι ὁκόϲα τε παραλείπουϲιν οἱ ἀϲθενέοντεϲ ἐκδιηγεύμενοϲ πιϲτεύοιτ᾽ ἂν μᾶλλον γινώϲκειν τὰ τῶν νοϲεόντων πρήγματα· ὥϲτε τολμᾶν ἐπιτρέπειν τοὺϲ ἀνθρώπουϲ ϲφᾶϲ ἑαυτοὺϲ τῷ ἰητρῷ.

Τὸ πρῶτον τῶν κεφαλαίων ἐν τούτῳ τῷ λόγῳ καταϲκευάζει τολμᾶν φάϲκων τοὺϲ ἀνθρώπουϲ ἐπιτρέπειν ἑαυτοὺϲ τῷ ἰατρῷ διὰ τὴν τῆϲ προρρήϲεωϲ ἐπιτυχίαν· ἕπεται γὰρ ταύτῃ τὸ πιϲτεύεϲθαι γινώϲκειν τὸν ἰατρὸν ἀκριβῶϲ ἅπαντα τῶν νοϲούντων τὰ πράγματα, ὁποία τε τούτοιϲ ἐϲτὶν ἡ καταϲκευὴ τοῦ νοϲήματοϲ, ὥϲτε εἶναι τὸ ϲυνεχὲϲ τῆϲ ἀποδείξεωϲ ὧδέ πωϲ περαινόμενον· ὁ ἰατρὸϲ ἐξ ὧν προλέγει πιϲτεύεται γινώϲκειν τὴν φύϲιν τοῦ νοϲήματοϲ, ὁ πιϲτευόμενοϲ γινώϲκειν τὴν φύϲιν τοῦ νοϲήματοϲ εὐπειθεϲτέρουϲ ἔχει τοὺϲ κάμνονταϲ, ὁ τοὺϲ κάμνονταϲ εὐπειθεϲτέρουϲ ἔχων μᾶλλον ἰᾶται τὰϲ νόϲουϲ.

ὁκόϲα τε παραλείπουϲιν οἱ ἀϲθενέοντεϲ ἐκδιηγεύμενοϲ. |
4 παραλείπουϲιν οἱ ἀϲθενοῦντεϲ οὐχ ἃ μηδ᾽ ὅλωϲ ἐπίϲτανται, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν γράφουϲι, τοὺϲ ἐν τῷ βάθει τοῦ ϲώματοϲ τόπουϲ πεπονθόταϲ ἢ τὰϲ αἰτίαϲ τε καὶ διαθέϲειϲ αὐτῶν, ἀλλὰ τῶν μὲν αἰτίων τὰ προκαταρκτικὰ καλούμενα μόνα, τῶν δὲ περὶ τὸ ϲῶμα ϲυμπτωμάτων τὰ φαινόμενα. τούτων οὖν ὅϲα κατὰ τὴν διήγηϲιν οἱ κάμνοντεϲ οὐκ εἶπον, ἐὰν ἀκούϲωϲι παρὰ τῶν ἰατρῶν, εὐλόγωϲ αὐτοὺϲ θαυμάζουϲι. τίνι δὲ μεθόδῳ χρώμενοι τοῦτο πράξομεν, ἐπιδείξω τοῦ λόγου προϊόντοϲ.

1 *schol.* R: ὅτι ἵδρωϲαϲ, ἠγρύπνηϲαϲ, ἐκοπώθηϲ, τὰ οὖρα τοιάδε ὑπάρχουϲιν· ἃ γνοὺϲ καὶ ὁ κάμνων ὡϲ ἀληθῆ θαυμάϲει. ἃ δ᾽ ἀγνοεῖ, οὐκ ἂν ἐπαινέϲει⟨ε⟩, κἂν ὁ ἰατρὸϲ προείπῃ. παραλείπονται δὲ τῷ κάμνοντι τὰ μὲν δι᾽ ἄγνοιαν, τὰ δὲ διὰ λήθην, τὰ δὲ διὰ πανουργίαν ψυχῆϲ ὑποκρύπτουϲαν ἀλήθ(ειαν) *(conf. Stephan. 63, 33 sq.)* 19 *schol.* R *(post* διαθέϲειϲ αὐτῶν): εἰ φλεγμαίνει τὸ ἧπαρ ἢ ὁ ϲπλὴν ϲκιρροῦται, εἰ χολῶδεϲ τὸ νόϲημα, εἰ ἵδρωϲαϲ ἢ ἠγρύπνηϲαϲ ἢ ὑδροπότηϲαϲ ἢ ἀδδηφαγίᾳ ἐχρήϲω ἢ ὀπωροφαγίᾳ *(conf. Stephan. 54, 14 sq. et 62, 30 sq.)*, τὸ καταϲπᾶϲθαι τὴν κλεῖν, τὸ βήττειν.

1 προγιγνώϲκων *Hipp. (saep.)* προλέγων] *corr. ex* προλέγειν F^p: λέγων *Cobet coll. Erot. v.* λέγων *(p. 90, 16 Kl.) et Gal. XVII 1 p. 147 K.* 4 ἐκδιηγεύμενοϲ *Hipp. et ab Aldo edd.*: ἐκδιηγούμενοϲ F^p: ἐκδιηγούμενοι R: *incertum* P; *sed cf. p. 205, 9* 5 πράγματα P *Aldus Basil.* ὥϲτε τολμᾶν ἐπιτρέπειν τοὺϲ ἀνθρώπουϲ ϲφᾶϲ (ϲφᾶϲ *in ras.*) ἑαυτοὺϲ *(superscr. man. 2)* τῷ// ἰητρῷ// F^p *Chartier*: *ante* οὕτω *(p. 199, 1) colloc. Aldus Basil.*: *om. (ibi quoque)* R P 6 ϲφέαϲ ἑωυτοὺϲ (ὡυτοὺϲ *ab Aldo edd.*) *Hipp. et ab Aldo edd.* 7 τῶν κεφαλαίων] κεφάλαιον F^p τοῦτο R καταϲκευάζει R P *a Basil. edd.*: καταϲκευάζειν F^p *Aldus* τολμᾶ F^p 9 τὸ *corr. ex* τῶ F^p 10 ἀπάντων R: *incert.* P τουτέϲτιν *post* πράγματα *add. ab Aldo edd.* ὁποῖα R P F^p τε R P: τίϲ ποτ᾽ F^p: ποτε *Aldus Basil.*: τίϲποτε *Chartier* 11 τούτοιϲ R P *Chartier*: *om.* F^p: τούτουϲ *Aldus Basil.*: τούτου *Cornarius* ἐϲτὶν *omisso post* νοϲήματοϲ *inser.* ὑπάρχει *ab Aldo edd.* 14 *post* κάμνονταϲ *(prius) add.* ὥϲτε τολμᾶν ἐπιτρέπειν τοὺϲ ἀνθρώπουϲ ϲφᾶϲ ἑαυτοὺϲ τῷ ἰητρῷ R ὁ τοὺϲ κάμνονταϲ *om.* P 15 τὰϲ *corr. ex* τοὺϲ F^p 16 ἐκδιηγεύμενοϲ P *edd.*: ἐκδιηγούμενοϲ R F^p 17 ἀϲθενέοντεϲ R F^p 19 *supra* καὶ διαθέϲειϲ *scrib.* εἰ πλευρίτηϲ ὑπάρχει R^2 αἰτίων F^p *ab Aldo edd.*: αἰτιῶν R P 20 προκαταρτικά *sic* P καλούμενα μόνα R F^p: λεγόμενα μόνα P *ab Aldo edd.* ϲυπτωμάτων F^p 21 *post* φαινόμενα *inser.* οἷον ἐρυθρὰ τὰ μῆλα τοῖϲ περιπνευμονικοῖϲ· ἔνια γὰρ τῶν τοιούτων παραλείπουϲι F^p *Chartier* *post* τούτων *add.* μὲν *ab Aldo edd.* 22 οὐκ εἶπον *om.* P 23 τοῦτο χρώμενοι F^p ἐπιδείξομεν P

I 3 [1. II 110, 6 L.] Οὕτω δὲ καὶ τὴν θεραπείην ἄριστα ἂν ποιοῖτο προειδὼς τὰ ἐςόμενα ἐκ τῶν παρεόντων παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀςθενέοντας ἀδύνατον· τοῦτο γὰρ καὶ τοῦ προγινώςκειν τὰ μέλλοντα ἀποβήςεςθαι κρεῖςςον ἂν ἦν. |

Τὴν δευτέραν χρείαν ἐνταῦθα διεξέρχεται τῆς προγνώςεως· ἐκ 5 γὰρ τοῦ γινώςκειν ἀκριβῶς τὴν διάθεςιν τοῦ κάμνοντος ἔνια μὲν κωλύςει τῶν εἰωθότων αὐτῇ παθημάτων ἀκολουθεῖν, ἐνίων δὲ κωλύςει τὸ μέγεθος, ἅπαςι δὲ κοινῇ καλῶς ἀντιτάξεται προπαραςκευαζόμενος ὥςπερ ἀγαθὸς κυβερνήτης μέλλοντος ἔςεςθαι χειμῶνος.

I 4 [1. II 110, 10 L.] Ἐπεὶ δὲ οἱ ἄνθρωποι ἀποθνήςκουςιν οἱ μὲν πρὶν ἢ καλέςαι τὸν ἰητρὸν ὑπὸ ἰςχύος τῶν νούςων, οἱ δὲ καὶ ἐςκαλεςάμενοι παραχρῆμα ἐτελεύτηςαν, οἱ μὲν ἡμέρην μίην ζήςαντες, οἱ δὲ ὀλίγῳ πλείονα χρόνον πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαςτον νόςημα ἀνταγωνίςαςθαι, γνῶναι οὖν χρὴ τῶν τοιουτέων παθέων τὰς φύςιας, ὁκόςον ὑπὲρ τὴν δύναμίν εἰςι τῶν ςωμάτων, ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεςτιν ἐν τῇςι νούςοιςι, καὶ τουτέου τὴν πρόνοιαν ἐκμανθάνειν. | οὕτω 6

6 *schol.* R: ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαςτον καὶ τοὺς ἀποθανουμένους τε καὶ ςωθηςομένους προγινώςκων καὶ προαγορεύων ἀναίτιος ἂν εἴη ⟨. . .⟩ [*duo vel tres versus margine nimis resecto perierunt*] ⟨κε⟩νοῦται διὰ γαςτρός. μέλλον ἐςτὶ τὸ γενέςθαι ἕλκωςιν· ἐνςτήτω τις πρὸς αὐτ(ὴν) ἀμβλύνων μὲν τὴν ὕλην, ἐπιτιθεὶς δέ τι καὶ εἰς τὰ ἔντερα ἐμπλάττον. τῇ ἀμέτρῳ ξηρότητι ἕπεται ςπαςμός· ἐνιςτάμενός τις γεν⟨ν⟩αίως πρὸς τὴν ξηρότητα κωλύςει τὸ μέλλον, λέγω δὴ τὸν ςπαςμόν. ἀλλὰ καὶ φλεγμονὴ εἰ γένηται πρὸς τὸν ὑπεζωκότα ὑμένα ταῖς πλευραῖς καὶ πυοποιηθῇ, κίνδυνός ἐςτι τοῦ γενέςθαι φθίςιν. ἀπὸ γοῦν τοῦ παρόντος ἵν' ἐνςτῇς πρὸς τὸ μέλλον, τότε τὴν δύναμιν ἀναρ⟨ρ⟩ῶςαι (ἀνάρρωςον *coni. Schoene*) πρὸς τὸ ἀνάγειν αὐτό, εἰ δι' ἀςθένειαν ταύτης οὐκ ἐκκρίνεται καὶ πρὸς (παρὰ *coni. Schoene*) τὸ εἶδος ἤτοι τὸ πάχος ἢ τὴν λεπτότητα αὐτοῦ οὐκ ἀνάγεται.

ςη(μείωςαι) ὅτι θηςαυρὸς ἀμφοτέρων τῶν μερῶν τῆς προγνώςεώς ἐςτιν ἡ διάγνωςις· καὶ γὰρ ὁ προγινώςκων, εἰ μὴ τὰ παρόντα γνῷ, τὰ μέλλοντα οὐ βλέπει. καὶ ὁ τῶν ⟨πα⟩ρεληλυθότων ἀναμιμνηςκόμενος, τὰ παρα⟨. . .⟩τα θεῶν. εἰς

1 οὕτω δὲ καὶ τὴν RPF^p: τὴν δὲ (*omissis* οὕτω *et* καὶ) *Hipp., ab Aldo edd., Stephan.* θεραπείαν RF^p 2 ποιοῖτο RP: ποιεῖτο F^p: ποιέοιτο *Hipp. et ab Aldo edd.* ἐςόμενα *corr. ex* ἐςώμενα P 4 καὶ RPF^p: *om. Littré et ab Aldo edd.* προγινώςκειν (ν *alt. add. man.* 2) R: προγιγνώςκειν P 5 κρεῖςςον RF^p: κρεῖττον P *Hipp. vulg.*: κρέςςον *Littré et ab Aldo edd.* 6 τῆς προγνώςεως ἐνταῦθα διεξέρχεται *colloc.* F^p 10 ὥςπερ RPF^p: ὡς *ab Aldo edd.* ἔςεςθαι *om.* P *post* ἔςεςθαι *add.* τοῦ R 11 ἐπεὶ RPF^p: ἐπειδὴ *Hipp. et ab Aldo edd.* 12 ἢ *om.* F^p ἰατρὸν P *post* ὑπὸ *add.* τῆς *Hipp.* τῶν νούςων RP: τῆς νόςου F^p: τῆς νούςου *Hipp. et ab Aldo edd.* *post* νούςων *inepte inser.* κατεχόμενοι *Chartier* 13. 14 ἡμέραν μίαν F^p 14 πλέονα *Hipp. et ab Aldo edd.* 15 τὴν τέχνην *Aldus Basil.* νούςημα *Hipp.* γνῶναι RF^p *Littré*: γνόντα P *Hipp. vulg. et ab Aldo edd.* 16 τῶν παθέων τῶν τοιουτέων *Hipp. et ab Aldo edd.* τοιούτων P τὴν *om.* P 17 εἴ τι] ἤτοι R 18 τῇςι *Hipp. et ab Aldo edd.*: τοῖςι RPF^p νόςοιςι P *post* ἐκμανθάνειν *perperam inser.* χρὴ δὲ τὰς διαφορὰς τῶν νοςημάτων ἀεὶ τῶν ἐπιδημούντων ταχέως ἐνθυμέεςθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάςταςιν F^p *Chartier; haec verba, quae Galenus ipse infra p. 208, 18 sqq. affert, ex fine Prognostici (II 188, 12 sqq. L.) desumpta et a lectore quodam ad vocem* θεῖον *(v. 17) in margine adscripta postea in codd. nonnullis in textum irrepsisse manifestum est* οὕτω . . . ἂν εἴη *(p. 200, 5) om.* P

γὰρ ἄν θαυμάζοιτό τε δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. καὶ γὰρ οὓς οἷόν τε περιγενέσθαι ἔτι μᾶλλον ἂν δύναιτο διαφυλάσσειν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων ἀναίτιος ἂν εἴη.

Ἐν τούτῳ τῷ λόγῳ τὰ προειρημένα δύο κεφάλαια τῆς κατὰ τὴν πρόγνωσιν χρείας ἔτι κατασκευάζει, τὸ δὲ τρίτον αὐτοῖς προσέθηκεν ἀναίτιον εἶναι λέγων τὸν ἰατρόν, ἐὰν τοὺς σωθησομένους τε καὶ τεθνηξομένους προλέγῃ. νεανίσκον γοῦν τις ἰατρὸς ἔναγχος ἀρξάμενον νοτίζεσθαι συγκοπτικῶς ἀγνοήσας εἰς βαλανεῖον εἰσήγαγεν, εἶθ' ἱδρώτων πολλῶν γενομένων ἐγεγήθει μὲν ὡς ἐστοχασμένος ἀκριβῶς τοῦ καιροῦ, μικρὸν δὲ ὕστερον ἀποθανόντος πρὸς τῶν οἰκείων ὡς αὐτὸς ἀποκτείνας ἐνεκαλεῖτο.

7 ἄχρι μὲν οὖν | τοῦδε τὴν ἐξήγησιν ἐποιησάμην τοῦ προοιμίου πλὴν τοῦ κατὰ τὸ θεῖον σημαινομένου διὰ βραχυτάτων, ὅπερ εἶδος ἐξηγήσεως λόγων ἁρμόττει τοῖς πεπαιδευμένοις μὲν τὰ πρῶτα, σπεύδουσι δὲ ἐπὶ τὸ χρήσιμον τοῦ βιβλίου. τοῖς δ' ἤτοι λέξεως Ἑλληνικῆς ἀήθεσιν ἢ καὶ τοῖς ⟨τῆς⟩ ἐν λόγοις ἀκολουθίας ἀμαθέσιν ἢ οἳ τῶν χρησιμωτάτων μὲν ἀμελοῦσι, διατρίβουσι δὲ καὶ νῦν ἑκόντες ἐν τοῖς σοφιστικωτέροις τῶν λόγων, ἕτερος ἴδιος ἐξηγήσεών ἐστι τρόπος ὁ διὰ μακροτέρου περαινόμενος, ὃν ὑπερβαίνειν ὅλον ἔξεστι τοῖς ἐπὶ τὸ χρήσιμον σπεύδουσιν ἐπειλίξασι τὸ μεταξὺ τοῦ βιβλίου, μέχριπερ ἂν ἐπ' ἐκείνην

ἀνάμνησιν αὐτῶν ἔρχεται εἴτε ὑπὲρ τὰς δυνάμεις *(conf. Stephan. 71, 12 sqq.)* ἤγουν ψυχικῶν, ζωτ⟨ικῶν⟩, φυσικῶν. διαγινώσκεται δὲ ἀπό τε τῶν προ⟨αι⟩ρετικῶν ἐνεργειῶν, ἀπό τε τῶν σφυγμῶν, ἀπὸ τῶν οὔρων τε καὶ διαχωρημάτων, ὥστε ἀδύνατόν ἐστι προγνῶναι ὄλεθρον ἢ σωτηρίαν, μὴ παραβάλλοντα τὴν ἰσχὺν τοῦ νοσήματος πρὸς τὴν ἰσχὺν τῆς δυνάμεως ἢ τὸ μῆκος τῆς ὁδοῦ, ὡς ἐπὶ τοῦ φορτηγοῦ καὶ τῆς τοῦ ἐργάτου δυνάμεως καὶ τὸ τῆς ὁδοῦ μῆκος εἰ δεινόν. ἁπάσας δεῖ παραβάλλειν τῷ νοσήματι, καὶ εἰ μὲν ἐπικρατεῖ, προλέγειν θάνατον, εἰ δὲ μὴ ἰσχύσει, ὑγείαν καὶ ζωήν. 9 νεανίσκον . . . ἐνεκαλεῖτο *(13)*] *conf. Stephan. 70, 2 sqq.*

1 τις *ante* θαυμάζ. *inser.* F^p θαυμάζοιτο *corr. ex* θαυμάζητο(?) R: θαυμάζει τό F^p τε F^p: τις R ἰατρὸς F^p 2 περιγενέσθαι RF^p: περιγίγνεσθαι *Littré*: περιγίνεσθαι *ab Aldo edd.* τούτους *ante* ἔτι *add. Hipp. et ab Aldo edd.* ἂν] ὧν R δύναιτ' ἂν *Hipp. et ab Aldo edd.* δύναιτο] γένηται R *post* δύναιτ' ἂν *add.* ὀρθῶς *Hipp. et ab Aldo edd.* διαφυλάσσειν *Hipp. et ab Aldo edd.*: διαφυλάττειν F^p: ἢ διαφυλάττων R *post* διαφυλάττων *inser.* ἐκεῖνο R 3 ἕκαστα] ἕκαστον R 4 ἀποθανομένους F^p προγινώσκων RF^p *(in ras.)*, *Hipp. vulg.*: προγιγνώσκων *melior. codd. Hipp.* 5 τε *om.* R *Hipp.* 6 τούτῳ τὸ P τῷ *om. Aldus Basil. Chartier* 7 ἔτι κατασκευάζει] προκατασκευάσας F^p δὲ *om.* F^p 8 *post* ἐὰν *add.* τε F^p 9 προλέγει RF^p γοῦν] οὖν F^p νοτίζεσθαι (εσθ *in ras.*) P 10 συγκοπτικῶς (κο *in ras.*) F^p 11 γινομένων F^p ἐγεγήθει μὲν PF^p: ἐγεγήθη μὲν R *a Basil. edd.*: ἐγενήθημεν *Aldus* 12 ἀποθανόντα F^p 14 ἐξήγησιν RPF^p *Aldus Basil.*: διήγησιν *Chartier* 16 λόγων] λέγων F^p 17 τοῦ βιβλίου *om.* F^p τοῖς *corr. ex* τῆς R^1 τοῖς δ'] τοῖς δέ γε *ab Aldo edd.* 18 καὶ *om.* PF^p τοῖς *ante* λόγοις *transponit Schoene* τῆς *inser. ab Aldo edd.*: *om.* RPF^p λόγων ἀκολουθίαις P ἢ οἳ *Schoene*: ἢ εἰ RP: οἳ F^p: ἢ *ab Aldo edd.* 18. 19 χρησιμωτάτων μὲν RP *ab Aldo edd.*: μὲν χρησιμωτάτων F^p 19 ἑκόντες *om.* F^p 20 ἴδιος F^p: ἰδίων RP: ἰδιαίτερος *ab Aldo edd.* ἐξηγήσεως *ab Aldo edd.* ἐστι *om.* F^p μακροτέρου RP: μακροτέρων F^p *et ab Aldo edd.* 22 ἐπειλίξασι P *(Pausan. IV 26, 8 confert Schoene)*: ἐπιλίξασι F^p: ἐπιλήξασι *Basil. in mrg.*: ἐπιλείψασι R *et ab Aldo edd.* ἐφ' R

ἀφίκωνται τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· "σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖσιν ὀξέσι νοσήμασι."

τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν. οὐ κατὰ τὸ κοινὸν ἔθος τῶν Ἑλλήνων ὁ Ἱπποκράτης δοκεῖ κεχρῆσθαι τῷ τῆς προνοίας ὀνόματι. τὴν γὰρ φροντίδα καὶ τὴν ἐπιμέλειαν οὕτως ὀνομάζουσιν, ὥσπερ ἀμέλει καὶ ὁ Εὐριπίδης ἐδήλωσεν εἰπών· |

ἡ δὲ καὶ θνῄσκους' ὅμως 8
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν.

καὶ μὲν δὴ καὶ τὸ 'προνοεῖσθαι' ῥῆμα κατὰ πάσας τὰς ἐγκλίσεις ἄπειρον τῷ πλήθει παρὰ τοῖς Ἕλλησίν ἐστιν ἐπὶ τοῦ φροντίζειν τινὸς ἢ προπαρασκευάζειν ἀεὶ τὸ συμφέρον λεγόμενον, ἀλλὰ καὶ τὸ 'προνοίᾳ' τὸν κόσμον διοικεῖσθαι, τοῦτο δὴ τὸ πολυθρύλητον πρόβλημα, ταὐτὸν ἐνδείκνυται σημαινόμενον. ὁ δέ γε Ἱπποκράτης οὐχ οὕτως, ἀλλά γε ἀντὶ τῆς προγνώσεως εἶπε τὴν πρόνοιαν, ἐμοὶ δοκεῖν οὐχ ἁπλῶς, ἀλλ' ἀπό τινος κοινοῦ σημαινομένου κατ' ἀμφοτέρας τὰς προσηγορίας· ἀπὸ γάρ τοι τοῦ νοῆσαι τὰ πράγματα πρὶν ἔσεσθαι τό τε προνοῆσαι ῥῆμα παρ' Ὁμήρῳ καὶ τὸ τῆς προνοίας ὄνομα παρὰ τούτῳ γέγονεν, ἀπ' αὐτοῦ δὲ τούτου καὶ τὸ προγνῶναι καὶ ἡ πρόγνωσις. ὅσα μὲν οὖν αἰσθητά ἐστι φύσει, τῷ λογισμῷ δ' αὐτὰ θηρεύομεν πρὸ τοῦ θεάσασθαι, προνοεῖν ταῦτα δεόντως ἂν | εἴποιμεν, ἐνδεικνύμενοι διὰ τοῦ ῥήματος 9
τὸ πρὶν ἔσεσθαι νοεῖν. διὰ τοῦτο καὶ τῶν πραχθέντων τὰ μὲν ἐξαίφνης ἀκούσια καὶ ἀπρονόητα, τὰ δὲ ἐκ τοῦ προβουλεύεσθαι 'μετὰ προνοίας' λέγουσι πεπρᾶχθαι. τοιοῦτον γοῦν ἐστι καὶ τὸ παρὰ τῷ Σόλωνι· "δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φάρμακον ἐάν τις ἀποκτείνῃ δούς." καὶ

1 ἡ ἀρχή] *2. II 112, 12 L. (infra p. 209, 7)* 6 Εὐριπίδης] *Hec. 568 sq. conf. etiam Stephan. 59, 30 sqq. et 60, 18 sqq.* 10 ἐγκλίσεις] *schol.* R.: ἐγκλίσεις ε´· ὁριστικόν, προστακτικόν, εὐκτικόν, ὑποτακτικὸν καὶ ἀπαρέμφατον. ὁριστικὸν μέν, οἷον προνόησον· προστακτικόν, προνοῆσαι· ἀπαρέμφατον, τὸ προνοεῖσθαι· εὐκτικόν, τὸ προνοήσαιμι· ὑποτακτικόν, ἐὰν προνοήσω 18 Ὁμήρῳ] Σ 526; *substant.* πρόνοια *in carminibus Homericis non exstat* 24 Σόλωνι] *schol.* R: τοῦτό ἐστι τὸ δηλούμενον τῷ Σόλωνι, ὅτι οἱ κατὰ προαίρεσιν φονεῖς ἐν τῷ Ἀρείῳ πάγῳ εἶχον τὸ δικαστήριον, ὡς ἂν τῶν ἄλλων ἐγκλημάτων ἐν ἄλλοις τόποις ⟨ἐχόν⟩των *(conf. Stephan. 60, 3—5)* 25 δικάζειν . . . δούς *(26)*] *asservatur haec legis formula etiam apud Demosth. in Aristocr. 627 et Aristot. Respubl. Athen. 57, 3; cf. etiam Plut. Solon. 19, Poll. VIII 117, Bekkeri Anecd. 311, 19*

1 χρὴ ὧδε *Hipp.* τοῖσι *ab Aldo edd.* 3 μοι *om. Chartier* 4 τὸ] ὁ *in ras.* P 5 τῷ] τὸ R γὰρ] γάρ τοι *ab Aldo edd.* 8 κείμενον· Εὐριπίδης R *in mrg.* 9 εὐσχημόνως *corr. ex* ~νος Fp 10 ἐγκλήσεις RFp 13 πολλυθρήλλητον R 14 ἀλλά γε RP *edd.*: ἀλλ' (*om.* γε) Fp 15 δοκεῖν P *edd.*: δοκεῖ RFp 16 κοινοῦ τινος Fp 17 προνοεῖσθαι Fp 18 παρὰ τούτῳ] παρατοῦτο R: περὶ τούτω P: παρὰ τούτου Fp: *corr. Aldus* γέγονε παρὰ τούτῳ *ab Aldo edd.* 18. 19 ἀπ' αὐτοῦ δὲ τούτου Fp *et ab Aldo edd.*: ἀπὸ ταύτης δὲ τοῦτο R: ἀπὸ ταυτοῦ δὲ τούτου (του *in ras.*) P 20 ἐστι RPFp: εἰσι *ab Aldo edd.* 21 δεόντως *corr. ex* δ' ὄντως P[1] 22 πραχθέντων RPFp: πραγμάτων *ab Aldo edd.* ἐξαίφνης] ν *in ras.* P 23 προβουλεύεσθαι RP: προβουλεύσασθαι Fp: βουλεύεσθαι *ab Aldo edd.* 24 τὸ *corr. ex* τῶ RFp παρὰ] περὶ P 25 δὲ RPFp *edd.*: δεῖ *coni. Cornarius* τὴν *(alt.) om.* R 26 ἐκ προνοίας *post* πυρκαϊᾶς *colloc. ab Aldo edd.* φάρμακον RPFp *edd.*: φαρμάκων *Demosth. Aristot.* ἀποκτείνει RP

μέντοι καὶ παρὰ τοῖς ῥήτορσι τοῖς παλαιοῖς παμπόλλη χρῆσίς ἐστι τῶν τοιούτων ὀνομάτων τε καὶ ῥημάτων, ἐν οἷς τὰ κατὰ πρόνοιαν ἀντιδιαιροῦνται τοῖς ἄνευ τοῦ προβουλεύσασθαι γινομένοις, οἷον, ἄκων εἴ τις ἐπήρωσεν ἢ εἰ θυμωθεὶς ἐπάταξεν, οὐκ ἐκ προνοίας τὰ τοιαῦτα γεγονέναι φασίν, εἰ δὲ προβουλευσάμενος ἐκ πολλοῦ καὶ προδιασκεψάμενος ὅπως πραχθείη τοὖργον ἐποίησεν, ἐκ προνοίας ἤδη τοῦτο πεπρᾶχθαι λέγουσι. κοινὸν οὖν τοῦτο σημαίνεται παρὰ τοῖς Ἕλλησιν ἐκ τοῦ τῆς προνοίας
10 ὀνόματος ἀγαθῶν τε καὶ κα|κῶν ἔργων, οὐχ ὡς ἔνιοι νομίζουσιν ἐπὶ τῶν ἀγαθῶν μόνων εἴωθε λέγεσθαι. καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ πρόβλημα, πότερον τύχῃ τινὶ τὰ κατὰ τὸν κόσμον διοικεῖται ἢ προνοίᾳ, κατὰ τὸ κοινὸν εἴρηται σημαινόμενον, ὡς δῆλον ἐκ τῆς πρὸς τὴν τύχην ἀντιθέσεως· ἔνιοι δὲ οὐ τὴν τύχην, ἀλλὰ τὸ αὐτόματον ἀντιδιαιροῦνται τῇ προνοίᾳ ταὐτὸν σημαίνοντες ἑκατέρᾳ τῇ προσηγορίᾳ· καὶ μέντοι καὶ λέγεται πολλάκις ὑπὸ τῶν φιλοσόφων ὁ κόσμος διοικεῖσθαι τῇ τοῦ βελτίονος προνοίᾳ προστιθέντων αὐτῶν καὶ 'τῇ τοῦ βελτίστου', διότι τὸ τῆς προνοίας ὄνομα κοινὸν ἐπίστανται χείρονός τε καὶ βελτίονος.
11 καί μοι δοκεῖ ἡ ἀντιθέτως λεγομένη τῇ τύχῃ πρόνοια μὴ εἰρῆ|σθαι κατὰ τὸ κοινὸν σημαινόμενον· ἡ γὰρ οὕτως λεγομένη πρόνοια τῶν ἀγαθῶν λέγεται μόνων, ἡ δὲ τῶν πάντων πρόνοια οὐκ ἔστι κακῶν ἔργων.

εἴπερ οὖν ἡ πρόνοια κατὰ τοῦτο τὸ κοινὸν εἴρηται, δῆλον ὡς ἀπὸ τοῦ πρὶν ἔσεσθαι νοεῖν ὠνόμασται. τὴν αὐτὴν δὲ καὶ τὸ τῆς προγνώσεως ὄνομα γένεσιν ἔσχηκεν· ὅσα γὰρ αἰσθητὰ κατὰ τὴν ἑαυτῶν ὑπάρχοντα φύσιν ἔκ τινων σημείων ἀνευρίσκομεν, εἰκότως διὰ τούτων προνοεῖν αὐτὰ φαμέν, ὡς εἰ καὶ πρὸ τοῦ θεάσασθαι νοεῖν ἔφαμεν. καὶ διὰ τοῦτο τῶν κατὰ τοὺς τρεῖς χρόνους ἡ πρόγνωσίς ἐστιν, οὐ μόνων τῶν κατὰ τὸν μέλλοντα. μάντις δὲ οὐδὲν ἧττόν ἐστι θαυμαστὸς ὃς ὡς ὄντα τὰ προγεγονότα λέγει μὴ θεασάμενος τοῦ τὰ μέλλοντα γενήσεσθαι

25 κατὰ τοὺς τρεῖς χρόνους ἡ πρόγνωσίς ἐστιν] *cf. Galen. IX 205, 3 sq. K.*

1 παμπόλλαι χρήσεις εἰσί R 3 προβουλεύσασθαι RF[p]: προβουλεύεσθαι P *et ab Aldo edd.* 4 οὐκ RPF[p]: οὐ γὰρ *ab Aldo edd.* τὰ τοιαῦτα γεγονέναι RPF[p]: γεγονέναι ταῦτα *ab Aldo edd.* 5 προβουλευσάμενος *et* προδιασκεψάμενος *corr. ex* ∼νοι F[p] 7 *post* τοῦτο *inser.* ἤδη *ab Aldo edd.* σημαίνεται P *et ab Aldo edd.*: σημαινόμενον RF[p] 8 *post* ὀνόματος *inser.* ὅ ἐπ' *Ermerins*: *lacunam statuit etiam Schoene* 9 μόνον P 10 διοικεῖται *post* προνοίᾳ *colloc.* F[p]
11 *ante* κατὰ *perperam add.* οὐ R *post* τύχην *inser.* ἀλλ' οὐ τὸ αὐτόματον R 12 τὴν *om.* F[p] *et ab Aldo edd.* 14 ὑπὸ] παρὰ R 15 βελτίονος] βελτίστου *a Basil edd.* προνοίᾳ] προσηγορίᾳ F[p] *post* αὐτῶν *addi vult* 'τῇ τοῦ βελτίονος' ἢ *Schoene* καὶ *om. ab Aldo edd.* *post* καὶ *inser.* τὸ R *post* διότι *inser.* καὶ F[p] 16 ἐπίσταται P τε *om.* F[p] 17 μοι] μὲν F[p] τῇ *om.* P 18 κοινὸν *om.* F[p] 19 δὲ R: γὰρ PF[p] *et ab Aldo edd.* τῶν πάντων PF[p]: τοῦ παντὸς R *et ab Aldo edd.* οὐκ ἔστιν ἔργων κακῶν F[p] κακὸν ἔργον *Aldus Basil.* ἔργον R 20 εἴπερ οὖν . . . νοεῖν ἔφαμεν *(24) colloc. post* βελτίονος *(v. 16) ab Aldo edd.* 21 ὠνόμασται] ασ *in ras.* P: στ *in ras.* F[p] 22 γένησιν F[p] 23 ἀνευρίσκομεν RPF[p]: ἂν εὑρίσκομεν *Aldus Basil.*: ἂν εὑρίσκωμεν *Chartier* διὰ τούτων P: διατοῦτο R: *om.* F[p] *et ab Aldo edd.*
24 προνοεῖν αὐτὰ φαμέν RP: ταῦτα προνοεῖν φαμέν F[p] *et ab Aldo edd.*
25 μόνον R *et ab Aldo edd.* 26 τῶν] τὸν R 27 προγεγονότα RF[p]: προγενόμενα P: γεγονότα *ab Aldo edd.* λέγει F[p]: *corr. ex* λέγοι P: λέγοι R *et ab Aldo edd.* γεν///ήσεσθαι F[p]

λέγοντος. οὕτω δὲ καὶ ὁ τὰ νῦν πραττόμενα πρὶν θεάσασθαι λέγων οὐδὲν ἧττον ἐκείνων ἀγαθός ἐστι μάντις. τοῦτο οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο λέγων· “προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι.” τῆς αὐτῆς μὲν οὖν τέχνης ἐστὶ καὶ τὸ τὰ προγεγονότα μὴ θεασάμενον εἰπεῖν ὡς ἐγένετο καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἔσεσθαι, τῇ χρείᾳ δ᾽ ἀλλήλων πάμπολυ διαφέρει· τῶν μὲν γὰρ ἔσεσθαι μελλόντων ἡ πρόγνωσις χρησιμωτάτη, τῶν δ᾽ ἤδη γεγονότων ἄχρηστος μὲν εἰς τὰ ἄλλα, μόνῳ δὲ τῷ δεῖξαι βουλομένῳ τὴν ἑαυτοῦ τέχνην ἰατρῷ χρησίμη τετύχηκεν οὖσα.

ταῦτα μὲν οὖν εἰ καὶ μὴ τῆς ἰα|τρικῆς ἐστι τέχνης ἴδια, τῆς γοῦν 12
ἐξηγήσεώς ἐστιν οἰκεῖα τὰ σημαινόμενα τῶν ἐν τοῖς συγγράμμασιν ὀνομάτων ἐξαπλούσης. ἐκ περιττοῦ δὲ ὡς πρὸς τὴν ἐξήγησιν καὶ πρὸς ἄλλο τι χρήσιμά ἐστιν, ὅσα λέγουσιν ἔνιοι τῶν ἐξηγητῶν εἰς τὸ τοῦ συγγραφέως ἦθος, ὥσπερ κἀνταῦθα τὸ μέτριον ἐπαινοῦντες ἐν τῷ φάναι· “δοκέει μοι ἄριστον εἶναι”. δυνατὸν γὰρ αὐτῷ φασιν εἰρηκέναι· ‘τὸν ἰητρὸν ἄριστόν ἐστι πρόνοιαν ἐπιτηδεύειν’· ὁ δὲ κἀνταῦθα τὸ “δοκέει μοι” προσέθηκε καίτοι μέλλων ἀποδείξεις γράφειν τῆς ἀποφάσεως.

ἃ δ᾽ οἱ περὶ τὸν Ἡρόφιλον εἰρήκασιν διορίζοντες τὴν πρόγνωσιν τῆς προρρήσεως οὐ μόνον ἄχρηστά ἐστιν ἢ ἀνοίκεια τὰ σημαινόμενα, ἀλλὰ καὶ σοφιστικὰ καὶ ψευδῆ. καίτοι δοκοῦσί γε διαφορὰς πραγμάτων διδάσκειν, οὐ σημαινόμενα νομοθετεῖν, ἁμαρτάνοντες ἐν αὐτῷ τούτῳ πρῶτον, ὅτι ἀγνοοῦσι περὶ σημαινομένων ποιούμενοι τὸν λόγον, οὐ περὶ πραγμάτων φύσεως ἰατρικῇ χρησίμων. ἡ γάρ τοι γνῶσις ἡ κατὰ τὸ τῆς προγνώσεως ὄνομα περιεχομένη λέγεται μὲν ὡς τὰ πολλὰ κατὰ τὸ βέβαιον, ἔστι δ᾽ ὅτε μήν, εἰ καὶ | λείπει τι πρὸς τὸ βεβαιότατον 13
αὐτῇ, καὶ τόθ᾽ ὡσαύτως ὀνομάζεται. διόπερ ἐνίοτε καὶ μετὰ προσθήκης λέγουσιν οἱ διηγούμενοι τὰ κατ᾽ αὐτήν, ἔστιν ὅτε μὲν ἀκριβῆ γνῶσιν, ἐνίοτε δὲ ἀσφαλῆ καί ποτε βεβαίαν ἢ καὶ διηνεκῆ προσαγορεύοντες, ἐξ αὐτῆς τῆς προσθήκης ἐνδεικνύμενοι τὸ μὴ σημαίνεσθαι τὸ βέβαιον ἀεὶ πρὸς τοῦ τῆς γνώσεως ὀνόματος. οὕτως οὖν καὶ ἡ πρόγνωσίς ἐστιν διττή, βεβαία μέν, ὅτι μετὰ τὸν χειμῶνα γενήσεται τὸ ἔαρ, εἶθ᾽ ἑξῆς θέρος, εἶτα φθινόπωρον, οὐ βεβαία δέ, ἐν οἷς ὁ Ἄρατος ἔγραψεν ἐπὶ

19 οἱ περὶ τὸν Ἡρόφιλον κτλ.] *conf. Stephan. 61, 19 sqq.* 33 Ἄρατος] *Prognostica v. 794 sq. Citantur iidem versus a Galeno IX 909, 3 sqq. K.*

1 δὲ P *edd.*: οὖν F^p: *om.* R 2 *post* καὶ *eras.* ὁ F^p ὁ *om.* F^p 3 προγινώσκειν (*sed* προλέγων) F^p 5 μὲν οὖν R P F^p: γοῦν *ab Aldo edd.* τὸ R: *suprascr.* F^p: *om.* P *edd.* 6 παρεόντα F^p 7 πάμπολυ (υ *in ras.*) P γὰρ *om.* F^p 8 χρησιμωτάτη/// P 10 χρησίμω *sic* F^p 11 τέχνης ἐστὶν F^p 12 τῶν R P *edd.*: τὰ F^p συγγράμμασιν F^p *et ab Aldo edd.*: γράμμασιν R P ὀνόματα F^p 13 ἐξ᾽ ἀπλούσης R: ἐξαπ^{λ}ούσης F^p περισσοῦ (*corr. ex* περισοῦ) F^p καὶ] κἂν F^p 14 ἄλλο τι P F^p: ἀλλ᾽ ὅτι R 15 ἐπαινοῦντες (τες *in ras.*) F^p 16 δοκέει *recte a Basil. edd. (cf. infra v. 18)*: δοκεῖ R P F^p *Aldus* 17 ἰατρὸν R F^p ἐστιν *omissum add. in mrg.* P 21 γε *om.* P 24 ἰατρικῆς P 25 *post* πολλὰ *add.* καὶ R 27 τούθ᾽ *corr. ex* τόθ᾽ P^1 ἐνίοτε . . . γνῶσιν *(28) om.* F^p 30 μὴ *om.* P βαβαία *(sic)* F^p 32 γεννήσεται F^p 33 θέρους P

τῆς ϲελήνηϲ·

εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύοι,
δεῖ δέχθαι βορέω, ὅτε δ᾽ ὑπτιάῃϲι, νότοιο·

ὡϲ τὸ πολὺ μὲν γὰρ οὕτωϲ ἀποβαίνειν τετήρηται, γίνεταί γε μὴν ἔϲτιν
ὅτε καὶ οὐχ οὕτωϲ. οἱ δὲ περὶ τὸν Ἡρόφιλον ἡγοῦνται τὴν μὲν
πρόγνωϲιν τὸ βέβαιον ἔχειν, τὴν πρόρρηϲιν δὲ οὐκέτι· πολλὰ γὰρ τῶν
προρρηθέντων οὐ γίνεϲθαί φαϲιν, ὥϲπερ δυναμένου τινὸϲ προειπεῖν
14 ἄνευ τοῦ προγνῶ|ναι. ἢ ἄλλο τι τὸ διὰ τῆϲ φωνῆϲ ἑρμηνευόμενον, ὅτι
μὴ τὸ κατὰ τὴν ψυχὴν γινωϲκόμενον; εἰ δ᾽ οὐ γινωϲκόμενον ἐθέλοιεν
ὀνομάζειν αὐτό, πάντωϲ γε δοξαζόμενον ἐροῦϲιν, ὡϲ προηγήϲαϲθαι
κατὰ τὴν ψυχὴν τοῦ προλέγοντοϲ εἰ καὶ μὴ πρόγνωϲιν, ἀλλὰ προ-
δόξαϲιν. οὐ μὴν ὀνομάζουϲί γε προδόξαϲιν οἱ Ἕλληνεϲ, ὥϲπερ οὐδ᾽
οἱ περὶ τὸν Ἡρόφιλον αὐτοί, καίτοι πλεῖϲτα βαρβαρίζοντεϲ. ἢ γοῦν
νομοθετείτωϲαν λέγεϲθαι προδόξαϲιν ἕτερόν τι τῆϲ προγνώϲεωϲ ἅμα
τῷ καὶ τοὺϲ ἀνθρώπουϲ πεῖϲαι παραδέξαϲθαι τὴν νομοθεϲίαν αὐτῶν
ἢ τοῦτο πρᾶξαι μὴ δυνάμενοι τὰ ϲημαινόμενα τῶν ὀνομάτων ὡϲ εἴθιϲται
νοείτωϲαν. εἴθιϲται δὲ καὶ τὴν ὡϲ τὸ πολὺ περὶ τῶν μελλόντων ἔϲεϲθαι
ἐλπίδα καὶ τὴν ἀϲφαλῆ καλεῖϲθαι πρόγνωϲιν.

ἀγαθῶν δὲ ἰατρῶν ἐϲτιν ἔργον οὐ τὰ τοιαῦτα ζητεῖν, ἀλλ᾽ ὅπωϲ
ἂν ὁ προλέγων τὰ ϲυμβηϲόμενα τοῖϲ κάμνουϲι πλειϲτάκιϲ μὲν ἐπιτυγ-
χάνῃ, ὀλιγάκιϲ δὲ ἀποτυγχάνῃ. φωνὴ μὲν γὰρ μία ἐϲτὶν ἡ ὡϲ ἐπὶ τὸ
15 πολύ, παμπόλλη δὲ τοῖϲ πράγμαϲιν ὑπάρχει διαφορὰ κατὰ | τὸ μᾶλλόν
τε καὶ ἧττον. εἰ γοῦν τιϲ ἐν εἴκοϲι προρρήϲεϲιν ἅπαξ ἀποτύχοι, τοῦ μὲν
διηνεκοῦϲ ἀφήμαρτεν, ἀμείνων δέ ἐϲτι τοῦ δὶϲ ἀποτυχόντοϲ κἀκεῖνοϲ
τοῦ τρὶϲ ὥϲπερ γε πάλιν ἐκεῖνοϲ τοῦ τετράκιϲ· καίτοι γε πάντεϲ κοι-
νὸν ἐϲχήκαϲι τὸ τυχεῖν ὡϲ τὸ πολύ. τὰϲ μὲν δὴ τοιαύταϲ διδαϲκαλίαϲ
ἐξ ὧν ἄν τιϲ ὁρμώμενοϲ ἑτέρου μᾶλλον ἐπιτυγχάνοι προϲίεϲθαι δεῖ,
τὰϲ δ᾽ ἐν τοῖϲ ϲημαινομένοιϲ περιεργείαϲ ἀποτρέπεϲθαί τε καὶ φεύγειν,
ἃϲ Πρόδικοϲ ὁ τηλικοῦτοϲ ϲοφιϲτὴϲ ἀϲπαζόμενοϲ ἐπαχθὴϲ τοῖϲ πε-
παιδευμένοιϲ ἐγίνετο καὶ ἐϲκώπτετο ϲυνεχῶϲ ὑπὸ τοῦ παρὰ τῷ Πλά-
τωνι Cωκράτουϲ, καίτοι γε τἆλλα ἐπαινούμενοϲ.

30 Πλάτωνι] *Protag. 337a; 341a; Crat. 384b; Men. 96d sq.; Charm. 163d; Axioch. 366b sq.* 31 ἐπαινούμενοϲ] *Theaet. 151b sq.; Sympos. 177b*

1 τῆϲ *om.* P ϲελήνηϲ] ☾ R 2 κείμενον· Ἄρατοϲ R *in mrg.* κέ F^p: καὶ RP: κεν *ab Aldo edd.* οἱ] ἡ R μετήορον *Chartier*: μέτωρον R: μετέωρον F^p *et Aldus Basil.*: *corr. ex* μετέορον P^1 3 δεῖ δέχθαι] διδέχθαι F^p ὑπτιάῃϲι RPF^p *Aldus*: ὕπτιά εἰϲι *a Basil. edd.* 4 τετή///ρηται R 4. 5 ἔϲτιν ὅτε RPF^p: ἔϲτι ὅτε *Ald.*: ἔϲθ᾽ ὅτε *a Basil. edd.* 8 *post* ἑρμηνευόμενον *falso inser.* ὂν F^p
10 ἐροῦϲιν] ἐ *in ras.* F^p 12 οἱ *om.* F^p 13 αὐτὸν F^p γοῦν P: *om.* RF^p *et ab Aldo edd.* 14 νομοθετείτωϲαν RP: νομοθετήτωϲαν F^p *edd.* *post* νομοθετ. *add.* οὖν ἢ RF^p *et ab Aldo edd.*: ἢ μὶ *add.* P: *del. Schoene* *post* λέ-γεϲθαι *perperam inser.* τι RPF^p *edd.*: *delevi* 19 ἔργον ἐϲτίν R 20 ἐπιτυγχάνῃ F^p: ἐπιτυγχάνει RP *et ab Aldo edd.* 21 ἀποτυγχάνῃ F^p: ἀποτυγχάνει R *edd.*: ὑποτυγχάνει P ἡ] ἢ R ὡϲ ἐπὶ τὸ πολύ] τὸ ὡϲ ἐπὶ πολύ R 22 ὑπάρχῃ P
23 ἀποτύχοι P: ἀποτύχει *Aldus Basil.*: ἀποτύχῃ RF^p *Chartier* 26 εὐτυχεῖν (ευ *superscr. man. 2*) R δὴ *om.* F^p 27 ἐπιτυγχάνοι R: ἐπιτυγχάνῃ PF^p: ἐπι-τυγχάνει *edd.* 28 περιεργίαϲ *corr. ex* περιεργείαϲ F^p 29 ἐπαχθὴϲ PF^p: ἐπαχθεῖϲ R *et ab Aldo edd.* τοῖϲ] τῆϲ F^p 30 ἐγένετο F^p τῷ *om.* P

ἴcωc δὲ κακῶc ἐποίηcα τὴν ἀρχὴν μνημονεύcαc τῶν περὶ τὸν Ἡρόφιλον· ἄμεινον γάρ ἐcτιν δηλοῦν τἀληθῆ ὅτι τάχιcτα τοῖc cπεύδουcιν ἐπὶ τὰ τῆc τέχνηc ἔργα καὶ μὴ κατατρίβειν αὐτοὺc διττῶc, ἑνὶ μὲν χρόνῳ διδάcκοντα τοὺc λήρουc τῶν cοφιcτῶν, ἑτέρῳ δ᾽ ἐξελέγχοντα. κάλλιον οὖν μοι δοκεῖ | διὰ τῶνδε τῶν ὑπομνημάτων αὐτὰ τὰ χρήcιμα 16 μόνα διεξελθεῖν, ἐξετάcαι δὲ αὖθιc ἐπὶ cχολῆc πλείονοc ἐν ἑτέρᾳ πραγματείᾳ καὶ διαcκέψαcθαι περὶ τῶν ὑπὸ Ἡροφίλου πρὸc τὸ Προγνωcτικὸν Ἱπποκράτουc ἀντειρημένων.

ὁκόcα τε παραλείπουcιν οἱ ἀcθενέοντεc ἐκδιηγεύμενοc πιcτεύοιτ᾽ ἂν μᾶλλον γινώcκειν τὰ τῶν νοcεόντων πρήγματα. ἔδει τοὺc ἐξηγεῖcθαί τι τῶν τοιούτων ἐπιχειροῦνταc ἔργῳ πρότερον ἐπιδειξαμένουc αὐτοὺc τολμᾶν οὕτωc γράφειν. ἕτοιμον μὲν γὰρ ὃ βούλεταί τιc γράψαι, δύcκολον δὲ δεῖξαι τοιαύτην θεωρίαν, ἐξ ἧc ἐπιτεύξεται πολλὰ παρὰ τοῖc κάμνουcι λέγων οὐ τῶν μελλόντων ἔcεcθαι μόνον, ἀλλὰ καὶ τῶν προγεγονότων, οἷc αὐτὸc οὐ παρεγένετο, καὶ τῶν νῦν ὄντων περὶ τοὺc κάμνονταc, ἃ μήτε ἤκουcε παρ᾽ αὐτῶν μηδέπω μήτ᾽ εἶδεν αὐτόc, ὥcπερ καὶ ἡμεῖc, ἐν οἷc ἐροῦμεν, εἰκότωc ἂν εἴημεν πιcτοὶ τοῖc ἔργοιc αὐτοῖc προεπιδεδειγμένοι τὸ τῆc θεωρίαc ἀληθέc. ὅπωc δὲ μὴ δὶc ἀναγκαζοίμην περὶ τῶν αὐτῶν γράφειν ἔν τε τῇ τοῦ προοιμίου νῦν ἐξηγήcει καὶ | μετὰ ταῦτα ἐν τῇ τῶν κατὰ μέροc, ἄμει- 17 νον εἶναί μοι δοκεῖ φυλάττειν ἅπαντα τὰ τοιαῦτα ταῖc μελλούcαιc ἡμῖν γενήcεcθαι τῶν κατὰ τόδε τὸ βιβλίον ἰατρικῶν ῥήcεων ἐξηγήcεcι, καὶ μάλιcθ᾽ ὅτι μηδ᾽ ἐποίηcέ τιc αὐτὸ τῶν ἐξηγηcαμένων τὸ βιβλίον ἀναγκαιότατον ὑπάρχον. ὃ γὰρ ἀξιοῖ τὸν ἰατρὸν ἀcκεῖν ὁ Ἱπποκράτηc, ὅcον ἐπὶ τούτοιc, παραλέλοιπε μὴ δείξαc ὅπωc ἐχρῆν τῶν προγεγονότων μὲν ἢ παρόντων, οὐκ ἐγνωcμένων δὲ δι᾽ αἰcθήcεωc ἡμῖν τὴν πρόγνωcιν ποιεῖcθαι.

ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεcτιν ἐν τῇcι νούcοιcι, καὶ του-

6 ἐν ἑτέρᾳ πραγματείᾳ] *cf. prooem. in Hipp. Prorrh. comm. XVI 489 K. (supra p. 3, 5 sqq.)* 28 *schol.* R *(post lemma)*: εἰ καὶ μὴ ἐν τοῖc Ἕλληcι δι᾽ ὀργὴν θεῶν νόcοc cυνέπιπτε, ἀλλ᾽ ἐν ἡμῖν καὶ δι᾽ ὀργὴν τοῦ θεοῦ καὶ διὰ δοκιμὴν ἢ καὶ διὰ τὸ μὴ ὑψηλοφρονεῖν νόcοι δίδονται. "ἐν ἀcθενείᾳ" (ἐν θλίψει *Septuag.*) γάρ φηcιν ὁ ψαλμῳδόc *(Is. 26, 16)* "μικρᾷ ἡ παιδεία cου ἡμῖν", ὁ δὲ θειότατοc Παῦλοc *(2. Cor. 12, 7)* "ἐδόθη μοι cκόλωψ τῇ cαρκὶ ἄγγελοc Cατᾶν, ἵνα με τυραν⟨ν⟩ίζῃ (*superscr. man. ead.* κολαφίζῃ), ἵνα μὴ ὑπεραίρωμαι." καὶ τῷ Ἰὼβ *(Iob 2, 7. 8)* δὲ κατ᾽ αὐτὸν ⟨τοῦτον⟩ τὸν τρόπον τὰ ἕλκη ἐγένετο καὶ ἐπ᾽ ἄλλων ἄλλα. ἐνταῦθα τὸ τῆc δοκιμῆc θεῖον· τὸ δὲ τῆc ὀργῆc αἱ ἐν Αἰγύπτῳ πληγαί *(2. Mos. 5 sqq.)* cε διδάξωcι καὶ ἡ τοῦ Γιεζῆ λέπρα *(4. Reg. 5)* καὶ πολλὰ πλείονα καθ᾽ ἡμᾶc, εἰ τὰ τοιαῦτα ἐρευνᾶν βούλοιο.

1 μνημονεύcαc τὴν ἀρχὴν P 4 λήρουc R *edd.*: *corr. ex* λόγουc P: *om.* F^p 6 διελθεῖν *ab Aldo edd.* πραγματείᾳ] ει *in ras.* F^p 7 ὑπὸ F^p *edd.*: *om.* RP 8 ἀντειρημένον F^p 9 ἐκδιηγεύμενοc *Chartier*: ἐκδιηγεύμενοι P: ἐκδιηγούμενοc F^p: ἐκδιηγούμενοι R *Ald. Basil.* 12 μὲν *om. ab Aldo edd.* 16 αὐτῷ P 17 μήτ᾽] μηδ᾽ F^p εἶδεν RPF^p: οἶδεν *ab Aldo edd.* 18 προεπιδεδειγμένοι PF^p: ἐπιδεδειγμένοι R: προαποδεδειγμένοι *ab Aldo edd.* 19 μηδὶc *corr. ex* μηδεὶc P 21 δοκῶ R 22 ἐξεγήcεων (cεων *in ras.*) P 24 ἀναγκαιότατον *corr. ex* ∼ώτατον P ὑπάρχει F^p 25 δείξαc RF^p *edd.*: διδάξαc P ἐχρῆν] χρὴ P 26 μὲν *post* παρόντων *colloc.* P *et ab Aldo edd.* αἰcθήcεωc RPF^p: αἰcθήcεων *ab Aldo edd.* 28 τῇcι P: τοῖcι RF^p: τοῖc *Aldus Basil.* τούτου *ab Aldo edd.*

τέου τὴν πρόνοιαν ἐκμανθάνειν. τί ποτέ ἐστι τὸ θεῖον, οὗ κελεύει τὴν πρόγνωσιν ποιεῖσθαι, διαπεφώνηται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον. ἔνιοι μὲν γὰρ οἴονται καὶ διὰ θεῶν τινα ὀργὴν γίνεσθαι τοῖς ἀνθρώποις νοσήματα καὶ λέγουσί γε μαρτυρίαν τῆς δόξης ταύτης παρὰ τῶν γραψάντων τὰς καλουμένας ἱστορίας ἄνευ λόγου, μηδὲν ἐπιδεικνύντες, εἰ τῆς δόξης ταύτης μετεῖχεν ὁ Ἱπποκράτης, ὅπερ ἦν ἔργον ἀγαθῶν ἐξηγητῶν· οὐ γὰρ ἁπλῶς πρόκειται λέγειν ἐν ταῖς ἐξηγήσεσιν, ὅτιπερ
18 ἂν ἡμῖν ἀληθὲς εἶναι δοκῇ, ἀλλὰ τὸ κατὰ τὴν τοῦ συγγραφέως γνώμην, κἂν ψευδὲς ᾖ. φαίνεται γοῦν ὁ Ἱπποκράτης οὐδὲ καθ' ἓν τῶν ἑαυτοῦ συγγραμμάτων εἰς θεούς ποτε ἀναφέρων αἰτίαν νοσήματος, ὅς γε καὶ τοὺς βλητοὺς καλουμένους, οὓς ἀπό τινος ⟨ὁμοιότητος⟩ ὁρμηθέντες οὕτως ὠνόμασαν οἱ παλαιοί, διῆλθεν ἐν τῷ Περὶ διαίτης ὀξέων. τοῦτο μὲν οὖν τὸ σύγγραμμα τῶν ὁμολογουμένων γνησίων ἐστίν. ἐν δὲ τῷ Περὶ ἱερῆς νόσου καὶ πλείω γέγραπται πρὸς ἔλεγχον τῶν οἰομένων ὑπὸ θεῶν γίνεσθαι νοσήματα. μήτε οὖν τὴν ἐπιληψίαν οἰώμεθα θεῖον εἶναι νόσημα μήτε τὸν ἔρωτα· καὶ γὰρ καὶ τοῦτόν τινες ὑπολαμβάνοντες ἀληθῆ μὲν ἔγραψαν ἱστορίαν, ὡς Ἐρασίστρατος ἐφώρασε δι' ἔρωτα τὸν τοῦ βασιλέως ἀρρωστοῦντα υἱόν, θεῖον δὲ οὐκ ἐδίδαξαν

1 θεῖον] *cf. Schol. ad Hipp.* Περὶ ἱερῆς νούσου *1. VI 352, 4 sqq. L. (Erot. p. 7, 13 sqq. Klein)* 9 φαίνεται ... νοσήματος *(10)*] *aliter auctor libri* Περὶ φύσιος γυναικείης *VII 312, 1 sq. L.*: περὶ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι κτλ.; *cf. etiam Steph. 72, 5 sqq.*
11 βλητούς] *schol.* R: γένεσις τοῦ τοιούτου πάθους τοιάδε· τοῖς λοιμοῖς γὰρ τοῦτο συμβαίνει αἴτιον ἔχον τὴν σηπεδονώδη τοῦ ἀέρος κατάστασιν. ἡ δὲ φύσις προνοητικὴ τοῦ ζῴου οὖσα ἐπεγείρεται πρὸς ἀπόκρισιν τῶν σαπέντων· μὴ φθάσασα δὲ τοῦτο ποιῆσαι δι' οἰκείαν ἀσθένειαν καὶ τοῦ θανάτου ἐπελθόντος μέχρι τινὸς ὤθησε τὴν ὕλην ἐπὶ τὸ δέρμα. τοὐντεῦθεν ἐκλείπει καὶ μετὰ ταῦτα ψυχθεῖσα πελιδνὸν ἀπεργάζεται τὸ μέλος, εἰς ὃ ⟨ἂν⟩ ἐνεχθῇ, ὥσπερ γε καὶ τὰ ἐκχυμώματα. ὅθεν οἱ ἰδιῶται ὁρῶντες τοὺς τοιούτους κατά τινα θείαν μῆνιν μαστιγωθῆναι λέγουσιν αὐτούς. ὅθεν καὶ βλητοὺς αὐτοὺς ὀνομάζουσιν ὡς κατὰ θείαν μῆνιν ὑπὸ ἐναντίας βεβλῆσθαι δυνάμεως. οἱ δ' ἐπιληπτικοὶ παροξύνονται διὰ τὸ γενέσθαι πλησιφαῆ τὴν σελήνην· τοιαύτης δὲ γενομένης θερμαίνεται τὸ περίγειον καὶ ὑπὸ τῆς χλιαρᾶς θερμασίας χέονται αἱ ὗλαι καὶ οὕτως οὗτοι παροξύνονται αὐξούσης τῆς σελήνης· ληγούσης δὲ καὶ οὗτοι παύονται τοῦ παροξυσμοῦ *(conf. Stephan. 72, 11—73, 31)* 12 ἐν τῷ Περὶ διαίτης ὀξέων] *5 (II 260, 8 sqq. L.)* 13 γνησίων] *sic Galenus iudicat etiam VII 891 K. XVII A 577 K.; conf. I. Mewaldt, Herm. 44 (1909) 118* 13. 14 ἐν τῷ Περὶ ἱερῆς νόσου] *VI 352—397 L.* 18 ἔρωτα] *schol. interlin.* R: τὸν πρὸς Εὐρυδίκην *(sic, ut apud Stephanum 75, 1)* τὴν μητρυιὰν αὐτοῦ Σελεύκου Μακεδόνων γυναῖκα. *Haec fabula saepissime narratur a*

1 *post* ἐκμανθάνειν *perperam* οὕτω γὰρ ... ἀναίτιος ἂν εἴη *ex p. 199, 18—200, 5 repet.* F^p κελεύων *Chartier* 2 ποιεῖσθαι τὴν πρόγνωσιν *ab Aldo edd.* 3 μὲν *om.* F^p οἴονται PF^p: οἷόν τε R καὶ *om. ab Aldo edd.* 4 παρὰ] περὶ F^p 5 ἄνευ λόγου F^p: ἀνεύλογον P: ἄλογον R: ἄνευ λόγων *ab Aldo edd.* μηδὲν F^p: μηκέτι R: μηκέτ' P *ab Aldo edd.* 6 εἰ *add.* P^2 7 ταῖς *om.* R ὅτιπερ] ὅπερ R 8 ἀληθὲς ἡμῖν P δοκεῖ R 9 κἂν] καὶ F^p *post* ψευδὲς *add.* εἰ F^{p2} ᾖ R *edd.*: *in ras.* F^p: εἶναι δοκῇ P *post* οὐδὲ *eras.* ν P 10 ὅς γε PF^p *a Basil. edd.*: ὥστε R *Aldus* 11 οὓς *om.* F^p *post* τινος *lacunam statui*: ὁμοιότητος *inser. Schoene* 12 διῆλθον R 13 ἐστὶ γνησίων P 14 ἱερᾶς P οἰομένων] ἰώ(ο)μένων *sic* F^p 15 τὰ *post* γίνεσθαι *add. ab Aldo edd.* νόσημα R οἰόμεθα P *et ab Aldo edd.* οἰόμεθα τὴν ἐπιληψίαν *colloc. ab Aldo edd.* 16 μήτε PF^p: μήδε R: μηδὲ *ab Aldo edd.* 17 *post* ὑπολαμβάνοντες *inser.* λέγεσθαι *Schoene* ἱστορίας F^p 18 *post* ἔρωτα *add.* τε R τοῦ *om.* F^p ἐδίδαξεν *Aldus*

οὔθ᾽ ὑπὸ Ἐραcιcτράτου καλούμενον οὔθ᾽ ὑπὸ Ἱπποκράτουc οὔθ᾽ ὑπὸ ἄλλου τινὸc ἰατροῦ τὸν ἔρωτα. τοὺc δ᾽ ἤτοι καταλεπτυνομένουc ἢ ἀχροοῦνταc ἢ ἀγρυπνοῦνταc ἢ καὶ πυρέξανταc ἐπὶ προφάcεcιν ἐρωτικαῖc ἐν ἐκείνῳ τοῦ λόγου τῷ κεφαλαίῳ περιλαμβάνουcιν οἱ παλαιοί, καθὸ περὶ τῶν προκαταρχόντων | αἰτίων διεξέρχονται. πλειόνων γὰρ 19 ὄντων ἐν τούτοιc γενῶν ἓν ἐξ αὐτῶν ἐcτιν καὶ ἡ λύπη. λυποῦνται δὲ οἱ μὲν ἀποθανόντων τέκνων ἢ οἰκείων ἢ cυγγενῶν ἢ φίλων, οἱ δὲ προcδοκῶντεc ἑαυτοὺc ἢ μόνουc παθεῖν ἢ καὶ τὴν πατρίδα πᾶcαν ἀνάcτατον ἔcεcθαι· λυποῦνται δὲ καὶ οἱ φιλοχρήματοι χρημάτων cτερούμενοι καὶ οἱ φιλότιμοι τιμῆc καὶ τῶν ἄλλων ὡc ἕκαcτοc. ἐκ τούτων οὖν εἰcι καὶ οἱ δι᾽ ἔρωτα λυπούμενοι θεῖον οὐδὲν πεπονθότεc, ἀλλ᾽ ἀνθρώπινον πάθοc, εἰ μὴ ἄρα τιc οὕτωc πείθεται τοῖc μυθολογουμένοιc, ὡc νομίζειν ὑπὸ δαίμονόc τινοc μικροῦ καὶ νεογενοῦc λαμπάδαc ἔχοντοc καιομέναc εἰc τοῦτο ἄγεcθαι τὸ πάθοc ἐνίουc τῶν ἀνθρώπων.

ὁ δὲ τὸ τῶν κριcίμων γένοc ἡμερῶν εἰπὼν εἶναι θεῖον ἑαυτοῦ τι πάθοc ὡμολόγηcεν, οὐ μὴν Ἱπποκράτουc γε τὴν γνώμην ἔδειξεν· οὔτε γὰρ ἁπλῶc ὅcα τὰc αἰτίαc ἀγνώcτουc ἢ παραλόγουc ἔχει, θεῖα προcαγορεύομεν, ἀλλ᾽ εἴπερ ἄρα, θαυμαcτὰ μόνον, οὔθ᾽ Ἱπποκράτηc ἠγνόει τὰc αἰτίαc τῶν κρινουcῶν ἡμερῶν, ὡc ἐν τοῖc Περὶ | κριcίμων ἡμερῶν 20 ὑφ᾽ ἡμῶν ἐπιδέδεικται.

ὅπερ οὖν εἶπον ἔμπροcθεν, ὡc οὐ χρὴ μνημονεύειν ἐν τοῖcδε τοῖc ὑπομνήμαcι τῶν μοχθηρῶc εἰρημένων ἁπάντων, ἀλλ᾽ ὅcα πιθανοῦ τινοc ἔχεται (διὸ καὶ τὰ κακῶc ὑπὸ Ἡροφίλου γεγραμμένα πρὸc τὰc Ἱπποκράτουc προγνώcειc ἀνεβαλλόμην ἐπιcκέψαcθαι), τοῦτο καὶ νῦν καὶ καθ᾽ ὅλον τὸν ἐφεξῆc λόγον αὐτόc τε ποιήcω καὶ τοὺc ἐντυγχάνονταc ἀξιώcω πράττειν, ὡc μὴ μέμφεcθαί μοι παραλείποντι πολλὰ τῶν

scriptoribus antiquis: Valer. Max. V 7 ext. 1 K.; Plut. Demetr. 38; App. Syr. 59 sqq.; Lucian. de dea Syr. 17. 18, Icarom. 15; Iulian. Misopog. p. 60—64 (ed. Paris. 1566); Stephan. 74, 20—76, 28; Suidas s. Ἐραcίcτρατοc. *Cf. Rohde, Der griech. Roman*^{2} *p. 55 sqq.; P. Wendland, De fabellis ant. (1911) p. 11 sq.; I. Mesk, Mus. Rhen. N. S. 68 (1913) 366—394* υἱὸν] *schol. interlin.* R: τὸν Ἀντίοχον 11 θεῖον οὐδὲν πεπονθότεc] *conf. Stephan. 76, 34 sq.* 13. 14 δαίμονοc . . . καιομέναc] *conf. Stephan. 74, 10 sqq. et 77, 2 sqq.* 15 ὁ δὲ . . . εἰπὼν] *Xenophon medicus, conf. Schol. ad. Hipp.* Περὶ ἱερῆc νούcου *1. VI 352, 4 L. (Erot. p. 7, 20 Klein et Stephan. 73, 32 sqq.)* 19 ἐν τοῖc Περὶ κριcίμων ἡμερῶν] *IX 769—941 K. passim* 21 ἔμπροcθεν] *supra p. 205, 4* 24 ἀνεβαλλόμην ἐπιcκέψαcθαι] *cf. supra p. 205, 5 sq.*

1 *post* οὔθ᾽ *(prius) add.* οἱ P καλούμενοι P ἱπποκράτουc *corr. ex* ὑππ. F^{p2} 3 προφ///άcεcιν (ρ *eras.*) F^p 4 ἐκείνω τῶ κεφαλαίω τοῦ λόγου *colloc.* F^p παραλαμβάνουcιν P 5 αἰτιῶν R διεξέρχεται *ab Aldo edd.* πλειόνων PF^p: πλεόνων R *edd.* 7 ἢ *(prim.) om.* R 9 οἱ *om.* P 11 οὐδὲν *corr. ex* οὐδὲ P^1 12 *post* εἰ *add.* καὶ P μυθολόγοιc R 13 ὡc νομίζειν *om.* F^p ἔχοντα P 14 καιομένουc *Weyh* 15 ἡμερῶν γένοc F^p 16 *post* πάθοc *add.* τουτέcτι ἄνοιαν P 17 ὅcα ἀγνώcτουc ἢ παραλόγουc ἔχει τὰc αἰτίαc *colloc. ab Aldo edd.* 18 *post* οὔθ᾽ *add.* ὅτι ὁ F^p 19 τοῖc] τῶ P 21 ἔμπροcθεν εἶπον *colloc.* F^p ὡc *om.* F^p 22 μοχθηρῶν F^p: *corr. ex* ∼ρῶc P 24 ἀνεκαλλόμην *(sic)* P ἐπιcκέψεcθαι *Aldus* καὶ *(prius) superscr.* P 25 ἐφεξῆc] ἑξῆc F^p ἀυ *(seq. spatium 2 vel 3 litterarum)* τὸ ποιήcω *(om.* τε) P 26 μέμφεcθέ R παραλείποντι PF^p: παραλιπόντι R *edd.*

τοῖς ἐξηγηταῖς εἰρημένων μοχθηρῶς. εἰ δὲ ἐπιμελῶς ἀναγνώσονται τὰ πρὸς ἡμῶν εἰρημένα, δυνήσονται καὶ καθ' ἑαυτοὺς ἐκεῖνα δοκιμάζειν. ἐάσαντες οὖν ἤδη τοὺς ληρήσαντας ὑπὲρ τοῦ θείου πειραθῶμεν αὐτοὶ κατὰ τὴν Ἱπποκράτους γνώμην εὑρεῖν τὸ λεγόμενον. ὅτι μὲν οὖν ἕν τι τῶν κατὰ τὴν ἰατρικὴν τέχνην εἶναι χρὴ τὸ θεῖον τοῦτο καὶ μὴ μόνον ἐπῃνῆσθαι τὴν γνῶσιν αὐτοῦ πρὸς Ἱπποκράτους, ἀλλὰ καὶ δεδεῖχθαι, πρόδηλον παντί. ληρώδης γὰρ ἂν εἴη συγγραφεὺς ἐπαινῶν πράγματος γνῶσιν, οὗ μηδ' ὅλως ἐδίδαξεν· ὥστε τῶν ὑφ' Ἱπποκρά-
21 τους γεγραμμένων ἕν τι καὶ τὴν τοῦ θείου πρόγνωσιν | εἶναι χρή. λέγωμεν οὖν ἤδη θαρροῦντες οὐκ ἄλλο τι τοῦτ' εἶναι παρὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κατάστασιν, ὑπὲρ ἧς ἐν Ἀφορισμοῖς οὕτως ἔγραψεν· "ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας." ταῦτα καὶ τὰ τούτοις ἐφεξῆς γεγραμμένα προγνώσεις εἰσὶ τῶν ἐκ τῆς τοῦ περιέχοντος αἰτίας ἐν ἡμῖν γινομένων, ὑπὲρ ὧν ἐν μὲν τοῖς Ἀφορισμοῖς ἐν κεφαλαίοις βραχέσιν ἐδίδαξεν, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις ἐπὶ πλεῖστον διῆλθεν, ἐν μέντοι τῷ Προγνωστικῷ τῷδε παρέλιπε καίτοι ταύτης τῆς θεωρίας ὄντα. βέλτιον οὖν ἦν ἐζητηκέναι τὴν αἰτίαν τοῦ παραλιπεῖν τὸ θεῖον λέγειν τοῦ ψευδῶς ἐξηγεῖσθαι. δοκεῖ δέ μοι διὰ τὸ μέγεθος τῆς πραγματείας μὴ προσθεῖναι τῷδε τῷ βιβλίῳ τὴν περὶ τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν. συντελέσας γοῦν αὐτὸ κατὰ τὴν τελευτὴν ἔγραψε ταυτί· "χρὴ
22 δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόν|των ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν." ὅτι μὲν οὖν χρὴ γινώσκειν τὸν ἰατρόν, εἴπερ τι καὶ ἄλλο τῶν εἰς τὰς προγνώσεις

11 *schol.* R: τὸ θεῖον λέγει τὴν ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κατάστασιν *(conf. Stephan. 77, 18)* ἐν Ἀφορισμοῖς] *III 10 (IV 490, 2 sqq. L.)* 18 ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις] *III 15 (III 98, 6 sqq. L.)* 23 κατὰ τὴν τελευτήν] *c. 25 (II 188, 12 sq. L.); cf. infra III 38*

1 εἰ P *edd.*: ἐὰν RF^p ἀναγινώσκοντες *corr. ex* ἀναγνώσκονται P^1 2 πρὸς] πρὸ F^p 3 ἐάσαντας F^p 4 μὲν οὖν] γὰρ P 6 ἐπῃνῆσθαι *a Basil. edd.*: ἐπινῆσθαι R *Aldus*: ἐπαινεῖσθαι P: ἐπηνῆσαι F^p δεδεῖχθαι P *Chartier*: δεδείχθαι R *Aldus Basil.*: διδάχθαι F^p 8 οὗ PF^p: ὃ R *edd.* 10 λέγωμεν F^p *Chartier*: λέγομεν RP: λύωμεν *Aldus Basil.* 12 *post* αὐχμηρὸς *add.* τε *ab Aldo edd.* 13 ἐπόμβρου F^p θέρους F^p τοὺς πυρ. *ab Aldo edd.* ὀξέας *Littré*: ὀξεῖς *Hipp. vulg.* *post* ὀξεῖς *add.* εἶναι F^p 14 γίνεσθαι PF^p *Littré*: γίγνεσθαι R *et Hipp. (codd. SM^1)* τῇσι *Hipp. et ab Aldo edd.*: τοῖσι RF^p: ταῖς P *ante* τοῖσιν *add.* ἀνδρῶν *Littré* 14. 15 ὑγρὰς ἔχουσι τὰς φύσιας RPF^p: ὑγροῖσι τὰς φύσιας *Hipp.* 15 τὰ *om. Aldus Basil.* 16 γιγνομένων R 17 ἐν *(alt.) om.* F^p 18 ἐπιδημίων RP 19 τῷδε] τόδε P καί τοι R *edd.*: καί τι P: καὶ τὰ F^p 20 ἦν *om.* F^p αἰτίαν (τί *in ras.*) F^p παραλειπεῖν F^p *post* παραλιπεῖν *add.* τί RF^p τὸ *om.* F^p *post* τὸ *add.* περὶ *ab Aldo edd.* λέγει RF^p 21 δὲ F^p *edd.*: *superscr.* P^2: δὴ R διὰ *om. Aldus* τὸ *om. ab Aldo edd.* πραγματείας RF^p *edd.*: διδασκαλίας P 22 προσθεῖναι *Chartier*: προσθῆναι RF^p *Aldus Basil.*: προσκεῖσθαι P ἐπιδημιῶν F^p 23 γοῦν RPF^p: οὖν *ab Aldo edd.* ταῦτα RF^p 24 ἀεὶ *post* φορὰς *colloc.* RF^p ἐπιδημεόντων] η *in ras.* F^p 25 ὥρας PF^p 26 καὶ *om.* P

διαφερόντων, οὕτως καὶ τὸ περὶ τῆς τῶν ἐπιδημίων νοσημάτων γενέσεως ἐδήλωσεν, ἰδίαν δὲ αὐτοῖς ἀνέθηκε διδασκαλίαν, ἐν Ἀφορισμοῖς μέν, ὡς εἴρηται, διὰ βραχέων κεφαλαίων διδάξας, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν ἐπὶ πλέον ἐξεργασάμενος· ὅθεν εἰκότως ἔνιοι τῶν ἐξηγητῶν ἐφεξῆς τῷδε τῷ βιβλίῳ τὰ τῶν Ἐπιδημιῶν ἐξηγήσαντο· καὶ ἡμεῖς οὕτως ποιήσομεν.

I 5 [2. II 112, 12 L.] Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑωυτέῳ· οὕτως γὰρ ἂν εἴη ἄριστον. τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον. |

Ὅτι μὲν οὖν ὁ λόγος αὐτῷ περὶ τῶν ὀξέων νοσημάτων ἐν τούτῳ 23
τῷ βιβλίῳ γεγένηται, σαφῶς ἐδήλωσεν. ἄρχεται δὲ τῆς διδασκαλίας ἀπὸ τῶν κατὰ τὸ πρόσωπον σημείων ὡς ἂν πρώτων τε φαινομένων καὶ μεγάλην ἐχόντων δύναμιν. ὅτι μὲν οὖν πρῶτα φαίνεται ταῦτα, πρόδηλον παντί· ὅτι δὲ καὶ μεγάλην ἔχει δύναμιν εἰς πρόγνωσιν, ἐφεξῆς μαθήσῃ. πρῶτον δ' ἀναμνήσθητί μοι τοῦ κοινοῦ τῆς τέχνης ὅλης αὐτοῦ προοιμίου γραφέντος ἐν τῷ Κατ' ἰητρεῖον· "ἢ ὅμοια ἢ ἀνόμοια ἐξ ἀρχῆς·

3 ὡς εἴρηται] *p. 208, 17* 15 *schol.* R: πρῶτα λέγονται τὰ τοῦ προσώπου σημεῖα, καθὸ πρῶτον ὁρῶνται τῷ ἰητρῷ *(sic)* εἰσελθόντι περὶ (πρὸς *Schoene*) τὸν ἄρρωστον, μέγιστα δὲ ἢ μεγάλην ἔχοντα δύναμιν, καθὸ τὰς τρεῖς ἀρχὰς ση(μαίνουσι) κακὰς ἔχειν, ἐγκέφαλον λέγω καὶ καρδίαν καὶ ἧπαρ, τὸν μὲν ἐγκέφαλον ἀπὸ τῶν αἰσθήσεων, τὴν δὲ καρδίαν ἐπὶ τῆς χροιᾶς τοῦ προσώπου, τὸ δὲ ἧπαρ ἀπὸ τῆς ἀτροφίας ἢ εὐτροφίας. ταῦτα καὶ τὰ ῥᾷστα καὶ τὰ μεγίστην ἔχοντα δύναμιν· ῥᾷστα μέν εἰσιν, ἃ οὐκ ἔχουσιν μεγίστην δύναμιν, ὡς ἡ ὑπτία (ἠπτία *cod.*) κατάκλισις· γίνεται γὰρ διὰ μαλακίαν τοῦ κάμνοντος καὶ διὰ τροφὴν (*fortasse* τρυφὴν) ὑπερβαίνουσαν (*fort.* ὑπερβάλλουσαν). ἕτερα δὲ μεγίστην ἔχουσι δύναμιν, οὐκ εἰσὶ δὲ ῥᾷστα ὡς εἶναι τῶν κοσμίων τὸ βλέμμα θρασύτερον ἢ τὴν φωνήν. ἄλλα δὲ οὔτε ῥᾷστά εἰσιν οὔτε μικτὴν (μεγίστην *Schoene*) ἔχουσι δύναμιν ὡς τὸ ἀνώμαλον ὑποχόνδριον 18 ἐν τῷ Κατ' ἰητρεῖον] *1. III 272, 1 L.; commemoravisse videtur etiam Stephan. 81, 3* *schol.* R *falso ad p. 208, 25 adscriptum:* "ἀπὸ τῶν πάντῃ πάντως γινωσκομένων" *(Hipp.* Κατ' ἰητρεῖον *1. III 272, 1 sqq. L.)*, ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστιν· ἰδεῖν μὲν ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς κοίλους καὶ τἄλλα, θιγεῖν δὲ τὰ ὦτα ψυχρά, ἰδεῖν δὲ ἅμα καὶ θιγεῖν τοῦ κατὰ τὸ πρόσωπον δέρματος σκληροῦ καὶ καρφαλέου καὶ περιτεταμ[μ]ένου, ἀκοῦσαι δὲ πταρμοῦ καὶ βηχὸς καὶ φθεγγομένου τι παρὰ φύσιν τοῦ κάμνοντος ἢ παραφρονοῦντος ἢ κλαγγώδη ἢ βραγχώδη ἢ τρομωδῶς διαλεγομένου

1 τὸ περὶ *om.* P 3 *post* εἴρηται *add.* καὶ R τοῖς] τῆς Fp τῶν *superscr.* P 4 *et* 5 ἐπιδημίων RP 4 ἐξειργασάμενος *(sic)* P *post* ὅθεν *add.* δὲ P ἐξηγητῶν *corr. ex* ἐξητῶν P 7 χρὴ *om.* F ὧδε χρὴ P τοῖσι *Aldus* 9 αὐτὸ RPFp *Hipp.*: ὡυτὸ *Aldus*: αὐτῷ *a Basil. edd.* ἑωυτέῳ PFp *Hipp.*: ἑαυτοῦ R: ἑωυτῷ *ab Aldo edd.* 10 δὲ ἐναντιώτατον] μὲν ἀντιώτατον P ἐναντίον Fp 11 *post* δεινότατον *add.* τῷδε ἕπεται ἂν εἴη τὸ τοιόνδε Fp 12 αὐτῷ R *edd.*: ἐν τῷ P: αὐτοῦ Fp 12. 13 ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν ὀξέων νοσημάτων *colloc.* Fp 12 τοῦτο R 13 γεγένηται RP *edd.*: ἐγένετο Fp 14 τὸ *om.* P 15 πρῶτα *edd.*: πρῶτον RFp: πρῶ^τ *ambigue* P 16 δὲ *om.* P 17 αὐτῷ P 18 *post* ἰητρεῖον *add.* κείμ(ενον) R ἢ *(prius)* Fp *edd.*: εἰ RP ἢ *(alt.)* PFp *edd.*: εἰ R

ἀπὸ τῶν μεγίςτων, ἀπὸ τῶν ῥηΐςτων.” οὐ γὰρ αἱ προγνώςεις μόνον, ἀλλὰ καὶ αἱ τῶν ποιητέων ἐνδείξεις ἀπὸ τούτων ἄρχονται. περὶ μὲν οὖν τῶν ποιητέων ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου εἴρηται γράμμαςι, περὶ δὲ τῶν προγνώςεων ἐνταυθοῖ ςκόπει πάλιν ἀναμνηςθείς, ὡς οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ νῦν ὄντα κατὰ τὸ ςῶμα διά τινων ςημείων εὑρίςκειν ἐκ τοῦ προγνωςτικοῦ |
24 μέρους τῆς τέχνης ἔςτιν. ἀλλὰ τήν γε τῶν ἐνεςτώτων γνῶςιν ἰδίᾳ προςηγορίᾳ καλεῖν εἰθίςμεθα διάγνωςιν. ἐπιςκέπτεςθαι δὲ κελεύει τὸ πρόςωπον τοῦ νοςοῦντος ἐξ ἀρχῆς, εἰ ὅμοιον ἢ ἀνόμοιόν ἐςτι τῷ τῶν ὑγιαινόντων, ἔτι δὲ μᾶλλον, εἰ αὐτὸ ἑαυτῷ. καὶ γὰρ καὶ τοῦτο τὸ ςημεῖον τῶν Ἱπποκράτους δογμάτων ἐςτίν, ὡς μὴ μόνον ἀπὸ τῆς κοινῆς φύςεως ἁπάντων, ἀλλὰ καὶ τῆς ἰδίας ἑκάςτου ςκέπτεςθαι πάντα τὰ κατὰ τὴν τέχνην. καὶ γὰρ ὁπότε παραβάλλειν ἠξίου τὰ πεπονθότα μόρια τοῖς ὑγιαίνουςι, ςυνεβούλευε ‘μὴ τὰ ἀλλότρια καθορᾶν, ἀλλὰ τὰ τοῦ πεπονθότος αὐτοῦ’.

ἄριςτον μὲν οὖν ἐςτι πρόςωπον ἀνθρώπου κάμνοντος, ὅταν ὁμοιότατον ἑαυτῷ διαμένῃ, χαλεπώτατον δέ, ὅταν ἐναντιώτατον γένηται. τὰ δὲ ἐν τῷ μεταξὺ τοῦ ἀρίςτου τε καὶ χειρίςτου οἷα, ςὸν ἔργον ἤδη ςκοπεῖςθαι, τῶν ἄκρων ἀφωριςμένων· τὰ μὲν γὰρ ἐγγυτέρω τοῦ ἀρίςτου βελτίω, τὰ δὲ ἐγγυτέρω τοῦ χειρίςτου χείρω, μέςα δὲ ἀμφοῖν ἐςτι τὰ μηδετέρου πλέον ἀφιςτάμενα. τὸ μὲν οὖν ἄριςτον πρόςωπον ἑνὶ κεφα-
25 λαίῳ περιλαβὼν ἐδήλωςε (τὸ γὰρ ὁμοιότατον τῷ | κατὰ φύςιν ἄριςτον), τὸ δὲ ἐναντιώτατον ὡς ἂν οὐδὲ ςύντροφον ἡμῖν ὑπάρχον οὐδὲ προγινωςκόμενον αὐτὸς ἐκ τῶν κατὰ μέρος ἐδίδαξε γνωριςμάτων, ὧν ἕκαςτον ἰδίᾳ προχειριοῦμαι διὰ τῶν ἐφεξῆς γεγραμμένων.

3 ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου γράμμαςι] *X 1—1021 K.* 13 ὁπότε ... ἠξίου] Περὶ ἄρθρων *10 (IV 102, 8 sq. L.)* 14 ςυνεβούλευε] Περὶ ἄρθρων *10 (IV 102, 12 sq. L.); cf. Gal. XVIII B 870, 14 K.* 16 ἄριςτον κτλ.] *cf. Stephan. 79, 13 sqq.*

1 *post* μεγίςτων *add.* εἶτα *ab Aldo edd.* *post* ῥηίςτων *add. ex Hipp. l. l.* ἀπὸ τῶν πάντη πάντως προςερχομένων (προερχ. *Chartier*) ἃ καὶ ἰδεῖν τῇ ὄψει καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ γλώςςῃ καὶ τῇ γνώμῃ ἐςτὶν αἰςθέςθαι F^p *Chartier* ἡ πρόγνωςις *ab Aldo edd.* 2 αἱ *om.* F^p ἡ ... ἔνδειξις P *edd.* τουτέων *edd.* ἄρχεται *edd.* *post* ἄρχονται *add.* ἑρμ(ηνεία) R μὲν *om. ab Aldo edd.* 3 μεθόδου εἴρηται F^p: εἴρηται μεθόδου P *ab Aldo edd.*: *item, sed transpos. ipse* R θεραπευτικῆς *corr. ex* ~κοῖς F^p 4 ςκόπει] ςκότει F^p 7 γε] τε P 8 εἰθίςμεθα καλεῖν P 9 νοςέοντος F^p *ab Aldo edd.* τοῦ νοςοῦντος *ante* τὸ πρόςωπον *transp.* R εἰ] ἢ F^p ὅμοις///ν P ἐςτι τῷ *om.* P 10 εἰ *om.* F^p αὐτὸ P *edd.*: αὐτῷ RF^p ἑαυτῷ RP: ἑωυτέῳ F^p *edd.* τὸ ςημεῖον *om.* RF^p 11 ἱπποκρατείων P ἀπὸ *om.* F^p 12 φύςεως *corr. ex* φύςεων F^p πάντα *in ras.* F^p 13 τὰ *(prius)* RPF^p: *om. edd.* 14 μόρια] μέρη P ὑγιαίνουςι P *edd.*: ὑγιέςι RF^p τὰ *(alt.)* P: *om.* RF^p *edd.* 17 ἑαυτῷ] αὐτῷ P διαμένει F^p 18 οἷα] οἷ *in ras.* F^p ςὸν] τὸ F^p 19 *post* ςκοπεῖςθαι *add.* καὶ *Chartier* τῶν *om. Chartier* γὰρ PF^p: *om.* R: καὶ *Ald.*: γὰρ καὶ *a Basil. edd.* ἐγγυτέρω ... τὰ δὲ *(20) om.* F^p 21 πλεῖον P 22 γὰρ RF^p *edd.*: P^2 *in mrg.*: μὲν P ὁμοιότατον] ον *in ras.* F^p 23 *post* ὑπάρχον *excidisse* κάκιςτον *coni. Ermerins* οὐδὲ προγινωςκόμενον RPF^p: τοῦ δὲ προγινωςκόμενον *Aldus Basil.*: τὸ δὲ γινωςκόμενον *Chartier*: *deleri vult Cornarius* 25 προχειριοῦμεν F^p

I 6 [2. II 114, 2 L.] Ῥὶϲ ὀξεῖα.

Τῶν κακῶν ϲημείων ἕν τι τοῦτο πρῶτον ἔγραψε, τὴν ὀξεῖαν ῥῖνα· χρὴ δὲ ὡϲ πρὸϲ τὴν κατὰ φύϲιν ἑκάϲτου παραβάλλοντα, καθότι προείρηται, ϲκοπεῖϲθαι· τοῦ τε γὰρ ϲιμοῦ φύϲει φανεῖται πάντωϲ ἡ ῥὶϲ ἑαυτῆϲ ὀξυτέρα, καθάπερ καὶ τοῦ γρυποῦ καὶ δηλονότι καὶ τοῦ τὴν εὐθεῖαν ἔχοντοϲ. ἀλλὰ χρή ϲε μεμνημένον, εἰϲ ὅϲον ἀποκεχώρηκε τῆϲ κατὰ φύϲιν ἰδέαϲ, εἰϲ τοϲοῦτον μοχθηρὰν αὐτὴν εἶναι νομίζειν. ὀξυνομένη δὲ ἡ ῥὶϲ ἐναργῶϲ ὁρᾶται καὶ τοῖϲ ἐν χρονίᾳ νόϲῳ καταλεπτυνθεῖϲι καὶ τοῖϲ ὑπὸ καμάτου τεταλαιπωρημέ|νοιϲ ἢ ὁπωϲοῦν ἐκλυομένοιϲ 26 ἢ λειποψυχοῦϲι καὶ δὴ καὶ τοῖϲ τεθνεῶϲιν ἅπαϲιν, ὥϲτε εἰκότωϲ ἄν τιϲ ἐπιλογίϲαιτο τῷ κοινῷ πάντων ἀνθρώπων χρώμενοϲ λόγῳ, μοχθηρὸν εἶναι τὸ ϲημεῖον ἐν κακῇ διαθέϲει γινόμενον. ἥτιϲ δέ ἐϲτιν ἡ διάθεϲιϲ αὕτη, καθ᾽ ἣν ἡ ῥὶϲ ὀξύνεται, δογματικῆϲ ἤδη θεωρίαϲ ἔργον ἀναλογιϲμῷ μόνῳ φωραθῆναι δυναμένηϲ. ἀλλὰ πρῶτον ἐπιλογιϲτικῶϲ ὑπὲρ ἑκάϲτου τῶν εἰρημένων ϲημείων ϲκεψώμεθα· πολὺ γὰρ ἄμεινόν ἐϲτι διὰ ϲυμφωνουμένου καὶ κοινοῦ πάντων ἀνθρώπων λόγου ποιήϲαϲθαι τὴν πρώτην διδαϲκαλίαν ἤπερ εὐθέωϲ ἐπὶ τὸν ἀναλογιϲμὸν ἔρχεϲθαι.

I 7 [2. II 114, 2 L.] Ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ϲυμπεπτωκότεϲ, ὦτα ψυχρὰ καὶ ϲυνεϲταλμένα καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεϲτραμμένοι καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον ϲκληρὸν καὶ περιτετα|μένον καὶ καρφαλέον ἐὸν καὶ τὸ χρῶμα τοῦ 27 ϲύμπαντοϲ προϲώπου χλωρὸν ἢ καὶ μέλαν ἐόν.

Καὶ ταῦτα πάντα τὰ ϲημεῖα περὶ τὸ πρόϲωπον γίνεται κατά τε τὰϲ χρονίαϲ νόϲουϲ καὶ τοὺϲ καμάτουϲ καὶ τὰϲ λειποψυχίαϲ καὶ πολὺ

1 *schol.* R *(post lemma)*: ῥὶϲ ὀξεῖά ἐϲτιν ἡ κατὰ τὸ πέραϲ ἰϲχνή; *cf. infra p. 212, 26 sq.* 4 προείρηται] *p. 210, 8 sqq.* 14 ἐπιλογιϲτικῶϲ κτλ.] *cf. Stephan. 81, 10 sq.*

1 *ante* ῥὶϲ *add.* εἴη δ᾽ ἂν τὸ τοιόνδε *Hipp. et ab Aldo edd.*: *om.* R P F^p 3 πρὸϲ *om.* F^p 4 τοῦ τε] τοῦτο P περὶ ὀξείαϲ ῥινόϲ R *in mrg.* 5 ἑαυτῆϲ *recte* F^p *a Basil. edd.*: αὐτῆϲ R P *Aldus*: αὖθιϲ *frustra coni. Cornarius* γρυπτοῦ P 7 εἰϲ τοϲούτῳ *Aldus Basil.* αὐτὴν *om.* F^p νομίζειν *corr. ex* νομίζων F^p 8 χρονίᾳ F^p *Chartier*: *corr. ex* χρονίω P^2: χρονίω R *Aldus Basil.* 10 λειποψυχοῦϲι *corr. ex* λυποψ. R 11 ἐπιλογήϲαιτο R F^p *Aldus* 12 κακῇ P *obscura correctione* 14 μόνον F^p *post* δυναμένηϲ *add.* ἀναλογιϲμὸϲ δ᾽ ἐϲτὶ λόγοϲ ἐκ τοῦ φαινομένου ὁρμώμενοϲ καὶ τοῦ ἀδήλου κατάληψιν (*corr. ex* κατάλυψιν F^p) ποιούμενοϲ, ἐπιλογιϲμὸϲ δὲ ὁ κοινὸϲ καὶ ϲυμφωνούμενοϲ παρὰ πάντων λόγοϲ F^p *Chartier, quae interpolata esse videntur e [Galeni] Defin. med. XIX 353, 17 sq. K.* 14. 15 ἐπιλογιϲτικῶϲ τῶν εἰρημένων ϲημείων ϲκεψώμεθα ὑπὲρ ἑκάϲτου *ab Aldo edd.* 15 ἐπιϲκεψώμεθα F^p 17 *post* ἔρχεϲθαι *add.* εἴη δ᾽ ἂν αὐτῶ τοιούτω· ῥὶϲ ὀξεῖα F^p 18 ξυμπεπτ. *Hipp.* 19 ξυνεϲτ. *Hipp.* τῶν ὤτων R *Hipp. ab Aldo edd.*: αὐτῶν P F^p 20 ἀπεϲτραμμένοι (ρ *et* μ *alt. in ras.*) P ϲκηρὸν *ut saepius* P *post* ϲκληρὸν *ex Hipp. add.* τε *ab Aldo edd.*: *om.* R P F^p 21 ἐὸν *om.* F^p 22 ϲύμπαντοϲ P F^p: ξύμπαντοϲ R *Hipp. et ab Aldo edd.* *post* χλωρὸν *add.* τε *Hipp. et ab Aldo edd.* καὶ R: *om.* P F^p *post* ἐὸν *add.* ἢ μολιβδῶδεϲ F^p: καὶ πελιὸν ἢ μολιβδῶδεϲ *add. Hipp. et ab Aldo edd.* 24 χρονίουϲ P

μᾶλλον ἔτι κατὰ τοὺς θανάτους. εὐεπιλόγιστον οὖν ἐστι τὰ ἀνόμοια τοῖς κατὰ φύσιν κακοῦ τινος εἶναι δηλωτικά, κειμένου γε τοῦ κατ' ἀρχὰς εὐθέως ὁμολογουμένου, ὡς τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλέθρια, τὰ δὲ ὅμοια σωτηρίας ἐστὶ σημεῖα. ταῦτα μὲν οὖν ἐπιλογιστικῶς ἡμῖν ὑπὲρ αὐτῶν εἰρήσθω. σκεψώμεθα δ' ἀκριβῶς ὑπὲρ ὅλης αὐτῶν τῆς φύσεως.

γίνονται τοίνυν αἱ τοιαῦται διαθέσεις ἤτοι διά τινα αἰτίαν συντή-
κουσάν τε καὶ διαφθείρουσαν τὰ σαρκώδη μόρια τῶν ζῴων ἢ δι' ἀρ-
ρωστίαν τῆς ἐμφύτου θερμασίας, μηκέτ' ἀποτείνεσθαι δυναμένης αὐτῆς
ἐπὶ τὰ πέρατα τοῦ σώματος, ἀλλ' ἐν τοῖς σπλάγχνοις μόνοις ὀλίγης
28 διασῳζομένης. ἀκολουθεῖ δὲ τούτῳ | δηλονότι καὶ τὸ μήθ' αἵματος ἔτι
μήτε πνεύματος ἐπιρρεῖν τοῖς ἄκροις τοῦ σώματος, ὅσον ἔμπροσθεν
ἐπέρρει κατὰ φύσιν ἐχόντων. διὰ τοῦτο οὖν ἐν τῷ προσώπῳ φαίνεται
μεγίστη σαφῶς ἡ τοῦ κατὰ φύσιν ἐξαλλαγή. παρακειμένων γὰρ ἀλλήλοις
τῶν τε ὀστεΐνων μορίων καὶ τῶν ὑγροτέρων τε καὶ σαρκωδῶν, εἶτα
τῶν μὲν ὀστεΐνων διὰ τὸ γεῶδες τῆς οὐσίας ὁμοίων διαμενόντων, τῶν
δὲ ὑγροτέρων καὶ σαρκωδῶν συντήκεσθαί τε ῥᾳδίως δυναμένων καὶ
συμπίπτειν εἰς ἑαυτὰ διά τε τὴν ἔνδειαν τοῦ πνεύματος καὶ τοῦ αἵ-
ματος εὐφωρατοτάτη ἡ διάθεσις γίνεται· τῆς μὲν γὰρ ῥινὸς περὶ τὰ
καλούμενα πτερύγια μόνα σαρκοειδής ἐστιν ἡ οὐσία, τὸ δ' ἄλλο πᾶν
ὀστῶδες. εἰκότως οὖν, ὅταν ἤτοι τετηκὸς τὸ σαρκῶδες ἢ κενωθὲν συν-
ιζήσῃ, τὸ πέρας αὐτῆς φαίνεται λεπτόν· οὕτω δὲ κἂν ψυχθῇ σφοδρῶς,
ὃ δὴ τοῖς ἀποθνῄσκουσιν ἤδη συμβαίνει. πιλουμένης γὰρ ἐν τῇ ψύξει
τῆς οὐσίας τῶν σαρκωδῶν μορίων ἰσχνὴ κατ' ἄκραν ἑαυτῆς εἰκότως
γίνεται. καὶ μὴν οὐκ ἄλλην τινὰ ὀξεῖαν ὀνομάζομεν ῥῖνα πλὴν τῆς
29 κατὰ τὸ πέρας ἰσχνῆς. οὕτως μὲν οὖν ἡ | "ῥὶς ὀξεῖα" φαίνεται, κοῖ-
λοι δὲ οἱ ὀφθαλμοὶ διὰ τὰς αὐτὰς αἰτίας, ἀλλ' ὅσῳ τῆς ἄκρας ῥινός
εἰσιν ὑγρότεροί τε καὶ μαλακώτεροι, τοσούτῳ θᾶττον κοιλαίνονται. ἀλλὰ
καὶ πνεύματος ψυχικοῦ παμπόλλου μετέχουσι καὶ θερμασίας οὐκ ὀλίγης,
ὧν ἀπολειπόντων αὐτοὺς εἰκότως συστέλλονται· τοῦτο δ' ἐστὶν ὀφθαλ-

7 γίνονται κτλ.] *cf. infra p. 215, 6 sqq. et Stephan. 82, 13 sqq.* 14 παρακειμένων κτλ.] *cf. Stephan. 79, 26 sqq.* 19 ῥινὸς κτλ.] *cf. Stephan. 81, 32 sqq.* 26 ῥὶς ὀξεῖα] *p. 211, 1* 26. 27 κοῖλοι οἱ ὀφθαλμοὶ κτλ.] *cf. Stephan. 82, 13 sqq.*

1 ἐστι *om.* Fp 2 *post* κακοῦ *add.* θανάτου P 3 ἀρχὴν Fp *a* μὲν *inc.* V 4 σωτηρίας VRFp: σωτήρια P *edd.* 6 *post* φύσεως *add.* αἰτία συμπτωμάτων φυσική VR 9 ἀπο///τείνεσθαι Fp δυναμένης *corr. ex* ∼νοις R² 10 ὀλίγης V *edd.*: *corr. ex* ὀλίγοις R²Fp: ὀλίγοις P 11 διασωζομένης VP *edd.*: *corr. ex* διασωζομένοις R²Fp ἀκολουθῇ R τούτω *corr. ex* τοῦτο VR² 14 ἡ VRP *edd.*: ἢ Fp ἐξ' ἀλλαγή *(sic)* R 15 τε *(alt.) om.* VFp 16 ὀστε·ί·ων *(sic)* P 17 τε *superscr.* R² 18 πίπτειν *Aldus Basil.* ἑαυτὰ R *edd.*: αὐτὰ VPFp τοῦ αἵματος καὶ τοῦ πνεύματος R 19 εὐφωρατωτάτη R: εὐφορωτάτη VFp *et a Basil. edd.*: εὐφωροτάτη P: ἀφωροτάτη *Aldus* μὲν *ante* τὰ *colloc.* P περὶ] κατὰ P *ab Aldo edd.* 21 εἰκότως ... σαρκῶδες *om.* R κενωθεῖσα R συνιζήσῃ *om.* R 22 φαίνεται λεπτόν P *edd.*: λεπτὸν φαίνεται VRFp 24 ἄκρας *ab Aldo edd.* 25 πλὴν RP: *om.* V: ἢ *superscr.* V²: ἢ Fp 26 οὖν *om.* P φαίνεται] γίνεται Fp 27 οἱ *om. ab Aldo edd.* 28 τε *superscr.* P 29 παμπόλυ Fp 30 ἀπολιπόντων R τοῦτω P

μῶν κοιλότης. οὕτω δὲ καὶ οἱ κρόταφοι συμπίπτουσιν, ὅτι μόνοι τῆς ἄλλης κεφαλῆς ἔχουσι μῦς, οὓς ὀνομάζουσι κροταφίτας, ἡ δ᾽ ἄλλη πᾶσα κεφαλὴ παντάπασιν ἄσαρκός ἐστιν. ὦτα δὲ ψυχρὰ καὶ συνεσταλμένα, διότι χονδρώδη καὶ ἄσαρκα καὶ ὀλίγαιμά ἐστι· τάχιστα οὖν καταψύχεται παρεσκευασμένα πρὸς τὸ πάθος ὑπὸ τῆς οἰκείας φύσεως. διὰ τίνα δὲ αἰτίαν ἀποστρέφεσθαι συμβαίνει τοὺς λοβοὺς αὐτῶν; [ἢ] ὅτι μαλακωτέραν ἔχουσι τὴν οὐσίαν, οὐχ ὥσπερ τὸ ἄλλο σύμπαν, ὅπερ ἀκριβῶς λεπτὸς χόνδρος ἐστὶ λεπτῷ δέρματι σκεπόμενος· ὥστε ὑπὸ τῶν εἰρημένων ἔμπροσθεν αἰτιῶν οἱ λοβοὶ λεπτύνονταί τε καὶ συστέλλονται καὶ ξηραίνονται καὶ πήγνυνται. ταῦτα | δὲ πάσχοντες ὀπίσω τείνονται 30 μᾶλλον ἐπὶ τὰς ἀρχὰς τῶν τὴν αἴσθησιν αὐτοῖς παρεχόντων νεύρων· τὸ μὲν γὰρ σπᾶσθαι τοῖς ἱμαντώδεσιν ἅπασι ξηραινομένοις κοινόν, ἴδιον δ᾽ ἑκάστῳ τῶν ἐν τῷ σώματι μορίων ἐπ᾽ ἐκεῖνο τὸ μέρος διαστρέφεσθαί τε καὶ παρασπᾶσθαι μᾶλλον, ἔνθα τῶν ἐμφυομένων αὐτῷ νεύρων ἐστὶν ἡ ἀρχή. θεάσασθαι γοῦν ἐστι τοῦτο καὶ κατὰ τοὺς δακτύλους ἐναργῶς, ἐὰν μὲν ὁ ἔνδον τένων ὑπό τινος αἰτίας ταθῇ, καμπτομένους τοὺς δακτύλους σαφῶς, ἐὰν δὲ ὁ ἔξωθεν, ἐκτεινομένους. διὰ δὲ τὴν αὐτὴν ξηρότητά τε καὶ πῆξιν ὅλον τὸ δέρμα τὸ περὶ τὸ πρόσωπον πᾶν σκληρόν τε φαίνεται καὶ περιτεταμένον. ἐναργέστερον δὲ ὁρᾶται τὸ πάθος αὐτοῦ κατὰ τὸ μέτωπον, ὅτι σαρκοειδὴς οὐσία λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὑποβέβληται τῷ δέρματι. πάσχει δὲ ὑπὸ τῶν εἰρημένων αἰτιῶν ἡ σαρκώδης φύσις μᾶλλον τῆς δερματώδους. ἡ δὲ τῆς χροιᾶς μεταβολὴ μοχθηροτάτη μέν ἐστιν ἡ ἐπὶ τὸ μέλαν ὡς ἂν ἀποψυχομένου τοῦ αἵματος, ὥσπερ ὅταν ἐκτὸς ἐκχυθὲν θρομβωθῇ, μετριωτέρα δὲ ἡ ἐπὶ τὸ χλωρόν. εἰώ|θασι δὲ οὕτως ὀνομάζειν οἱ παλαιοί ποτε μὲν τὸ 31 ὠχρόν, ἐνίοτε δὲ ὡς οἱ πολλοὶ κράμβας τε καὶ θριδακίνας καλοῦσι χλωράς, ὅπερ χρῶμα μελάντερόν ἐστιν ἐρυθροῦ καὶ οἷον ἀρχή τις τοῦ μελαίνεσθαί τε καὶ πελιδνοῦσθαι ψύξεως ἐργαζομένης αὐτό, καθάπερ καὶ τὸ μέλαν. ὥστε εἰκότως καὶ τὸ πρόσωπον, ἐν ᾧ πάντ᾽ ἐστὶ τὰ προειρημένα, προσαγορεύεται νεκρῶδες εἶναι. καὶ τοῦτο ἐν μὲν τοῖς κε-

1 κρόταφοι συμπίπτουσιν κτλ.] *cf. Stephan. 82, 25 sqq.* 3 ὦτα ψυχρά] *cf. Stephan. 82, 30 sqq.* 6 λοβούς] *cf. Stephan. 83, 2 sqq.* 20 σαρκοειδὴς οὐσία ... ὑποβέβληται *(21)*] *cf. Stephan. 83, 25 sqq.* 23 μέλαν κτλ.] *cf. Stephan. 83, 34 sqq.* 25 οἱ παλαιοὶ] *cf. infra p. 235, 10 sqq. et Stephan. 84, 3 sq.*

2 ἄλλης] ὅλης *frustra Kuehn* μῦς V *edd.*: μύας RP: λᾶς F[p] ἄλλη] ὅλη *Kuehn* 6 συμβαίνειν F[p] λο///βοὺς P ἢ VRPF[p] *edd.*: *del. Mewaldt* 9 αἰτιῶν RP: αἰτίων VF[p] *edd.* συστέλλονται VRPF[p]: συστρέφονται *ab Aldo edd.* 11 μᾶλλον ... νεύρων *evan.* V 14 παρασπᾶσθαι VPF[p]: περισπᾶσθαι R *edd.* ἐμφυομένων *corr. ex* ἐφιομένων F[p2] αὐτῶν P: αὐτῷ/// F[p] 15 ἐστι τοῦτο] τοῦτ᾽ ἐστὶ R ἐναργῶς VRPF[p] *Aldus*: *ante* τοῦτο *colloc. a Basil. edd.* 16 *post* μὲν *add.* οὖν P αἰτίας VRPF[p]: αἰτίου *edd.* ταθῇ RP *edd.*: πάθη VF[p] 17 *post* σαφῶς *add.* ἔστιν ἰδεῖν *edd.* ὁ *om.* F[p] *post* δὲ *add.* τήνδε *edd.* 18 πᾶν *om.* P 19 σκληρότερον R 21 τῷ] τὸ F[p] 22 αἰτιῶν RP: αἰτίων VF[p] *edd.* μᾶλλον φύσις *edd.* φύσις VR *edd.*: *corr. ex* φύσης PF[p] 23 ἀποψυχομένου *corr. ex* ∼μένην R[1] 24 τοῦ αἵματος *superscr.* R[2] ἡ *om.* F[p] 25 τὸ *(alt.) superscr.* F[p] 26 θριδακίδας P 27 χλωράς *corr. ex* χώρας P[1] μελάντερον F[p] *edd.*: μελαντότερον VRP 29 μέλαν] μέλλον F[p] 30 εἶναι RP: *inclus.* V: *om.* F[p] *edd.* κεχροισμένοις F[p]

χρονισμένοις νοσήμασι πολλάκις ὁρᾶται γινόμενον, ὀλιγάκις δὲ ἐν ἀρχῇ. διὸ καὶ κινδυνωδέστατόν ἐστιν, ὡς ἂν μηδὲ τὴν ἀπὸ τοῦ χρόνου πρόφασιν ἔχον. ἐπὶ μακρῷ μὲν γὰρ χρόνῳ συντακῆναί τε τὸ σῶμα καὶ ψύχεσθαι τῶν ἀκρωτηρίων τινὰ θαυμαστὸν οὐδέν, ἐν ἀρχῇ δὲ καὶ μάλιστα ἐν ὀξεῖ νοσήματι πάντως ὀλέθριον, εἰ μὴ διά τινα αἰτίαν ἑτέραν εἴη τοιοῦτον γεγονός· ὁποῖαι δέ εἰσιν αἱ τοῦτο ποιεῖν δυνάμεναι, κατὰ τὴν ἑξῆς ῥῆσιν αὐτὸς ἐδίδαξε. νυνὶ δὲ ὃ χρὴ προσθεῖναί με παραλελεῖφθαι δοκοῦν ὑπ' αὐτοῦ, πρότερον ἄκουσον. ὥσπερ γὰρ ἐν τοῖς χρο-
32 νίοις νοσήμασι τοιοῦτον γίνεσθαι πρόσωπον οὐκ | ἂν εἴη μεγάλως ὀλέθριον, οὕτως οὐδ' ἐν ψυχρῷ χωρίῳ καὶ χειμῶνι καὶ καταστάσει ψυχρᾷ καὶ γεροντικῇ, καθάπερ ἐμάθομεν ἐν Ἀφορισμοῖς ὡς "ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ".

I 8 [2. II 114, 6 L.] Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς ᾖ ἢ λιμῶδές τι ἔχῃ αὐτόν. καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι (κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτί, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ), ἢν δὲ μηδὲν τουτέων φῇ ⟨εἶναι⟩ μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ τοῦτο τὸ σημεῖον θανατῶδες ἐόν. |

33 Ὀλέθριον μὲν ἐσχάτως ἐστὶ καὶ ἀνίατον νόσημα, καθ' ὃ νεκρῶδες εὐθὺς ἐν ἀρχῇ τὸ πρόσωπον ἐγένετο χωρὶς τῆς ἔξωθεν αἰτίας. τούτου δ' ἧττόν ἐστι κινδυνῶδες, εἰ διά τινα αἰτίαν προφανῆ, καθάπερ εἰ τύχοι διὰ σφοδρὰν ἀγρυπνίαν ἢ ἔνδειαν τροφῆς ἢ ῥεῦμα γαστρός· ἄμεινον

7 ἐδίδαξε] *infra v. 15 sqq.* 11 ἐν Ἀφορισμοῖς] *II 34. IV 480, 7 sqq. L.*

1 γιγνόμενον *ab Aldo edd.* 3 τε *om.* P τὸ] τῷ P 4 τῶν *om. Aldus Basil.* 6 εἴη τοιοῦτον VRPF^{p}: ᾖ τοῦτο *edd.* γεγονὸς RP *edd.*: *correctum esse videtur ex* γένος V: γένος F^{p} 7 ὃ *om.* P *post* παραλελεῖφθαι *del.* μοι V 8 δοκοῦν] ουν *ex corr.* V 9 μεγάλως *corr. ex* μεγάλων V ον ὀλέθρι//// R 11 γεροντικῇ R *edd.*: γέροντι VPF^{p} *post* ἐν *(prius) add.* τοῖς P τῇσι νούσοισιν *edd.*: τοῖσι νούσοισι R: ταῖς νόσοις PF^{p}: τοῖς νόσοις V 12 *post* κινδυνεύουσιν *add.* οἱ νοσέοντες P *et nonnulli codices Hippocratei* οἷσιν R *Hipp. ab Aldo edd.*: οἷς VPF^{p} φύσεως PF^{p} 13 ἕξεως P ἡ *superscr.* V^{1} οἷσιν RP *Hipp. ab Aldo edd.*: οἷς VF^{p} 15 νόσου VF^{p} 16 ᾖ *(alt.)*] ἢ R 17 ἠγρύπνηκεν VRPF^{p} *et ab Aldo edd.*: ἠγρύπνησεν *Hipp.* 18 κοιλίας P ἰσχυρῶς ᾖ (εἴη P) VRPF^{p}: ᾖ ἰσχυρῶς *Hipp. Aldus Basil.*: εἴη ἰσχυρῶς *Chartier* λοιμῶδες R ἔχῃ F^{p} *Hipp. Chartier*: *item, sed* η *in ras.* V: ἔχει RP *Aldus Basil.* 19 τι *superscr.* R ὁμολογέει R 21 τοιοῦτον *om.* P 22 τούτων VF^{p} φῇ VF^{p} *Hipp.*: φήσει R: φαίνηται P: φησὶν *Hipp. vulg. et ab Aldo edd.* εἶναι *ex Hipp. add. ab Aldo edd.*: *om.* VRPF^{p} 24 ὃν F^{p} 25 τούτου *corr. ex* τοῦτο V^{2}R^{1} 26 εἰ/// *(prius)* F^{p}

μὲν γὰρ μηδ᾽ ὑπὸ τῶν τοιούτων αἰτίων ἐςχάτως καταλύεςθαι τὴν δύναμιν ἐν ἀρχῇ τοῦ νοςήματος, ἧττον δέ ἐςτι κινδυνῶδες, εἰ διά τι τούτων εἴη γεγονός, ἀλλὰ μὴ διὰ τὴν τοῦ νοςήματος κακοήθειαν. ἥτις δέ ἐςτιν ἡ διάθεςις τοῦ ςώματος, ἐν ᾗ τοιοῦτον ἀποτελεῖται τὸ πρόςωπον εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, ἤδη caφῶς coι φράςω διὰ βραχέων. ὁπόταν ἀρρωςτία τῆς καθεκτικῆς τοῦ ζῴου δυνάμεως εἰς ταὐτὸν ἀφίκηται λεπτότητι χυμῶν ἅμα θερμῷ πυρετῷ, δι᾽ ἀρρωςτίαν ἀποκρίνεταί τι ςυνεχῶς ἀόρατον ὑπὸ ςμικρότητος ἔξω τοῦ δέρματος ὡςανεὶ λεπτομερῶν ἀπορρεόντων χυμῶν. ὁ δὲ πυρετὸς ἔτι δὴ καὶ μᾶλλον ἐκδαπανᾷ μὲν τοὺς λεπτοτάτους χυμούς, ἐπιλεπτύνει δὲ τοὺς ἧττον τοιούτους, ὡς μὴ διαλιπεῖν τὴν κένωςιν, ἀλλ᾽ ἐοικέναι ςυνεχέςιν | ἐμέτοις ἢ διαρροίαις 34 γαςτρὸς ἢ τῇ δι᾽ οὔρων ἀμέτρῳ κενώςει. πλὴν ἐκεῖναι μὲν αἱ κενώςεις αἰςθηταὶ καὶ ταύτῃ διαφέρουςιν, ἣν δὲ νῦν ἐγὼ διηγηςάμην, διὰ λεπτότητα τῶν κενουμένων ἀόρατός ἐςτιν. οὔκουν οὐδὲ ςυνέςτη ποτὲ τὸ τοιοῦτον πρόςωπον ἐπὶ φλεγματώδει νοςήματι, καθάπερ οὐδ᾽ ἐπὶ πληθωρικῷ διὰ πλεονεξίαν αἵματος, ἀλλ᾽ ἔνδειάν τε μᾶλλον εἶναι κατὰ τὸ ςῶμα δεῖ καὶ κόπους τινὰς προηγεῖςθαι καὶ φροντίδας· ἐπὶ τούτων γὰρ ἀθροίζεται πικρόχολος χυμός. εἰ δὲ καὶ τὸ χωρίον εἴη θερμὸν καὶ ἡ ὥρα τοῦ ἔτους θερινὴ καὶ ἡ κατάςταςις θερμὴ καὶ ξηρά, τότε δὴ καὶ μᾶλλον ἕτοιμον ἁλῶναι τοιαύτῃ διαθέςει, καὶ πολὺ μᾶλλον, εἰ χολωδέςτερος ὁ ἄνθρωπος εἴη φύςει. καὶ μὴν καὶ ῥᾳδίως ἔνιοι διαφοροῦνταί τε καὶ διαπνέονται καὶ τὸ ςτόμα τῆς γαςτρὸς ἔχουςιν ἀςθενές. ἅπερ εἰ καὶ αὐτὰ ςυνέλθοι τοῖς προειρημένοις, ἑτοιμότατον ἁλῶναι τὸ τοιοῦτον ςῶμα τῇ τὸ νεκρῶδες πρόςωπον ἐργαζομένῃ διαθέςει. ταῦτ᾽ οὖν γινώςκων τις οὐκ εἰς πρόγνωςιν μόνον, ἀλλὰ καὶ εἰς θεραπείας εὕρεςιν ποδηγηθήςεται ςκοπὸν ἔχων ςτηρίζειν | τὴν δύναμιν εὐςτομάχοις τροφαῖς. 35 ἀλλὰ τοῦτο μὲν ὁδοῦ τι πάρεργον οὐ ςμικρὸν εἰρήςθω.

περὶ δὲ τῶν ἔξωθεν αἰτίων ἐπιςκεπτέον ἀκριβέςτερον. ἔςτι δὲ ὧν μὲν αὐτὸς ἐμνημόνευςεν ὀνομαςτὶ λιμὸς καὶ ἀγρυπνία καὶ διάρροια.

6 ὁπόταν ἀρρωςτία τῆς καθεκτικῆς κτλ.] *cf. supra p. 212, 7 sqq.* 16 ἔνδειαν κτλ.] *cf. Stephan. 88, 31 sqq.* 29 ἐμνημόνευςε] *p. 214, 17 sqq.*

1 μὲν *superscr.* V²: *om.* P μηθ᾽ P 3 ἀλλὰ μὴ VRPFᵖ: ἀλλ᾽ οὐ *edd.* 5 ἤδη caφῶς coι φράςω VRPFᵖ: ἤδη coὶ φράςω caφῶς *edd.* 7 λεπτότητι VR *edd.*: λεπτότης P: λεπτοτάτων Fᵖ δι᾽ VRFᵖ: διὰ τὴν P: διὰ μὲν τὴν *edd.* 11 διαλιπεῖν VPFᵖ: διαλείπειν R *edd.* ἐκκένωςιν Fᵖ 12 κενώςει *corr. ex* κινήςει V² 13 ταύτης R 14 τὸ *om.* P 15 φλεγματώδει R *edd.*: *corr. ex* ∼ώδη V¹P¹: φλεγματώδη Fᵖ 16 πλεονεξίαν *corr. ex* πλεοναξίαν V¹ 17 δεῖ P: *post* εἶναι *(v. 16) colloc. edd.*: *om.* VRFᵖ τούτων VRPFᵖ: τοιούτῳ *edd.* 18 χυμὸς πικρόχολος *edd.* χυμὸς *corr. ex* χυμνὸς Fᵖ 19 καὶ *(tert.) om.* P 22 *post* καὶ *(alt.) add.* οἱ *edd.* ἔχουςιν VRPFᵖ: ἔχοντες *edd.* 23 εἰ *om.* Fᵖ ἑτοιμότατον] τον *in ras.* Fᵖ τοιοῦτον *incertum* V 24 ταῦτ᾽ VRPFᵖ: τοῦτ᾽ *edd.* 25 γινώςκων τις VFᵖ *edd.*: γινώςκοντες RP 26 ποδηγηθήςεται R: ὁδηγήςεται *edd.*: δυνήςεται PFᵖ: δυνήςηται, *sed includendo del.* V ςκοπὸν *corr. ex* ςκοπῶν R¹ εὐςτόχοις *(sic)* P 27 *post* μὲν *add.* ὡς *edd.* *post* εἰρήςθω *inscrib.* περὶ τῶν ἔξωθεν αἰτίων (αἰτιῶν P) VR²P 28 ἐπιςκεπτέον *corr. ex* ∼τέων V *post* ἀκριβέςτερον *add.* κατάλογος αἰτίων τῶν ποιούντων νεκρῶδες τὸ πρόςωπον R *in mrg.* 29 ὀνομαςτὶ ἐμνημόνευςεν (ἐμνημόνευςα *Aldus*) VRPFᵖ *edd.*: *ob hiatum transposui* καὶ *(prius) om. edd.*

προσθεῖναι δ' ἔξεστί σοι καὶ τὰ τούτοις ὅμοια, κένωσιν ἄμετρον αἵματος ἐκ ῥινῶν ἢ μήτρας ἢ αἱμορροΐδος ἢ τραύματος ἢ ὁπωσοῦν ἑτέρως, ἔτι τε λύπην σφοδράν, ἐφ' αἷς τισιν ⟨ἂν⟩ αἰτίαις συστῇ. τάχα δ' εὔλογον ταύτην ὑπολαμβάνειν εἰρῆσθαι δυνάμει πρὸς Ἱπποκράτους ἐν τῷ τῆς ἀγρυπνίας λόγῳ. γίνεται μὲν γὰρ καὶ δι' ἄλλας αἰτίας ἀγρυπνία, γίνεται δὲ καὶ διὰ λύπην, ὡς ἐπὶ πλέον ἥκειν λύπης ἀγρυπνίαν καὶ διὰ τοῦτο περιέχειν αὐτὴν εἰκότως λεχθήσεται. οὕτω δὲ καὶ ἡ γαστὴρ ἰσχυρῶς ὑπελθοῦσα παράδειγμά σοι πάσης ἀμέτρου κενώσεως ἔστω.

τῷ γε μὴν ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὡμιληκότι καὶ τρίβωνι τῆς ἑκάστου τῶν πραγμάτων ἰδέας ἐμφαίνεται πολλάκις ἡ ποιήσασα τὸ τοιοῦτον πρόσωπον αἰτία. δύσρητα δ' αὐτῶν ἐστι τὰ γνωρίσματα, καὶ
36 διὰ τοῦτο διδάσκειν αὐτὰ λόγῳ, κἂν | εἰδῶσιν, οἱ πολλοὶ τῶν ἰατρῶν ἀφίστανται. πρὸς ἡμῶν δὲ εἴρηται πάντα κατὰ τὰς οἰκείας πραγματείας, ὥστε καὶ σὺ μαθὼν αὐτὰ δυνήσῃ ποτὲ καὶ αὐτὸς εἰσελθὼν πρὸς τὸν ἄρρωστον ἀποφήνασθαι περὶ τῆς τὸ τοιοῦτον πρόσωπον ἐργασαμένης αἰτίας, καὶ μᾶλλον εἰ τὴν προηγησαμένην ἅπασαν δίαιταν εἰδείης τοῦ κάμνοντος ἐπεσκεμμένος τέ τι περὶ τῆς κράσεως εἴης αὐτοῦ καὶ πολὺ μᾶλλον, εἰ καὶ τῆς τῶν ἀρτηριῶν κινήσεως ἐμπειρίαν ἔχοις, ἔτι τε τῆς τοῦ πυρετοῦ ποιότητος. ὑποκείσθω γάρ τις ἕνεκα παραδείγματος ὥρᾳ θέρους ἐν καταστάσει θερμῇ καὶ ξηρᾷ χολώδης φύσει νεανίσκος ἐκ ταλαιπωρίας τε καὶ ἐνδείας καὶ λύπης ἠργμένος νοσεῖν, ἔστω δὲ αὐτοῦ καὶ ἡ θερμασία δάκνουσα σφοδρῶς τὴν ἁφὴν ἡμῶν, τὸ δὲ οὖρον χολῶδες ὅ τε σφυγμὸς ἀρρωστίαν δυνάμεως ἐνδεικνύμενος· ὑπόπτευσον τὸν τοιοῦτον ἐν τῇ προκειμένῃ κατὰ τὸν λόγον τόνδε γενήσεσθαι καταστάσει, δι' ἣν τὸ πρόσωπον ἐν τάχει νεκρῶδες ἕξει, μὴ φθάνων γε προσηκόντως τρέφεσθαι. μὴ τοίνυν ἔστω ταῦτα περὶ τὸν κάμνοντα μήτε
37 προγεγονότα μήτε κατὰ τὴν πρώ|την καὶ δευτέραν ἡμέραν πεφηνότα, τῇ τρίτῃ δὲ ἀφικομένῳ σοι φαινέσθω τὸ πρόσωπον οἷον εἴρηται νῦν ὑφ' Ἱπποκράτους. ἴσθι τοῦτον ἐπί τινι τῶν ἔξωθεν αἰτίων οὕτω

11 δύσρητα κτλ.] *cf. infra p. 218, 6 sqq.* 13 κατὰ τὰς οἰκείας πραγματείας] *e. g. XVI 798 K.; VI 832 K.; VIII 342 K.* 28 εἴρηται νῦν] *supra p. 214, 15 sqq.*

1 προσθεῖναι . . . ἄμετρον *omissa add.* V² *in mrg.* 2 αἱμορροΐδων R 3 λύπην *corr. ex* λύπτην Fᵖ ἂν *addidi* 4 ὑπολαμβάνειν *corr. ex* ∼νον P 5 γὰρ *om.* R καὶ *superscr.* P² 6 δὲ VRPFᵖ: μὲν δὴ *edd.* 7 οὕτω/// V 8 ὑπελθοῦσα P *edd.*: *corr. in* ἐπελθοῦσα R: ἐπελθοῦσα VFᵖ πάσης] πάλιν R κενώσεως RP *edd.*: κινήσεως VFᵖ 9 τῆς *corr. ex* τοῖς R¹ ὡμιληκότι (κό *in ras.*) V 11 πρόσωπον τοιοῦτον *edd.* 12 αὐ^τ V εἰδῶσιν *corr. ex* ἰδῶσιν Fᵖ 13 ἀφίστασθαι R 14 εἰσελθὼν *corr. ex* εἰσελθὲν V τὸν VRPFᵖ: *om. edd.* 16 *post* εἰ *inser.* καὶ *edd.* τὴν VRPFᵖ: *om. edd.*: *post* ἅπασαν *addebat Ermerins* 17 ἐπισκεψαμμένος *(sic)* P τέ τι VRPFᵖ: δ' ἔτι *edd.* αὐτὰ Fᵖ 18 καὶ *om.* R ἔχεις R 20 θερμὴ RFᵖ ξηρὰ RFᵖ χολώδης *corr. ex* χολῶδες V² 21 νοσεῖν *ex corr.* Fᵖ 21. 22 αὐτοῦ καὶ ἡ θερμασία *Aldus*: καὶ ἡ θερμασία αὐτοῦ VRPFᵖ 22 δὲ *edd.*: *superscr.* V²: γὰρ Fᵖ: *om.* RP 23 σφυγμὸς *corr. ex* σφιμὸς V¹ ὑπόπτευσον *corr. ex* ὑπόπτυσον V² τὸν *corr. ex* τὸ Fᵖ² 24 προκειμένῃ] προειρημένη R 25 νεκρῶδες ἐν τάχει *edd.* 27 κατὰ] καὶ Fᵖ 29 αἰτιῶν P

πεπονθότα διάσκεψαί τε παρὰ σαυτῷ τί ποτε μᾶλλον αὐτῷ ἐνδέχεται γεγονέναι, πότερον ἔκκρισίν τινα πολλὴν ἢ ἀγρυπνίαν. ἐπ᾽ ἐνδείᾳ μὲν γὰρ οὐδ᾽ ἂν ἐγένετο τοιοῦτος ὁ ἄνθρωπος ἄνευ τοῦ τά τε προηγησάμενα τῆς νόσου τοιαῦτα ὑπάρχειν, οἷα λέλεκται, καὶ τὴν φύσιν εἶναι τοιοῦτον, οἷος εἴρηται. εἰ μὲν οὖν κατὰ τὴν προτέραν αὐτὸς ἑωρακὼς εἴης αὐτόν, οὐδ᾽ ἂν ἔλαθέ σε μέλλουσα γενήσεσθαι πολλή τις ἔκκρισις αὐτομάτη. βεβαιότατα γὰρ αὐτῆς ἐστι τὰ γνωρίσματα καὶ λέλεκται πρὸς ἡμῶν ἔν τε τοῖς Περὶ κρίσεων ὑπομνήμασι καὶ τοῖς ⟨Περὶ⟩ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ὥστε ἐξέσται σοι παραχρῆμα θεασαμένῳ τὸν ἄνθρωπον ἀποφήνασθαι σφοδρὰν ἀγρυπνίαν γεγονέναι. καὶ γὰρ δὴ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ θεάσῃ ξηροὺς ἱκανῶς ἐπὶ ταῖς ἀμέτροις αἰσθηταῖς κενώσεσιν οὐ γινομένους τοιούτους ὥσπερ ἐπὶ ἀγρυπνίαις. ὄψει δὲ καὶ τὰ βλέφαρα δυσχερῶς ἀνατεινόμενα | καὶ τοιαύτην ἔχοντα τὴν ἰδέαν ἐν τῷ 38 καταφέρεσθαι καὶ ἀστήρικτα ὑπάρχειν, οἷα τοῖς κωματώδεσι γίνεται. καὶ μὲν δὴ καὶ πρῶτόν σοι τότε φαινομένου τοῦ κάμνοντος, ἔμπροσθεν δὲ οὐδ᾽ ὅλως ἑωραμένου, τά τε τοιαῦτα γνωρίσματα καὶ τὰ τῶν σφυγμῶν ἐνδείξεταί τινα διάκρισιν, ἐπὶ μὲν ἀμέτροις ἐκκρίσεσι σῴζοντός τι κἂν ὀλίγον ἔτι γνώρισμα τῆς ἰδέας τοῦ δηλοῦντος αὐτάς, ἐπὶ δὲ ταῖς ἀγρυπνίαις χορδῆς τεταμένης ἔμφασιν ἔχοντος. τῷ δ᾽ ἐξ ἐνδείας μόνης εἰς τὴν εἰρημένην τοῦ προσώπου διάθεσιν ἀφικομένῳ τῶν εἰρημένων γνωρισμάτων οὐδέτερα πάρεστιν, οὔτε τὰ τῆς ἐκκρίσεως οὔτε τὰ τῆς ἀγρυπνίας, ὥστε ἐκ συμβεβηκότων μᾶλλον ἤπερ ἐξ οἰκείων σημείων ἐπ᾽ ἐκείνων ἡ πρόγνωσις ἔσται σοι τοῦ δι᾽ ἔνδειαν τροφῆς εἰς τοιαύτην αὐτὸν ἧχθαι διάθεσιν. ἔτι δὲ μᾶλλον, ἐὰν ὁ πυρετὸς τὴν ἰδιότητα τῆς διαφορητικῆς θερμασίας ἀκριβῶς ἐπισκεπτομένῳ σοι μὴ προσβάλῃ, ὡς, ἐάν γε φαίνηται τοιαύτη, δι᾽ ἐκείνην μᾶλλον ἤ τι τῶν ἔξωθεν ὑποπτεύειν ἰσχνὸν οὕτως γεγονέναι τὸ πρόσωπον. χρονίζειν δὲ προσῆκεν ἁπτόμενον | ὅλην 39 τὴν χεῖρα περιβάλλοντα μὴ τῷ καρπῷ μόνον τοῦ κάμνοντος, ἀλλὰ καὶ

8 ἐν τοῖς Περὶ κρίσεων ὑπομνήμασι] *II 11 (IX 592 sqq. K.)* 8. 9 Περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως] *II 1 (IX 272 sqq. K.)*

1 πεπονθότα VPF^p: πεπονθέναι R *edd.* διδάσκεταί *(sic)* F^p τε VRPF^p: οὖν *edd.* 2 *post* ἀγρυπνίαν *add.* τοιοῦτον ἀθρόως, *sed includendo del.* V 3 τοιοῦτος (ἀθρόως *add.* R) ὁ ἄνθρωπος VRPF^p: τοιοῦτον ἀθρόως *edd.* τά] τῆ F^p τε] γε R 4 οἷα] οἷ *in ras.* F^p 5 κατὰ] καὶ F^p προτέραν VRPF^p: προτεραίαν *edd.* 6 ἔκρισις P αὐτομάτως F^p 7 *post* βεβαιότατα *add.* μὲν P 8 τοῖς *(prius) corr. ex* τῆς F^p κρίσεων] ί *in ras.* P τοῖς ⟨περὶ⟩ τῆς διὰ τῶν *Schoene*: τοῖς (*om.* P) διὰ τῆς τῶν VRPF^p: τῆς διὰ τῶν *edd.* 9 ἐξέσται VRPF^p: ἔξεστί *edd.* 12 ὥσπερ *om.* P ἀγρυπνίαις VPF^p: ἀγρυπνίᾳ R *edd.* 14 οἷα] οἷ *(sic)* F^p καματώδεσιν *Aldus* γίνεται PF^p: γίγνεται VR *Chartier*: γίγνηται *Aldus Basil.* 15 δὴ *Aldus*: γε VRPF^p 16 ἑωρακαμένου *(sic)* F^p 18 ἔτι VRPF^p: ἐστὶν *edd.* 20 προειρημένην VF^p 21 οὔτε τὰ τῆς ἐκκρίσεως *om.* F^p 22 συμβεβηκότος F^p σημείων] ση *superscr. man. 2* F^p *post* σημείων *inser.* ὡς R 23 αὐτὸν R *edd.*: αὐτοὺς VPF^p 24 διαφορ//ι//τικῆς P: διαφορητικῆς *corr. ex* ~κοῖς F^p 25 ἐπισκοπωμένῳ R σοι *ex corr.* P προσβάλῃ VPF^p προσβάλλει R: προσβάλλῃ *edd.* 26 τοιαυ′ (η *superscr. man. 2*) V ἐκείν//// (ην *supra ras.*) V^2 ἤ τι] ἤτοι F^p 27 *post* οὕτως *add.* αὐτῶ R 28 περιβάλλοντα RF^p *edd.*: *corr. ex* περιλαμβάνοντα V^2: περιλαμβάνοντα P τῷ] τὸ P μόνον VRPF^p: μόνῳ *edd.*

τοῖϲ ἀνωτέρω μορίοιϲ ἀκριβῶϲ προϲέχοντα τὸν νοῦν, εἰ μὴ δριμεῖα μόνον ἐϲτίν, ἀλλὰ καὶ ϲυναναφέρει πολλὴν οὐϲίαν ἅμα ἑαυτῇ ϲωματοειδῆ, καθάπερ τινὰ φλόγα, διεξερχομένην τό τε δέρμα τῆϲ ϲῆϲ χειρόϲ, ᾗ ψαύειϲ τοῦ τοῦ κάμνοντοϲ δέρματοϲ, ἐγκαταβαίνουϲάν τε ϲαφῶϲ τῷ βάθει. τοιοῦτοι γάρ εἰϲιν οἱ τὸ προειρημένον πρόϲωπον ἐργαζόμενοι πυρετοί. ταῦτα δέ, ὡϲ ἔφην, δύϲρητα μέν ἐϲτιν, οὐ μὴν ἄρρητά γε παντάπαϲιν οὐδὲ δυϲδιάγνωϲτα τοῖϲ γυμναϲθεῖϲιν ἀμφ' αὐτὰ καὶ πολλάκιϲ ὑπ' ἐμοῦ τεθεαμένοιϲ τὰ τοιαῦτα προλεγόμενα πάντα καὶ πολὺ μᾶλλον ἀϲκοῦϲι γνωρίζειν, ὅϲα ἐπὶ τῶν ἔργων διὰ τῶν προγνωϲτικῶν ἐδιδάχθηϲαν πραγματειῶν, ἐκ μὲν τοῦ θεάϲαϲθαι τὰ προλεγόμενα τὸ δυνατὸν αὐτῶν ἔργῳ μεμαθηκότεϲ, οὐ προαπογινώϲκοντεϲ δέ, ἃ ἐν ἀρχῇ φαίνεται δυϲδιάγνωϲτα· διδύμουϲ γὰρ ἀδελφοὺϲ ὁμοιοτάτουϲ μὲν ἅπαξ ἢ δὶϲ θεαϲάμενόϲ τιϲ οὐ διαγινώϲκει, τῶν δ' οἰκείων οὐδεὶϲ ἀγνοεῖ.

40 ταῦτα μὲν οὖν εἰ|ρήϲθω μοι προτροπῆϲ ἕνεκα τῶν νέων καὶ μᾶλλον ὅϲοι μὴ τεθέανται προλεγόμενα τὰ τοιαῦτα πάνθ' ὑφ' ἡμῶν. οὐ γὰρ μόνον δι' ἀγρυπνίαν ἔχουϲιν εἰπεῖν, ἀλλὰ καὶ διὰ λύπην ἐπὶ τῷδέ τινι γεγενημένην. οὐδὲ γὰρ Ἐραϲίϲτρατοϲ ἰδὼν κόρακαϲ ἢ κορώναϲ πετομέναϲ ἐφώραϲε τὸν ἔρωτα τοῦ νεανίϲκου, οὐ μὴν οὐδ', ὥϲ τινεϲ ἔγραψαν, ἐρωτικὸν ϲφυζουϲῶν ᾔϲθετο τῶν ἀρτηριῶν τοῦ νεανίϲκου (οὐδεὶϲ γάρ ἐϲτι ϲφυγμὸϲ ἴδιοϲ ἔρωτοϲ ἐξαίρετοϲ), ἀλλ' ὥϲπερ κἀμοί ποτε ἐφάνη τῷ καρπῷ μὲν ἐπιβεβληκότι τοῦ νοϲοῦντοϲ τὴν χεῖρα, γυναικὸϲ δέ τινοϲ ὀφθείϲηϲ τῶν κατὰ τὴν οἰκίαν, αὐτίκα μὲν ἀνώμαλόϲ τε καὶ ἄτακτοϲ γενόμενοϲ, ὀλίγῳ δὲ ὕϲτερον εἰϲ τὸ κατὰ φύϲιν ἐπανελθὼν ἅμα τῷ ἀναχωρῆϲαι τὴν ὀφθεῖϲαν. ὁ γὰρ οὕτω τρεπόμενοϲ ϲφυγμὸϲ κοινὸν ἐνδείκνυται ταραχῶδέϲ τι πάθοϲ ἐν τῇ τοῦ κάμνοντοϲ γεγονέναι ψυχῇ. τὸ δὲ ταραχῶδεϲ τοῦτο διακρίνειν προϲήκει διὰ τῶν ἅμα αὐτῷ λεγο-

6 ὡϲ ἔφην] *p. 216, 11sqq.* 10 ἐδιδάχθηϲαν] *cf. supra p. 217, 8* 17 οὐδὲ γὰρ Ἐραϲίϲτρατοϲ κτλ.] *cf. supra p. 206, 15sqq. et XIV 630sq. K., ubi Galenus eandem historiolam fusius narrat* 20 ὥϲπερ κἀμοί ποτε ἐφάνη κτλ.] *fortasse errore quodam captus hic se iuvenis cuiusdam amorem ex pulsu cognovisse narravit, cum feminam deprehensam fuisse XIV 631 K. dixerit; cf. etiam fabellam apud Stephan. 76, 28sqq.*

1 ἀνωτέρω RF[p] *edd.*: *corr. ex* ἀνωτέροιϲ V: ἀνωτέροιϲ P 2 καὶ VRPF[p]: *om. edd.* ἑαυτῇ R *edd.*: αὐτῇ VP: τῇ F[p] 4 τοῦ *(alt.) om.* VPF[p] *ante* ἐγκαταβαίνουϲαν *pauca excidisse coni. Schoene* ἐγκαταβαίνουϲαν RP *edd.*: *corr. ex* ἐκκαταβ. V[1]: ἐκκαταβαίνουϲαν F[p] 7 γυμναϲθεῖϲιν] εῖ *in ras.* P 8 καὶ VRPF[p]: *om. edd.* *post* πολὺ *inser.* τε *edd.* 9 ὅϲα VPF[p]: *om.* R *edd.* *post* ἔργων *add.* ἃ R *edd.* 11 ἔργον F[p] ἃ *om.* F[p] 12 μὲν VPF[p]: *om.* R *edd.* 13 θεαϲάμενοϲ VR *edd.*: τεθεαμένοϲ P: τεθεαμένουϲ F[p] τιϲ *post* διαγιν. *colloc. edd.* διαγιγνώϲκει V 15 προλεγόμενοι F[p] *post* τοιαῦτα *perperam repet.* τα *(sic)* P 16 δι' F[p]: *superscr.* V[2]: *om.* V[1]RP *edd.* *post* καὶ *add.* ὅτι R *edd.* 17 *post* γεγενημένην *inscrib.* περὶ ἱϲτορίαϲ Ἐραϲιϲτράτου VRP *post* γὰρ *add.* ὁ *Kuehn* κόρακαϲ ἢ κορώναϲ πετομέναϲ (πετωμέναϲ V) VRPF[p]: κορώναϲ πετομέναϲ (πετωμέναϲ *Basil.*) ἢ κόρακαϲ *edd.* 18 ἐφόραϲε (ε *in ras.*) P 19 ἐρωτικὸν VR *edd.*: ἐρωτικῶϲ P: ἐρωτικῶν F[p] 22 αὐτίκα *ex corr.* R μὲν VRPF[p]: μέντοι *edd.* 23 γενόμενοϲ RP: γινόμενοϲ VF[p] *edd.* ὀλίγω δ' (ω δ' *in ras.*) P τὸ RP *edd.*: τὸν F[p]: *superscr.* V[1] 24 ἀναχωρῆϲαι RF[p]: *corr. ex* διαχωρῆϲαι V[1]: ὑποχωρῆϲαι P: διαχωρῆϲαι *edd.* 25 τι] τὸ F[p] 26 αὐτῷ VRPF[p]: τούτῳ *edd.*

μένων ἢ ὁρωμένων. καὶ γὰρ αὖ καὶ λεγομένων τινῶν εἰς ἀνωμαλίαν οἱ σφυγμοὶ τρέπονται, | τῶν ἀρρώστων ταραττομένων ἐφ' οἷς ἤκουσαν. 41 ἀλλὰ περὶ μὲν τούτων ἰδίᾳ μοι γέγραπται κατὰ μίαν πραγματείαν, ἣ Περὶ τοῦ προγινώσκειν ἐπιγέγραπται. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

ἦν δὲ προκείμενον, ὅτι πολλὰ τῶν προγεγονότων τε καὶ παρόντων ἰατρὸς δύναται παρὰ τοῖς κάμνουσι λέγων θαυμάζεσθαι, καθάπερ καὶ τὰ [νῦν] προκείμενα κατὰ τὸν νῦν λόγον, ἀγρυπνίαν, διάρροιαν, λιμόν. ἐνίοτε δὲ τὸ μὲν ἓν ἐξ αὐτῶν ἀφωρισμένως εἰπεῖν δύσκολον γίνεται, ποτὲ δ' ἐκ τῶν δυοῖν θάτερον ἢ ἐκ τῶν τριῶν γε πάντως ἕν τι δυνατὸν ἔσται βεβαίως προγνῶναι. φέρει δὲ καὶ τοῦτο παρὰ τοῖς ἀκούσασιν ἔπαινον, ἐν ἐπερωτήσει τῆς προγνώσεως γινομένης ὡδί πως· ἆρά γε δι' ἀγρυπνίαν σφοδρὰν ἢ ἔνδειαν τροφῆς οὕτω λελέπτυνται; πολλάκις γὰρ ὁμολογοῦσιν ἀμφότερα καὶ θαυμάζουσι διττῶς τὸν ἰατρόν, ἐνίοτε δὲ τὸ ἕτερον αὐτῶν ἀποκρίνονται θαυμάζοντες ἔτι καὶ οὕτως. τοῦτ' οὖν ἐστι τὸ πρὸς Ἱπποκράτους εἰρημένον· ἐπανερέσθαι δὲ χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος ἢ πολλὰ διεχώρησεν ἢ λιμώττει. εἶτα τί φησιν; καὶ ἢν μέν | τι τουτέων ὁμολογέῃ, ἧσσον 42 νομίζειν δεινὸν εἶναι· δεόντως· βέλτιον μὲν γὰρ ἦν οὕτως ἰσχυρὰν εἶναι τὴν δύναμιν, ὡς ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων νικᾶσθαι, ἧττον μέντοι δεινόν, εἰ διά τι τούτων καὶ μὴ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν ἡ τοσαύτη γίνεται σύντηξις. ἀλλ' ἐπειδὴ δυνατόν ἐστιν ἄμφω συνελθεῖν, αἰτίαν τέ τινα τῶν ἔξωθεν, ὡς εἴρηται, λυποῦσαν τὸ σῶμα καὶ πυρετὸν συντηκτικόν, ὁ διορισμός σοι γινέσθω διὰ τῆς ἐπιούσης ἡμέρας τε καὶ νυκτός. εἰ μὲν γὰρ ἀπὸ μόνης τῆς ἔξωθεν αἰτίας εἴη γεγονὸς οἷον εἴρηται τὸ πρόσωπον, ἐπανορθώσεως ἐν ἡμέρᾳ καὶ νυκτὶ τεύξεται, εἰ δὲ ἀπὸ τῆς ἐν τῷ σώματι διαθέσεως, ἤτοι μενεῖ τοιοῦτον

4 Περὶ τοῦ προγινώσκειν] *XIV 599—673 K.* 11 δυνατὸν ἔσται] *cf. Stephan. 88, 27 sqq.* 16 εἰρημένον] *supra p. 214, 17 sq.* 23 ὡς εἴρηται] *p. 215, 28 sqq.*

1 αὖ] ἂν *Aldus* 2 ἐφ' οἷς *in ras.* F^p 3 *post* ἣ *add.* τις R 4 ἐπανέλθωμεν VPF^p: ἐπανέλθομεν (ω *superscr.*) R: ἐπανίωμεν *edd.* 6 *post* δὲ *add.* τὸ R *edd.* 7 παρὰ] περὶ P λέγων *ex corr.* R 8 νῦν *(prius)* VRPF^p *edd.*: *seclusi* νῦν *(alt.)* RP *edd.*: *extinx.* V: *om.* F^p 9 δὲ τὸ *omissa superscr.* F^p2 10 γίγνεται V ποτὲ *Schoene*: ὅτε P: ὅτι VRF^p *edd.* 11 ἓν RF^p *edd.*: *superscr.* V^2: *om.* P παρὰ] περὶ P 12 γενομένης R 12. 13 ὡδί πως VPF^p: ὧδέ πως R *edd.* 13 *post* οὕτω *add.* γε RP 14 *post* πολλάκις *add.* μὲν *edd.* 15 ἀποκρίνανται *Aldus Basil.* 16 εἰρημένων (ο *superscr.*) R: εἰρημένον *corr. ex* ∼νων F^p 17 χρὴ VRPF^p *Hipp.*: *om. ab Aldo edd.* ἠγρύπνηκεν VRPF: ἠγρύπνησεν *Hipp. et ab Aldo edd.* 18 καὶ *om.* RP ἢν] ἡ P ὁμολογέει RP 18. 19 ἧσσον νομίζειν δεινὸν εἶναι VRPF^p *Hipp.*: ἧσσον δεινὸν εἶναι νομίζειν *ab Aldo edd.* 22 ἡ] ἢ F^p σύντηξις R *edd.*: *corr. ex* ∼ιν F^p: σύνταξις P ἐπειδὴ] δὴ *superscr. man. 2* V: ἐπεὶ P 23 αἴτιά R τε *om.* P λυποῦντα R 24 συντικτικὸν V: συντεκτικὸν P γιγνέσθω VRP 25 μόνης] η *in ras.* P 26 πρόσωπον *in ras.* P 27 ἤτοι] εἴ τι P μενεῖ *Aldus*: μένει F^p: *corr. ex* μείνη V: μείνη RP

ἢ καὶ χεῖρον ἔςται. ταυτὶ μὲν οὖν ἅπαντα φαίνεται δεόντως εἰρῆςθαι τῷ Ἱπποκράτει.

διὰ τί δὲ εἶπεν ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόςου τὸ πρόςωπον τοιοῦτον ᾖ καὶ μήπω οἷόν τε τοῖςιν ἄλλοιςι ςημείοιςι ςυντεκμαίρεςθαι, ἐφεξῆς ςκεψώμεθα. δυοῖν γὰρ θάτερον, ἢ ὡς οὐ γινομένων αὐτῶν ἐν ἀρχαῖς ἢ ὡς οὐδὲν βέβαιον δηλούντων, οὐχ οἷόν τέ 43 ἐςτι χρῆςθαι τοῖς τοιούτοις ςημείοις εἰς τοὺς | τῶν ἀμφιβόλων διοριςμούς. ἐγὼ τοίνυν φημὶ μήτε γίνεςθαι διὰ παντὸς ταῦτα μήτε, εἰ γίνοιτο, βέβαιον δηλοῦν. ὅτι δὲ οὕτως τοῦτ᾽ ἔχει, κατὰ τὴν ἐξήγηςιν αὐτῶν διδάξω διὰ τῆς ἐχομένης ῥήςεως.

I 9 [2. II 114, 15 L.] Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοςήματος ἢ τριταίου τὸ πρόςωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανερέςθαι, περὶ ὧν καὶ τὸ πρόςθεν ἐκέλευςα, καὶ τἆλλα ςημεῖα ςκέπτεςθαι τά τε ἐν τῷ ςύμπαντι ςώματι καὶ τὰ ἐν τοῖςιν ὀφθαλμοῖςιν.

Τὸ τῆς "ἀρχῆς" ὄνομα δηλοῖ μὲν καὶ τὴν πρώτην εἰςβολὴν τοῦ νοςήματος οὐδὲν οὔπω πλάτος ἔχουςαν, δηλοῖ δὲ καὶ τὴν εἴς τινα χρόνον ἐκτεταμένην οὐ πολὺν τοῦτον, ἔτι τε πρὸς τούτοις τὸν πρῶτον καιρὸν τοῦ νοςήματος, ἐφ᾽ ᾧ καὶ δεύτερον ἀριθμοῦςι τὸν τῆς ἀναβάςεως καὶ τρίτον τὸν τῆς ἀκμῆς καὶ τέταρτον τὸν τῆς παρακμῆς. εἰπὼν οὖν | 44 ὁ Ἱπποκράτης ὀλίγον ἔμπροςθεν "ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόςου τὸ πρόςωπον τοιοῦτον ᾖ", κατ᾽ ἐκείνην μὲν αὐτὴν τὴν λέξιν οὐκ ἐδήλωςε, τίνος τῶν εἰρημένων τριῶν ἀρχῶν μνημονεύει. νυνὶ δὲ γράψας ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοςήματος ἢ τριταίου τὸ πρόςωπον τοιοῦτον ᾖ, δῆλος ἐγένετο περὶ τῆς κατὰ πλάτος ἀρχῆς προειρηκώς· αὕτη γὰρ ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεται. τηνικαῦτα

3 εἶπεν] *supra p. 214, 15 sqq.* 16 ἀρχῆς] *cf. p. 214, 15 et infra v. 21*
20 εἰπὼν] *2. II 114, 6 sq. L. (supra p. 214, 15 sq.)*

1 ἢ] ἤτοι R καὶ *om.* P δεόντως] δρόντως *(sic)* F^{p} 2 ἱπποκράτη V 3. 4 τοιοῦτον τὸ πρόςωπον *ab Aldo edd.* 4 ςυντεκμαίρεςθαι τοῖςιν ἄλλοιςι ςημείοιςιν VF^{p} 5 διαςκεψώμεθα VF^{p} *post* ὡς *add.* ἂν P γιγνομένων VRP 8 διὰ παντὸς] διατακτὸς *(sic)* F^{p} μήτε *(alt.) om.* F^{p} γίγνοιτο VRP βέβαιον] βέλτιόν τι P 9 τοῦτο (τοῦθ᾽ P) οὕτως P *edd.* 10 *post* ῥήςεως *add.* ταύτης *edd.* 11 νοςήματος VRPF^{p} *Aldus Basil.*: νουςήματος *Hipp. Chartier* 12 τριταίου] αί *in ras.* P ἢ τεταρταίου *super* τριταίου *add., sed ipse del.* V^{2}: *add. post* τριταίου *Hipp. Chartier* τοιοῦτον *om. Aldus Basil.* ᾖ *in ras.* P *post* περὶ *add.* τε RP *Chartier* 13 τὸ πρόςθεν VRF^{p}: πρότερον P *Hipp. et ab Aldo edd.*: πρόςθεν P^{2} *in mrg.* 14 τε *superscr.* P *post* ςύμπαντι *add.* προςώπῳ καὶ τὰ ἐν τῷ *ab Aldo edd.* καὶ . . . ὀφθαλμοῖςιν *(15) ante* ἢν γὰρ *(221, 4) hab. Aldus Basil.* τοῖς R 16 τὴν πρώτην *corr. ex* τῆς πρώτης F^{p2} 17 οὔπω] οὕτω R 18 πολλὴν R 19 ἀναβάςεως] αβ *in ras.* V 20 τὸν *utroque loco corr. ex* τὸ F^{p} οὖν *om.* P 21 ἢν] ἦν P 22 αὐτὴν *om.* F^{p} τὴν *om. edd.* 23 γράψας P: προςθεὶς δὲ καὶ τὸ P^{2} *in mrg.* 24 ἐόντος τοῦ νοςήματος ἢ τριταίου *om.* F^{p} *post* τριταίου *add.* ἢ τεταρταίου *Chartier* 26 ἄχρι VRPF^{p}: μέχρι *edd.*

οὖν οἷς εἶπεν ἔμπροσθεν ἀξιοῖ προστιθέναι τὸν ἀπὸ τῶν ἄλλων σημείων διορισμόν, ὑπὲρ ὧν εἰρήκει "καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι". καταλέγει δὲ ἐφεξῆς αὐτὰ διὰ τῶν ἐχομένων ῥήσεων.

I 10 [2. II 116, 4 L.] Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν ἢ δακρύωσιν ἀπροαιρέτως ἢ διαστρέφωνται ἢ θάτερος θατέρου ἐλάσσων γίνηται ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν ἢ πελιδνὰ ἢ μέλανα φλεβία ἐν ἑωυτοῖσιν ἔχωσιν ἢ λημῶντες φαίνωνται περὶ τὰς ὄψιας ἢ ἐναιωρεύμενοι ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γι-|νόμενοι ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον 45 ᾖ, ταῦτα πάντα κακὰ νομίζειν εἶναι καὶ ὀλέθρια.

Τὰ εἰρημένα συμπτώματα κοινὸν μὲν ἔχει τὸ παρὰ φύσιν εἶναι, διαφέρει δ' ἀλλήλων τῷ τὰ μὲν ἁπλῶς ἐναντία τοῖς κατὰ φύσιν ὑπάρχειν, ἔνια δέ, ὡς αὐτὸς εἶπεν ἔμπροσθεν, ἐναντιώτατα. διὸ καὶ κατὰ τὸν κοινὸν ἐπιλογισμὸν ἅπαντα μὲν ὀλέθρια νομισθήσονται, κατὰ δὲ τὴν ποσότητα τῆς ἐναντιώσεως ἧττόν τε καὶ μᾶλλον ἕξει τοῦτο. τάς γε μὴν διαθέσεις, ἐφ' αἷς γίνεται, κατὰ τὴν ἀκολουθίαν τῶν Ἱπποκράτους δογμάτων ἄμεινόν ἐστιν ἑξῆς ἐπισκέψασθαι.

τὸ τοίνυν φεύγειν τὴν αὐγήν, ὅπερ ἐστὶν ἀποστρέφεσθαι, δι' ἀσθένειαν γίνεται τῆς ὀπτικῆς δυνάμεως, ἐνίοτε μὲν ἐπὶ τῇ τῶν ὀργάνων διαθέσει καμνούσης, ὥσπερ ἐν ταῖς ὀφθαλ|μίαις, ἐνίοτε δὲ αὐτῆς καθ' 46 αὑτήν, ἡνίκα ὀλέθριόν ἐστι τὸ σημεῖον. οὕτω δὲ καὶ τὸ δακρύειν, ἐὰν μὲν ἤτοι δι' ὀφθαλμίαν ἢ διά τι ῥεῦμα καταφερόμενον ἐκ τῆς κεφαλῆς γίνηται, παρὰ φύσιν μέν ἐστιν, οὐ μὴν θάνατόν γε σημαίνει πάντως·

1 ἔμπροσθεν] *2. II 114, 2 sqq. L. (supra p. 211, 1 sqq.)* 2 εἰρήκει] *2. II 114, 7 sq. L.* 13 ἔμπροσθεν] *cf. supra p. 209, 10* 18 φεύγειν τὴν αὐγήν] *cf. Stephan. 89, 27 sqq.*

1 οὖν] τ' οὖν P ἀξιοῖ προστιθέναι VRPF^p: προστιθέναι ἀξιοῖ *edd.* 2 ὑπὲρ ὧν *omissa superscr.* F^{p2} μήπω] μήτε R τοῖς VF^p σημείοις F^p 3 ξυντεκμαίρεσθαι P *post* ῥήσεων *add.* τούτων *edd.* 4 ἢν γὰρ] καὶ γὰρ καὶ R 5 ἀπροαιρέτως *suppl. in mrg.* P^1 θάτερος θατέρου VRF^p *Hipp. vulg.*: ὁ (*om.* P) ἕτερος τοῦ ἑτέρου P *et melior. codd. Hipp.*: ἕτερος ἑτέρου P^2 *in mrg.* ἐλάττων F^p 6 γίνηται *ab Aldo edd.*: *corr. ex* γίνεται F^p: γίγνηται VP *Hipp.*: γίγνεται R ἢ μέλανα ἢ πελιδνὰ P πελιδνά VRPF^p: πελιά *Hipp. Aldus Basil.*: πέλια *Chartier* φλεβία μέλανα *Hipp.* 7 ἑωυτοῖσιν VP: ἑωυτέοισιν *Hipp.*: ἑαυτοῖσιν R: ἑωτοῖσιν F^p: αὐτέοισιν *ab Aldo edd.* λημῶντες VP: λιμῶντες F^p: λήμμαι R: λῆμαι *Hipp. Ald. Basil.*: λῆμαι ἐόντες *Chartier* φαίνωνται *Hipp.*: φαίνονται VRPF^p *Aldus Basil.* 8 *post* ἢ *(primum) add.* καὶ *Hipp. et ab Aldo edd.* ἐναιωρούμενοι P ἐξίσκοντες *Chartier* γιγνόμενοι RP *Hipp.* 9 περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς ὀλεθρίων σημείων *in mrg.* R *post* γινόμενοι *add.* ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς *Aldus Basil.*: ἢ αἱ βλεφαρίδες καμπύλαι ἢ ἰσχυραὶ αἴολαι ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς ἱστάμεναι καὶ τὸ πρόσωπον πέλιον καὶ φοβερὸν ἰδεῖν· καὶ οἱ ὀδόντες πέλιοι γίνονται *Chartier* 10 ᾖ] ἢ F^p εἶναι *post* ὀλέθρια *colloc. Hipp. et ab Aldo edd.* *post* εἶναι *add.* χρὴ P 11 παρὰ] περὶ P 12 ἐναντία/// (α *in ras.*) V 13 ἔμπροσθεν εἶπεν P *edd.* καὶ *om.* F^p 14 τὸν] τὸ F^p 16 γίνεται *corr. ex* γίνονται R^1 *post* τῶν *add.* ὑφ' P: ἀφ' *edd.* 17 ἑξῆς VRPF^p: *om. edd.* 18 τί ἐστι τὸ φεύγειν τὴν αὐγήν R *in mrg.* 20 αὐτῆς] αὐτῇ R 21 ἑαυτὴν RF^p τί δηλοῖ τὸ δακρύειν R *in mrg.* 22 μὲν *om.* P τι *superscr.* P

ἐὰν δὲ δι᾽ ἀρρωϲτίαν τῆϲ καθεκτικῆϲ δυνάμεωϲ, ὀλέθριόν τέ ἐϲτι καὶ θανατῶδεϲ. αἵ γε μὴν διαϲτροφαὶ τῶν ὀφθαλμῶν ϲπωμένων γίνονται τῶν κινούντων αὐτοὺϲ μυῶν. ὅπερ ἐὰν μὲν αὐτῶν ᾖ μόνων ἐκείνων πάθοϲ, οὐδὲν ἄτοπον, ἐὰν δὲ τῆϲ ἀρχῆϲ τῶν νεύρων, ἥπέρ ἐϲτιν ὁ ἐγκέφαλοϲ, ἐϲχάτωϲ ὀλέθριον. αἰϲθάνονται γὰρ τῶν κατὰ τὴν ἀρχὴν παθημάτων οἱ πληϲιάζοντεϲ μύεϲ πρότεροι τῶν ἄλλων, ἐνίοτε μὲν οἱ κατὰ τοὺϲ ὀφθαλμούϲ, ὑπὲρ ὧν νῦν λέγει, ποτὲ δὲ καὶ οἱ κροταφῖται καλούμενοι, περὶ ὧν ἐν τῷ Περὶ ἄρθρων ἐδίδαξε.

καὶ μὴν καὶ τὸ γενέϲθαι τινὰ τῶν ὀφθαλμῶν τοῦ κατὰ φύϲιν ἐλάττω ὀλέθριον ϲύμπτωμα. νεκροῦϲθαι γὰρ δηλοῖ τὴν διοικοῦϲαν αὐτὸν δύναμιν. τὸ δὲ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐρυθρὰ γίνεϲθαι, καθάπερ ἐν ὀφθαλμίαιϲ τέ τιϲι καὶ τῶν μεθυϲθέντων ἐνίοιϲ, ἐνδεικτικόν ἐϲτι |
47 τοῦ κατὰ τὸν ἐγκέφαλον καὶ μήνιγγαϲ πλήθουϲ, ἔϲτιν ὅτε μὴν καὶ φλεγμονῆϲ ἐν αὐτοῖϲ γεγενημένηϲ· ἑκατέρωϲ γὰρ ἀποθλίβεται τὸ αἷμα πρὸϲ τὰϲ ἐν τοῖϲ ὀφθαλμοῖϲ φλέβαϲ. διὸ ἐρυθρὸν φαίνεται τὸ λευκὸν ἐν αὐτοῖϲ μέροϲ, ὅπερ ἐϲτὶ τὸ πέριξ τῆϲ ϲτεφάνηϲ ὀνομαζομένηϲ, ἣν ἐμάθομεν ἐν ταῖϲ ἀνατομαῖϲ ἁπάντων τῶν κατὰ τὸν ὀφθαλμὸν ὑμένων τε καὶ χιτώνων ϲύνδεϲμόν τινα οὖϲαν. ἐμάθομεν δὲ καὶ ὡϲ τὸ τοῦ περικρανίου πέραϲ ἐπὶ ταύτην ἐξήκει μετὰ τῶν ἐν αὐτῷ φλεβῶν. ὅτι δὲ καὶ διὰ ταῦτα ἔφηϲε τὸ λευκὸν ἐρυθρὸν γίνεϲθαι, ϲαφῶϲ ἐδήλωϲε διὰ τῶν ἐπιφερομένων εἰπὼν ἢ πελιδνὰ φλεβία ἢ μέλανα τοὺϲ ὀφθαλμοὺϲ ἔχειν ἐν ἑαυτοῖϲ. ἔϲτι δὲ τοῦτο πάντωϲ ὀλέθριον. ἐρυθρὰ μὲν γὰρ φαίνεται τὰ φλεβία καὶ διὰ πλῆθοϲ, ὡϲ ἔφην, ἤ τινα φλεγμονὴν τῶν κατὰ τὸν ἐγκέφαλον, μελαίνεται δὲ καὶ πελιδνοῦται ψυχόμενα, ψύχεται δὲ νεκρούμενα, καὶ διὰ τοῦτο ὀλέθρια τὰ τοιαῦτα χρώματα διὰ παντόϲ ἐϲτιν.

8 Περὶ ἄρθρων] *30 (IV 140 sq. L.)* 17 ἐμάθομεν] *cf. Gal. De usu part. X 2 (III 768, 5 sqq. K. = II p. 61, 12 sqq. Helmr.)* 18 ἐμάθομεν δὲ καί] *ibid. VIII 9 (III 662, 2 sqq. K. = II p. 480, 10 sqq. Helmr.)* 20 ἔφηϲε] *2. II 116, 6 L. (p. 221, 6)* ἐδήλωϲε] *2. II 116, 6 sq. L.* 21 πελιδνά] *cf. Stephan. 91, 14 sqq.* 23 ἔφην] *supra v. 13 sq.*

1 τε *om.* Fp 2 τί δηλοῖ τὸ διαϲτρέφεϲθαι τοὺϲ ὀφθαλμοὺϲ R *in mrg.* 3 κινούντων *corr. ex* κενούντων Fp μόνον P *et a Basil. edd.* 4 ἥπερ *scripsi*: ἤπερ VRPFp *Aldus*: ὅπερ *a Basil. edd.* ὁ VRPFp: *om. edd.* 6 πρότερον R οἱ *(alt.)*] ἡ R 7 λέγει/// V: λέγει νῦν R καὶ RP *edd.*: *om.* VFp 9 τί δηλοῖ τὸ γενέϲθαι τὸν ὀφθαλμὸν ἐλάττω R *in mrg.* καὶ *(alt.) om. edd.* τὸν ὀφθαλμὸν *ex corr.* Fp 11 γίνεϲθαι VRPFp: φαίνεϲθαι *edd.* τί δηλοῖ τὸ φαίνεϲθαι τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐρυθρά R *in mrg.* 12 ὀφθαλμίαι *(sic)* Fp ἐϲτι *superscr.* P1 *post* ἐϲτι *add.* τοῦτο R *edd.* 13 *post* τοῦ *add.* τε VFp *ante* κατὰ *rasura* V μήνιγκαϲ Fp πλήθουϲ] πάθουϲ R ὅτε μὴν VRFp: δ᾽ ὅτε P *et a Basil. edd.*: δ᾽ ὅτε δὲ *Aldus* 15 λευκὸϲ Fp 17 ἀνατομαῖϲ] ἐνατμαῖϲ *(sic)* P 18 καὶ *(alt.)* VRPFp: *om. edd.* τὸ *om.* Fp τοῦ *superscr.* V2 19 περὶ κρανίου VP αὐτῷ RP *edd.*: αὐτῇ VFp 20 δὲ *om.* P καὶ *om. edd.* ἔφηϲε RP: ἔφη VFp *edd.* γίγνεϲθαι] γνεϲθαι *in ras.* P 21 ἢ *(prius)* VPFp: ἣν *edd.*: *om.* R πελιδνὰ PFp: πελιὰ V *et ab Aldo edd.*: *om.* R ἢ μέλανα φλεβία *ab Aldo edd.* ἢ *(alt.) om.* VR *post* μέλανα *add.* ἐπὶ P 21. 22 τοὺϲ ὀφθαλμοὺϲ *om. edd.* 22 ἔχειν ἐν ἑαυτοῖϲ R: ἐν αὐτοῖϲ ἔχειν (*corr. ex* ἔχωϲιν V2) VP: ἐν αὐτοῖϲ ἔχουϲι *Aldus Basil.*: ἐν αὐτοῖϲ ἔχωϲι *Chartier* πάντων *Aldus Basil.* 23 ἔφη P *post* ἢ *add.* διὰ P 24 πελιοῦται VR 25 *post* ὀλέθρια *add.* δὴ *edd.*

αἵ γε μὴν λῆμαι γίνονται μέν, ὡς ἴςμεν, καὶ διὰ τὸ τῶν ὀργάνων
πάθος ἐν ὀφθαλμίαις τε καὶ ἄλλως οὐδένα κίνδυνον δηλοῦςαι, γίνονται
δὲ καὶ | δι' ἀρρωςτίαν τῆς διοικούςης τὰ κατὰ τὸν ὀφθαλμὸν δυνάμεως 48
φυςικῆς ἀδυνατούςης ἐκπέττειν τὴν τροφὴν τῶν ὀφθαλμῶν· ἐδείχθη
γὰρ ἡμιπέπτου τροφῆς ἡ λήμη περίττωμα. κατὰ μὲν οὖν τὰς ὀφθαλ-
μίας διά τε τὸ πλῆθος τῆς παρὰ φύςιν ὑγρότητος καὶ διὰ τὸ πάθος
τῶν ὀργάνων εἰκός ἐςτι μὴ πέττεςθαι καλῶς τὴν τροφὴν αὐτῶν. ἔνθα
δὲ ἔνδεια ςαφής ἐςτι δηλουμένη διὰ τῆς κοιλότητος, ἡ μὲν ἀπὸ τοῦ
πλήθους αἰτία παντάπαςιν οἴχεται, καταλείπεται δὲ ἡ τῆς δυνάμεως
ἀςθένεια μόνη καὶ οὐδ' ἡ τυχοῦςά τις αὕτη γε, ἀλλ' ἰςχυρὰ πάνυ μηδὲ
τὴν ὀλιγίςτην τροφὴν τῶν ὀφθαλμῶν ἱκανῶς πέττειν ἰςχύουςα.

οἵ γε μὴν ἐναιωρούμενοι, τοῦτ' ἔςτιν ἀςτήρικτοι καὶ κινούμενοι
διὰ παντὸς ὀφθαλμοὶ γνώριςμά εἰςιν ἢ παραφροςύνης ἢ τρόμου τῶν
περὶ αὐτοὺς μυῶν, ὧν ἑκάτερον ἐπὶ τῆς προκειμένης διαθέςεως ὀλέ-
θριόν ἐςτιν. αἵ τε γὰρ μετ' ἐνδείας παραφροςύναι χαλεπώταται καὶ οἱ
διὰ ξηρότητα τῶν ὀργάνων τρόμοι παντάπαςιν ἀνίατοι.

καὶ μὴν καὶ τοὺς ἐξί|ςχοντας ὀφθαλμοὺς ἢ κοίλους ἰςχυρῶς 49
γινομένους μέμφεται. τὸ μὲν οὖν τῶν ἐξιςχόντων ςύμπτωμα καὶ κατὰ
τὴν ἀρχὴν τοῦ νοςήματος γίνεται καὶ μάλιςτα τοῖς ἐμέςαςιν ἐπὶ πολυ-
φαγίᾳ τε καὶ πολυποςίᾳ, τὰ δὲ τῶν ἰςχυρῶς ἐγκοίλων οὐ γίνονται,
διόπερ οὐδετέρου κατ' ἀρχὰς ἐμνημόνευςεν, ἡνίκ' ἔλεγε "ῥὶς ὀξεῖα,
ὀφθαλμοὶ κοῖλοι", τοῦτο μὲν ὅτι μηδ' ὅλως ἐν τῷ νεκρώδει προςώπῳ
φαίνεται ἐν ἀρχῇ (πῶς γὰρ ⟨ἂν⟩ ἅμα κοῖλοί τε καὶ ἐξίςχοντες εἶεν
ὀφθαλμοί;), τοῦτο δὲ ὅτι μηδ' ὅλως γίνεται τηνικαῦτα. καὶ δόξει γε τὸ
κατὰ τοὺς ἐξέχοντας ὀφθαλμοὺς μάχεςθαι τοῖς προειρημένοις· εἰρηκὼς
γὰρ ἐπὶ τοῦ νεκρώδους προςώπου 'ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς δὲ κοίλους',
εἶτ' ἐπιδιοριζόμενος αὐτὰ τοῖς μετὰ τὴν πρώτην ἢ τρίτην ὁρωμένοις
οὐκ ὀρθῶς προςέθηκε τοὺς ἐξίςχοντας. ὃ δέ μοι δοκεῖ γεγονέναι

1 λῆμαι γίνονται κτλ.] *cf. Stephan. 91,19 sqq.* ὡς ἴςμεν] *cf. Gal. in Hipp. de artic. XVIII A 579,1 sqq. K.* 12 ἐναιωρούμενοι] *cf. Stephan. 91,31 sqq.* 18 μέμφεται] *2. II 116, 8 L.* 21 ἔλεγε] *2. II 114, 2 L.; cf. supra p. 211,1 sqq.*

1 μὴν *om.* R 2 *post* πάθος *add.* ὡς *edd.* δηλοῦςαι P *edd.*: δηλοῦςι VR: δηλοῦςα Fp γίνεται P 3 δι' *superscr.* P κατὰ] καὶ Fp ὀφθαλμὸν *corr. ex* ∼ῶν V[1] 4 ἐκπέπτειν *edd. (saepius)* 5 ἡμιπέπτου *in ras.* V κατὰ . . . τε τὸ *(6) corrosa* V τὰς *om.* Fp 7 πέπτεςθαι *(saepius) Chartier* 11 πέπτειν *(saepius) Chartier* 12 μὴν *om.* R 13 ὀφθαλμῶν P γνωρίςματα R ἢ *(prius) om.* R 15 γὰρ] γε Fp χαλεπώταται VP *edd.*: χαλεπώτατοι R: χαλεπώτατον Fp 17 ἢ κοίλους] ἢ ἐγκοίλους *coll. v. 20 coni. Mewaldt* 18 γινομένους P *edd.*: γιγνομένους VR: *om.* Fp 19 γίγνεται VR πολυφαγίᾳ] αγίᾳ *in ras.* P 20 τε *om.* R τὰ] τὸ *edd.* οὐ *om.* P γίνεται P *edd.* 21 οὐδ' ἕτερον R 22 ὀφθαλμοὶ] ὀφθα᾽ with μ superscr. *(sic)* P κοιλοὶ R τοῦτο VPFp: τούτου *corr. ex* τοῦτο R[1]: τοῦ *edd.* 23 ἐν ἀρχῇ *om. Aldus Basil.* ἂν *add. Aldus*: *om.* VRPFp *post* εἶεν *add.* οἱ P *edd.* 24 τοῦτο VPFp *Chartier*: τούτου R: τοῦ *Aldus Basil.* 25 ἐξίςχοντας PFp 26 δὲ *om. ab Aldo edd.* 27 αὐτὰ RP *edd.*: αὐτὸς Fp: αὐ with τ superscr. *ambigue* V πρώτην ἢ *om.* P *edd.*: *fort. sunt delenda; cf. infra p. 224, 4 sq.* 28 προςέθετο P ὃ] τὸ Fp

κατὰ τόνδε τὸν λόγον ὑπ᾿ αὐτοῦ, καὶ δὴ φράcω μεταλαβὼν ὅλην αὐτοῦ τὴν ῥῆcιν εἰc τοιάνδε λέξιν· 'ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοcήματος ἢ τριταίου τὸ πρόcωπον τοιοῦτον ᾖ, περί τε τουτέων ἐπανερέcθαι, περὶ ὧν καὶ πρόcθεν ἐκέλευcα, καὶ τὰ ἄλλα cημεῖα
50 cκέπτεcθαι, τά | τε ἐν τῷ cύμπαντι cώματι καὶ τὰ ἐν τοῖcιν ὀφθαλμοῖcιν. ἔcτι δὲ τὰ γινόμενα cημεῖα ἐν τοῖc ὀφθαλμοῖc ὀλέθρια μετὰ τὴν τρίτην ἡμέραν τοιάδε· φεύγειν τὴν αὐγήν, δακρύειν, διαcτρέφεcθαι, τὸν ἕτερον ὀφθαλμὸν ἐλάττονα γίνεcθαι θατέρου, τὰ λευκὰ μόρια κατ᾿ αὐτοὺc ἐρυθρὰ φαίνεcθαι, φλέβαc ἔχειν ἤτοι μελαίναc ἢ πελιδνὰc ἢ λήμαc εἶναι ἐναιωρεῖcθαί τε ἢ ἐξέχειν ἢ κοίλουc ἰcχυρῶc εἶναι, τοῦ τε προcώπου παντὸc ἠλλοιῶcθαι τὸ χρῶμα. πάντα γὰρ ταῦτά ἐcτιν ὀλέθρια καὶ ὅτιπερ ἂν αὐτῶν ἐπὶ τῷ προειρημένῳ γένηται προcώπῳ, τεκμήριον οὐ cμικρόν ἐcτι τοῦ μέλλοντοc ἔcεcθαι θανάτου.' κατὰ ταύτην οὖν τὴν διάνοιαν δοκεῖ μοι cυγκαταριθμεῖcθαι τοῖc ἄλλοιc cημείοιc, ὅcα τῷ νεκρώδει προcώπῳ δύναται cυνυπάρχειν, καὶ τοὺc ἐξέχονταc ὀφθαλμοὺc καὶ μὴ δυναμένουc cυνυπάρχειν, ὅτι μὴ μόνον προκείμενον ἦν αὐτῷ τὰ τῷ νεκρώδει προcώπῳ cυνυπάρχοντα λέγειν, ἀλλὰ καὶ τῶν ὀλεθρίων cημείων, ὅcα κατὰ τὸ ⟨cύμπαν⟩ cῶμα φαίνονται, ποιήcαcθαι κατάλογον. ὥcτ᾿ εἰ μὴ μόνον ἕν, ἀλλὰ καὶ πλείω τῶν εἰρημένων δυνα-
51 τὸν ἦν μὴ cυνυπάρ|ξαι τῷ νεκρώδει προcώπῳ, μηδεμίαν εἶναι μάχην ἐπὶ τὴν διδαcκαλίαν αὐτοῦ τῶν μοχθηρῶν ἁπάντων μεταβεβηκότοc. ὅτι δέ, ὡc ἔφην, ὀρθῶc εἶπε "καὶ μήπω οἷόν τε ᾖ τοῖcιν ἄλλοιcι cημείοιcι cυντεκμαίρεcθαι", cκοπεῖν ἤδη cοὶ ⟨πάρεcτιν⟩ ἑνὶ μὲν κεφαλαίῳ κοινῷ τῷδε· 'τῶν εἰρημένων ἕκαcτον ἢ οὐ γίνεται κατ᾿ ἀρχὰc ἢ οὐκ ἐξ ἅπαντόc ἐcτιν ὀλέθριον.' ἰδίᾳ δὲ καθ᾿ ἕκαcτον ἐπιcκοπουμένῳ cοι φανεῖται τοῦτ᾿ ἀληθέcτατον. ἐκ πολυποcίαc γοῦν ἐνίοτε καὶ cφοδρῶν

22 ὡc ἔφην] *supra v. 13 sq.; cf. etiam p. 220, 3 sqq.* εἶπε] *2. II 114, 7 sqq. L. (supra p. 214, 17 sq.)*

1 μεταβαλὼν VPF^p *edd.*: μεταβαλλὼν R: *corr. Schoene coll. Gal. Scr. min. I 83, 11* 2 αὐτοῦ τὴν ῥῆcιν *Diels*: τὴν ῥῆcιν αὐτοῦ VRPF^p *edd.* τοιάνδε] τοιαύτην R ἢν] εἰ P 3 ᾖ] φαίνεται P 4 ἐπαναιρέcθαι (ε *supra* ι) V ἐκέλευcε P 5 τὰ *(alt.) om.* R τοῖc RP *edd.* ὀφθαλμοῖcιν VRPF^p: ὀφθαλμοῖc *edd.* *post* ὀφθαλμοῖcιν *inscrib.* περὶ τῶν κατὰ τοὺc ὀφθαλμοὺc ὀλεθρίων cημείων (cημειώcεωc V) VR 6 γινόμενα *corr. ex* γενόμενα R[1] cημεῖα *om.* R 7 τὸν ἕτερον ὀφθαλμὸν . . . ἐρυθρὰ φαίνεcθαι *(9) omissa add.* V[1] *in mrg.*: *om.* F^p 8 *post* μόρια *inser.* τὰ R 10 ἐξέχειν VRPF^p *Aldus*: ἐξίcχειν *a Basil. edd.* 11 ἠλλοιῶcθαι RPF^p: *corr. ex* ∼οῦcθαι V[1]: ἠλλοιοῦcθαι *edd.* ὀλέθριά ἐcτι P 12 καὶ *om.* R ὅπερ ἂν (*omisso* τι) RP τῷ *corr. ex* τὸ F^p 13 cμικρὸν P *edd.*: μικρὸν VRF^p κατὰ ταύτην PF^p: *item, sed corr. ex* κατ᾿ αὐτὴν V[1]: κατ᾿ αὐτὴν R *edd.* 15 δύναται VRPF^p: δύνανται *edd.* καὶ τοὺc ἐξέχονταc . . . cυνυπάρχειν *(16) omissa add.* V[1] *in mrg.* 16 καὶ *om.* F^p 17 προcώπῳ *Paris. 2228*: cώματι *ab Aldo edd.*: *om.* VRPF^p τῶν *om.* R 18 cύμπαν *add. Diels*: *om.* VRPF^p *edd.* cῶμα *Diels*: πρόcωπον RVPF^p *edd.* φαίνεται P 19 μόνον ἕν P *edd.*: ἓν μόνον VRF^p 21 αὐτῶν F^p 22 ἔφη V: ν *add.* V[1] ᾖ RP *edd.*: ἢ VF^p cημείοι///cι V 23 ξυντεκμαίρεcθαι P πάρεcτιν *add. Diels* 24 κατ᾿ ἀρχὰc RP *edd.*: κατ᾿ ἀρχὴν F^p: κατ᾿ ἀρ (χ` *supra*) *ambigue* V 25 ὀλέθριον *om. (spatium)* R ἐπιcκοπουμένῳ . . . ἀληθέcτατον *(26) om.* P 26 γοῦν VRPF^p: οὖν *edd.* cφοδρῶν *corr. ex* ∼ῶc F^p

ἐμέτων ἐν ἀρχῇ τῶν νόϲων ϲυμβαίνει τὸ τὴν αὐγὴν φεύγειν, οὕτω δὲ καὶ τὸ δακρύειν καὶ διαϲτρέφεϲθαι ἢ ἐναιωρεῖϲθαι ἢ ἐξέχειν ἢ τὸ τὰϲ φλέβαϲ ἐρυθρὰϲ ἔχειν. ἡ δ᾽ ἐπὶ τὸ πελιδνὸν ἢ μέλαν χρῶμα μεταβολὴ τῶν φλεβῶν οὐκ ἂν ἐν ἀρχῇ γίνοιτό ποτε, καθάπερ οὐδ᾽ ἡ ὑπερβάλλουϲα κοιλότηϲ οὐδὲ τὸ λημᾶν, ἀλλὰ τοὐλάχιϲτον ἤτοι τριῶν ἢ τεϲϲάρων ἡμερῶν εἰϲ τὸ γενέϲθαι δεῖται. |

I 11 [2. II 116,11 L.] Ϲκοπεῖν δὲ ὧδε χρὴ καὶ τὰϲ ὑποφάϲιαϲ 52
τῶν ὀφθαλμῶν ἐν τοῖϲιν ὕπνοιϲιν. ἢν γάρ τι ὑποφαίνηται μὴ ϲυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαρροίηϲ ἢ φαρμακείηϲ ἐόντι ἢ μὴ εἰθιϲμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ ϲημεῖον καὶ θανατῶδεϲ ϲφόδρα.

Ἀπὸ τοῦ ὑποφαίνεϲθαι ῥήματοϲ τὴν ὑπόφαϲιν τοὔνομα πεποίηκεν, οὗ τὸ πληθυντικὸν αἱ ὑποφάϲειϲ γίνονται, ἀφ᾽ ὧν κατὰ διαίρεϲιν Ἰωνικὴν αἱ ὑποφάϲιεϲ. οἱ δὲ περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοϲκουρίδην οὐκ οἶδα πόθεν ὁρμηθέντεϲ ἔγραψαν ὑποφαύϲιαϲ μετὰ τοῦ ῡ. τὸ μὲν οὖν εἰρημένον ὑφ᾽ Ἱπποκράτουϲ δῆλόν ἐϲτιν· αὐτὸϲ γὰρ ἐξηγήϲατο τί ποτε λέγει τὴν ὑπόφαϲιν εἰπών· ἢν γάρ τι ὑποφαίνηται μὴ ϲυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, ἀλλὰ καὶ διοριϲμὸν εἰϲ ἀκρίβειαν τοῦ λεγομένου προϲέθηκεν αὐτὸϲ εἰπών· μὴ ἐκ διαρροίηϲ ἢ φαρμακείηϲ ἐόντι. προϲυπακούειν δέ γε καὶ | ἡμᾶϲ ἄμεινόν 53
ἐϲτι τῷδε ʻκαὶ τῶν ἄλλων τῶν ἐχόντων τοῖϲδε τὴν αὐτὴν δύναμινʼ. ἑνὶ γὰρ κεφαλαίῳ περιλαβὼν ἄν τιϲ εἴποι τὸ ϲύμπτωμα τοῦτο διὰ ἀρρωϲτίαν γίνεϲθαι τῆϲ κινούϲηϲ τὰ βλέφαρα δυνάμεωϲ, ὅπερ ὀλέθριόν ἐϲτιν, ἐπειδὰν χωρὶϲ τῆϲ ἔξωθεν αἰτίαϲ ϲυϲτῇ. ταῦτα δ᾽ εἶναι χρὴ δηλονότι τοιαῦτα τὴν φύϲιν, ὡϲ καταλύειν τὴν δύναμιν, οἷον ἤτοι διάρ-

7—11 *exstant etiam in Aphor. VI 52 (IV 576,9—12 L.)* 14 Ἀρτεμίδωρον καὶ Διοϲκουρίδην] *cf. I. Ilberg, Rhein. Mus. 45 (1890) p. 117*

1 αὐιγὴν *(sic)* V: αὐγὴν *in ras.* R 2 καὶ *(prius) om.* P *post* καὶ *(alt.) inser.* τὸ P 3 μέλαν] αν *in ras.* V 4 ἂν VRPF^{p}: *om. edd.* γίνοιτο VRF^{p}: γίγνοιτο P: γένοιτο *edd.* ἡ P: *om.* VRF^{p}: *deleverim* 7 ὧδε VRPF^{p} *Chartier*: *om. Hipp.*: *del. Ermerins* *post* χρὴ *add.* πρὸϲ τούτοιϲ *Chartier* 8. 9 μὴ (P: *del.* V: *om.* RF^{p}) ϲυμβαλλομένων (ξυμβ. P) τῶν βλεφάρων τοῦ λευκοῦ VRPF^{p}: τοῦ λευκοῦ τῶν βλεφάρων μὴ ϲυμβαλλομένων *ex Hipp. ab Aldo edd.* 10 φαρμακείηϲ VRPF^{p}: φαρμακοποϲίηϲ *ex Hipp. ab Aldo edd.* ἢ *(alt.) corr. ex* εἰ F^{p} φλαῦρον VRF^{p} *Hipp. et ab Aldo edd.*: *corr. in* φαῦλον P^{1} 11 *post* ϲφόδρα *inscrib.* περὶ τῆϲ τῶν ἐκ τῶν ὀφθαλμῶν ϲημειώϲεωϲ R *in mrg.* 13 πληθυντικὸν] η *in ras.* F^{p} γίνονται VRPF^{p}: γίνεται *edd.* ὧν κατὰ *in ras.* F^{p2} 14 διοϲκουρίδην RPF^{p}: διοϲκορίδην V 15 οἶδα πόθεν] οἰδόθεν (οἰδόθ *in ras.*) P ὑποφαύϲιαϲ P: ὑποφά^{υ}ϲιαϲ V: ὑποφύϲιαϲ R: ὑποφάϲυαϲ *corr. ex* ὑποφάϲιαϲ F^{p2} 16 αὐτὸ *Aldus Basil.* 17 μὴ P *Cornarius*: *om.* VRF^{p} 19 ἐκ *corr. ex* εἰϲ P^{1} 20 γε VRPF^{p}: *om. edd.* 21 τῷδε καὶ VR: τόνδε κἀπὶ V^{2}F^{p}: τόδε καὶ P τοῖϲδε RP: *extinx.* V: *om.* F^{p} 22 γὰρ VRF^{p}: *om.* P 23 κινούϲηϲ] κλειούϲηϲ *Cornarius Basil. in mrg.* 24 τῆϲ ἔξωθεν χωρίϲ, *sed transp. ipse* P εἶναι] εἰδέναι F^{p} 25 τοιαύτην F^{p}

ροιαν ἢ κάθαρσιν ἐκ φαρμάκου καθαίροντος προσφορᾶς ἢ λύπην σφοδρὰν ἢ ἀγρυπνίαν ἢ ἔνδειαν τροφῆς ἢ αἱμορραγίαν πολλὴν ἤ τινα ἄμετρον ἁπλῶς ἑτέραν κένωσιν. ὃ δ᾽ ὀλίγον ἔμπροσθεν εἶπον, ὡς τῶν ὀλεθρίων σημείων ἁπάντων ποιεῖται κατάλογον, οὐ μόνον ὅσα πρὸς τῷ νεκρώδει προσώπῳ γίνεται, δῆλον ἐποίησεν ἐνταῦθα προσθεὶς μὴ ἐκ διαρροίης ἢ φαρμακείης ἐόντι. προειρήκει γὰρ ἐπὶ τοῦ νεκρώδους προσώπου τὸν διορισμὸν τοῦτον "ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς". τὸ γὰρ ἐξυγρασμένον τοῦτο κοινόν ἐστι διαρροίας τε καὶ φαρμακείας, ἀλλ᾽ ἐπειδὴ πάλιν ἀφ᾽ ἑτέρας ἀρχῆς ἁπάντων ποιεῖται τῶν ὀλεθρίων ση-
54 μείων ἐξαρίθμησιν, εἰκότως ἑκάστῳ τοὺς οἰκείους διορισμοὺς προστίθησι.

I 12 [2. II 118, 3 L.] Ἢν δὲ καμπύλον γένηται ἢ πελιὸν βλέφαρον ἢ χεῖλος ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τὸν θάνατον.

Τὰ μὲν οὖν πλεῖστα τῶν ἀντιγράφων οὕτως ἔχει τὴν ἀρχὴν τῆς ῥήσεως, ἔνια δὲ ἀντὶ τοῦ καμπύλου τὸ ῥικνόν, ἵν᾽ ᾖ τὸ δηλούμενον ἐκ τῆς φωνῆς ταύτης τὸ συνεσταλμένον ὁμοίως τοῖς κατεψυγμένοις ὑπὸ κρύους. τοῦτο μὲν οὖν νεκρώσεώς ἐστι σημεῖον ὥσπερ καὶ τὸ πελιδνόν, τὸ δὲ καμπύλον τάσεώς τινος σπασμώδους ἢ παραλύσεως θατέρου τῶν κλειόντων τὸν ὀφθαλμὸν μυῶν. ἑκάτερα δ᾽ ἐστὶν ὀλέθρια
55 μαρτυρούμενα πρὸς τῶν ἄλλων σημείων, ὅπερ ἐδή|λωσεν εἰπὼν μετά τινος τῶν ἄλλων σημείων ὡς οὐχ ἱκανῶν ὄντων μόνων τῶνδε τὸν θάνατον δηλῶσαι.

3 ὀλίγον ἔμπροσθεν] *p. 224, 17 sq.* 6 προειρήκει] *II 114, 9 sq. L. (supra p. 214, 18)*

1 ἐκ φαρμάκου καθαίροντος VRPF^p: ἐκ καθαίροντος φάρμακον *Aldus*: ἐκ-καθαίροντος φαρμάκου *a Basil. edd.* *ante* ἢ *(alter.) unam litteram eras.* V
2 ἄμετρον *post* κένωσιν *(3) colloc.* P 4 ἁπάντων σημείων *edd.* *post* ποιεῖται *superscr.* τὸν V^2: *add.* τὸν F^p πρὸς R: περὶ VF^p: *om.* P νεκρῶδες R 5 ἐποίησαν *Aldus Basil.* διαρροίης] διεκδιαρροίης *(sic)* P 7 τῆς *corr. ex* σῆς R^1 κοιλίας P ἐξυγρασμένα *corr. ex* ἐξυστρασμένα V^1 8 ἐξυγρασμένον] ἐξ ὑγρασμένα R διαρροίης F^p φαρμακείης F^p *Chartier*
9 ἐπειδὴ VRF^p: ἐπεὶ P ἀφ᾽ RP: ἐφ᾽ VF^p 10 διορισμοὺς VRPF^p: προσδιορισμοὺς *edd.* *post* προστίθησι *inscrib.* περὶ καμπύλου καὶ ῥικνοῦ καὶ (*om.* V) πελιοῦ βλεφάρου χείλους καὶ ῥινὸς VR 11 *post* καμπύλον *add.* ἢ ῥικνὸν VPF^p *Chartier Stephan.; sed cf. v. 15* πελιὸν VRP *Hipp. Aldus Basil.*: πέλιον *Chartier*: πελιδνὸν F^p 12 *ante* βλέφαρον *inser.* ἢ ὠχρὸν *ex Hipp. ab Aldo edd.*
13 τὸν θάνατον RPF^p: *corr. ex* τοῦ θανάτου V: τοῦ θανάτου *Hipp.*: θανάτου *ab Aldo edd.* *post* θανάτου *add.* θανατῶδες δὲ καὶ τὰ *(om. Hipp.)* χείλεα ἀπολυόμενα (ὑπολ. *Aldus Basil.*) καὶ κρεμασμένα (κρεμάμενα *Hipp. Cornarius*) καὶ ψυχρὰ καὶ ἔκλευκα γινόμενα *Hipp. et ab Aldo edd.; sed hanc sententiam Galenus non exposuit* 15 καμπύλου RPF^p: καμπύ^λ *ambigue* V: καμπύλον *edd.* ῥιγνὸν *Aldus Basil.* 16 τοῖς VRF^p: τῆς P κατεψ(α)γμένοις *(sic)* F^p 17 καὶ *om.* P 18 σπασμώδους *corr. ex* σπαμώδους V^2 19 κλειόντων μυῶν τὸν ὀφθαλμὸν *colloc. edd.* τὸν ὀφθαλμὸν *corr. ex* τῶν ∼ῶν R^1 20 μαρτυριόμενα F^p 21 ἱκανῶν VPF^p: ἱκανὸν R ὄντων μόνων VP: ὄντων (*omisso* μόνων) F^p: ἓν μόνον R 22 τὸν *om.* R δηλῶσαι τὸν θάνατον P

I 13 [3. II 118, 7 L.] Κεκλιμένον δὲ χρὴ καταλαμβάνεcθαι τὸν νοcέοντα ὑπὸ τοῦ ἰητροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριcτερὸν καὶ τὰc χεῖραc καὶ τὸν τράχηλον καὶ τὰ cκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα καὶ τὸ ξύμπαν cῶμα ὑγρὸν κείμενον· οὕτω γὰρ καὶ οἱ πλεῖcτοι τῶν ὑγιαινόντων κατακλίνονται· ἄριcται δέ εἰcι τῶν κατακλίcεων αἱ ὁμοιόταται τῇcι τῶν ὑγιαινόντων.

Καὶ τοῦτο μαρτυρεῖ τῷ κατάλογον εἶναι τῶν ὀλεθρίων cημείων ἐν τῷ χωρίῳ τοῦ βιβλίου τῷδε παντί. φαίνεται γὰρ καὶ νῦν οὐκ ἀφ' ἑτέραc ἀρχῆc περὶ τῶν ἐν ὅλῳ τῷ cώματι cημείων ὁ ἀνὴρ διδάcκων, ἀλλὰ cυνάπτων αὐτὰ τοῖc προειρημένοιc· προειρηκὼc γὰρ ἔμπροcθεν ἐπὶ τοῦ νεκρώδουc προcώπου "καὶ τὰ ἄλλα cημεῖα cκέπτεcθαι τά | τε ἐν τῷ ξύμπαντι cώματι καὶ τὰ ἐν τοῖcιν ὀφθαλμοῖcιν" ἐφεξῆc **56**
πάντα διεξέρχεται cυνάπτων ἀλλήλοιc. αὐτὸ δὲ τὸ δεῖν εὑρίcκεcθαι τὸν ἄρρωcτον ὑπὸ τῶν ἐπιcκεπτομένων ἰατρῶν οὐχ ὕπτιον κείμενον ὥcπερ τινὰ παρειμένον, ἀλλὰ ἐπὶ θατέρου πλευροῦ, καθότι ἂν ὁ ἰατρὸc αὐτῷ προcίῃ, διὰ τοῦτό ἐcτιν ἀγαθόν, ὅτι ῥώμην ἐνδείκνυται τῆc cτηριζούcηc διὰ τῶν μυῶν τὸ cῶμα δυνάμεωc, ὥcπερ αὖ πάλιν ἀρρωcτίαν, εἰ μὴ δύναιτο τὴν ἐπὶ τοῦ πλευροῦ κατάκλιcιν φέρειν. αὐτὸc δὲ ὁ Ἱπποκράτηc προcέθηκε τῷ λόγῳ τὸν κοινὸν ἐπιλογιcμὸν εἰπὼν οὕτωc γὰρ καὶ οἱ πλεῖcτοι τῶν ὑγιαινόντων κατακλίνονται καὶ δηλονότι μάλιcτα κατ' ἐκεῖνον τὸν χρόνον, ὅταν ὁ ἰατρὸc αὐτοὺc ἐπιcκοπῇ. προcυπακοῦcαι γὰρ ἄμεινόν γε τῷ λόγῳ τοῦτο δυνάμει λεγόμενον ὑπ' αὐτοῦ κατὰ τὴν λέξιν, ἔνθα φηcὶ κεκλιμένον δὲ χρὴ καταλαμβάνεcθαι τὸν νοcέοντα ὑπὸ τοῦ ἰατροῦ. οὐ γὰρ ἁπλῶc εἶπεν ἐπὶ πλευρὸν χρῆναι κεκλίcθαι τὸν ἄνθρωπον, ἀλλ' ὑπὸ τοῦ ἰατροῦ καταλαμβάνεcθαι κεκλιμένον οὕτωc. προcέθηκε δὲ καὶ τὰc χεῖραc καὶ

1 *sq.*] *cf. etiam infra p. 265, 25 sqq.* 8 κατάλογον τῶν ὀλεθρίων cημείων] *cf. supra p. 224, 17 sq. et 226, 3* 11 ἔμπροcθεν] *II 116, 2 sqq. L.; cf. supra p. 220, 13 sqq.* 20 εἰπών] *3. II 118, 10 L.* 24 φηcί] *3. II 118, 7 L.*

1 περὶ (τῆc *add.* Fp) κατακλίcεωc *inscrib.* VRFp 2 ἰατροῦ *Aldus Basil.* 4 ξύμπαν *Hipp. et ab Aldo edd.*: cύμπαν VRPF *(sed conf. v. 13)* 5 κατακλίνονται *om.* P 6 ὁμοιόταται VRPFp: ὅμοιαι *plurimi codd. Hipp. et ab Aldo edd.* τῇcι] τοῖcι R 8 τῷ VFp: τὸ RP 9 καὶ νῦν *omissa add.* Fp² 11 αὐ//// (τὰ *suprascr.*) V 13 ξύμπαντι VRPFp: cύμπάντι *edd.* τοῖc ὀφθαλμοῖcιν R: τοῖc ὀφθαλμοῖc P 14 διεξέρχεται *om.* P εὑρίcκεται Fp τὸν] τὸ Fp 15 ὑπὸ] ἐπὶ R ἐπιcκεπτομένων RFp: ἐcκεπτομένων *(sic)* V: cκεπτομένων P 16 παρειμένον VRP: παρακείμενον Fp καθότι] τι *om. Aldus Basil.* 17 αὐτὸ P προcίῃ VPFp: προcείῃ *edd.*: πρόειcι R *ante* διὰ *inser.* καὶ VF 18 cηριζούcηc *(sic)* P αὖ P: οὖν VRFp πάλιν VRFp: *om.* P 19 εἰ] ἦν P τῷ πλευρῷ P 20 ὁ VRFp: *om.* P 22 ὅταν VRP: *om.* Fp *Ald.*: ᾧ *a Basil. edd.* 23 προc' ὑπακοῦcαι *ex corr.* R τοῦτο VFp: τούτω RP 24 αὐτοῦ] αὐτ῀ (*i. e.* αὐτῆc) P 26 πλευρὸν VRPFp: πλευρῷ *edd.* κεκλίcθαι *in ras.* V τοῦ *suprascrips.* Fp² 27 δὲ *suprascrips.* V²

57 τὸν τράχηλον καὶ τὰ σκέ|λεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα· καὶ γὰρ καὶ τοῦτο σύνηθές ἐστι τοῖς πλείστοις τῶν ὑγιαινόντων.

καὶ μέντοι καὶ κατ' αὐτὸ τοῦτο τὸ προσθεῖναι τοῖς πλείστοις ἀνέμνησέ σε διορισμοῦ τινος ἑτέρου κεφάλαιον ἔχοντος εἰς πολλὰς προγνώσεις χρήσιμον, οὗ μεμνῆσθαί σε δεῖ, κἂν παραλείπηταί ποτε. τί δ' ἐστὶ τοῦτο, καὶ δὴ φράσω. ὅσα τισὶ τῶν ἀρρώστων ἰδίως ὑπάρχει παρὰ τοὺς ἄλλους ἐξαίρετα, ταῦτ' οὐ χρὴ κατὰ τὸ πάρεργον ἐπισκοπεῖσθαι. ἐὰν μὲν γὰρ εὕρῃς κατακείμενον αὐτόν, ὡς οἱ πλεῖστοι τῶν ὑγιαινόντων, ἀγάπα τὴν κατάκλισιν, ἐὰν δὲ ἐναντίως, οὐ χρὴ καταγινώσκειν εὐθέως ὡς κακοῦ τοῦ σημείου, προσαναπυθέσθαι δέ, μὴ σύνηθές ἐστι τὸ σχῆμα τοῦτο τῷ κάμνοντι. τὸ δὲ ὑγρὸν κεῖσθαι τὸ σῶμα πρὸς ἀντίθεσιν αὐτῷ λέλεκται τοῦ τεταμένου τὰ τέσσαρα κῶλα, τουτέστι τὰ σκέλη καὶ αἱ χεῖρες ὀλίγον ἐπικεκάμφθωσαν καὶ τὸ σύμπαν σῶμα τὸν αὐτὸν τρόπον κείσθω τῶν ὑπερβολικῶν σχημάτων ἔξω καθεστηκός. ὑπερβολικὰ δ' ὀνομάζεται σχήματα τὰ μετὰ ἄκρας ἐκτάσεως ἢ κάμψεως
58 ἤτοι τῶν κώλων ἢ τῆς ῥάχεως, ἧς | μόριόν εἰσι καὶ οἱ κατὰ τὸν τράχηλον σπόνδυλοι. τὰ μὲν οὖν ὑπερβολικὰ σχήματα τεινομένων ἰσχυρῶς γίνεται τῶν νεύρων, ὡς ἐν τῷ Περὶ μυῶν κινήσεως ἐπιδέδεικται λόγῳ. τὸ δ' ἐν τῷ μέσῳ τῶν ὑπερβολικῶν ἄνευ τάσεώς ἐστι. διὸ καὶ προσηγόρευσεν ὑγρὸν αὐτό, τῶν ὑγρῶν σωμάτων οὐ πεφυκότων τείνεσθαι.

I 14 [3. II 118, 12 L.] Ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα ἧσσον ἀγαθόν.

Ἡ τοιαύτη κατάκλισις οὐκ ἔστιν ὅλως ἀγαθή, διόπερ οὐδ' ἧσσον ἀγαθόν. ᾗ γὰρ μηδ' ὅλως ὑπάρχει τὸ ἀγαθὴν εἶναι, πῶς ἂν αὕτη λέγοιτο προσηκόντως ἧσσον ἀγαθὴ εἶναι; δηλοῖ δὲ καὶ αὐτός, ὡς οὐδ' ὅλως ἐστὶν ἀγαθή, λέγων ἐφεξῆς "εἰ δὲ καὶ προπετὴς γίνοιτο καὶ

3 *sqq.*] *cf. Stephan.* 96, 10 *sqq.* 18 Περὶ μυῶν κινήσεως] *IV 424 sqq. K.* 19 προσηγόρευσεν] *3. II 118, 10 L.* 26 ἐφεξῆς] *3. II 118, 14 sq. L.*

1 ἐπικεκαμμένα *corr. ex* ~ω R^1 2 τοῦτο *om.* F^p σύνηθέστι *(sic)* P τοῖς] τῶν V: τοῖς *suprascr.* V^2 3 κατ'] κα *suprascrips.* F^{p2} τοῖς πλείστοις V^2R PF^p: πλεῖστοι V: τὸ πλεῖστοι *edd.* 5 παραλείπεται F^p 6 ἀρρώστων *corr. ex* ἀρρώστω R^1 7 ἐξαίρετον P 8 γὰρ *om.* F^p εὕρῃς VRPF^p: ὥρης *Aldus*: ὁρᾷς *a Basil. edd.* 9 καταγινώσκειν RP: ἀπογινώσκειν F^p: *corr. ex* γινώσκειν V^1 10 *post* δὲ *erasisse videtur* εἰ V *post* μὴ *add.* δὲ P σύνηθές] σύνεσθές *(sic)* R 12 αὐτὸ V: *corr. ex* αὐτῷ F^p λέλεκται VRPF^p: λέγεται *edd.* τὰ τέσσαρα RP: τὰ τέτταρα *edd.*: τά τε γὰρ F^p: *in ras.* V 14 καθεστικός, ός *in ras.* P 15 ὀνομάζω R *ante* σχήματα *add.* τὰ VF^p ἄκρας RF^p: *supra ras.* V^2: μακρᾶς P 16 ἤτοι τῶν R: ἤ τι τῶν P: ἢ τῶν F^p: *corr. ex* ἤτοι V^1 ἢ (*post* κώλων) *add.* V^2: *om.* F^p *ante* τῆς *ras.* V 18 μυῶν κινήσεως P: κινήσεως μυῶν VRF^p δέδεικται P 20 ὑγρὸν αὐτό VRPF^p: αὐτὸ ὑγρὸν *edd.* 21 ὕπτιον . . . εἶναι *(24) scrips.* F^{p3} ὕπτιον *corr. ex* ἥπτιον R^1 κεῖσθαι VRPF^{p3} *et ab Aldo edd.*: κέεσθαι *Hipp.* καὶ *(prius) om.* P *post* χεῖρας *add.* καὶ τὸν τράχηλον *ex Hipp. ab Aldo edd.* χεῖρας καὶ τὰ *in ras.* V 22 σκέλη R ἐκτεταμένα VRPF^{p3} *et ab Aldo edd.*: ἐπικεκαμμένα *Hipp.* 23 ἧττον F^{p3} 24 ἀγαθόν R: ἀγαθή VPF^p ᾗ RP: εἰ F^{p3}: *in ras.* V ἀγαθὴν VR: ἀγαθὸν PF^p *a* πῶς *inc.* F αὕτη *corr. in* αὐτὸ V^2 26 εἰ VPF: ἢν R γίνοιτο VRPF: γένοιτο *edd.*

καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστι τοῦτο
ἐκείνου.” ὥσπερ γὰρ καὶ τῆς προειρημένης κατακλίσεως δεινῆς οὔσης,
οὕτως περὶ αὐ|τῆς ἔφη “δεινότερόν ἐστιν.” ἐμοὶ δὲ δοκεῖ τὴν κακάκλι- 59
σιν ταύτην ἐν τοῖς οὐδετέροις τίθεσθαι σημείοις, ἅπερ οὐδὲ πρὸς ὑγείαν
ἀξιόλογον ἕξει δύναμιν οὐδὲ πρὸς θάνατον, ἀλλ’ ἤτοι μέσα τελέως
ἐστὶν ἢ μικρά τις αὐτοῖς ἐστι ῥοπὴ πρὸς τὸ ἕτερον, ὥστε τοὺς ἀμελέ-
στερον ὑπὲρ αὐτῶν ἑρμηνεύοντας ἀμφοτέροις αὐτὰ παραβάλλειν δύνα-
σθαι, ὅπερ καὶ νῦν ἐποίησεν ὁ Ἱπποκράτης, ‘ἧττον μὲν ἀγαθὸν εἶναι’
εἰπὼν ‘τῆς προειρημένης τὴν τοιαύτην κατάκλισιν, μοχθηροτέραν δ’
αὐτῆς τὴν ἐφεξῆς λεγομένην’, ἀναμιμνῄσκων καὶ νῦν τοῦ διορίζεσθαι
κατὰ πάντα τὰ τοιαῦτα, μή τι συνήθης ἐστὶν ὑπτία κατάκλισις τῷ
κάμνοντι. εἰ γὰρ καὶ τοῦτ’ εἴη καὶ μὴ πάνυ τι φροντίζοι τοῦ εἰσιόντος
ἰατροῦ, τότ’ ἂν οὐδ’ ἐν τῷ μέσῳ τῶν ἀγαθῶν τε καὶ κακῶν ὀρθῶς
ὑπολαμβάνοιτο κατακλίσεων, ἀλλ’ ἐκ τῶν ἀγαθῶν μᾶλλον. εἰ δὲ μηδ’ ἐν
τούτῳ τῷ σχήματι κατακλίνοιτο συνήθως αἰδῶ τε πολλὴν ἔχοι πρὸς
τὸν ἰατρόν, οὐκ ἀγαθὸν τὸ σημεῖον, ἔτι δὲ μᾶλλον, εἰ καὶ φύσει τῶν
αἰδημονεστέρων εἴη. διὰ ταῦτ’ οὖν ἅπαντα τὴν τοιαύτην κατάκλισιν |
ἐν μὲν τῷ μέσῳ θετέον ἀγαθῶν τε καὶ κακῶν, ὅσον ἐφ’ ἑαυτῇ, μετα- 60
πίπτειν δὲ εἰς ἑτέραν ἐφ’ ἑκατέρᾳ κατὰ τὴν φύσιν τοῦ κάμνοντος.

I 15 [3. II 118, 14 L.] Εἰ δὲ καὶ προπετὴς γίνοιτο καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστι τοῦτο ἐκείνου.

Ὥσπερ ἡ ἐπὶ τὰς πλευρὰς κατάκλισις ἔχεταί τινος ἐνεργείας, οὕτως καὶ ἡ ἀνάρροπος ὑπτία, καθ’ ὃν τρόπον ἅπαντες ἐπικλινόμεθα. διὸ κἂν ἐπὶ τῆς ἑτέρας τῶν πλευρῶν κατακλίνῃς νεκρὸν σῶμα, περιτραπήσεται πάντως ἤτοι πρὸς τὸ πρηνὲς ἢ τὸ ὕπτιον σχῆμα, καθάπερ εἰ καὶ ἀνάρ-

3 ἔφη] *cf. infra v. 21*

1. 2 τοῦτο ἐκείνου *om.* F 3 αὐτῆς] αὐ^{τ} (*i. e.* αὐτοῦ) V *post* ἔφη *add.* ὡς *edd.* 4 *et* 5 οὐδὲ^{τε} V: τε *suprascrips.* V^2 4 ὑγίειαν F 5 ἕξει VRF: ἔχει P 6 σμικρά *edd.* αὐτῶν F τὸ] τὸν F τοὺς *om.* P ἀμελέστερον VR: εὐμελέστερον P: ἐμμελέστερον F 7 ἀμφότερα P παραβάλλειν RP: παραβαλεῖν VF 8 ἀγαθὸν VRPF: ἀγαθὴν *Ald.* 10 ἀναμιμνήσκω F 11 τις P συνήθης] ης *in ras.* V: σύνηθές F 12 εἰ *Mewaldt conl. v. 14*: ἐὰν VRPF τι *om.* F φροντίζοι VR: φροντίζῃ PF 13 τότ’ *corr. ex* τῶ τ’ R ἂν *post* οὐδ’ *repet.* F 15 τε VRP: τῷ F ἔχοι V: ἔχει RP: ἔχειν F *post* ἔχει *add.* τὸ P 16 ἀγαθὸν PF: *corr. ex* ~ῶν V: ἀγαθῶν R *post* δὲ *add.* καὶ VF φύσει *corr. ex* φήσει R 17 ταῦτ’ οὖν VRF: ταῦτα γοῦν P 18 μὲν *om.* R 19 εἰς ἑτέραν ἐφ’ ἑκατέρα V: εἰς ἑτέρας ἀφ’ ἑκάτερα F: εἰς ἐφετέρα P: εἰς ἑκάτερα R: ἐφ’ ἑκάτερα *edd.* κάμνοντος *corr. ex* καμόντος V^2 20 εἰ] ἦν R καὶ *(prius) om.* PF γένοιτο *Hipp.* 21 ἀπὸ VRPF *ab Aldo edd.*: ἐπὶ *Hipp.* τοὺς VRPF *Hipp.*: *om. ab Aldo edd.* ἐστι *om.* R τοῦτο ἐκείνου VRP: *om.* F *plurimi codd. Hipp. et ab Aldo edd.* 23 *post* ὥσπερ *add.* γὰρ P ἔχεται] ἔχοντα P ἐνέργιαν P 24 ἐπικλινόμεθα VRP: κατακλινόμεθα F *Chartier*: κλινόμεθα *Aldus Basil.* 25 κατακλίνεις R 26 πρηνὲς *corr. ex* πρηνέστερον F^1

ροπον αὐτὸ σχηματίσαις· ἐπὶ πόδας γὰρ οὕτω κατενεχθήσεται. εἰκότως οὖν ἔφη μοχθηρὸν εἶναι τὸ σημεῖον τοῦτο, νέκρωσίν τινα τῆς διοικούσης τὸ σῶμα δυνάμεως ἐνδεικνύμενον. |

61 **I 16** [3. II 118, 15 L.] Εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων μὴ θερμοὺς κάρτα ἐόντας καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἀνωμάλως διερριμμένα, κακόν· ἀλυσμὸν γὰρ σημαίνει.

Ὀρθότατα διωρίσατο τὸν λόγον εἰπὼν μὴ θερμοὺς κάρτα ἐόντας· ἐν γὰρ τοῖς θερμοτάτοις πυρετοῖς ἅμα τοῖς ἄλλοις μέρεσι καὶ τῶν ποδῶν διακαιομένων ἀναγκάζονται γυμνοῦν αὐτοὺς οἱ κάμνοντες. εἰ δὲ μὴ τοιοῦτος ὁ πυρετὸς εἴη, τὸ γυμνοῦν τοὺς πόδας ἢ μαλακίας ἐστὶ τοῦ νοσοῦντος ἢ ἄλυος σημεῖον. εἰ δὲ καὶ τὰς χεῖρας ἅμα τῷ τραχήλῳ καὶ τοῖς σκέλεσι φαίνοιτο μὴ κατὰ τρόπον ἐσχηματισμένας ἔχων, ὡς ἔμπροσθεν εἶπεν, ἀλλὰ διερριμμένα πως ἀνωμάλως εἴη τὰ τοιαῦτα μόρια, κακὸν τὸ σημεῖον· ἀλυσμὸν γὰρ ἔφη σημαίνεσθαι. τοῦτο δ᾽ αὐτὸ τοὔνομα δηλοῖ τὸ δυσφορεῖν ἅπαντι σχήματι καὶ μετα-
62 βάλλειν ἄλλοτε εἰς | ἄλλο καί, εἴγε σοῦ παρόντος, ὡς εἴρηται, κατακείμενος ὁ κάμνων αὐτίκα μεταβάλλοι τὸ πρότερον σχῆμα πρὸς ἕτερον. ἅμα τῷ καὶ τὰ κῶλα διερριμμένως τε καὶ ἀνωμάλως ἔχειν ἢ καὶ τὴν τοῦ τραχήλου θέσιν, ἴσθι τοῦτον ἤτοι διὰ στομάχου κάκωσιν ἢ δι᾽ ἀρρωστίαν δυνάμεως ἀλύοντα, προσεπιλογιζόμενος κἀνταῦθα τὴν προαίρεσιν αὐτοῦ, μή τις τῶν μαλακωτέρων εἴη καὶ πρὸς ἅπαν ἑτοίμως ἐνδιδόντων τε καὶ νικωμένων, εἰ καὶ μικρότατον ὑπάρχοι.

I 17 [3. II 120, 2 L.] Θανατῶδες δὲ καὶ τὸ κεχηνότα καθεύδειν ἀεί —

Ἀτονίας καὶ τοῦτο σημεῖόν ἐστι τῶν κλειόντων μυῶν τὸ στόμα,

14 εἶπεν] *II 118, 16 sqq. L.* 15 ἔφη] *3. II 120, 2 L.* 17 ὡς εἴρηται] *supra p. 227, 1 sq.* 25 *schol.* R *(post lemma)*: ὅτι τὸ κεχηνότα καθεύδειν ὑπὸ ἀτονίας τῶν κλειόντων μυῶν τὸ στόμα γίνεται 26 *sqq.*] *cf. Stephan. 97, 33 sqq.*

1 αὐτὸν F σχηματίσαις PF: *corr. ex* σχηματίσης R¹: σχηματίσεις V γὰρ *om.* R οὕτω] οὗτος F 2 οὖν *in ras.* P διηκούσης P 3 τὸ σῶμα *om.* F 6 *post* διερριμμένα *add.* καὶ γυμνὰ *ex Hipp. ab Aldo edd.* 7 γὰρ *falso bis scriptum del.* V¹ *post* σημαίνει *inepte add.* τοῦτ᾽ ἔστιν ἄκραν ἐν τῷ στομάχῳ δυσφορίαν *Chartier* 9 γὰρ] μὲν V θερμοτάτοις *om.* F 10 ἑαυτοὺς F 11 εἴη ὁ πυρετὸς F πόδας *in ras.* P 12 ἐστὶ *om.* R 13 ἐσχηματισμένως V 14 διερισμένα *(sic)* P 14. 15 τὰ τοιαῦτα VR: τε τοιαῦτα τὰ P: ταῦτα τὰ F 16 αὐτὸ RP: αὐτῶ VF 18 μεταβάλλοι] μεταβάλλοιτο R 19 καὶ *(prim.)*] δὲ P διερριμμένως VRPF: διερριμμένα *edd.* τε καὶ VRPF: *om. edd.* 20 εἴσθι P ἤτοι VRPF: ἢ *edd.* *post* διὰ *inser.* τὴν τοῦ *edd.* ἀρρωστίαν] ρ *alter. suprascr.* V² 21 προσεπιλογιζόμενος] προσυνωσλογιζόμενος *(sic)* P 23 ὑπάρχοι VF: ὑπάρχει RP 24 κεχηνότα VF *Hipp. et ab Aldo edd.*: κεχυνότα (η *superscr. man. alt.*) R: κεχηνότως P 26 *ante* ἀτονίας *inser.* ἐπεὶ *edd.*

καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν τὰ βλέφαρα συναγόντων ἐρρέθη. ἡ γραφὴ μὲν οὕτως ἔχει, καθότι γέγραπται νῦν ὑπ' ἐμοῦ, καὶ τά γε παλαιὰ τῶν ἀντιγράφων οὐκ ἄλλην ἔχει, τινὰ δὲ ὥσπερ καὶ τὰ τῶν περὶ Διοσκουρίδην οὐ ταύτην, ἀλλὰ τήνδε· χαλεπὸν δὲ καὶ | τὸ 63 κεχηνότα ἀεὶ καθεύδειν ἀεί, σημείων ἔχουσαν σύνοδον δυοῖν, ἑνὸς μὲν τοῦ κεχηνέναι ἀεί, δευτέρου δὲ τοῦ καθεύδειν ἀεί. τὸ μὲν οὖν δεύτερον ὅτι μοχθηρόν ἐστι, κἂν χωρὶς τοῦ κεχηνέναι γίνηται, δεδήλωται πρὸς αὐτοῦ καὶ κατὰ τὸν ἀφορισμὸν ἐκεῖνον ἔνθα φησὶν "ὕπνος ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα κακόν", τὸ δὲ κεχηνέναι πιθανώτερον μέν ἐστιν εἰρῆσθαι μετὰ τοῦ καθεύδειν (οὕτως γὰρ ὡς τὰ πολλὰ φαίνεται γινόμενον), εἰ δὲ καὶ χωρὶς τοῦ καθεύδειν τινὶ συμβαίη, πολὺ μείζονα τὴν κάκωσιν ἐνδείξεται.

I 18 [3. II 120, 3 L.] Καὶ τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα.

Γράφεται γὰρ ἑκατέρως καὶ διὰ τοῦ γ̄ καὶ διὰ τοῦ χ̄, σημαίνει δὲ τὰ διεστῶτα μέχρι πλείστου καὶ εἴη ἂν ἄτοπος ἡ τοιαύτη κατάκλισις, ὡς παραφροσύνην ἐμφαίνειν, οὐδενός | γε οὕτως εἰθισμένου 64 κοιμᾶσθαι, ὥσπερ οὐδ' εἰ περιπεπλεγμένα γράφοιτο. καὶ γὰρ καὶ οὕτως ἀλλόκοτος ἡ κατάκλισις, ἐὰν ὕπτιός τις κείμενος ἔχῃ τὰ σκέλη συγκεκαμμένα τε καὶ ἀλλήλοις περιπεπλεγμένα.

I 19 [3. II 120, 4 L.] Ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι κοιμᾶσθαι οὕτως, κακόν· παραφροσύνην γὰρ σημαίνει ἢ ὀδύνην τινὰ τῶν περὶ τὴν γαστέρα τόπων.

1 ἔμπροσθεν] *supra p. 225, 22 sq.* 8 κατὰ τὸν ἀφορισμόν] *II 3 (IV 470, 11 L.)*

1 ἐρρήθη F 2 *post* μὲν *inser.* οὖν P γε RP: τε VF 3 ἄλλην VF: ἄλλιν P: ἄλλως R τὰ *om.* F 3. 4 τῶν περὶ *om.* P 4 διοσκουρίδην VRF: διοσκορίδου P 5 ἀεὶ *inser.* R: *om.* VPF καθεύδειν *om.* P σημείων ἔχουσαν σύνοδον δυοῖν P: σημείων ἔχουσα σύνοδον δυοῖν (δύο *Aldus Basil.*) *edd.*: δυοῖν σημείων ἔχουσα (ἐχούσας F) σύνοδον VRF 6 δευτέρου VRPF: δεύτερον *edd.* 8 καὶ P: *om.* VRF 11 καὶ *om.* P συμβαίη RPF: συμβαίει V: συμβαίνῃ *edd.* 12 ἐνδείξηται R 13 σκέλη P συγκεκαμμένα VRF: *corr. ex* συγκειμμένα P^{1}: ξυγκεκαμμένα *Hipp. et ab Aldo edd.* 14 καὶ διαπεπλεγμένα V^{2}RP *Hipp. et ab Aldo edd.*: καὶ διαπεπλεχμένα V: ἢ διαπεπλεχμένα $V^{3}P^{1}$ *in mrg.*: ἢ διαπεπλεγμένα *(superscr.* εχ *man. 1)* F: καὶ διαπεπλιγμένα *recte praefert Littré (cf. III p. LIV et ad III 498, 13 L.)*: *Galenum* διαπεπλεγμένα *vocem bis exhibuisse vel* διαπεπλεγμένα ἢ διαπεπλεχμένα *scripsisse coni. Ermerins* 15 γὰρ *om.* R καὶ *(prius)* RF: *om.* VP σημαίνει RP: *item, sed corr. in* σημαίνεται F^{1}: σημαίνεται P 18 οὐδ' εἰ VP: οὐδ' ἡ R: καὶ ///// εἰ F περιπεπλεγμένα R: *corr. ex* περπλεγμένα V^{2}: πεπλεγμένα PF καὶ *(alt.)* RPF: *om.* V 19 ὕπτιος *corr. ex* ἤπτιος R ἔχῃ V: ἔχει RP: ἔχοι F 21 περὶ τῆς ἐπὶ γαστέρα κατακλίσεως *inscrib.* VF κεῖσθαι VR *Aldus Basil. Stephan.*: κατακεῖσθαι F *Chartier*: κέεσθαι *Hipp.*: *om.* P σύνηθες VRPF: ξύνηθες *Hipp. et ab Aldo edd.* 22 οὕτω κοιμᾶσθαι *Hipp. et ab Aldo edd.* κακόν VRPF: *om. Hipp. et ab Aldo edd.* 23 γὰρ VRPF: *om. Hipp. et ab Aldo edd.* τινὰ VRPF: *om. Hipp.* περὶ VRPF: ἀμφὶ *ex Hipp. ab Aldo edd.* γαστέρα VRPF: κοιλίην *ex Hipp. ab Aldo edd.*

Ἀναμιμνῄσκει συνεχῶς ἡμᾶς τοῦ τοῖς ἅπασι συνεζευγμένου διορισμοῦ τοῦ κατὰ τὴν συνήθειαν τοῦ νοσοῦντος γινομένου· καὶ γὰρ καὶ νῦν τὸ ἐπὶ τὴν γαστέρα κατακεῖσθαι παρὰ τὸ ἔθος ἤτοι παραφροσύνην σημαίνει, καθάπερ ἐπὶ τῆς προειρημένης κατακλίσεως, ἢ ὀδύνην τινὰ τῶν ἐνταῦθά τινος μορίων· φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ὀδυνωμένων τὴν γαστέρα τοῦθ' αἱρούμενοι τὸ σχῆμα. |

65 **I 20** [3. II 120, 7 L.] Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα τῆς νούσου ἀκμαζούσης πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι, κάκιστον δὲ ἐν τοῖσι περιπνευμονικοῖσιν.

Αὐτοὶ λέγουσιν οἱ περιπνευμονικοὶ στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν θώρακα καὶ πνεύμονα πολλῆς ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, εὐπνούστεροι δὲ ἀνακαθίζοντες γίνεσθαι· καταφέρεται γὰρ ὡς ἐπὶ τὴν ῥάχιν ἐπὶ ταῖς ὑπτίαις κατακλίσεσι τὰ κατὰ τὸ στέρνον μέρη τοῦ θώρακος, ὑφ' ὧν συμβαίνει στενοχωρεῖσθαί τε τὸν πνεύμονα καὶ μὴ δέχεσθαι τὸν ἱκανὸν ἀέρα διὰ τῆς εἰσπνοῆς. ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅταν ἀκμάζῃ (τούτῳ γὰρ μάλιστα χρή σε προσέχειν τὸν νοῦν ὡς οὐκ εἰκῇ προσειλημμένῳ), χαλεπώτατόν ἐστιν ἀνακαθίζειν ἐθέλειν τὸν κάμνοντα· βούλονται γὰρ τηνικαῦτα μάλιστα κεκμηκότες ἀκίνητοι κεῖσθαι κἂν
66 ἐπεγείρῃ τις αὐτοὺς ἄχθονται. τεκμαίρου τοίνυν ἤτοι | γε ὑπὸ δυσπνοίας σφοδρᾶς ἢ ἄλυος ἢ παραφροσύνης ἀνακαθίζειν ἐπιχειρεῖν τὸν κάμνοντα κατὰ τὴν ἀκμὴν τῆς νόσου.

I 21 [3. II 120, 9 L.] Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ σύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες. ἀλλὰ χρὴ προλέγειν ἐπ' ἀμφοτέρων τουτέων κίνδυνον

4 ἐπὶ τῆς προειρημένης κατακλίσεως] *cf. supra p. 231, 13 sq.* 7 *schol.* R: τὸ ἀνακαθίζειν λέγουσιν τὸ ὄρθιον εἶναι τὸν θώρακα

1 ἡμᾶς συνεχῶς P τοῦ τοῖς R: τοῦ τούτοις *corr. ex* τοῦ τοῖς V²: τούτοις PF συνεζευμένου P 3 νῦν τὸ VRPF: τὸ νῦν *edd.* 7 δὲ *om.* V 8 νούσου *corr. ex* νούσης R: νόσου P ἐν P *Hipp. et ab Aldo edd.*: *om.* VRF πᾶσι P *Hipp. et ab Aldo edd.*: ἅπασι VRF 9 νουσήμασι *Hipp. et ab Aldo edd.* περιπλευμονικοῖσι *Hipp.* 10 αὐτὸν P περιπνευμονικοί] ι *secundum superscr.* V² στενοχωρίαν R 11 πολλὴν R 12 γίνονται P καταφέρεσθαι R 14 ὑφ' RP: ἐφ' VF ὧν VRP: ᾧ F 15 τῆς *om.* F 16 ἀκμάζει R τούτω RPF: τοῦ^τ V *post* γὰρ *inser.* καὶ RF 17 προσειλημμένων P ἐστι *in ras.* P 19 ἐπεγείρει R αὐτοὺς *in ras.* V 20 σφοδρὰς R 22 περὶ τῆς τῶν ὀδόντων πρίσεως *inscrib.* VRF πυρετοῖς P 23 ὁκόσοις PF ξύνηθες *Hipp. et ab Aldo edd.* παίδων VRPF *Hipp.*: παιδίου *ab Aldo edd.* *post* παίδων *inser.* καὶ P *post* θανατῶδες *add.* σφόδρα VPF 24 χρὴ VRPF: *om. Hipp. et ab Aldo edd.* *post* προλέγειν *add.* ἐφ *(deinde spatium 10 fere litterarum), sed. del. ead. man.* P ἐπ' VRP: ἀπ' *ex Hipp. ab Aldo edd.*: *om.* F ἀμφοτέρων VRPF: ἀμφοῖν *ex Hipp. ab Aldo edd.* τουτέων VRPF: *om. Hipp. et ab Aldo edd.* κίνδυνον *om.* P

ἐcόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίνεται.

Cπαcμωδῶc κινουμένων τῶν κροταφιτῶν τε καὶ μαcητήρων μυῶν αἱ πρίcειc τῶν ὀδόντων γίνονται, τιcὶ μὲν αὐτῶν μόνων πεπονθότων τῶν μυῶν ἤτοι γ᾽ ἐξ ἀρχῆc ἀπὸ γενέcεωc ἢ κατά τινα ἑτέραν αἰτίαν ὕcτερον, ἐνίοιc δὲ τῆc ἀρχῆc τῶν νεύρων εἰc διάθεcιν ἀχθείcηc τοιαύτην, ὑφ᾽ ἧc μάλιcτα δύνανται γενέcθαι τῶν ἀπ᾽ αὐτῆc πεφυκότων cπαcμοί. ἐννοῆcαι γάρ cε χρὴ τὴν ἐξ ἀρχῆc ἑκάcτου καταcκευὴν τῶν μορίων ἰδίαν ἑκάcτῳ γινομένην, ὑπὲρ ἧc εἴρηται μὲν ἐν ἄλλοιc ἐπὶ πλέον, ἀρκέcει δὲ καὶ νῦν ἅπαξ ἐν τῷδε εἰ|πεῖν κελεύcαντα μεμνῆcθαι τοῦ 67 λοιποῦ πρὸc τὸ μὴ θαυμάζειν ὅπωc τῆc κοινῆc ἁπάντων νεύρων ἀρχῆc παθούcηc ἄλλοτε ἄλλοc μῦc ἤτοι τρομώδηc γίνεται ἢ cπαcμώδηc. ὥcπερ γὰρ ἐναργῶc ὁρῶμεν ἐνίοιc μὲν cώμαcιν ἀρίcτην καταcκευὴν cκελῶν ὑπάρχουcαν, ἐνίοιc δὲ χειρίcτην εὐθὺc ἐξ ἀρχῆc, ὡc τοὺc μὲν ὠκύτατα θεῖν, τοὺc δὲ μόγιc ἵcταcθαι καὶ κατὰ τὰ ἄλλα μόρια ὡcαύτωc, οὕτω δὴ καὶ τὸ βλάπτεcθαι ῥᾳδίωc ἐπὶ cμικραῖc προφάcεcιν ἐνίουc μὲν τὰ cκέλη, τινὰc δὲ ἄκρουc πόδαc ἢ ὀφθαλμοὺc ἢ κεφαλὴν ἤ τι τῶν ἄλλων εὐθὺc ἐξ ἀρχῆc ἕπεται ταῖc καταcκευαῖc τῶν cωμάτων. οὐδὲν οὖν θαυμαcτόν, εἰ καὶ τῶν μυῶν ἐνίοιc μὲν ἀcθενεῖc οἱ τοὺc ὀφθαλμοὺc κινοῦντεc, ἐνίοιc δὲ οἱ τὰc γένυάc εἰcι, δι᾽ οὓc οὗτοι μὲν [ἢ] ἀεὶ πρίουcι τοὺc ὀδόνταc [ἢ] ἐπὶ cμικραῖc προφάcεcιν, ἐκεῖνοι δὲ διὰ παντὸc κινοῦcι τοὺc ὀφθαλμούc. τὸ μὲν γὰρ φύcει πρίειν τοὺc ὀδόνταc ὅμοιόν ἐcτι τῷ κατὰ τοὺc ὀφθαλμοὺc πάθει cυγγενομένῳ τιcίν, ὃ προcαγορεύουcιν ἵππον, | οὐ δυναμένων αὐτῶν ἑδραίων μεῖναι χρόνον οὐδένα, 68 cαλευομένων δὲ ἀεὶ τρομωδῶc· τὸ δὲ ἐν ταῖc πυρετώδεcι νόcοιc ἐπὶ

3 *schol.* R *(post lemma)*: ὅτι τὸ πρίειν τοὺc ὀδόνταc γίνεται cπαcμωδῶc κινουμένων τῶν κροταφιτῶν καὶ μαcητήρων μυῶν   9 ἐν ἄλλοιc] *e. g.* Περὶ χρείαc μορίων *(III 1 sqq. K.) passim*   24 ἵππον] *cf. Galen. in Prorrh. XVI 611, 1 K. (supra p. 61, 30) et XIX 436, 9 sqq. K.*

1 τοῦτε *(sic)* P   ποιέῃ VF *Hipp.*: ποιέει R: ποιέοι P: ποιεῖ *ab Aldo edd.*   2 κάρτα ἤδη γίνεται VRPF: γίνεται κάρτα ἤδη *colloc. Hipp. et ab Aldo edd.*   3 cπαcμωδῶc] c *(alt.) suprascr.* V[3]   κροταφιτῶν τε] ταφιτῶν τε *suprascr.* P[1]   μαccητήρων] ν *suprascrips.* V[3]   5 γ᾽ R: *om.* VPF   γενέcεωc VRP: γενεᾶc F   6 τῆc] τοῖc R   ἀχθείcειc P: c *(alt.) add.* P[2]   7 γενέcθαι VRPF: γίνεcθαι *edd.*   ἀπ᾽ αὐτῆc πεφυκότων cπαμοί *(sic)* V: ὑπ᾽ αὐτῆc πεφυκό<. . .> *(cetera resecta sunt)* cπαcμοί V[2]   8 τῶν μορίων καταcκευὴν *colloc.* P   9 ἰδίαν *ex corr.* R   ἐν *om.* F   10 ἅπαξ εἰπεῖν ἐν τῷδε *colloc.* F   κελεύcαν͞τ F   11 ὅπωc VRP: πῶc *in ras.* F   12 ἄλλοτε] ἄλλο τι P   cπαcμώδηc] c *(alt.) suprascrips.* V[2]   14 ὑπάρχουcαν cκελῶν *edd.*   ἐξ ἀρχῆc VRPF: κατ᾽ ἀρχὰc *edd.*   15 καὶ κατὰ τὰ ἄλλα P: καὶ κατ᾽ ἄλλα F: καὶ τ᾽ ἄλλα VR   *post* μόρια *add.* τοῦ cώματοc F *Chartier*   ὡcαύτωc *om.* P   16 δὴ *scripsi*: δὲ R *edd.*: *om.* VPF   μικραῖc P   ἐνίοιc F   18 *post* ἄλλων *inser.* ἃ F   ταῖc *om.* F   *post* cωμάτων *add.* μοχθηραῖc F *Chartier*   19 εἰ] οἱ R   20 οὗτοι] αὐτοὶ F   ἢ VRPF: *seclusi*   21 *post* ὀδόνταc *add.* ἢ VRPF: *seclusi*   μικραῖc P   22 φύcει *om.* F   23 cυγγενομένῳ VR: cυγγεννωμένῳ P: cυγγινομένῳ F   προcαγορεύομεν R   24 ἵππῳ V   ἑδραίων VP: *corr. ex* ἑδραῖον R[1]: ἑδραῖον F   25 δὲ *om.* F   ταῖc PF: τοῖc VR

τῷ τῆς ἀρχῆς πάθει γίνεσθαι τὸν σπασμὸν αὐτοῖς ὅμοιόν ἐστι πάλιν ἐκείνῃ τῇ κατασκευῇ τῶν κατὰ τὸν ὀφθαλμὸν μυῶν, ἐφ' ὧν εἶπεν "ἢ ἐναιωρούμενοι φαίνονται". κατά τινα μὲν γὰρ σώματα θᾶττον ὑπακούουσι τῶν τῆς ἀρχῆς παθημάτων οἱ κατὰ τοὺς ὀφθαλμοὺς μύες, κατά τινα δὲ οἱ κροταφῖται καὶ οἱ μασητῆρες. εἰκότως οὖν ἔφη τὸ σύμπτωμα τοῦτο καὶ μανικὸν εἶναι καὶ θανατῶδες, μανικὸν μὲν ὡς εἰ καὶ παρακοπτικὸν εἶναι ἰσχυρῶς εἰρήκει, θανατῶδες δὲ διὰ τὴν τῆς ἀρχῆς βλάβην. ἀλλ' ἐκεῖνό γε ζητήσεως ἄξιον, ὅπως εἰπὼν αὐτὸς εἶναι μανικὸν αὐτὸ μετὰ ταῦτά φησιν· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίνεται. πρόδηλον γὰρ ὡς, εἴπερ ἀγγέλλει παραφροσύνην τὸ πρίειν τοὺς ὀδόντας, οὐκέτι παύσαιτ' ἄν, ἀλλὰ καὶ σφοδρότερον γένοιτο τῆς παραφροσύνης ἀφικομένης σὺν τῷ καὶ ἄλλους τινὰς μύας εἰς τὴν αὐτὴν ἀχθῆναι τηνικαῦτα διάθεσιν.
69 ἔοικεν οὖν ἡ | διάνοια τοῦ λόγου τοιαύτη τις εἶναι· τὸ πρίειν τοὺς ὀδόντας οἷς οὐκ ἦν ἔθος ἐξ ἀρχῆς παραφροσύνης ἐσομένης ἐστὶ σύμπτωμα· εἰ μέντοι ποτὲ ἐπ' ἄρρωστον ἀφικόμενος εὕροις αὐτὸν ἀμφότερα πάσχοντα, παραφρονοῦντά τε καὶ πρίοντα τοὺς ὀδόντας, ἐγγὺς ἤδη τοῦτον ἥκειν ὀλέθρου τεκμαίρου, ὥστε κατὰ μὲν τὸν πρότερον λόγον, ὅτ' οὔπω παραπαίων ἔπριεν ὁ κάμνων τοὺς ὀδόντας, ἁπλῶς αὐτὸ τοῦτο προδηλοῦσθαι μόνον, ὡς παρακοπτικόν τ' ἐστὶ καὶ ὀλέθριον αὐτὸ τὸ σημεῖον, ἡνίκα δὲ ἤδη παραφρονεῖ σὺν τῷ πρίειν τοὺς ὀδόντας, ὑπόγυον ἐνδείκνυται θάνατον. ἐδήλωσε δὲ τοῦτο σαφῶς αὐτὸς ἐν τῷ προσθεῖναι τὸ ἤδη. ὅτι μὲν γάρ ἐστι θανατῶδες τὸ σύμπτωμα, καὶ κατὰ τὸν ἔμπροσθεν εἰρήκει λόγον, ἐν δὲ τῷ δευτέρῳ τό τε κάρτα καὶ τὸ ἤδη προσέθηκεν εἰπὼν ὀλέθριον κάρτα ἤδη γίνεται, τουτέστι λίαν ὀλέθριον, ὅπερ ἔστιν οὐκ εἰς μακράν, ἀλλὰ διὰ ταχέων τεθνήξεσθαι τὸν κάμνοντα. |

2 εἶπεν] *II 116, 8 L. (cf. supra p. 221, 8)* 5 ἔφη] *3. II 120, 10 L.* 9 φησιν] *3. II 120, 11 sq. L.*

1 γίνέσθαι R *post* τὸν *inser.* αὐτὸν P 2 τὸν ὀφθαλμὸν VRPF: τῶν ὀφθαλμῶν *edd.* ἐφ' *in ras.* P 3 φαίνονται VRF: γίνονται V²P *in marg.* 4 ὑπακούουσι R: ἐπακούουσιν VPF: ἀπολαμβάνουσι *ab Aldo (cod. Reg. 173 f. 17r man. alt.; cf. praef.) edd.* τοὺς ὀφθαλμοὺς RP: τὸν ὀφθαλμὸν VF 7 παρακοπτικῶς V εἶναι RP: καὶ *(in ras.)* V: *om.* F εἰρήκη R 9 τοῦτο] ταῦτα F 10 ποιέει R εἴπερ ἀγγέλλει VP: εἴπερ ἀναγγέλει R: εἰ προαγγέλλει F 11 οὐκέτι *edd.*: οὐχ ὅτι VRPF παύσαιτ' VP: παῦσαι τ' R: παύσαιντ' F 12 γένηται R ἀφικομένης VRPF: ἀφικνουμένης *edd.*: ἐφικνουμένης *Cornarius* σὺν τῷ VRP: ὥστε καὶ *in ras.* F (*post* καὶ *nonnullas litteras eras.* F) 14 *post* τοιαύτη *eras.* ν P 15 οἷς *corr. ex* ἧς V ἐσομένης *om.* R ἐστὶ σύμπτωμα VRF: σύμπτωμά ἐστι P 19 ὅτ' οὔπω . . . ὀδόντας *om.* R παραπαίων] αἰ *in ras.* V² ἔπριεν VRPF: ἔπρισεν *edd.* 20 τοῦτο αὐτὸ P προδηλοῦσθαι VRF: προδηλοῦσι P 21 αὐτὸ *om.* F ἤδις *(sic)* P παραφρονῇ F 22 ἐνδείκνυται *corr. ex* ἐνδείκνηται R *post* αὐτὸς *inser.* καὶ P 23 τὸ ἤδη VF: *corr. ex* τῷ ἤ. P: τῶ ἤ. R 24 εἰρήκει V: *corr. ex* εἰρήκη P¹: εἰρήκη R: εἴρηκε F 25 κάρτα ἤδη R: ἤδη κάρτα VPF 26 ἔστιν οὐκ P: οὐκ ἔστιν VRF

I 22 [3. II 122, 1 L.] Ἕλκος δὲ ἥν τε καὶ προγεγονὸς τύχῃ 70
ἔχων, ἥν τε καὶ ἐν τῇ νούσῳ γένηται, καταμανθάνειν χρή· ἢν γὰρ μέλλῃ ἀποθνήσκειν ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου ἢ πελιδνόν τε καὶ ξηρὸν ἔσται ἢ ὠχρόν τε καὶ ξηρόν.

Ξηρὸν μὲν ἔσται πάντως τὸ ἕλκος ἀρρωστίᾳ τῆς τρεφούσης τὸ σῶμα δυνάμεως. χρόα δ' οὐ μία διὰ παντὸς αὐτῷ γενήσεται, ἀλλὰ παρά τε τὸ διαφερόντως ἔχειν τὰ σώματα πρὸς ἄλληλα τοῖς χυμοῖς καὶ παρὰ τὸ ποσὸν τῆς βλάβης ὑπαλλαχθήσεται· τῶν μὲν γὰρ χολωδῶν ἐπικρατούντων ὠχρὸν ἔσται τὸ χρῶμα, τῶν δὲ μελαγχολικῶν ἤτοι πελιδνὸν ἢ κατὰ τὸ ἕτερον τῶν σημαινομένων χλωρόν. εἴπομεν δ' ἔμπροσθεν ὡς τὸ χλωρὸν ἐνίοτε μὲν σημαίνει ταὐτὸν τῷ ὠχρῷ, ἐνίοτε δὲ τὸ οἷον ἰῶδες τῇ χροιᾷ, καθ' ὃ σημαινόμενον εἰώθασι καὶ κράμβας χλωρὰς λέγειν οἱ ἄνθρωποι. οὕτω δὲ καὶ ἡ βλάβη πελιδνὸν μὲν ἡ μείζων ἐργάζεται (πλησίον γάρ ἐστι τοῦτο τοῦ μέλανος), ἐρυθρὸν δὲ ἢ ¦
χλωρὸν ἡ ἐλάττων. διὸ καὶ τὴν τελευτὴν τῆς ῥήσεως ἔνιοι μὲν οὕτως 71
γράφουσιν· ἢ ὠχρόν τε καὶ ξηρόν, ἔνιοι δὲ ἐκείνως· ἢ χλωρόν τε καὶ ξηρόν.

I 23 [4. II 122, 5 L.] Περὶ δὲ χειρῶν φορῆς τάδε γινώσκειν χρή· ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσι καὶ ἐν φρενίτισι καὶ ἐν περιπνευμονίῃσι καὶ ἐν κεφαλαλγίῃσιν ἀεὶ πρὸ τοῦ προσώπου φερομένας τὰς χεῖρας καὶ θηρευούσας διὰ κενῆς καὶ ἀποκαρφολογεούσας καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.

10 εἴπομεν] *supra p. 213, 25 sqq.; cf. etiam Gal. in Hipp. de victu acut. XV 554 K. (supra V 9, 1 p. 182, 4 sqq.)* 12 ἰῶδες] *cf. Stephan. 102, 30*

1 περὶ τῆς δι' ἕλκους προγνώσεως *inscrib.* VRF καὶ *suprascr.* V 2 νόσῳ F 3 μέλλει R ἀποθνήσκειν VRPF: ἀπόλλυσθαι *ex Hipp. ab Aldo edd.* ἢ VRPF: *om. Hipp. et ab Aldo edd.* 4 τε *(bis) om.* VRF *ante* καὶ *(prius) inser.* ἢ F ἢ ὠχρὸν] ἢ χλωρὸν P² *in marg.* 6 οὐ μία VRPF: οὐδεμία *edd.* 7 τὸ (ο *in ras.*) F διαφερόντως *corr. ex* δεῖαφερόντως R¹ ἄλληλα] λα *in ras.* F χυμοῖς] υ *in ras.* P 8 χολωδῶν] ο *in ras.* P 9 τὸ] ο *in ras.* P χρῶμα VPF: σῶμα R δὲ] δ *in ras.* P μελαχολικῶν *(sic)* P 10 χλωρὸν *corr. ex* χλωρῶν R 12 τὸ οἷον F: *corr. ex* τῷ οἷον V: τῷ οἷον RP ἰῶδες VF: ἰώδει RP χροιᾶ RF: χρόα VP καὶ *om.* R 13 οἱ ἄνθρωποι λέγειν *colloc.* RF καὶ ἡ βλά *evanuit* V 14 μεῖζον R ἐρυθρὸν δὲ ἢ (καὶ F) χλωρὸν VPF: χλωρὸν δὲ καὶ ξηρὸν V³: ὠχρὸν δὲ ἢ χλωρὸν R 15 ἡ] ἢ P ἐλάττον R 16 *post* δὲ *inser.* ὡς F ἐκεῖνος F 18 περὶ τῆς τῶν χειρῶν φορᾶς *inscrib.* VF χειρῶν *corr. ex* χοιρῶν V³ φορᾶς P γινώσκειν χρή VRPF *et ab Aldo edd.*: γιγνώσκω *Hipp.* 19 ἐν *(prius) ex corr.* R πυρετοῖς P ὀξέσι] ὀξ *in ras.* P ὀξέσιν ἢ ἐν περιπλευμονίῃσιν ἢ ἐν φρενίτισιν *ex Hipp. ab Aldo edd.* 20 περιπνευμονίῃσιν *corr. ex* περιπνευμωνίῃσιν P καὶ] ἢ *Littré* ἀεὶ VRPF: *om. Hipp. (praeter Paris. 2228) et ab Aldo edd.* πρὸ τοῦ *corr. ex* πρὸς τοῦ V¹ προσώπου] *per compend.* ἀω̃ with ππ' written above *ut solet* F 21 τὰς φερομένας χεῖρας P τὰς χεῖρας *om. Hipp.* *post* καὶ *add.* ὡσανεὶ *Chartier* *post* θηρευούσας *perperam ex p. 237, 6 add.* μυίας VR *Chartier* ἀποκαρφολογεούσας *Hipp.*: ἀποκαρφολογούσας VRPF *et ab Aldo edd.* 22 ἀποτιλλούσας PV¹ *in marg. Hipp. et ab Aldo edd.*: ἀφαιρεούσας VR: ἀφαιρούσας F 23 κακὰς εἶναι F

Αἱ τῶν χειρῶν φοραί, τουτέστιν ἐνέργειαί τε καὶ κινήσεις, οἵας εἴρηκε νῦν, ἐπὶ φαντασίᾳ γίνονται παραπλησίᾳ τῇ τῶν ὑποχεομένων. ἐκεῖνοι γὰρ ὅσα κατὰ τὴν μεταξὺ χώραν ὁρῶσι τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ καὶ τοῦ περὶ τὴν κόρην κερατοειδοῦς χιτῶνος, ἐκτὸς
72 ὑποκεῖσθαι δοξάζουσιν, ἐπειδὴ διὰ παντὸς εἰθίσθησαν ἐν τῷ κατὰ φύσιν ἔχειν ὁρᾶν τὰ πράγματα κατὰ τὸν ἔμπροσθεν ἑαυτῶν ἀέρα. τὸν αὐτὸν δὲ τρόπον οἱ νῦν οὗτοι, περὶ ὧν Ἱπποκράτης ἔγραψεν ἐν πυρετοῖσιν ὀξέσι καὶ περιπνευμονίῃσι καὶ φρενίτισι καὶ κεφαλαλγίῃσιν, ὁρᾶν δοκοῦσιν ὡς ἐκτὸς ὑποκείμενα τὰ κατὰ τοὺς ὀφθαλμοὺς αὐτῶν ἔνδον ὄντα. δέδεικται γὰρ ὅτι τὸ πνεῦμα τὸ ὀπτικὸν αὐγοειδὲς ὂν ἑαυτῷ συνομοιοῖ τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς καὶ τῆς κόρης ὑγρόν, λεπτὸν καὶ καθαρὸν ὑπάρχον, ὁμοιότατον τῷ περιεχομένῳ κατὰ τὰ ᾠά, ᾧ καὶ κατὰ τὰς ὀφθαλμίας χρώμεθα. δέδεικται δ' ὅτι καὶ διὰ τούτου τοῦ ὑγροῦ φέρεται τὸ πνεῦμα κατὰ τὸ τῆς κόρης τρῆμα πρὸς τὸν ἐκτὸς ἀέρα συμπαγὲς αὐτῷ γινόμενον, ἀλλὰ καὶ ὅτι τούτῳ τῷ ἀέρι συμφωτισθέντι χρῆται καθάπερ ὀργάνῳ συμφύτῳ τοιούτῳ τὴν δύναμιν ὄντι, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρόν ἐστιν. ἐπιδέδεικται δὲ καὶ τοῦτο κατὰ τοὺς ἰδίους τῆς ὄψεως λόγους, ὡς ἐν τῷ τρισκαιδεκάτῳ
73 Περὶ ἀποδείξεως καὶ τῷ ἑβδόμῳ Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἔγραψα. λέλεκται δ' οὐκ ὀλίγα περὶ αὐτοῦ καὶ κατὰ τὸ δέκατον τῶν Περὶ χρείας μορίων.

ὡς οὖν διὰ τοῦ νεύρου τῶν κατὰ τὸν δάκτυλον, εἰ τύχοι, τοῦ ποδὸς αἰσθάνεται παθημάτων ὁ ἐγκέφαλος, οὕτω καὶ διὰ τοῦ πέριξ ἀέρος τῶν ἐκτὸς ὑποκειμένων ὁρατῶν, ὅσα γε σύμμετρον ἀφέστηκεν αὐτοῦ. τὰ τοίνυν ὑποχύματα κατὰ τοῦτο γίνεται τὸ ὑγρόν, ὃ παραπλήσιόν ἐστιν, ὡς ἔφην, ᾠοῦ τῷ λευκῷ τε καὶ λεπτῷ, ὃ μεταξὺ κεῖται

7 ἔγραψεν] *II 122, 5 L.* 10 δέδεικται] *De usu part. VIII 6 (III 642, 9 sqq. K. I 465, 20 sqq. Helmr.); cf. Stephan. 103, 17 sqq.* 13 δέδεικται δ' ὅτι καὶ κτλ.] *ibid.* 19 Περὶ ἀποδείξεως] *cf. I. Müller, Über Gal. Werk vom wiss. Beweis, Abh. der bayr. Akad. XX (1895) p. 473* Περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων] *V 611 sqq. K. (p. 608, 7 sqq. Müller)* 21 Περὶ χρείας μορίων] *X 1 (III 759 sqq. K. II 54, 20 sqq. Helmr.)* 26 ἔφην] *supra v. 11 sqq.*

1 τουτέστιν] τοῦ *suprascr.* V² οἵας VRPF: οἷς *Aldus*: ἃς *a Basil. edd.* 2 παραπλησίᾳ VPF: παραπλησίως R 3 *post* ἐκεῖνοι *inser.* τε RF κατὰ *in ras.* F 4 περὶ] παρὰ R κόρη P 5 ἐπειδὴ] ἐπεὶ P 6 ἔμπροσθεν ἑαυτῶν ἀέρα] προσθεν αυτ *(cetera evanida)* ἀέρα *in ras.* V αὐτῶν F 7 δὲ V: *suprascrips.* P¹: τὲ R: γε F οἱ] ἢ *corr. ex* οἱ F¹ *post* ὧν *add.* ὁ VF πυρετοῖς PF 8 περιπνευμονίαις PF κεφαλαλγίαις PF 9 ὀφθαμοὺς *(sic)* F 10 αὐτῶν *om.* R ὄντα VRPF: ἐόντα *edd.* πνεῦμα *in ras.* V 11 συνομιοῖ P 12 κατὰ VRPF *edd.*: πρὸς *conl. Gal. XII 350, 7 K. coni. Müller l. c. p. 473* 15 τὸν ἀέρα τὸν ἐκτὸς P αὐτῷ *om.* F συμπαγὲς γινόμενον *evanida* F ἀλλὰ καὶ ὅτι τούτῳ] καὶ τοῦτο ἀλλ' ὅτι P 16 ////φωτισθέντι V 17 ὄντι RF: *om.* VP τούτῳ *post* ἐν *add.* R: *post* σώματι F νεῦρον VP: νευρῶδες RF δὲ *om.* VPF 19 *post* καὶ *inser.* ἐν P *post* ἑβδόμῳ *inser.* τῶν R 21 τῶν *om.* F 22 τύχῃ P 24 γε] τὲ F σύμμετρον ἀφέστηκεν *in ras.* V 24. 25 ἀφέστηκεν αὐτοῦ VPF: αὐτοῦ ἀφέστηκεν R 25 τοῦτο γίνεται τὸ ὑγρὸν P: τὸ ὑγρὸν γίνεται VRF 26 ἐστιν RP: *(compend.) suprascr.* V²: *om.* F ἔφην VRF: ἔφησεν P ᾠοῦ τῷ λευκῷ τε καὶ λεπτῷ VRF: τῷ λεπτῷ τε καὶ λευκῷ τοῦ ᾠοῦ (*corr. ex* ᾠῷ) P: τῷ λευκῷ τε καὶ λεπτῷ τοῦ ᾠοῦ *edd.* ὃ *om.* F

τῆς τε κόρης καὶ τοῦ κρυσταλλοειδοῦς. κατὰ τοῦτο δὲ καὶ τῶν ἀπεπτούντων ἐνίοις φαντασίαι παραπλήσιαι τοῖς ὑποχεομένοις γίνονται. ὅπου γὰρ ἂν ἀντιστῇ τι μέλαν ὑγρὸν ἢ παχὺ κωλῦον ἔξω διεκπίπτειν τὴν ὀπτικὴν αὐγήν, ἐκεῖ φαντασίαι γίνονται κατὰ τὴν τοῦ συνεστῶτος ὑγροῦ φύσιν, ἐνίοτε μὲν οἷον τριχῶν τινων ἢ κρόκης ἢ στήμονος, ἐνίοτε δὲ κωνωπίων μελάνων ἢ μυιῶν παραπέτεσθαι δοκούντων, ἔστιν ὅτε δὲ καὶ φακοῖς ὁμοίων ἢ κέγχροις μέλασιν.

οὕτως οὖν συμβαίνει καὶ κατὰ τοὺς ὀξεῖς πυρετοὺς καὶ κατὰ τὰς περιπνευμονίας ἀναθυμιωμένων ἐπὶ τὴν κεφαλὴν | τῶν ἐν τῷ **74** σώματι χυμῶν συναπολαύειν τῆς ἀναθυμιάσεως αὐτῶν τὸ κατὰ τὴν κόρην ὑγρὸν ἐκεῖνο τὸ καθαρόν. ὅπῃ δ᾽ ἂν καὶ ὅπως θολωθῇ, τὰ προειρημένα γίνεται φαντάσματα. κατὰ δὲ τὰς ἰσχυρὰς κεφαλαλγίας, ὥσπερ οὖν καὶ κατὰ τὰς φρενίτιδας, διὰ τὸ πεπληρῶσθαι τὴν κεφαλήν, ἀφικνούμενόν τι τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς τῶν αὐτῶν συμπτωμάτων αἴτιον γίνεται καὶ τό γε κροκυδίζειν καὶ καρφολογεῖν εἰθισμένα τοῖς ἰατροῖς ἅπασι ῥήματα μάλιστα κατὰ τῶν φρενιτιζόντων λέγεσθαι τὴν θέσιν ἐντεῦθεν ἔλαβεν. ἔνιοι γοῦν ἡρμήνευσαν ἡμῖν τήν τε τῶν κροκύδων καὶ τὴν τῶν ἀχύρων φαντασίαν, ἐν αὐτῷ τε τῷ γίνεσθαι καὶ μετὰ ταῦθ᾽ ὕστερον ἀπομνημονεύσαντες. ἔστι δὲ αὐτῶν ἡ διαφορὰ διττή· τινὲς μὲν γὰρ ἐν αὐταῖς ταῖς αἰσθητικαῖς φαντασίαις τὸ παραφρονεῖν ἐκτήσαντο τῆς κριτικῆς δυνάμεως ἐρρωμένης, ἔνιοι δὲ καὶ διὰ φρόνησιν ὑπερβάλλουσαν ὅμως, καίτοι πεπονθότες, ἐπὶ βραχὺ τὴν κριτικὴν δύναμιν ἀντέσχον καὶ ἀνήνεγκαν ὡς ἐκνικῆσαί τε καὶ ἀπομαχέσασθαι καὶ παρακολουθῆσαι τοῖς | γινομένοις. αὐτοὶ τοίνυν ἐδήλωσαν **75** ἡμῖν, ἐπὶ τίσι φαντασίαις ἐκίνουν τὰς χεῖρας, ὡς Ἱπποκράτης ἔγραψεν. ἐξέχειν γὰρ αὐτοῖς ἐδόκουν αἱ τῶν ἱματίων κροκύδες πολλαχόθι καὶ τοῖς τοίχοις ἄχυρα προσκεῖσθαι, πολλάκις δὲ καὶ κάρφη πολλὰ κατὰ τὴν στρωμνὴν ἐπικεῖσθαι καὶ παραπέτεσθαι ζῷα μικρὰ πλησίον τῶν ὀφθαλμῶν. ταῦτα μὲν οὖν θηρεύειν ἐπιχειροῦσι περιφέροντες τὰς

8 *sqq.*] *cf. Stephan. 104, 5 sqq.*

1 τε VRPF: *om. edd.* ἀπεπτόντων *Aldus* 3 ἂν VR: *om.* PF δι᾽ ἐκπίπτειν R: δ᾽ ἐκπίπτειν P 4 φαντασίαι γίνονται P: φαντασία γίνεται VRF τοῦ *suprascr.* V³ συνεστῶτος VRP: σώματος F 5 ὑγρὰν F στύμωνος R *post* στήμονος *inser.* ἢ νήματος F 6 δὲ *om.* R μελανῶν R μυῶν PF παραπέτεσθαι F: παραπέττεσθαι VR: παραπετᾶσθαι P: παραπέτασθαι *edd.* 6. 7 ἔστιν ὅτε δὲ VRF: ἔστι δ᾽ ὅτε P 7 καὶ R: *om.* VPF φακκῆς R 8 καὶ *(prius)* VRF: *om.* P ὀξὺς P 9 τὰς *om.* F *post* περιπνευμονίας *perperam inser.* ἄγαν *edd.* ἐπὶ VRP: περὶ F 10 συναπολάβειν V 11 ἐκεῖνο ὑγρὸν P *post* ὅπως *inser.* αὐτὸ *edd.* θολωθεῖ P 13 διὰ τὸ πεπλη *evan.* F 14 ἀφικνούμενόν τι VRPF: ἀφικνουμένων τε *edd.* 15 γε] τε P 16 μάλιστα F: *om.* VRP 18 τῶ γίνες *in ras.* V 20 *post* μὲν *inser.* τὴν R γὰρ PF: *om.* VR φαντασίαν R 21 ἐκτήσατο P διὰ . . . βραχὺ τὴν *(22) om.* P 23 ἀπομαχέσασθαι VRF: ἀπομάχεσθαι P 24 *ante* αὐτοὶ *add.* καὶ F 25 φαντασίαις VRPF: φαντάσμασιν *edd.* ἐκείνουν RP 26 πολλαχόθι PF: θι *adscr.* V²: πολλαχόθεν R 27 πολλάκις . . . ἐπικεῖσθαι *(28) om.* F *ante* πολλὰ *falso inser.* τινὰ P 28 κατὰ VRF: *corr. in* παρὰ P παραπέτεσθαι *ex corr.* F: παρὰ πέττεσθαι VR: παραπέτασθαι *ante corr.* F: παραπετᾶσθαι P 29 περιφέροντες] παραφέροντες R

χεῖρας, ὥς τι ληψόμενοι. τὰ δ᾽ ἄλλα ἐξέχειν φαινόμενα, τὰ μὲν ἀπὸ τῶν ἱματίων ἀφαιρεῖν ἐπιχειροῦϲι, τὰ δὲ ἀποϲπᾶν τοῦ τοίχου. χαλεπαὶ δ᾽ εἰϲὶν εἰκότωϲ αἱ ποιοῦϲαι τὰ τοιαῦτα ϲυμπτώματα διαθέϲειϲ, ὡϲ ἂν τοῦ μὲν ὀξέοϲ πυρετοῦ καὶ τῆϲ περιπνευμονίαϲ καὶ τῆϲ κεφαλαλγίαϲ διὰ μέγεθοϲ ⟨χυμῶν⟩ ἐργαζομένων αὐτά, τῆϲ δὲ φρενίτιδοϲ διὰ τὸ κύριον τοῦ πεπονθότοϲ μορίου. ταύτηϲ μὲν γὰρ ὅλον τὸ γένοϲ ὀλέθριον, οἱ πυρετοὶ δὲ καὶ αἱ περιπνευμονίαι καὶ αἱ κεφαλαλγίαι κατὰ τὸ μέγεθοϲ, ὡϲ εἴρηται. |

76 **I 24** [5. II 122, 11 L.] Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον ϲημαίνει ἢ φλεγμονὴν ἐν τοῖϲιν ὑπὲρ τῶν φρενῶν χωρίοιϲι. μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροϲύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ ϲτόματοϲ ὀλέθριον κάρτα ἤδη γίνεται.

Ταύτην τὴν ῥῆϲιν ὅλην ἐν τῷ τρίτῳ τῶν Περὶ δυϲπνοίαϲ ἐξήγημαι τελεώτατα. διὸ καὶ νῦν ἐρῶ μόνα τὰ κεφάλαια. πνεῦμα μὲν ὀνομάζει κατὰ τόνδε τὸν λόγον ὁ Ἱπποκράτηϲ ὅλην τὴν ʿἀναπνοήνʾ· φηϲὶ δὲ πυκνὴν αὐτὴν γινομένην ἐνίοτε μὲν ʿἄλγημα ϲημαίνεινʾ, ἐνίοτε δὲ τῶν κατὰ θώρακα μορίων φλόγωϲιν, ἅπερ ἐϲτὶ καρδία τε καὶ πνεύμων ὑπὲρ τὸ διάφραγμα τὴν θέϲιν ἔχοντα. φρέναϲ γὰρ ἐκάλουν οἱ παλαιοὶ τοῦτο.

ἐν μὲν οὖν τοῖϲ ἀλγήμαϲιν ἐδείχθη τούτῳ πυκνὸν καὶ μικρὸν γινόμενον τὸ πνεῦμα, κατὰ δὲ τὰϲ φλογώϲειϲ πυκνὸν καὶ μέγα· ταύταϲ
77 γὰρ ὀνομάζειν εἴωθε φλεγμονάϲ. τὸ δ᾽ ἀραιὸν πνεῦμα, τουτέϲτι τὸ διὰ πολλοῦ, μετὰ μὲν μεγέθουϲ παραφροϲύνην ϲημαίνει, μετὰ δὲ ϲμικρό-

8 ὡϲ εἴρηται] *supra p. 237, 8 sqq.* 9—13 *extant etiam in Cois praesag. XIII 255 (V 638, 15—17 L.); conf. etiam Epidem. II 3, 7 (V 108, 17 sqq. L.)* 14 ἐν τῷ τρίτῳ τῶν Περὶ δυϲπνοίαϲ] *III 4 (VII 901 sqq. K.); conf. etiam II 3 sq. (VII 830 sqq. K.)* 15 πνεῦμα κτλ.] *cf. Gal. XV 487, 1 sq. K. (supra V 9, 1 p. 149, 25)* 19 φρέναϲ . . . τοῦτο *(20)*] *conf. Erotian. 132, 12 Klein; Gal. de plac. Hipp. et Plat. VIII (V 716, 13 sq. K.; p. 724, 13 sq. Müller); de loc. affect. V 4 (VIII 327 K.); de usu part. V 15 (III 400, 11 sq. K.; I 293, 9 sq. Helmr.) Cf. etiam infra p. 245, 25 sq. et 324, 14 sq.* 21 ἐδείχθη] Περὶ δυϲπνοίαϲ *III 4 (VII 901 sqq. K.)*

1 ὥϲ τι] ὥϲτε R *post* ἄλλα *add.* τὰ P 4 ὀξέοϲ *corr. ex* ὀξέωϲ V[1] 5 χυμῶν *add. Aldus*: *om.* RVPF ἐργαζομένων VRPF: ἐργαϲαμένων *edd.* αὐτοῦ P 7 πυρετοὶ δὲ καὶ αἱ *in ras.* V κεφαλγίαι *(sic)* V 9 περὶ ἀναπνοῆϲ *inscrib.* VRF 10 φλεγμονὴν VRF: φλέγματα P χωρίοιϲ *(compend.)* F 12 δηλοῖ] ϲημαίνει *Kuehlewein* *post* καὶ *add.* ἐκ F 14 ὅλην *om.* P τρίτῳ R: δευτέρω VPF δυϲπνοίαϲ] ο *superscr. man. 2* V 15 τελειώτατα V 18 τε *om.* P 19. 20 φρέναϲ γὰρ ἐκάλουν οἱ παλαιοὶ τοῦτο VRPF *(cf. infra p. 245, 25 sq.)*: φρέναϲ γὰρ καὶ διάφραγμα ἐκάλουν οἱ παλαιοὶ ταυτό V[2] *in mrg.* *edd.* 21 τούτω VR: τοῦτο P: τούτ *(i. e.* τούτων) F μικρὸν καὶ πυκνὸν *colloc.* P μιγιγνόμενον (κρὸν *superscr. man. 2*) V 23 ὀνομάζειν εἴωθε VRF: εἴωθεν ὀνομάζειν P: εἰώθαϲιν ὀνομάζειν *edd.* πνεῦμα *ex corr.* P 24 μετὰ μὲν μεγέθουϲ VRF: μετὰ μεγέθουϲ μὲν *edd.*: ϲὺν μεγέθει μὲν P

τητος σβέσιν τῆς ἐμφύτου θερμασίας. ἀλλὰ ταύτην γε τὴν διάθεσιν ἐκ τοῦ συμβεβηκότος ἐδήλωσεν εἰπών· ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίνεται. ὅτι δὲ τούτων τῶν δυσπνοιῶν ἐμνημόνευσε μόνων ἐν τῷ Προγνωστικῷ τὴν διδασκαλίαν περὶ τῶν ὀξέων νοσημάτων ποιούμενος ὅτι τε κατὰ τὰ τῶν Ἐπιδημιῶν ὡς περὶ πλειόνων δυσπνοιῶν οὐσῶν ἐποιήσατο τὸν λόγον, ἐν τῷ τρίτῳ τῶν Περὶ δυσπνοίας ἐπιδέδεικται.

I 25 [5. II 122, 14 L.] Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. |

Τὴν κατὰ φύσιν ἀναπνοὴν εὔπνοιαν εἴρηκεν ἐνδεικνυμένην μήτε 78
θώρακα μήτε καρδίαν καὶ πνεύμονα μήτε τὰς φρένας ὀδυνηρόν τι πάθος ἔχειν, ἀλλὰ μηδὲ τῶν συνημμένων αὐτοῖς μορίων τινά· κινούμενα γὰρ κατὰ τὰς ἀναπνοὰς ὀδυνᾶται καὶ αὐτὰ φλεγμαίνοντά τε καὶ ὁπωσοῦν ἔχοντά τι πάθος ὀδυνηρόν· ἔστι δὲ ταῦτα κοιλία, σπλήν, ἧπαρ. ὅταν οὖν μήτε τούτων τι πάσχῃ μήτε θερμασίας πλῆθος ᾖ τοσοῦτον, ὡς διακαίεσθαί τε καὶ φλέγεσθαι δοκεῖν, ἀλλὰ μηδὲ τοὐναντίον, ὥστ' ἤδη σβέννυσθαι τὴν ἔμφυτον θερμότητα, πῶς οὐκ ἄν τις φαίη τὸν κάμνοντα πολλὰς ἐλπίδας ἔχειν σωτηρίας, ἐπί γε τῶν ὀξέων νοσημάτων, ἐφ' ὧν ἤτοι διὰ τὸ μέγεθος τῶν πυρετῶν ἢ διὰ τὴν ἰδίως ὀνομαζομένην φλεγμονὴν οἱ κίνδυνοι γίνονται;

τὰ μέντοι χρόνια καὶ χωρὶς τούτων τῷ καταλύειν τὴν δύναμιν οὐκ ἀκίνδυνα. διὰ τοῦτο οὖν ἐξεῖλεν αὐτὰ τοῦ λόγου καὶ περὶ μόνων

2 ἐδήλωσεν] *5 (II 122, 13 sq. L.)* 4 ἐμνημόνευσε] *5 (II 122, 11 sqq. L.)* 5 κατὰ τὰ τῶν Ἐπιδημιῶν] *II 3, 7 (V 108, 17 sqq. L.) et VI 2, 3 (ibid. 278, 6 sqq. L.)* 6. 7 ἐν τῷ τρίτῳ τῶν Περὶ δυσπνοίας] *III 4 (VII 903 sqq. K.)* 8—11 *cf. etiam Coa praesag. V 640, 3—4 L. et infra p. 258, 19 sqq.* 12 εἴρηκεν] *5. II 122, 14 L.* 24 ἐξεῖλεν] *5. II 122, 16 L.*

1 θερμασίας VRPF: θερμότητος *edd.* 2 τῶν συμβεβηκότων P συμβεβηκότος (κό *in ras.*) F 3 τοῦ *ex corr.* P στό////ματος R 4 ἐμνημόνων (μόνευσε) *(sic)* P μόνων RPF: *corr. ex* μόνον V¹: μόνον *edd.* 5 ὅτι VPF: ἔτι R τὰ *Aldus*: *corr. ex* τὸ V¹: τὸ RF: *om.* P 6 ὡς περὶ] ὡσπερεὶ V ἐποιήσατο] ἐποιήσει τε *(sic)* P 7 τρίτω RP: δευτέρω VF τῶν R: *om.* VPF ἀποδέδεικται P 9 ἐς *Hipp.*: εἰς VRPF *et ab Aldo edd.* σωτηρίαν VR ἅπασι *Hipp. (cf. etiam p. 241, 11) et ab Aldo edd.*: πᾶσι VRPF 10 ὅσα *Littré* ξὺν *Hipp. et ab Aldo edd.* πυρετοῖς *(compend.)* F ἐστι] εἰσι P 12 ἀναπτοὴν *(sic)* P 14 ἀλλὰ μηδὲ τῶν συνημμένων αὐτοῖς μορίων τινά V² *in mrg.* R: ἀλλὰ καὶ (*post* καὶ *add.* κατὰ F) τὰ συνημμένα τούτοις (τούτων F) τινὰ μόρια VPF γὰρ R: *superscr.* V²: *om.* PF 15 αὐτὰ] ταῦτα P ἔχοντι P 16 τι P: *om.* VRF 17 τούτων τι (*om.* P) VRPF: τι τούτων *edd.* πάσχει R 18 μῇ (ῇ *superscr. man. 2*) P ὥστ' VRPF: ὡς *edd.* 20 ἐλπίδας] ας *in ras.* V σριας *in ras.* V 23 μέντοι P: μὲν οὖν VF: μὲν R *post* χρόνια *superscr.* ἃ F² τῷ RP: τῶν V: *om.* F καταλύει F

ἀπεφήνατο τῶν ὀξέων, ὄντων δὲ καὶ τούτων διττῶν. ἐπειδὴ τὰ μὲν
79 ἁπλῶς τε καὶ πρώτως ἐστὶν ὀξέα, τὰ δὲ ἐκ μετα|πτώσεως τούτων γίνεται, περὶ ἀμφοτέρων ἐδήλωσεν εἰπών· ὁκόσα ϲὺν πυρετοῖϲίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, τὸ μὲν ϲὺν πυρετοῖσι προσθείς, ἵνα χωρίσῃ ταῦτα σπασμοῦ καὶ τετάνου καὶ χολέρας ὅσα τ' ἄλλα χωρὶς πυρετῶν ἐστιν ὀξέα, τὸ δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, χάριν τοῦ συγκαταριθμεῖσθαι τοῖς ἁπλῶς τε καὶ κυρίως λεγομένοις ὀξέσι τὰ ἐκ μεταπτώσεως ὀξέα. γίνεται δὲ ταῦτα κατ' ἀρχὰς μὲν ὀξέως νοσησάντων, ὕστερον δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἢ καὶ πρὸ αὐτῆς κριθέντων οὐ τελέως, ἀλλ' ὥστε τι λείψανον τῆς νόσου μέχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκταθῆναι.

μετάπτωσις μὲν γὰρ ἐν ταῖς ἐλλιπέσι κρίσεσι γίνεται τῶν ὀξέων νοσημάτων οὐκ εἰς ταῦτα μόνον, ἀλλὰ καὶ τῶν χρονίων ἔνια, καὶ μάλιστα μαρασμὸν καὶ τεταρταῖον ἐμπυήματά τε καὶ φθόην καὶ ὕδρωπας. ἀλλ' ὅ γε Ἱπποκράτης ἐξαιρεῖ τοῦ παρόντος λόγου κἀκεῖνα, μόνοις τοῖς ἁπλῶς ὀξέσιν, ὅσα ϲὺν πυρετοῖς γίνεται, καὶ τοῖς ἐκ μεταπτώσεως αὐτῶν εἰς τεσσαρακοστὴν ἡμέραν ἀφικνουμένοις ἄριστον
80 εἶναι σημεῖον ἀποφηνάμενος τὴν | εὔπνοιαν, οὔτε δὲ τοῖς ἄνευ πυρετῶν ὀξέσιν ἅπασιν οὔτε τοῖς χρονίοις, ὥστ' εἶναι τρία τὰ πάντα γένη τῶν νοσημάτων ἐν τῇ κατὰ χρόνον διαφορᾷ, ἓν μὲν τῶν ὀξέων ἐν τεσσαρεσκαίδεκα κρινόμενον ἡμέραις, ἀντικειμένων αὐτῷ τῶν χρονίων, ἐπαμφοτερίζον δὲ καὶ οἷον ἐν μεθορίῳ τεταγμένον ἀμφοῖν ἄλλο τρίτον, οὗ πέρας ἐστὶ τῶν κρισίμων ἡμερῶν ἡ τεσσαρακοστή.

ταῦτα μὲν οὖν ἐγὼ λέγω τοῖς ἐναργῶς φαινομένοις ἐπὶ τῶν νοσούντων ὁμολογοῦντα, καὶ ὅστις αὐτὰ ἐπ' ἐκείνων βασανίσει, γνώσεται τὴν τῶν πραγμάτων φύσιν οὕτως ἔχουσαν. ὅσοι δὲ τὸ ἐν τεσσαρεσ-

3 ἐδήλωσεν] *5. II 122, 16 L.*

1 καὶ VRPF: *om. edd.* τὰ μὲν *in ras.* P 3 *post* γίνεται *add.* καὶ P 4 ἐστι] εἰσιν P ἐν *superscr.* V² ἡμέρῃσι] μέρῃσι *(sic)* P κρίνονται VR *post* μὲν *inser.* οὖν R πυρετοῖσι P: πυρετοῖς VR: πυρετῷ F 5 χωρίσῃ PF: χωρήσῃ V: χωρήσει R 6 πυρετῶν *corr. ex* πυρετοῦ P ἐστιν] εἰσιν P 7 κρίνεται VRP: κρίνεσθαι F συγκαταριθμεῖσθαι VRPF: συγκαταριθμῆσαι *edd.* 8 *post* ταῦτα *inser.* καὶ F 10 ὥστε] ὥσπερ P τι] τὸ P 11 τῆς *(alt.) om.* F *post* ἐκταθῆναι *inscrib.* περὶ μεταπτώσεως VRF 12 *post* ὀξέων *decem fere litteras eras.* V 13 οὐκ εἰς ταῦτα μόνον *post* γὰρ *(12) colloc.* P οὐκ] οὐ *in ras.* V ταῦτα] ταυτό F 14 *ante* μαρασμὸν *inser.* εἰς *Aldus* μαρασμὸν *corr. ex* -μῶν P¹F¹ τεταρ̄´ F ἐμπυήματά VF: ἐμπύημά R: ἐμπύημεν *(sic)* P καὶ φθόην *om.* R 15 ἐξαιρεῖ VRPF: ἐξαίρει *Aldus* 16 πυρετοῖς P: πυρετῷ VRF τοῖς] τῆς R *post* ἐκ *inser.* τῆς RPF 17 ἀφικνουμένης R 18 εὔπνοαν *(sic)* P 19 οὔτε] οὕτως P ση(μείωσον) τρία γένη τῶν νοσημάτων πάντων F *in mrg.* τρία τὰ πάντα VRPF: τὰ πάντα τρία *Aldus* 20 *post* κατὰ *inser.* τὸν F *post* μὲν *superscr.* τὸ F ἐν VRPF: *om. Aldus* 21 ἀντικείμενον *corr. ex* -μένων F *post* αὐτῷ *superscr.* τὸ F 22 ἐπαμφοτερίζον *corr. ex* -ζων P¹ 24 λέγω ἐγὼ P τῶν] τὸν P 25 αὐτὰ] αὒͭ *ambigue* V βασανίσει V: βασανίζει RF: βασανίζεισι *(sic)* P 26 *post* δὲ *add.* καὶ *Aldus*

καίδεκα ἡμέρῃσι κρίνεσθαι τὰ ὀξέα νοσήματα λέγουσιν εἰρῆσθαι τὸν ἀριθμὸν τῶν κρισίμων ἡμερῶν διδάσκοντος ἡμᾶς τοῦ παλαιοῦ, πρὸς τῷ μὴ γινώσκειν, ἃ μάλιστα ἐχρῆν αὐτοὺς ἐπίστασθαι, καὶ τῶν λέξεων οὐκ ἀκούουσιν. εἰ γὰρ τὸ τεσσαρεσκαίδεκα ἡμέραις κρίνεσθαι τὰ ὀξέα νοσήματα δηλωτικόν ἐστι τοῦ πλήθους τῶν κρισίμων ἡμερῶν ὁπόσον ἐστί, καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις κρίνεσθαι τὸν ἀριθμὸν δηλώσει τῶν κρισίμων ἡμερῶν. ζητησάτωσαν οὖν | ὥσπερ ἐν 81 ταῖς τεσσαρεσκαίδεκα ποιοῦσι τὰς ἕως τῆς τεσσαρακοστῆς, οὕτως καὶ τὰς νῦν εἰρημένας τεσσαράκοντα ποιῆσαι.

I 26 [6. II 122, 18 L.] Οἱ δ᾽ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσοι ἂν ἐν ἡμέρῃσί τε κρισίμοισι γίνωνται καὶ τελέως τῶν πυρετῶν ἀπαλλάξωσιν. ἀγαθοὶ δὲ καὶ ὅσοι διὰ παντὸς τοῦ σώματος γενόμενοι ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. οἳ δ᾽ ἂν μὴ τουτέων τι ἐξεργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ οἱ ψυχροὶ καὶ μόνον περὶ τὴν κεφαλὴν γινόμενοι καὶ τὸ πρόσωπον καὶ τὸν αὐχένα· οὗτοι γὰρ σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι, σὺν δὲ πρηυτέρῳ μῆκος νούσου. |

Ἐπὶ μὲν τῶν ἀρίστων ἱδρώτων δύο γράψας γνωρίσματα τὸ τρίτον 82 παρέλιπεν ὡς ἐξ ἀνάγκης ἑπόμενον οἷς εἶπεν· ὅσοι γὰρ ⟨ἂν⟩ ἐν ἡμέραις τε κρισίμοις γένωνται καὶ τελέως ἀπαλλάξωσι τὸν κάμνοντα, οὗτοι καὶ ‘δι᾽ ὅλου τοῦ σώματός’ εἰσιν· ἐν δὲ τοῖς ἀγαθοῖς

20 εἶπεν] *6 (II 124, 1sq. L.)*

2 διδάσκοντα P 3 αὐτοὺς *corr. ex* αὐτῶν V² ἐπίστασθαι αὐτοὺς P 5 κρισίμων RF: *om.* V: *om. item, sed add.* ⟨κρι⟩σήμων P *in mrg.* 6 ἡμερῶν *in ras.* V ὁπόσον . . . ἡμερῶν *(7) om.* R καὶ *om.* F 7 ἐν RF: *om.* VP 8 ταῖς R: *om.* VPF *post* τεσσαρεσκαίδεκα *inser.* καὶ F τὰς] τὴν F τῆς *om.* F τεσσαρακοστῆς] τεσσαρεσκαιδεκάτης P οὕτως] οὔπω F 10 περὶ ἱδρώτων *inscrib.* V²R δ᾽ VRPF: *om. ab Aldo edd.* 11 πᾶσι *Hipp.* τοῖς P νουσήμασι *ex Hipp. ab Aldo edd.* ὁκόσοι F *Hipp.*: οἳ VRP ἂν *del. Littré* τε *om.* P 12 γένωνται VRF: γίνωνται P: γίγνονται *Hipp.* τελέως VRPF: τελείως *ex Hipp. ab Aldo edd.* τῶν πυρετῶν VRP *Hipp.*: τὸν πυρετὸν F ἀπαλλάσσουσιν *Hipp.* 13 δὲ δὲ *(sic)* R ὅσοι VRPF: ὁκόσοι *Hipp.* γινόμενοι P 14 νούσημα *ex Hipp. a Basil. edd.* μή] μήπως *(sic)* P 15 τουτέων VRPF: τοιοῦτον *Hipp.* τι *om.* P ἐξεργάσονται *ab Aldo edd.* λυσιτελές P 16 μοῦνον P *Hipp. et ab Aldo edd.*: μόνον VRF καὶ τὸ πρόσωπον *om.* F 17 οὗτοι *ex corr.* V 17 (*et* 18) ξὺν P 18 προσημαίνουσι *scripsi et post* θάνατον *collocavi secutus Hipp. et conl. Gal. infra p. 243, 9*: σημαίνουσι *post* νούσου *(18) colloc.* VRPF πρηυτέρω δὲ F νόσου P *post* νούσου *inser.* καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν. οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι πονηροί. οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες ἀγαθοί. κατανοεῖν δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν δι᾽ ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς *cum nonnullis codd. Hipp. ab Aldo edd.* 19 ἀρίστων] ων *ex corr.* P 20 ἀνάγκου P ἂν *addidi conl. supra v. 11* 21 *post* τε *inser.* καὶ P κρισίμοις *corr. ex* κρισίμως P γίνωντε P τελέως PF: τελείως VR *post* τελέως *inser.* τῶν πυρετῶν *edd.* ἀπαλλάξουσι VF

μέν, οὐ μὴν ἀρίcτοιc γε τὸ ʽδι᾽ ὅλου τοῦ cώματοc γενέcθαι᾽ καὶ τὸ καθελεῖν τι τῆc νόcου γράψαc οὐδὲν ἔτι προcέθηκε περὶ τῶν κριcίμων ἡμερῶν, ὡc ἐξ ἀνάγκηc αὖ πάλιν καὶ τούτου cυνεπομένου τοῖc ἀγαθοῖc ἱδρῶcι.

τρίτη δ᾽ ἄλλη τάξιc ἱδρώτων ἐcτὶ μετρίωc κακῶν, ὑπὲρ ὧν εἶπεν οἳ δ᾽ ἂν μὴ τουτέων τι ἐξεργάcωνται, οὐ λυcιτελέεc, τουτέcτι τό τε δι᾽ ὅλου τοῦ cώματοc γίνεcθαι καὶ τὸ μὴ τὸν κάμνοντα ποιῆcαι φέρειν εὐπετέcτερον τὴν νόcον. αὐτῶν δὲ τούτων εὔδηλον ὅτι χείρουc μέν εἰcιν οἱ μηδέτερον τούτων ἐργαcάμενοι, μετριώτεροι δὲ οἱ τὸ ἕτερον.
83 αὖθιc δὲ πάλιν αὐτῶν τούτων οἱ | μὲν εὐπετέcτερον φέρειν τὴν νόcον ἐργαcάμενοι μετριώτεροι, κἂν μὴ δι᾽ ὅλου τοῦ cώματοc γένωνται, χείρουc δὲ οἱ βαρύτερον ἀποδείξαντεc τὸ νόcημα, κἂν εἰc ὅλον ἐκταθῶcι τὸ cῶμα.

τούτοιc μὲν οὖν ἅπαcιν ὑπάρχει τοῖc ἱδρῶcι θερμοῖc εἶναι καὶ διὰ τοῦτ᾽ οὐδὲ κατὰ μίαν τῶν τριῶν τάξεων ἐδήλωcεν αὐτό, παραλείπειν εἰθιcμένοc ὅcα τε ἐξ ἀνάγκηc ἕπεταί τιcι καὶ ὅcα διὰ τῆc τῶν ἐφεξῆc λεγομένων ἀντιθέcεωc δηλοῦται.

πᾶcι δὲ τοῖc προειρημένοιc κατὰ τοῦτον τὸν λόγον ἱδρῶcιν ἀντιτίθηcι τοὺc ψυχροὺc εἰπὼν ὧδε· κάκιcτοι δὲ οἱ ψυχροὶ καὶ cὺν αὐτοῖc κακοὺc εἶναί φηcιν, ὅcοι περὶ τὴν κεφαλήν τε καὶ τὸν αὐχένα γίνονται, κἂν μὴ ψυχροὶ τυγχάνωcιν ὄντεc· ἀπειλοῦcι γὰρ οὗτοι cυγκοπήν. εἰ δ᾽ ἅμα τε περὶ ταῦτα γίνονται τὰ μέρη καὶ ψυχροὶ φαίνονται, χείριcτοι πάντων εἰcίν. οὐ γὰρ ἔτι μέλλειν, ἀλλ᾽ ἄρχεcθαι δηλοῦcιν ἤδη τὴν cυγκοπήν. ἐπιδιορίζονται δὲ τῇ cφοδρότητι τοῦ πυρετοῦ· εἰ μὲν γὰρ ὀξεῖc ὑπάρχουcι, θάνατον οἴcουcι πάντωc οἵ τε ψυχροί, κἂν
84 δι᾽ | ὅλου γίνωνται τοῦ cώματοc, οἵ τε ʽπερὶ τὸν τράχηλον καὶ κεφαλήν᾽, εἰ καὶ θερμοὶ τύχοιεν ὄντεc. εἰ δὲ καὶ πρᾷοc ὁ πυρετὸc εἴη, δυνήcεταί ποτε πέψαι καὶ τοὺc μοχθηροὺc χυμοὺc ἡ δύναμιc ἐν τῷ χρόνῳ μὴ φθάcαcα προαναλωθῆναι τῇ τῶν πυρετῶν ὀξύτητι.

5 εἶπεν] *6 (II 124, 4 sq. L.)* 18 ἀντιτίθηcι] *6 (II 124, 5 L.)*

1 γε *corr. ex* τε F 3 αὖ] οὖν V ἀγαθοῖc *superscr.* P 5 *post* ἱδρῶcι *inscrib.* περὶ ἱδρώτων ἐν μεcοτάτω κειμένων VRF πάξιc *(sic)* P μετρίοιc P 6 μὴ VRF: μηδὲν P τι VR: *om.* PF ἐξεργάcωνται VRF: ἐργάcωνται P λυcιτελέc P τουτέcτι RF: *om.* VP 7 *post* τό *(prius) superscr.* μή V^2 τε] οὔτε F γενέcθαι P μὴ RF: *superscr.* V^2: *om* P ποιῆcαι VRPF: ποιεῖν *edd.* 8 εὐπετέcτερον φέρειν P νόcῶν (ο *superscr.*) P 10 πάλιν P: *om.* VRF 12 βαρυτέραν τὴν νόcον R 15 αὐτὸ (ὸ *in ras.*) P παραλιπεῖν F 16 τῆc *om.* P 19 *post* δὲ *inser.* καὶ *edd.* αὐτοῖc *corr. ex* αὐτοὺc V^1R^1 20 τε VRP: γε F: *om. edd.* 21 τυγχάνωcιν *corr. ex* τυγχάνουcιν V^1 cυγκοπὰc P 22 τε *om.* F γένωνται PF: γένηται VR: *correxi* φαίνωνται *Chartier* 24 τὴν cυγκοπὴν ἤδη *sed transp. ipse* R ἐπιδιορίζονται P: *ex corr.* V^2: ἐπιδιορίζοντα R: ἐπιδιορίζουcι F 25 ὀξὺc ὑπάρχει R: ὀξὺc ὑπάρχουcιν P οἵ *in ras.* F τε] γε *(in ras.)* F ψυχροὶ] ὶ *in ras.* F 26 γίνωνται F: γίγνωνται VR: γένωνται P ὅλου τοῦ cώματοc γένωνται P οἵ τε VP: εἴ τε R: οἱ δὲ (*corr. ex* τε) F 27 θερμὴν *(sic)* P 28 καὶ RF: *eras.* V: *om.* P *edd.* χυμοὺc *om. Aldus Basil.* δύναμιc *(compend.)* P 29 φθάcαντac P προcαναλωθῆναι F

περὶ μέντοι τῶν κριcίμων ἡμερῶν οὐκέτι οὐδὲν εἶπεν ἐπὶ τῶν ἄλλων ἱδρώτων (καίτοι γε ἐπὶ τῶν ἀρίcτων εἶπεν ἐν ἀρχῇ), διότι μέλλει δύναμίν τινα τῶν κριcίμων ἐν τῷ περὶ αὐτῶν λόγῳ διδάcκειν, ἐν αὐτῇ δὲ τῇ ῥήcει cυνενεδείξατο. μία γὰρ ἐcτιν αὐτῶν ἡ δύναμιc πιcτὴν ἐργάcαcθαι τὴν κρίcιν, ἐάν τε εἰc ἀγαθὸν ἐάν τε εἰc κακὸν τελευτήcῃ.

γινώcκειν δὲ χρὴ τὴν τελευτὴν τῆc προκειμένηc ῥήcεωc ὑπὸ τῶν περὶ Διοcκουρίδην γεγραμμένην κατὰ τήνδε τὴν λέξιν κάκιcτοι δὲ οἱ ψυχροὶ καὶ μόνον περὶ τὴν κεφαλὴν γινόμενοι καὶ τὸν αὐχένα· οὗτοι γὰρ θάνατον προcημαίνουcιν ἢ μῆκοc νόcου. δῆλον δὲ ὅτι καὶ ἡ τοιαύτη γραφὴ cυντομωτέρα μέν ἐcτι τῆc προτέραc, δύναμιν δὲ τὴν αὐτὴν ἔχει καὶ δεήcει προcθεῖ|ναι τὸν ἐξηγητήν, ὅπερ 85 ἐπὶ τῆc προτέραc ἤδη γέγραπται cὺν μὲν ὀξεῖ πυρετῷ θάνατον, cὺν δὲ πρηυτέρῳ μῆκοc νόcου. ἐφεξῆc δὲ τούτων γέγραπταί τινα περὶ ἱδρώτων, οὐκ ἐν πᾶcι δὲ τοῖc ἀντιγράφοιc, ἃ καλῶc ἄλλοι τέ τινεc ἐξεῖλον ὡc οὐχ Ἱπποκράτουc καὶ οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοcκουρίδην.

I 27 [7. II 124, 13 L.] Ὑποχόνδριον δὲ ἄριcτον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ὁμαλὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριcτερά. φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον ἢ ἐντεταμένον ἢ ἀνωμάλωc διακείμενα τὰ δεξιὰ πρὸc τὰ ἀριcτερά, ταῦτα πάντα φυλάccεcθαι χρή.

Ἑνὶ μὲν λόγῳ βραχυτάτῳ περιλαβὼν ἄν τιc εἴποι τὸ τῷ κατὰ

2 εἶπεν] *6 (II 122, 18 L.)* 6. 7 ὑπὸ τῶν περὶ Διοcκουρίδην] *cf. Ilberg, Mus. Rhen. N. S. 45 (1890) 125* 12 γέγραπται] *6 (II 124, 7sq. L.)* 13 ἐφεξῆc δὲ τούτων] *6 (II 124, 8—12 L.)*

1 ἐπὶ . . . καίτοι *(2) omissis post* εἶπεν *add. sed del. ipse* ἐπεὶ περὶ τῶν ἄλλων ἱδρώτων καί τοι F 2 καίτοι] μίτοι *(sic)* P γε ἐπὶ VRP: γε ἐν τοῖc περὶ *edd.*: ἐπεὶ περὶ F *post* διότι *add.* γε P: τε *edd.* *post* μέλλει *add.* τὴν P 3 δύναμίν τινα P: τινὰ δύναμιν VRF ἐν τῷ περὶ *in ras.* P 4 δὲ VRPF: τε *edd.* cυνενεδείξατο] εν *superscr.* V[2]: cυνεδείξατο P ἐcτιν αὐτῶν RP: αὐτῶν ἐcτιν VF ἐργάζεcθαι P 5 ἐάντε . . . ἐάντε VRPF: ἄντε . . . ἄντε *Aldus Basil.*: ἄντε . . . ἐάντε *Chartier* τελευτήcει R 6 γιγνώcκειν V: γινώcκει *Aldus* 7 *post* περὶ *add.* τὸν *edd.* διοcκορίδην VP γεγραμμένην *corr. ex* -μένων V[3] 8 μόνοι *Aldus Basil.* 9 *post* γὰρ *add.* cὺν μὲν *(superscr.)* ὀξεῖ πυρετῶι F cημαίνουcιν F *post* cημαίνουcιν *add.* cὺν πρηυτέρωι δὲ (*omisso* ἢ) F νόcου RP: νούcου V 13 δὲ *om. Aldus Basil.* τούτοιc P *post* ἱδρώτων *inser.* ἃ *edd.* *post* οὐκ *add.* εἰcὶν *edd.* ἅπαcι *edd.* 14 δὲ PF: τε R: *om* V τε *om.* V τινεc *om.* F 15 ἱπποκράτηc P *post* Ἱπποκράτουc *addiderim* ὄντα οἱ] εἰ P διοcκορίδην P 17 περὶ ὑποχονδρίων cημειώcεωc *inscrib.* VRF *in mrg.* δὲ *om* V μὲν VRPF: *om. Aldus Basil.* *ante* ἀνώδυνον *inser.* ἐcτιν εἰ *Chartier* 18 μαλθακὸν *corr. ex* μαθαλὸν V[1] *post* καὶ *(alt.) add sed ipse del.* μαλακὸν P δεξιᾶ F *post* δεξιὰ *rasura* V 19 ἀριcτερᾶ P 20 διακείμενα VRP *Hipp.*: διακείμενον F τὰ *(alt.) om.* P *post* ἀριcτερὰ *inser.* ἢ ἀριcτερὰ πάλιν πρὸc τὰ δεξιὰ *Chartier* 21 φυλάccεcθαι P *Hipp.*: φυλάττεcθαι VRF 22 εἴποι VF: εἴπῃ RP

φύσιν ὁμοιότατον ὑποχόνδριον ἄριστον εἶναι. κατὰ μέρος δὲ αὐτοῦ διδάσκων ὁ Ἱπποκράτης τὰ γνωρίσματα τὸ μὲν πρῶτον αὐτῶν ἐκ
86 τῶν οὐχ ὑπαρχόντων εἶπεν, ἃ δὴ κα|λεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἀποσυμβεβηκότα. τὰ δὲ ἐφεξῆς δύο γνωρίσματα τῶν συμβεβηκότων ἐστὶ τοῖς ὑποχονδρίοις. ἀνώδυνον μὲν οὖν ὑποχόνδριον ἐκ τοῦ μὴ συμβεβηκότος αὐτῷ λέλεκται, μαλθακὸν δὲ καὶ ὁμαλὸν ἐξ ὑπαρχόντων τινῶν. ἀλλὰ τὸ μὲν μαλθακὸν ἐκ τοῦ συμμέτρου τῆς ἀντιβάσεως γνωρίζεται (τὸ γὰρ ἀντικείμενον αὐτῷ τὸ σφοδρῶς ἀντιβαῖνον σκληρόν ἐστι), τὸ δὲ ὁμαλὸν οὐ κατὰ μίαν μόνην τήνδε νοεῖται τὴν ποιότητα. δύναται γὰρ ὁμοίως μὲν εἶναι μαλθακὸν ἅπαν, ἤτοι δὲ κατά τι μὲν ἀνώδυνον ὑπάρχειν, κατά τι δ᾽ ὀδυνώμενον, ἢ τὸ μὲν αὐτοῦ θερμότερον εἶναι, τὸ δὲ ψυχρότερον, ἢ τὸ μὲν ὑψηλότερον, τὸ δὲ ταπεινότερον. ὅθεν ἀντιτιθεὶς τῷ ἀρίστῳ καὶ ὁμαλῷ τὰ τοῦ χειρίστου καὶ ἀνωμάλου γνωρίσματά φησι "φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον ἢ ἐντεταμένον ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερά". τὸ μὲν φλεγμαῖνον εἶπε καθ᾽ ὅλου τοῦ ὑποχονδρίου, σημαίνει δὲ δηλονότι τὸ ῥῆμα τοῦτο τὸ φλεγμαίνειν, ὡς εἰ καὶ διακαίεσθαι καὶ φλέ-
87 γεσθαι καὶ πεπυ|ρῶσθαι λέγοιτο. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ τὴν ὀδύνην παρέχον ἐφ᾽ ὅλου λέλεκται τοῦ ὑποχονδρίου, καθάπερ γε καὶ τὸ τεταμένον (ἐφ᾽ ὅλου γὰρ εἴρηται καὶ τοῦτο), τὸ δὲ ἀνωμάλως διακείμενον, ὅταν μὴ πᾶν ἔχῃ τὸ ὑποχόνδριον τὴν αὐτὴν διάθεσιν ἢ κατὰ θερμασίαν ἢ κατὰ ψύξιν ἢ κατ᾽ ὀδύνην τε καὶ ἀνωδυνίαν ἢ κατ᾽ ἰσχνότητα καὶ χαλαρότητα καὶ τάσιν. γίνεται γάρ ποτε

14 φησὶ] *7 (II 126, 1sq. L.)*

1 ἄριστον εἶναι PF: εἶναι ἄριστον VR   αὐτοῦ RF: αὐτ͡ *(ambigue)* VP   2 διδάσκων *supra ras.* V²   αὐτῶν RF: *corr. ex* αὐτοῦ V²: αὐτοῦ P   3 ἃ] ὃ F   ἔστιν ἔθος F   4 ἀποσυμβεβηκότα V: *corr. in* ἀπὸ μὴ (*superscr.* V²) συμβεβηκότων V²: ἀπὸ μὴ συμβεβηκότων P: ἀπο συμβεβηκότων R: ἀπὸ συμβεβηκότος F   *post* γνωρίσματα *perperam add.* οὐ R: *item sed eras.* V   5 μὴ *superscr.* V²: *expunx.* F: *om.* RP   συμβεβηκότος] ος *in ras.* P   6 τί ἐστι μαλθακὸν ὑποχόνδριον R *in mrg.*   αὐ͡τ V   μαλθακὸν RP: μαλακὸν VF   8 γὰρ] δὲ F   8. 9 ἐστι σκληρὸν ὑποχόνδριον R *in mrg.*   σκηρόν *ut saep.* P   11 ὑπάρχειν VF: ὑπάρχει R: ὑπάρχον P   αὐτοῦ VRPF: ἑαυτοῦ *edd.*   13 ἀντιτιθεὶς . . . γνωρίσματα *(14) om.* R   ἀντιθεὶς F   τῷ] τὸ P   *post* ἀρίστῳ *superscr.* τοῦ κακοῦ V²   καὶ ὁμαλῷ τὰ τοῦ μὴ ἀρίστου καὶ *(14)* ἀνωμάλου *omissa add.* V¹ *in mrg.*   καὶ ὁμαλῷ VR: τοῦ ὁμαλοῦ PF   τοῦ χειρίστου καὶ ἀνωμάλου VR: *om.* PF   φλγμαῖνον *(sic)* V   15 διακείμενα VRP: διακείμενον F   16 *post* μὲν *inser.* οὖν P: *volebat sed del.* V   φλεγμαῖνον] φ *in ras.* V   σημαίνειν F   16. 17 δηλονότι τὸ ῥῆμα τοῦτο VR: δηλονότι τοῦτο τὸ ῥῆμα F: τοῦτο δηλονότι τὸ ῥῆμα P   17 φλεγμαῖνον P   18 πεπυρῶσθαι VRP: πυροῦσθαι F   τὸ *om.* F   19 παρέχον *corr. ex* παρέχων R¹   ἐφ᾽ ὅλου *in ras.* F   λέλεκται VRPF: λέγεται *edd.*   *post* λέλεκται *ras.* V   γε RP: δὲ *sed eras.* V: δὴ *corr. ex* δὲ F   20 καὶ *(prius) in ras.* P   καὶ τοῦτο εἴρηται V   δὲ VRPF: *om. a Basil. edd.*   21 διακείμενον *om.* V   πᾶν] πως *Aldus*   ἔχει R   22 *post* ἢ *(prius) add.* καὶ R: *add. sed ipse del.* τὸ F   θερμασίαν VRF: θέρμην P   ἢ *(alt.) om.* P   κατὰ *(alt.)* VRF: καὶ P   τε *om.* P   23 κατ᾽] κατὰ τὴν V   *post* ἰσχνότητα *add.* καὶ παχύτητα P

τάϲιϲ ὑποχονδρίου χωρὶϲ τῆϲ ἰδίωϲ ὀνομαζομένηϲ φλεγμονῆϲ, ἤτοι διὰ ξηρότητά τινα ϲφοδρὰν οὐ μόνον τῶν κατ' αὐτὸ μορίων, ἀλλὰ καὶ τῶν κατὰ τὸν ὑπεζωκότα τὰϲ πλευρὰϲ ὑμένα καὶ τὰϲ φρέναϲ ἢ διὰ τὰϲ μετ' ὄγκου φλεγμονὰϲ αὐτῶν τῶν κατὰ τὸ ὑποχόνδριον μυῶν ἔξω τῆϲ ἰδίωϲ ὀνομαζομένηϲ φλεγμονῆϲ καθεϲτώτων, ἥτιϲ ἐϲτὶν ὄγκοϲ ὀδυνηρόϲ.

I 28 [7. II 126, 3 L.] Εἰ δὲ καὶ ϲφυγμὸϲ ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον ϲημαίνει ἢ παραφροϲύνην, ἀλλὰ καὶ τοὺϲ ὀφθαλμοὺϲ ἐπικατιδεῖν | χρὴ τῶν τοιουτέων· ἢν γὰρ αἱ ὄψιεϲ **88**
πυκνὰ κινέωνται, μανῆναι τούτουϲ ἐλπίϲ.

Εὑρίϲκεται μὲν ἔν τιϲι τῶν ἀντιγράφων οὐ ϲφυγμόϲ, ἀλλὰ παλμόϲ γεγραμμένοϲ (ἐμάθομεν δὲ ὅτι τὸ ϲύμπτωμα τοῦτο διὰ πνεῦμα γίνεται φυϲῶδεϲ), ἀλλ' ἐν τοῖϲ πλείϲτοιϲ γέγραπται ϲφυγμόϲ, ἤτοι γε ὁ ϲυνὼν ταῖϲ μεγάλαιϲ φλεγμοναῖϲ ἢ καὶ τῆϲ κατὰ ῥάχιν ἀρτηρίαϲ τῆϲ μεγάληϲ ἡ αἰϲθητὴ τῷ κάμνοντι κίνηϲιϲ, ὥϲ που κἀν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν εἶπεν ὁ ἀνήρ· "ὅταν ἡ φλὲψ ἡ κατ' ἀγκῶνα ϲφύζῃ, μανικὸϲ καὶ ὀξύθυμοϲ." εὔδηλοϲ γάρ ἐϲτι κἀνταῦθα τὸ ϲφύζειν ἐπὶ τῆϲ μεγάληϲ οὕτω καὶ ϲφοδρᾶϲ κινήϲεωϲ τῶν ἀρτηριῶν ἐπιφέρων, ὡϲ καὶ πρὸ τοῦ τὴν ἁφὴν ἐπιβάλλειν αὐταῖϲ αἰϲθητὴν εἶναι τὴν κίνηϲιν ἐνίοτε μὲν αὐτῷ τῷ πάϲχοντι μόνῳ, ἐνίοτε δὲ καὶ τοῖϲ ἔξωθεν ὁρῶϲιν. ὅ τι δ' ἂν ᾖ τούτων τῶν ϲυμπτωμάτων, οὐκ ἀγαθόν ἐϲτι ϲημεῖον. καὶ γὰρ ἡ μεγάλη ἀρτηρία τῶν κυριωτάτων μορίων ὑπάρχει καὶ ἡ γαϲτὴρ καὶ τὸ ἧπαρ, ὥϲπερ γε καὶ τὸ διά|φραγμα. πάντωϲ δὲ τούτων ἕν ἐϲτί **89**
τι τὸ πάϲχον, εἴτε παλμὸϲ εἴη γεγραμμένοϲ εἴτε ϲφυγμόϲ, ἀλλὰ τὸ μὲν διάφραγμα παραφροϲύνην ἑτοιμότατα φέρει (διόπερ καὶ προϲαγορεύεϲθαί φαϲιν αὐτὸ φρέναϲ ὑπὸ τῶν παλαιῶν), οὐχ ἥκιϲτα δὲ καὶ

11 εὑρίϲκεται κτλ.] *cf. Stephan. 117, 22sqq.* 15. 16 κἀν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *II 5, 16 (V 18sqq. L.)* 25 διόπερ . . . παλαιῶν *(26)*] *v. supra p. 238, 19sq. et infra p. 325, 1sq.*

2 τινα *om.* P τῶν . . . μορίων] τοῦ . . . μορίου (ου *in ras.*) P 3 τῶν κατὰ R: *om.* VPF 4 μυιῶν V μυῶν ἔξω *om.* F 5 καθεϲτώτων VRP: καθεϲτώϲηϲ F 7 εἰ VPF *Hipp.*: ἢν R *et ab Aldo edd.* ἐν VF *Hipp.*: *om.* RP 8 καὶ PF *(cf. etiam infra p. 246, 15)*: *om.* VR *Hipp.* 9 ἐπικατιδεῖν *correxisse videtur ex* ἐπικαταδεῖν P χρὴ *om. Hipp.* *post* χρὴ *inser.* καὶ *Aldus* τῶν τοιούτων χρή P 10 διάγνωϲιϲ τῶν μανηϲομένων *inscrib.* R *in mrg.* κινέονται R τούτοιϲ V ἐλπίϲ VRPF: ἐλλιπέϲ V³ 12 ἐμάθομεν . . . φυϲῶδεϲ *(13) interpolata esse coni. Weyh* 14 ὁ VRP: ὡϲ F κατὰ ῥάχιν VRF: κατὰ ῥάχην *corr. ex* κατ' ἀρχὴν P 15 ἡ *om.* V *post* ἡ *perperam inser.* δὲ R τῷ κάμνοντι κίνηϲιϲ VRPF: κίνηϲιϲ τῷ κάμνοντι *edd.* 16 ϲφύζῃ VRF *Hipp.*: ϲφύξῃ P 17 εὔδηλοϲ V: εὔδηλον RPF κἀνταῦθα] κἂν ἐνταῦθα R 19 ἁφὴν *in ras.* P ἐπιβάλλειν PF: ἐπιβαλεῖν V: ἐπιβαλλεῖν R αὐταῖϲ *ex corr.* R τὴν *om.* P 20 τῷ πάϲχοντι *om.* F 21 ϲημεῖον ἐϲτιν P 22 ὅτι καὶ ἡ μεγάλη ἀρτηρία τῶν κυριωτάτων μορίων ὑπάρχει *in mrg.* R 23 ἕν τί ἐϲτι P 25 ἑτοιμότατα RF: ἑτοιμο^{ττ'} *(ambigue)* VP: ἑτοιμοτάτην *edd.* 26 φαϲιν RP (*cf. supra p. 238, 19* ἐκάλουν *et infra p. 325, 1* φαϲιν): φηϲιν VF παλαιῶν] παλμῶν *(sic)* P

τὸ στόμα τῆς γαστρός, ὅταν μεγάλως φλεγμαίνῃ. τὰ δ᾽ ἄλλα μόρια τὰ τῇδε πάσχοντά τι τῶν εἰρημένων παθημάτων ἐν ἐπικινδύνῳ γίνεται διαθέσει. διὸ καὶ ὁ Ἱπποκράτης εἰκότως ἤτοι θόρυβον ἔφη σημαίνεσθαι πρὸς τοῦ συμπτώματος ἢ παραφροσύνην, θόρυβον μὲν ἑνὶ κοινῷ συμβεβηκότι πασῶν τῶν κινδυνωδῶν διαθέσεων, ἐφ᾽ αἷς οὐ τοῖς κάμνουσι μόνον, ἀλλὰ καὶ τοῖς ἰατροῖς θορυβεῖσθαι συμβαίνει, παραφροσύνην δὲ διά τε τὸ διάφραγμα καὶ τὸ τῆς γαστρὸς στόμα.

περὶ μέντοι τῶν καθ᾽ ὑποχόνδριον μυῶν ἐπισκεπτέον ἐστίν· οὔτε γὰρ παραφροσύνην ἐξ ἀνάγκης οὔτε κίνδυνον ἐπιφέρουσιν οὗτοι σφύζοντες ἢ παλλόμενοι. μή τι οὖν ἰδιώτερον ἀκοῦσαι χρὴ τοῦ ἐνείη ῥήματος ἐν τῇ λέξει, καθ᾽ ἣν εἶπεν ὁ Ἱπποκράτης εἰ δὲ καὶ σφυγ-
90 μὸς | ἐνείη ἐν τῷ ὑποχονδρίῳ τὸν ἐν τῷ βάθει τοῦ ὑποχονδρίου γινόμενον παλμὸν ἢ σφυγμὸν ἐκ τῆς ἐνείη φωνῆς ἐνδείξασθαι βουληθέντος αὐτοῦ.

ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιουτέων· ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς. ἐπειδὴ θόρυβον ἢ παραφροσύνην ὑπὸ τοῦ συμπτώματος ἔφη δηλοῦσθαι, διορίζεται νῦν καὶ διδάσκει, πηνίκα μὲν παραφροσύνη, πηνίκα δὲ θόρυβος ἔσται μόνον. ὁ διορισμὸς δὲ ἀπὸ τῆς τῶν ὀφθαλμῶν κινήσεως, οὓς οὐ νῦν μόνον, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις ἅπασι συμπτώμασιν, ἐφ᾽ ὧν ὑποπτεύεις ἔσεσθαι παραφροσύνην, ἀκριβῶς ἐπισκέπτου. τὸ γὰρ ἀστήρικτον αὐτῶν ἐκείνης ἐστὶ δηλωτικόν. ἐνταῦθα δὲ οὐχ ἁπλῶς ἔφη παραφρονῆσαι τὸν ἄνθρωπον, ἀλλὰ μανήσεσθαι σφοδράν τινα παραφροσύνην ἐπὶ τῶν προειρημένων σημείων γενήσεσθαι δηλῶν. ὅτι δ᾽ ἡ πυκνὴ κίνησις τῶν ὀφθαλμῶν τὴν ὑποψίαν τῆς παραφροσύνης βεβαιοῖ, δῆλον οἶμαί σοι κἀκ τῶν ἤδη λελεγμένων ἐπινοεῖν, ἡνίκα τοὺς περὶ τὸν ὀφθαλμὸν μύας ἐλέγομεν αἰσθάνεσθαι πρώτους τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν. αὐτὸς δὲ ὁ ἐγκέφαλος ἐπὶ διαφράγματι καὶ στόματι κοι-
91 λίας πάσχει, καθότι | κἀπὶ τοῖς ἄλλοις ὑμέσι τοῖς νευρώδεσιν. ἐξ ἐκεί-

3 ἔφη] *7 (II 126, 4 L.)* 11 εἶπεν] *7 (II 126, 3 sq. L.)* 17 ἔφη] *7 (II 126, 3 L.)* 18 διορίζεται νῦν] *7 (II 126, 5 sq. L.)* 22 ἔφη] *7 (II 126, 5 sq. L.)* 27 ἐλέγομεν] *supra p. 222, 5 sqq.*

3 ὁ *om.* F 4 πρὸς] πρὸ P 6 κάμνουσι *corr. ex* κάμνοντι V 7 δὲ *corr. ex* τε F γαστρὸς στόμα *corrosa* V 8 μυιῶν V 9 ἐπιφέρουσιν *in ras.* V σφύζονες *(sic)* P 10 παλλό///μενοι V μήτι VP: μή τοι RF: μήτε *Aldus* ἐνείη] ἐνείο *(sic)* P 11 ὁ *om.* F 12 τῷ *(alt.) superscr.* V[1] γενόμενον F 13 σφυγμὸν] σ *adscr.* V[3] 15 τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν RPF: κατιδεῖν τοὺς ὀφθαλμοὺς V τοιουτέων R: τοιούτων VPF 16 κινέονται RP τούτοις *(ut supra p. 245, 10)* V 17 ἐπειδὴ] ἐπεὶ P 18 παραφροσύνη PF: παραφροσύνη//// V: παραφροσύνην R 19 θόρυβον R 20 οὓς RP: ὡς V: *om.* F νῦν *superscr.* P συμπτώμασιν VRPF: *item sed del. ipse et superscr.* νοσήμασιν V[2]: νοσήμασιν *Chartier* 21 ὑποπτεύοις VR 22 ἰκείνης *(sic)* V 24 ἐπὶ (*corr. ex* ἀπὸ) *supra rasuram* V[2] προειρημένων VRPF: εἰρημένων *edd.* 26 ἤδη] ἤσι *(sic)* P λελεγμένων RF: *corr. ex* λεγομένων V[1]: λεγομένων P 27 τὸν ὀφθαλμον VR: τὸν ὀφθαλμῶν P: τοὺς ὀφθαλμοὺς F μῦς F ἐλέγομεν] ἐλέγετο μὲν F πρώτους VRF: πρώτως P 29 πάσχεῖ (εῖ *in ras.*) P ὑμέσι FP[2] *in mrg.*: μέρεσι P: μέρεσι *omissum superscr.* V[2]: *om.* R τοῖς *(alt.) om.* R

νου γὰρ ἁπάντων τῶν νεύρων πεφυκότων, ὅϲα μόρια πλείϲτων αὐτῶν ἢ μεγίϲτων μετέχει, ταῦτ᾽ εἰκότωϲ εἰϲ ϲυμπάθειαν ἄγει τὴν ἑαυτῶν ἀρχήν.

I 29 [7. II 126, 7 L.] Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ ϲκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιϲτον μέν, εἰ παρ᾽ ἅπαν εἴη τὸ ὑποχόνδριον· εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνότερον ἐν τῷ ἐπ᾽ ἀριϲτερά.

Οἴδημα μὲν εἴωθε καλεῖν τὸν παρὰ φύϲιν ὄγκον ἅπαντα τῶν νεωτέρων ἰατρῶν ἕνα μόνον οὕτωϲ ὀνομαζόντων ὄγκον, ὃϲ ⟨ἂν⟩ ἐν τῷ πιέζειν ἀνώδυνόϲ τε καὶ μαλακὸϲ ᾖ. ἣν δὲ πάλιν ἰδίωϲ ὀνομάζουϲι φλεγμονὴν οἱ νεώτεροι, ταύτην Ἱπποκράτηϲ ϲυνθέτῳ λέξει ϲκληρὸν καὶ ἐπώδυνον οἴδημα καλεῖ. τὸ γὰρ τῆϲ φλεγμονῆϲ ὄνομα κατὰ τῆϲ φλο|γώϲεωϲ ἔλεγεν. εὔδηλον δ᾽ ὅτι τοιαύτη διάθεϲιϲ ἐν 92
ὑποχονδρίῳ γινομένη χείρων μέν ἐϲτιν ἡ ἐν τοῖϲ δεξιοῖϲ διὰ τὸ ἧπαρ, ἐπιεικεϲτέρα δὲ ἡ ἐν τοῖϲ ἀριϲτεροῖϲ διὰ τὸν ϲπλῆνα, χειρίϲτη δὲ ἡ ἐν ἀμφοτέροιϲ ἅμα γινομένη.

I 30 [7. II 126, 9 L.] Cημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔϲεϲθαι.

Τὰ προειρημένα καθ᾽ ὑποχόνδριον οἰδήματα ϲκληρὰ καὶ ἐπώδυνα, τὰ πρὸϲ τῶν νεωτέρων ἰατρῶν ἰδίωϲ ὀνομαζόμενα φλεγμονάϲ, κίνδυνόν φηϲι ʽϲημαίνειν θανάτου ταχέωϲ ἐϲομένουʼ· τοῦτο δέ, ἐὰν μὴ καὶ τῶν ἔνδον τι ϲυμπεπόνθῃ, ψεῦδόϲ ἐϲτι· τὰ δὲ ἔνδον, ὡϲ ἴϲμεν,

19 τὰ προειρημένα] *supra v. 4 sqq.* 21 φηϲι] *7 (II 126, 9 L.)*

1 πλείϲτων *corr. ex* πλεῖϲτον R[1] 2 ἑαυτῶν VRPF: αὐτῶν (*i. e.* τῶν νεύρων) *Ermerins* 4 περὶ οἰδήματοϲ ἤγουν περὶ φλεγμονῶν τῶν κατὰ γαϲτέρα καὶ ϲτόμα γαϲτρὸϲ καὶ ἧπαρ καὶ ϲπλῆνα, περιτόναιον διάφραγμα καὶ τὸν ὑπεζωκότα ὑμένα τῆϲ μεγάληϲ ἀρτηρίαϲ τῆϲ κατὰ ῥάχιν καὶ τῶν κατ᾽ ἐπιγάϲτριον μυῶν R *in mrg.* 5 ἐὸν *post* ἐπώδυνον *colloc.* F 6 εἰ] ἦν R *post* δὲ *add.* καὶ *Hipp.* εἴη *in ras.* P *post* ἀκινδυνότερον *add.* εἰ *(in ras.)* F: ἐϲτιν *ex Hipp. ab Aldo edd.* 7 ἀριϲτερᾶ F *post* ἀριϲτερὰ *falso add.* ἐὸν P 8 μὲν RPF: μὲν οὖν *edd.*: δὲ V ἅπαντα *in ras.* F 9 ἂν *addidi* 10 πιέζειν *ex corr.* P 12 ϲκηρὸν *(ut saepius)* P 13 ἔλεγον P εὔδηλον VRP: εὔλογον F δ᾽ ὅτι (δ᾽ ὅ *in ras.*) P *post* ὅτι *inser.* ἡ *edd.* τοιαύτη/// P 14 γινομένη VR: γενομένη PF χείρω ο R ἐϲτιν *om.* R ἡ VRPF: *om. Aldus* 15 ἐπιεικέϲτεροι P 17 περὶ τοῦ ποϲοῦ τῆϲ δυνάμεωϲ τῶν τοιούτων οἰδημάτων *inscrib.* R *in mrg.* κίνδυνον θανάτου ὀλιγοχρονίου VRPF: θάνατον ὀλιγοχρόνιον *Hipp.* 19 προειρημένα VRPF: εἰρημένα *edd.* 20 ἰατρῶν *om.* R φλεγμονάϲ F: φλεγμοναί VRP 21 ϲημαίνειν RP: ν *superscr.* V: ϲημαίνει F *post* ἐϲομένου *inser.* καὶ F 22 ϲυμπεπόνθοι F: ϲυνεπεπόνθει VR: ϲυνεπεπόνθοι P: *correxi* ψευδέϲ F ἔνδον . . . ἧπάρ ἐϲτι *(p. 248, 1)*] ἔνδον ἐϲτὶν ὡϲ ἴ. εἶναι τούτοιϲ *(ex corr.)* ἧπαρ κτλ. P ὡϲ RP: *post* ἴϲμεν *superscr.* V[2]: *om.* F ὡϲ *omisso post* ἴϲμεν *inser.* ὅτι *edd.*

τό θ᾽ ἧπάρ ἐστι καὶ ἡ γαστὴρ καὶ ὁ σπλὴν καὶ τὸ περιτόναιον, ὥς οἵ γε μύες οἱ καθ᾽ ὑποχόνδριον φλεγμήναντες οὐχ ἱκανοὶ θάνατον ἐπενεγκεῖν, εἰ μή τι ἄρα ποτὲ σπανίως ἤτοι διὰ μέγεθος ὑπερβάλλον
93 φλεγμονῆς ἢ δι᾽ ἀρρωστίαν δυνάμεως ἢ καὶ | τῶν ἰατρῶν κακῶς θεραπευόντων ἢ τοῦ κάμνοντος ἁμαρτάνοντος. συγκεχυμένως οὖν καὶ ἀδιορίστως ταύτην τὴν ῥῆσιν ἔγραψεν.

I 31 [7. II 126, 11 L.] Εἰ δὲ ὑπερβάλλοι εἴκοσι ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον εἰς διαπύησιν τρέπεται.

Ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι διαφορουμένων τῶν ἐργαζομένων αὐτοὺς χυμῶν θεραπεύονται. πρόδηλον οὖν ὡς, ἐπειδάν γε μὴ καθιστῶνται, διαμένουσιν οἱ χυμοὶ καὶ πάντως ἐν τῷ χρόνῳ μεταβολή τις ἔσται αὐτῶν κατὰ ποιότητα, ποτὲ μὲν ἐπὶ τὸ σηπεδονῶδες, ὅταν ὡς ἐν νεκρῷ σώματι μηδὲν εἰς τὴν πέψιν αὐτῶν ἡ φύσις ὑπ᾽ ἀρρωστίας ἐνεργῇ, ποτὲ δ᾽ ἐκείνης ἰσχυούσης εἰς πῦον ἡ μεταβολὴ γίνεται. δεόντως οὖν εἶπεν ὁ Ἱπποκράτης, ἐὰν μήτε καθίστηται τὰ φλεγμαίνοντα καὶ ‛ὁ πυρετὸς ἔχῃ᾽ αὐτόν, εἰς διαπύησιν τρέπεται. παυσαμένου
94 γὰρ τοῦ πυρε|τοῦ σκοπεῖσθαι χρή, μή τις σκιρρώδης φλεγμονὴ γίνηται. πολλάκις γοῦν εἴωθεν οὕτως συμβαίνειν, ὅταν τῶν ἐργασαμένων αὐτὴν χυμῶν τὸ μὲν λεπτομερέστερον διαπνευσθῇ, τὸ δὲ παχὺ ἔτι καὶ γλίσχρον ἐν αὐταῖς ἐμπλασθῇ ταῖς κατὰ λεπτὸν εὐρυχωρίαις τῶν οὕτως παθόντων σωμάτων.

διὰ τί δὲ τὴν εἰκοστὴν ἡμέραν ὅρον ἔθετο τῆς τῶν τοιούτων ἀπο-

10 ἅπαντες κτλ.] *excerps. Stephan. 119, 20 sqq.* 16 εἶπεν] *7 (II 126, 11 L.)*

1 ἐστι *in rasura* V ἡ γαστὴρ RF: *corr. in* τὴν γαστέρα V[2]: τὴν γαστέρα P ὁ σπλὴν RF: *corr. in* τὸν σπλῆνα V[2]: τὸν σπλῆνα P 2 ὑποχόνδριον R: πο *omissum superscr. man. 2* V: *ex corr.* (*volebat* καθ᾽ ὑποκράχον) P: ὑποχόνδριοι (*omisso* καθ᾽) F θάνατον VRP: θᾶττον F 3 μήτοι *corr. ex* μήτι F ποτε *om.* V ὑπερβάλλον VRPF: ὑπερβαλλούσης *edd.* 4 καὶ *om.* P 7 εἰ VPF (*cf. infra p. 251, 11*): ἢν R *Hipp. ab Aldo edd.* ὑπερβάλλοι VP: ὑπερβάλλῃ *Hipp. et ab Aldo edd.*: ὑπερβάλλει RF εἴκοσιν *ex corr.* P 7. 8 περὶ τῶν εἰς διαπύησιν τρεπομένων τῶν τοιούτων οἰδημάτων *inscrib.* R *in mrg.* 8 εἰς VRPF: ἐς *ex Hipp. ab Aldo edd.* 9 τρέπεται VRP *Hipp. et ab Aldo edd.*: τρέπεσθαι σημαίνει F (*ut Hippocratis cod. Med. ap. Foes.*) 10 πάντες P 11 γε VR: *om.* PF 12 καὶ *omissum superscr.* V[2] *post* χρόνῳ *inser.* καὶ VR 13 ἔσται VRP: ἐστὶν F ὅταν (ταν *supra ras. man. 2*) V 14 μηδὲν (ν *superscr. man. 2*) V πε///ψιν V ἀρρωστίας *corr. ex* ἀρρωστίαν V[1] 15 ἐνεργῇ VF: *corr. ex* ἐνεργεῖ R[1]: ἐνεργεῖ P 16 μήτε] μήτι P καθίσταται P 17 ἔχει R αὐτὸν VR: αὐτοῖς (*sic*) P: αὐτὰ F 18 τις VPF: τοι R σκιρρώδης *corr. ex* κιρώδης V[2] γίνηται P: γένηται RF: γίνεται V 19 γοῦν VRPF: γὰρ *edd.* συμβαίνειν] σημαίνειν F εἰργασμένων P αὐτὴν RF: αὐτὸν (ὸ *in ras.*) V: αὐτὰ P 20 λεπτομερὲς P διαπνεῦσθαι (*sic*) R 21 ἐμπλασθῇ *ex corr.* V: ἐμπλασθὲν R 22 σωμάτων] τὸ σῶμα F 23 τι *superscr.* P

στημάτων ἐκπυήσεως, ἐν τῷ Περὶ κρισίμων ἡμερῶν ἐροῦμεν λόγῳ κατὰ τὸ δεύτερον ὑπόμνημα.

I 32 [7. II 126, 12 L.] Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος ῥῆξις ἐκ ῥινῶν καὶ κάρτα ὠφελέει, ἀλλ' ἐπανερέσθαι χρή, εἰ τὴν κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυώσσουσιν· εἰ γὰρ εἴη τι τουτέων, ἐνταῦθα ἂν ῥέποι.

Ὅτι τῶν καθ' ὑποχόνδρια φλεγμονῶν ἀδιορίστως ἐμνημόνευσε, καὶ διὰ τῆσδε τῆς ῥήσεως φαίνεται διοριζόμενος αὐτός. αἱμορραγίας τε γὰρ ἐπ' αὐτῶν γίνεσθαί φησιν ἐκ | ῥινῶν ὠφελεῖσθαί τε πάνυ 95 πρὸς αὐτῶν, ὅπερ ἐπὶ τῶν καθ' ἧπάρ τε καὶ σπλῆνα φλεγμονῶν εἴωθε συμβαίνειν μάλιστα, περὶ ὧν ἀλλαχόθι καὶ τὸ "κατ' ἴξιν" αἱμορραγεῖν ἐπαινεῖ καὶ τὸ "ἀνάπαλιν" δὲ μέμφεται διδάσκων αὐτός, τί ποτε λέγει τὸ ἀνάπαλιν, 'οἷον τὸ ἐπὶ σπληνὶ μεγάλῳ αἷμα ἐκ δεξιοῦ μυκτῆρος ῥέειν'. αἱμορραγίας δ' ἐν τῇ πρώτῃ περιόδῳ γίνεσθαί φησι τῶν κρισίμων ἡμερῶν δηλονότι. καὶ γέγραπται διττῶς ἡ λέξις, ἑνικῶς τε καὶ πληθυντικῶς, ἑνικῶς μὲν ἐν τῇ πρώτῃ περιόδῳ, πληθυντικῶς δὲ ἐν τῇσι πρώτῃσι περιόδοισιν. εἰ μὲν οὖν ἑνικῶς εἴη γεγραμμένον, ἑβδομαδικὴν ἐνδείκνυται περίοδον, εἰ δὲ πληθυντικῶς, ἐγχωρεῖ μὲν καὶ τὴν ἑβδομαδικήν (ἐνίοις γὰρ ἡ αἱμορραγία κατὰ τὴν δευτέραν ἑβδομάδα

1 ἐν τῷ Περὶ κρισίμων ἡμερῶν λόγῳ κατὰ τὸ δεύτερον ὑπόμνημα] *passim, e. g. II 4 (IX 852, 14 sqq. K.); II 8 (IX 875, 13 sqq. K.)* 11 ἀλλαχόθι] *Epid. IV 37 (V 180, 4 L.); Prorrh. I 125 (V 554, 3 L.)*

1 *post* περὶ *add.* τῶν RF 3 περὶ προγνώσεως τῶν ἐκ τῶν τοιούτων αἱμορραγούντων *inscrib.* R *in mrg.* 3. 4 τουτέοισιν καὶ αἵματος ῥῆξις ἐκ ῥινῶν ἐν τῇ $\overline{α}^{τη}$ περιόδῳ R 4 ἐκ ῥινῶν *corr. ex* ἐκκρινῶν P *post* ἐκ *add.* τῶν *ex Hipp. ab Aldo edd.* 5 ἐπανέρεσθαι *(sic)* VRPF: ἐπανερωτᾶν *ex Hipp. ab Aldo edd.* εἰ VF: εἰ/// P: ἢν R ἀλγέωσιν R ἀμβλυώσσουσιν PF: ἀμβλυώσσωσιν R: ἀμβλυώττουσιν *a Basil. edd.*: ἀμβλυωπέουσιν (βλυωπέουσιν *suppl.* V[3]) V *Hipp.*: ἀμβλυωποῦσιν *Aldus* 6 εἰ VPF: ἢν R *Hipp.* εἴη τι τουτέων VP: εἴη τουτέων τι F: τι τουτέων ᾖ R: τι τουτέων εἴη *ab Aldo edd.*: τι τοιοῦτον εἴη *Hipp.* ἂν *om. Aldus* 7 ὑποχόνδρια VRF: ὑποχονδρίων (χον *in ras.*) P: ὑποχόνδριον *edd.* ἀδιορίστως *ex corr.* V 8 ῥήσεως *in ras.* V αὐτός VRPF: αὐτήν *Aldus Basil.* 9 αὐτῶν VRF: αὐταῖς P ἐκκρινῶν *(sic)* P 10 ἐπὶ τῶν] ἐν τῷ F *post* σπλῆνα *add.* καὶ νεφροὺς P φλεγμονῶν *om.* F 11 εἴωθε συμβαίνειν (σημαίνειν V) VRF: συμβαίνει P ἀλλαχόθι F: *corr. ex* ἀλλαχόθεν V[1]: ἀλλαχόθεν R: ἀλλαχοῦ P κατ' ἴξιν VRF: καθ' ἕξιν *Aldus Basil.*: κατ' εὐθὺ P *post* ἴξιν *add.* χολὴν κατ' εὐθὺ μὲν F 12 *post* τί *inser.* δὴ *edd.* 13 λέγοι VF *post* οἷον *perperam inser.* ὅτι RF *post* ἐπὶ *add.* τῷ P μεγάλῳ R: μεγάλω/// V: μεγάλως F: *om.* P 13. 14 αἷμα ἐκ δεξιοῦ μυκτῆρος ῥέειν R: ἐκ δεξιοῦ ῥέειν αἷμα *(add. in mrg. man. 2)* μυκτῆρος *(add. in mrg. man. 2)* V: αἷμα μυκτῆρος ἐκ δεξιοῦ ῥέειν P: ἐκ δεξιοῦ ῥέοντας (*omissis* αἷμα *et* μυκτῆρος) F 14 *ante* αἱμορραγίας *inser.* τὰς P αἱμορραγίαν R δ' V: δὲ *in ras.* P: δὲ δηλονότι R: *om.* F 15 γίνεσθαί φησι *post* ἡμερῶν *coll.* R δηλονότι *om.* R 16 περιόδῳ] τῶν περιόδων F 19 ἐνίοις VRP: ἐν οἷς F ἡ *om. Chartier*

γίνεται), μᾶλλον δὲ ἀκουστέον ἐστὶ τὰς κατὰ τετράδα περιόδους ἐν τῇ τοιαύτῃ γραφῇ. οἱ πλεῖστοι μὲν γὰρ αἱμορραγοῦσιν ἐν ταῖς πρώταις ἡμέραις ἑπτά, κατὰ δὲ τὴν ἐνάτην καὶ τὴν ἑνδεκάτην ὀλίγοι, σπανιώτατοι δὲ οἱ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ. τῆς δ᾽ ἄνω ῥοπῆς τῶν χυμῶν,
96 ἐφ᾽ ᾗ | τὰς αἱμορραγίας γίνεσθαι συμβαίνει, προστίθησι σημεῖα τό τε κεφαλὴν ἀλγεῖν καὶ τὸ ἀμβλυώττειν. ἀλλ᾽ ἐν τοῖς ἑξῆς τελεώτερον ὑπὲρ αὐτῆς διεξέρχεται, καθ᾽ ὃν τόπον καὶ ἡμεῖς ὅλον ἐξεργασόμεθα τὸν περὶ τῆς αἱμορραγίας λόγον.

I 33 [7. II 128, 3 L.] Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι.

Τὸν ἀπὸ τῆς ἡλικίας διορισμὸν εἰς τὴν τῆς αἱμορραγίας πρόγνωσιν διδάσκει. μᾶλλον γὰρ ἐλπίζειν ἔσεσθαι χρὴ τὴν αἱμορραγίαν ἐπὶ ῾τῶν νεωτέρων πέντε καὶ τριάκοντα ἐτῶν᾽· ἐν ταύτῃ γὰρ αἷμά τε πλεῖστόν ἐστι καὶ ἡ δύναμις ἰσχυροτάτη καὶ ἡ θερμασία δαψιλής. |

97 **I 34** [7. II 128, 4 L.] Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζεύμενα καὶ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται καὶ ἧσσον δεινότερα ἐκείνων ἐστί.

Ταῦτά ἐστιν ἃ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν οἰδήματα, περὶ ὧν ἐνίοτε μὲν ἀρκοῦνται λέγοντες οἱ παλαιοὶ τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, ἐνίοτε δὲ καὶ τὰ ἀνώδυνα προστιθέασιν,

6 ἐν τοῖς ἑξῆς] *7 (II 128, 14 L.); cf. infra p. 252, 18 sq.* 7 ἐξεργασόμεθα] *infra p. 253, 1 sqq.*

1 *post* κατὰ *add.* τὴν V 3 τὴν ἐνάτην] τὰ ἐννα͞τ´ P *post* ἐνάτ. *inser.* τε RP τὴν *(alt.) om.* R σπανιώτατα R 5 προστίθησι *corr. in* προστιθείς V σημεῖον P τό] τά *Aldus Basil.* τε] δὲ (δ *in ras.*) F 7 αὐτῆς VRF: αὐτὸν P: αὐτῶν *edd.* διέρχεται F τόπον RP: τρόπον VF ἐξεργασόμεθα *a Basil. edd.*: *corr. ex* ἐξεργασώμεθα V: ἐξεργασώμεθα R: ἐξειργασόμεθα *(sic)* P: ἐργασόμεθα F: ἐξεργασάμεθα *Aldus* 8 τῆς VF: *om.* RP 9 περὶ αἱμορραγίας *inscrib.* R *in mrg.* δὲ *om.* P 10 τριήκοντα *Hipp. et ab Aldo edd.*: *corr. ex* τριάκοντα P²: τριάκοντα VRF ἐτῶν V τοῦ αἵματος *om.* F τοῦ αἵματος τὴν ῥῆξιν VRP: τὴν τοῦ αἵματος ῥῆξιν *ex Hipp. ab Aldo edd.* χρὴ *ante* προσδέχεσθαι *add. ab Aldo edd.*: *post* προσδέχεσθαι *Hipp.* *post* προσδέχεσθαι *add.* τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν V³ *Chartier* 11 αἱμορραγίας] ἡλικίας F 12 διδάσκει *om.* P γὰρ VRF: τὸ *Aldus Basil.*: *om.* P 13 ἐτέων F ἐν ταύτῃ] ἐνταῦθα μὲν P *post* ταύτῃ *inser.* τε *edd.* τε *om.* P 14 ἰσχυροτάτη PF: ἰσχυροτέρα VR 15 περὶ τῶν κυρίως οἰδημάτων R *in mrg.* 16 πιεζεύμενα R: πιεζεύ///μενα V: πιεζώμενα *corr. in* πιεζόμενα P: πιεζόμενα *ab Aldo edd.*: *om.* F *Hipp.* καὶ *(alt.)* VRP: *om.* F *Hipp.* 17 κρίσιας VR: κρίσεις P: νόσους, *sed superscr. man. ead.* κρίσιας F *post* ἧσσον *add.* τε F δεινότερα RF *Hipp. ab Aldo edd.*: *corr. ex* δεινότερον V¹: δεινὰ P ἐκείνων *post* ἧσσον *colloc. cum Hipp. ab Aldo edd.* 18 οἱ νεώτεροι ἰδίως F 19 δὲ *del. Cornarius* 20 καὶ *recte edd.*: *om.* VRPF *post* ἀνώδυνα *inser.* μὲν F προστίθησιν F

ὁπότε γε μὴν αὐτὸ παραλίποιεν, ὡς συνεμφαινόμενον τοῖς μαλθακοῖς ὑπερβαίνουσιν· ἀνώδυνα γάρ ἐστι τὰ μαλθακά. νῦν δὲ ὁ Ἱπποκράτης οὐ τοῦτο προσέθηκε μόνον, ἀλλὰ καὶ τὰ ὑπείκοντα καὶ αὐτὸ περιέχεσθαι δοκοῦν ἐν τῷ μαλθακά, πλὴν εἰ τὰ βοθρούμενα κατὰ τὴν πίεσιν ἐνδείκνυται νῦν, ὅπερ οὐχ ἁπλῶς ἅπασι συμβέβηκε τοῖς εἴκουσι· γίνεται δὲ ταῦτα τοῦ δέρματος οἰδισκομένου. διότι δέ ἐστι φλεγματικὰ πάντα τὰ τοιαῦτα, διὰ τοῦτο καὶ χρονίζει καὶ ἧττον ἐπιφέρει κινδύνους. χρονίζει μὲν οὖν, ὅτι ψυχρότερα (θερμῷ γὰρ αἱ πέψεις γίνονται), ἧττον δέ | ἐστι κινδυνώδη, διότι καὶ ἀνώδυνα· καταλύουσι γὰρ αἱ ὀδύναι τὴν 98
δύναμιν.

I 35 [7. II 128, 6 L.] Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό.

Ἔμπροσθεν μὲν ἐπὶ τῶν φλεγμονωδῶν οἰδημάτων ὡς ἂν θερμοτέρων ὄντων, εἰ μήθ᾽ ὁ πυρετὸς παύοιτο μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἔφη τὰς ἐκπυήσεις ἔσεσθαι, νυνὶ δὲ ἐπὶ τῶν ψυχροτέρων τὴν ἑξηκοστὴν ὅρον τίθεται τῆς ἐκπυήσεως. εἴη δ᾽ ἂν καὶ ἕτερά τινα μεταξὺ τούτων, τὴν τεσσαρακοστὴν ἡμέραν ὅρον ἔχοντα. τόν γε μὴν σύμπαντα λόγον ὑπὲρ τῶν τοιούτων ἁπάντων εἰς τὸν περὶ τῶν κρισίμων ἡμερῶν τόπον ἀνεβαλλόμην.

οὐ μόνον δὲ τὰ καθ᾽ ὑποχόνδριον οἰδήματα χρονίζοντα διαπυήσειν φησίν, ἀλλὰ καὶ | τὰ κατὰ τὴν ἄλλην κοιλίαν, ὡς καὶ τῶν ὑποχονδρίων 99
κατά τι σημαινόμενον ἐκ τῶν τῆς κοιλίας μερῶν ὄντων.

3 προσέθηκε] *7 (II 128, 5 L.)* 14 *schol.* R *(post lemma)*: ση(μείωσαι) ὅτι τὰ κυρίως λεγόμενα οἰδήματα μὴ διαφορηθέντα τῷ χρόνῳ πυοποιοῦνται 15 ἔμπροσθεν] *supra p. 248, 7 sqq.* 20 εἰς τὸν περὶ τῶν κρισίμων ἡμερῶν τόπον] *cf. infra p. 328, 4 sqq.* 23 φησίν] *7 (II 128, 8 L.)*

1 παραλίποιεν PF: παραλείποιεν VR συνεμφαινόμενον VRPF: συνεκφαινόμενον *edd.* 2 γὰρ] τε F 3 τὰ] τὸ R αὐτὸ] αὐτῷ F 4 εἰ/// F τὴν *om. Aldus* 5 πύεσιν R ἐνδείκνυται VRF: ἐδείκνῡ P 7 καὶ *(prius) om.* V χρονίζει *omissum add. in mrg.* V[1] 8 οὖν] γὰρ R ψυχρότατα R πέ///ψεις V 9 κινδυνώδη *corr. ex* κινδυνῶδες R[1] διότι *om.* F καταλύουσι *corr. ex* καταλύουσαι V[3] 11 περὶ τῶν ἐν μακρῷ χρόνῳ ἐκπυισκόντων *inscrib.* R *in mrg.* εἰ VPF *Hipp.*: ἢν R ὑπερβάλλει R *post* ὑπερβάλλοι *add.* τὰς *Chartier* 12 πυρετὸν P μὴ *om.* P ἔμπυον (μ *in ras.*) V 13 ἄλλῃ *corr. ex* ἄλλω R[2] 15 φλεγμονωδῶν VRF: φλεγμονῶν P 16 μήθ᾽ PF: μή //// V: μή γε R ἡμέραν *om.* F 17 ἐπὶ RP: περὶ VF ἑξηκοστὴν *corr. ex* ἑξηκοστὸν R 18 ἐκπυήσεως (υ *in ras.*) V 19 μὴν RF: ν *add. man. 2* V: μὴ P ξύμπαντα F 20 τόπον VRF: λόγον P 21 ἀνεβαλλόμην VP: ἀνεβαλόμην RF 22 καθ᾽ ὑποχόνδριον VRP: τῶν ὑποχονδρίων F 23 τὰ *om.* F 24 σημαινόμενον (αι *in ras.*) P

I 36 [7. II 128, 9 L.] Ὅcα μὲν οὖν ἐπώδυνά τέ ἐcτι καὶ cκληρὰ καὶ μεγάλα, cημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου ἔcεcθαι. ὅcα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζεύμενα ὑπείκει, χρονιώτερα.

Πλεῖον οὐδὲν ἐν τῇδε τῇ ῥήcει διδάcκει τῶν προειρημένων, πλὴν ὅτι προcέθηκε τοῖc ἐπωδύνοιc τε καὶ cκληροῖc οἰδήμαcι τὸ μέγεθοc, ὅπερ ἡμεῖc ἔμπροcθεν εἰρήκαμεν, ἡνίκα ἐλέγομεν οὐδὲν ἔχειν κινδυνώδεc τὰc τῶν ἐν ὑποχονδρίῳ φλεγμονὰc μυῶν, εἰ μή τι πάνυ cφόδρα μεγάλαι γενηθεῖεν. |

100 **I 37** [7. II 128, 12 L.] Τὰc δὲ ἀποcτάcιαc ἧccον τὰ ἐν τῇ γαcτρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖcιν ὑποχονδρίοιcι· ἧccον δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐc διαπύηcιν τρέπεται.

Τῶν μὴ διαφορηθέντων οἰδημάτων αἱ ἐκπυήcειc οὐ μόνον θᾶττον, ἀλλὰ καὶ μᾶλλον γίνονται κατὰ τὸ ὑποχόνδριον, ὅτι θερμότερόν ἐcτι τὸ χωρίον. ὅcα δ᾽ ἂν ἀποχωρῇ τοῦδε πρὸc τὰ κάτω, καὶ τοῦ θᾶττον καὶ τοῦ μᾶλλον ὑφαιρεῖ. καὶ διὰ τοῦτο τὰ κάτω τοῦ ὀμφαλοῦ cπανίωc ἐκπυΐcκεται.

I 38 [7. II 128, 14 L.] Αἵματοc δὲ ῥῆξιν καὶ μάλιcτα τῶν ἀνωτάτω τόπων προcδέχεcθαι χρή.

7 ἐλέγομεν] *supra p. 248, 3 sqq.* 14 *schol.* R: ὅτι ταχύτερον πυοποιοῦνται αἱ ἀποcτάcειc τῶν ὑποχονδρίων, ἧττον δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ.

1—4 περὶ τῶν ἐπωδύνων καὶ cκληρῶν καὶ μεγάλων ἀποcτημάτων *inscrib.* R *in mrg.* 1 *et* 3 ὅcα VRPF: ὁκόcα *ex Hipp. ab Aldo edd.* 2 μεγάλην P ὀλιγοχρόνιον F 3 ἔcεcθαι *om. Hipp.* ἀνώδυνα] ἀνώμαλα F 4 πιεζεύμενα VRP: πιεζόμενα F *Hipp. et ab Aldo edd.* *post* χρονιώτερα *add.* ἐκείνων *ex Hipp. ab Aldo edd.* 5 οὐδὲν] οὐδ᾽ V τῇ ῥήcει *omissum add. in mrg.* V[2] 7 οὐδὲν *ex corr.* R 8 ἐν ὑποχονδρίῳ] ὑποχονδρίων F μυῶν φλεγμονὰc P 10 περὶ ἀποcτάcεων *inscrib.* F *in mrg.* ἀποcτάcιαc P *Hipp.*: ἀποcτάcειc VR: ἀποcτ^α′ *ambigue* F 11 τοῖcιν ὑποχονδρίοιcιν P *Hipp.*: τοῖc ὑποχονδρίοιc VRF ἧccον ... τρέπεται *(12)* R: *omissa add. in mrg.* V[3]: *om.* PF ἧccον V[3]R: ἥκιcτα *Hipp. et ab Aldo edd.* 12 ἐc V[3] *Hipp. et ab Aldo edd.*: εἰc R διαπύηcιν R: ἐκπύηcιν V[3]: ἀποπύηcιν *ab Aldo edd.*: ἐπιπύηcιν *Littré* 13 αἱ VP: ἡ F: *om.* R ἐκπύηcιc F θᾶττον VP: θᾶccον RF 14 γίνεται F 15 χωρίον VRF: χ^ω P ἀποχωρεῖ R 16 ὑφαιρεῖ *in ras.* V *post* τοῦτο *add.* καὶ R τὰ VRP: τὸ *edd.*: *om.* F ὀμφαλοῦ] ὀφθαλμοῦ P cπανίωc VF: οὐ ῥᾳδίωc RP 18 καὶ VRPF: *om. cum Hipp. ab Aldo edd.* μάλιcτα *post* τόπων *coll. Hipp. Aldus* *ante* τῶν *perperam inser.* ἐκ VRP *Aldus (cf. infra p. 253, 5)* 19 ἀνωτάτω VRPF *a Basil. edd.*: ἄνω *Hipp. Aldus* χρὴ VRP *et a Basil. edd.*: δεῖ F: *om. Hipp. Aldus*

Ἐν οἷς μὲν ἀντιγράφοις ἡ ῥῆσις γέγραπται μετὰ τοῦ καί συν-
δέσμου, συνεπιδείκνυται τὴν ἐκ τῶν ῥινῶν αἱμορραγίαν οὐ μόνον ἐπὶ
τοῖς ὑποχονδρίοις, ἀλλὰ | καὶ τοῖς κατωτέρω γενέσθαι, ἐν οἷς δ' ἄνευ 101
τοῦ καί συνδέσμου, ἐνδείκνυται μὲν καὶ τούτοις, ἀλλ' ἧττον· ἐν οἷς
δὲ καὶ χωρὶς τοῦ μάλιστα κατὰ τοιάνδε λέξιν αἵματος δὲ ῥῆξιν
τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή, τὰ κάτωθεν ἐκείνων οὐ
βούλεται φέρειν αἱμορραγίας. ἔστι δὲ τὸ ἀληθὲς ἐπὶ μὲν τῶν κατὰ τὸν
ὀμφαλὸν γίνεσθαι τὰς αἱμορραγίας, αὐτῶν δὲ τούτων ἐπὶ μὲν τοῖς
ἄνω μᾶλλον, ἐπὶ δὲ τοῖς ἀνωτάτω μάλιστα. λεχθήσεται δὲ περὶ αἱμορ-
ραγίας αὐτῷ κἀπὶ τοῖς ἑξῆς, ἡνίκα καὶ ἡμεῖς ἀναλαβόντες ὅλον τὸν
λόγον ἐροῦμεν τελεώτερον.

I 39 [7. II 130, 1 L.] Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων τῶν περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας.

Ἑνὶ κεφαλαίῳ περιλαβὼν εἴρηκεν, ἃ διὰ τῶν ἔμ|προσθεν ἐδήλωσε 102
κατὰ μέρος, ὥστε οὐδὲν δεῖ νεωτέρας ἐξηγήσεως τῇ ῥήσει.

I 40 [7. II 130, 3 L.] Τὰ δὲ διαπυήματα ὧδε χρὴ ὑποσκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστιν,

10 κἀπὶ τοῖς ἑξῆς] *7 (II 128, 3 L.)* 11 ἐροῦμεν] *cf. infra p. 250, 11 sqq.*

1 οἷς VRP: ἐνίοις F *post* μὲν *add.* οὖν F *post* ῥῆσις *add. sed ipse del.* πέπαυτε P 2 *post* συνεπιδείκνυται *add.* δὲ F: *item sed ipse del.* V^3 τὴν] τὰ P 3 καὶ *omissum superscr.* V^2 γενέσθαι *corr. in* γίνεσθαι V ἐν οἷς VRP: ἐνίοις F 4 *post* ἧττον *repet.* ἀλλ' P 5 δὲ *(prius)* RF: *in ras.* V: μὲν P καὶ *om.* R *post* ῥῆξιν *add.* ἐκ *Cornarius* 6 ἀνωτά' (*i. e.* ἀνωτάτων) P χρὴ] δεῖ F 7 αἱμορραγίας V: αἱμορραγίαν R: αἱμορρα' *ambigue* P αἱμορραγίας . . . καὶ περὶ *(9) om.* F τῶν] τὴν P 7. 8 κατ' ὀμφαλὸν (*omisso* τὸν) V 8 ὀμφαλὸν *in ras.* (*corr. ex* ὀφθαλμὸν) P τοῖς] τῶν R 9 *post* δὲ *(alt.) add.* καὶ VPF 10 αὐτῷ RF: αὐτῶν P: αὐτῆς V κἀπὶ τοῖς R: καὶ περὶ τῶν VF: διὰ τῶν P ἐφεξῆς P 11. 12 περὶ σημειώσεως τῶν ἐν χρονιζόντων οἰδημάτων *inscr.* R *in mrg.* 12 τῶν VRPF *Chartier*: *om. Hipp. Aldus Basil.* 13 τὰ *superscr.* V^2 ἐμπυήσιας *Aldus* 15 ἑνὶ . . . ῥήσει *(16) omissis haec exhibent* EU: τὸν περὶ τῶν οἰδημάτων λόγον ἀνακεφαλαιοῦται καὶ οἷον συνοπτικῶς ἐρεῖ. ἐκπυήσιας δὲ λέγει τὴν μεταβολὴν τὴν εἰς ἔμπυον, δεῖται δὲ δύο προσδιορισμῶν ὁ λόγος, τοῦ τε συνέχειν τὸν πυρετὸν καὶ τοῦ (τὸ *codd., corr.*) μὴ ἄρρωστον εἶναι τὴν δύναμιν. εἰ μὴ γὰρ τοῦτο συνέλθοι, οὐδὲ (οὔτε *codd., corr.*) εἰς πύησιν γίνεσθαι. κρίνει δὲ τὸν ὄγκον ἀπὸ τόπου, ἀπὸ μεγέθους, ἀπὸ σχήματος, ἀπὸ μεγέθους, ἢ μεγάλου ἢ σμικροῦ, ἀπὸ σχήματος, ἢ ὀξὺ ἢ πλατύ, ἀπὸ δὲ τόπου, ἢ ἔσω ἢ ἔξω. *Haec interpolata esse luce clarius est, seu ex Stephani commentario, seu ex aliis scholiis quibusdam* *post* κεφαλαίῳ *add.* τὰ κατὰ μέρος P 16 *post* ἃ *add.* καὶ *edd.* κατὰ μέρος *om.* P οὐδὲ P δεῖ RPF: δεῖν V νεωτέρας RPF: ἑτέρας V 17 περὶ τῆς τῶν οἰδημάτων διαθέσεως ἤγουν τῆς εἴσω ἢ ἔξω τροπῆς *inscr. in mrg.* R χρὴ VRPF: δεῖ *Hipp.* ὑποσκέπτεσθαι VRF: διασκέπτεσθαι P: σκέπτεσθαι *ex Hipp. a Basil. edd.*: σκέπτεται *Aldus* 18 ἐντεῦθεν VF: ἐνταῦθα RP ἐξωτέρω ῥέπεται *(sic)* F *post* τρέπεται *add.* αὐτέων P

μικρά τε ἐόντα καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω καὶ ἐς ὀξὺ ἀποκορυφούμενα, τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα ἥκιστά τε ἐς ὀξὺ συνεσταλμένα κάκιστα.

Ὅτι μὲν οὖν, ὅταν ἀθρόον τὸ πῦον συστῇ πεττομένου τινὸς ὄγκου τῶν παρὰ φύσιν, ἐμπυήματά τε καὶ διαπυήματα καλεῖ τὸ τοιοῦτον σύμπτωμα, πρόδηλόν σοι γενήσεται πάντα τοῦτον ἀναγνόντι τὸν λόγον αὐτοῦ, καθ᾽ ὃν περὶ τῶν ἐν ὑποχονδρίοις οἰδημάτων ἐποιήσατο τὴν διδασκαλίαν. ἀθροίζεται δὲ τὸ κατ᾽ αὐτὸ πῦον ἐνίοτε μὲν ὑπὸ τῷ δέρματι, πολλάκις δ᾽ ἐν τῷ βάθει κατὰ διττὴν αἰτίαν, ἢ τῷ τὸ δια-
103 πυῆσαν μόριον ἐντὸς τοῦ περιτοναίου τὴν θέσιν ἔχειν | ἢ τῷ, κἂν μῦς ὁ πεπονθὼς ᾖ, τὸ πῦον ὑπό τι τῶν ἀμφιεσμάτων αὐτοῦ καταλαμβάνεσθαι, μὴ φθάσαν εἰς τὴν ἐκτὸς χώραν ἀφικέσθαι διὰ γλισχρότητα ἢ πάχος ἢ τὴν τοῦ περιέχοντος χιτῶνος πυκνότητα. σπεύδει μὲν γὰρ ἡ φύσις ἐκκρῖναι τὸ πῦον ἀπωσαμένη τῶν πεπονθότων σωμάτων καὶ τυγχάνει γε τούτου πολλάκις, ὅταν εὐτυχήσῃ πόρων ἐπιτηδείων εἰς ἔκκρισιν οἷον ὀχετῶν τινων. οὐ μὴν ἀεί γε τούτων ἐπιτυγχάνουσα συνωθεῖ τὸ πῦον εἰς τὰς παρακειμένας χώρας. καὶ ὅταν δὲ μικραὶ τυγχάνωσιν οὖσαι, ὑποδέρει τὸ περιέχον αὐτὰς σκέπασμα τὴν ὑπ᾽ αὐτὸ χώραν εὐρύνουσα.

δῆλον οὖν ὅτι τῶν οὕτω διαπυησάντων ἐπιεικέστερά ἐστι τὰ τὴν ῥοπὴν ἔξω καὶ οὐκ ἔσω ποιησάμενα καὶ τούτων αὐτῶν, ὅσα μὴ πολὺν ἐπιλαμβάνει τόπον εἰς τὸ πλάτος ἐκτεινόμενα, συνεσταλμένα δὲ ὅλα πρός τινα κορυφὴν ἀνατείνεται κωνοειδῆ τῷ σχήματι γινόμενα. ταῦτα δὲ ἅμα μὲν ἐνδείκνυται ῥώμην τῆς ὠθούσης ἔξω τὸ πῦον δυνάμεως, ἅμα δ᾽ οὐ πολὺ διαφθείρει μέρος ὧν διαβιβρώσκει σωμάτων. εἴτε δ᾽

1 σμικρά R   μικρά τε ἐόντα (ὄντα F) καὶ *omissa add. in mrg.* V²F²   ἔξω *om.* F   ἔξω ἐκκλίνοντε *(sic)* P   2 ἀποκορυφούμενα VRPF: ἀποκυρτούμενα *ex Hipp. ab Aldo edd.*   τὰ δὲ . . . κάκιστα *(3) om.* P   ὄντα F   ἥκιστά τε VRF: καὶ ἥκιστα *ex Hipp. ab Aldo edd.*   3 ἐς *Hipp. et ab Aldo edd.*: εἰς VRF *(sed cf. supra v. 1)*   συνεσταλμένα VR: κατεσταλμένα F: ἀποκορυφούμενα *ex Hipp. ab Aldo edd.*   4 συστῇ] ἐστι F   5 διαπτυήματα *(sic)* P

6 ἀναγνόντι *ex corr.* V   τῶν] τὸν P   8 κατ᾽ αὐτὸ RP: κατ᾽ αὐ^τ᾽ V: καθ᾽ αὑτὸ F   9 δ᾽ ἐν VRP: δὲ τῷ F   κατὰ] διὰ V   τῷ *om. Aldus*   10 περιτοναίου *ex corr.* P   θέσιν VPF: διάθεσιν R   τῷ RPF: τὸ V: τῷ τὸ *Basil.*   *post* κἂν *tres litteras erasit* R   11 ἀμφιεσμάτων *ex corr.* P   12 *post* γλισχρότητα (*post* πυκνότητα *v.* 13 P) *inser. lemma (cf. supra v. 2 sq.)* τὰ δὲ (δὲ *om.* P) μεγάλα τε ἐόντα καὶ ἥκιστα εἰς ὀξὺ συνεσταλμένα κάκιστα V³P   *post* ἢ *superscr.* διὰ V³   13 σπεύδει *ex corr.* (*voleb.* σπεύδομεν) P   14 ἀπωσαμένη *corr. ex* ἀποσπασαμένη V¹   πεπονθόντων V   15 τυγχάνει *ex corr.* P   γε VRF: τε P: *om. edd.*   τούτου VPF: τοῦτο R   εὐτυχήσει R   15. 16 εἰς ἔκκρισιν ἐπιτηδείων F   16 ἔκκρισιν οἷον ὀχετῶν *plerumque corrosa* V   μὴν] μὴ F   17 καὶ *om.* P   δὲ VPF: γε R: *om. edd.*   18 *post* οὖσαι *add.* καὶ F   ὑποδέρῃ F   *post* τὴν *inser.* δ᾽ *Aldus Basil.*   αὐτὸ VR: αὐτὰ P: αὐτῶν F   *post* αὐτὰ *inser.* τὰ μόρια P   19 εὐρύνουσιν F   20 δῆλον οὖν *evanida in* P   ὅτι VF: *evanid.* P: *om.* R   διαπυησάντων (υ *in ras.*) V   21 ἔσω καὶ οὐκ ἔξω F   22 τὸ PF: *eras.* V: *om.* R   συνεσταλμένα *ex corr.* P   ὅλα R: *superscr.* V²: ὅταν VPF   23 ἀνατείνεται RP: *corr. ex* ἀνατείνηται V²: ἀνατείνηται F: ἀποτείνεται *Aldus*   κωνοειηδῆ P   25 πολλῷ *Aldus*   διαφθείρει] διαφ^ε′ (*i. e.* διαφέρει) F

εἰς ὀξὺ ἀποκυρτούμενα εἴτε εἰς ὀξὺ ἀποκορυ|φούμενα γεγραμ- 104 μένον εἴη, δῆλον ὅτι μία κατʼ ἀμφοτέρας τὰς λέξεις ἐστὶ καὶ ἡ αὐτὴ διάνοια.

I 41 [7. II 130, 7 L.] Ὁκόσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν ἃ τῷ ἔξω χωρίῳ μηδὲν ἐπικοινωνέει, ἀλλʼ ἔστι συνεσταλμένα τε καὶ ἀνώδυνα καὶ ἅπαν τὸ ἔξω χωρίον ὁμόχρουν φαίνεται.

Οὐχ ἁπλῶς ἐστιν ἄριστα τὰ τοιαῦτα τῶν ἐμπυημάτων, ἀλλὰ τῶν εἴσω ῥηγνυμένων ἄριστα, ἐπεί τοι χείρω ταῦτʼ ἐστὶ τῶν ἐκτὸς ῥηγνυμένων. αὕτη τε γὰρ ἡ ῥῆξις εἰς πολλῷ κυριώτερα μέρη γίνεται τοῦ καθʼ ὑποχόνδριον δέρματος, ἔτι τε φάρμακον οὐχ ὁμοίως ἐπιθεῖναι δυνάμεθα θεραπευτικόν, ὅταν εἴσω συρραγῶσιν, ἥ τε ἔκκρισις τοῦ πύου διὰ τῶν ἐντέρων γινομένη δάκνει καὶ ξύει. ταῦτα καὶ δυσεντερίαν ἐργάζεται καί ποτε, εἰ κατὰ τὴν νῆστιν ἢ τὰ λεπτὰ τῶν ἐντέρων γίνοιτο, τῇ τῆς τροφῆς ἀναδόσει λυμαίνεται, κατὰ δὲ | τὴν γαστέρα καὶ τῇ πέψει. 105 πρόδηλον οὖν ὡς χείριστα πάντων ἐστίν, ὅσα πρὸς ἀμφοτέρους ἐρράγη τοὺς τόπους, ἔσω τε καὶ ἔξω· διπλασιάζεται γὰρ οὕτω τὸ κακόν. ἕδραν τε γὰρ καὶ οἷον ἀρχὴν ἀναθρέψεως οὐδεμίαν ἡ φύσις ἔχει τοῦ περιποιήσασθαι τοῖς ἐρρωγόσιν οὐδὲ οἷον ἐπʼ ἐδάφει τινὶ βέβαια θεμέλια βαλέσθαι τῆς σαρκώσεως.

I 42 [7. II 130, 9 L.] Τὸ δὲ πῦον ἄριστον λευκόν τε εἶναι καὶ ὁμαλὸν καὶ λεῖον καὶ ὡς ἥκιστα δυσῶδες· τὸ δὲ ἐναντιώτατον τούτῳ κάκιστον.

Ὅτι μὲν ὡς ἥκιστα δυσῶδες εἶναι προσήκει τὸ πῦον, ἄντικρυς δῆλον. ἡ γὰρ ὑπερβάλλουσα δυσωδία σήψεώς ἐστιν, οὐ πέψεως σημεῖον.

12 δυσεντερία] *schol.* R: ση(μείωσαι) ὅτι καὶ διὰ πῦον γίνεται δυσεντερία. γίνεται δὲ καὶ διὰ χολὴν ξανθὴν καὶ διὰ μέλαιναν καὶ διὰ φλέγμα ἁλυκόν.

1 *post* εἰς *inser.* δʼ P 2 αὐτὴ *om.* F 4 ὁκόσα VRPF: ὅσα *Hipp.* ῥήγνυνται F 5 *ante* ἃ *add.* καὶ P ἃ τῷ ἔξω χωρίῳ μηδὲν VRPF: ἃ μηδὲν τῷ ἔξω χωρίῳ *Hipp. Chartier*: μηδὲν ἃ τῷ ἔξω χωρίῳ *Basil.*: ἃ τῷ ἔξω χωρίῳ *Aldus* συνεσταλμένα VRPF: προσεσταλμένα *ex Hipp. ab Aldo edd.* 6 τε VRPF: *om. ab Aldo edd.* ἀνώδυνα (δυ *in ras.*) V ἅπαν VRPF: πᾶν *Hipp. et ab Aldo edd.* ὁμόχροον *ex Hipp. ab Aldo edd.* 7 ἐκπυημάτων F 8 *post* εἴσω *perperam add.* καὶ (τι καὶ *Aldus*) ἔξω VRP *Aldus* χείρονα P ἐστι ταῦτα P 9 αὕτη] αὐτή P κυριώτερα *corros.* V 10 ἐπιθῆναι R 11 ἥ *corr. ex* ὅ R[1] πύου *in ras.* V 13 ποτε εἰ VRF: εἴ ποτε P γίνοιτο VPF: γένηται R: γένοιτο *edd.* 14 ἀναδήσει P δὲ *om.* F γαστέραν P τῇ *ex corr.* P 15 πάντων RP: πάντʼ VF 16 ἔξω τε καὶ ἔσω F διπλασιάζεται *corr. ex* διπλασιάζεσθαι V 17 *post* ἔχει *add.* τό τε *edd.* τοῦ VR: τὸ F: *om.* P περιποιήσασθαι VRP: ποιήσασθαι F 18 *post* οἷον *add.* ὡς P 19 βαλέσθαι RF: βάλλεσθαι VP 20 διδασκαλία ὁποῖον δεῖ εἶναι τὸ πῦον R *in mrg.* 21 *post* δυσῶδες *add.* εἶναι F ἐναντιώτατον VRPF: ἐναντίον *Hipp. Aldus* 22 τούτῳ VRPF: τουτέου *Hipp. et ab Aldo edd.* 23 προσήκει VRF: δεῖ P

ὅτι δὲ καὶ λευκόν, ἐὰν τὴν γένεσιν αὐτοῦ μάθῃς, ἐπιστήσει σε ὁ λόγος ἐπὶ τοῖς ἀποδεδειγμένοις ἑτέρωθι· πάντα γὰρ ἐν ἅπασιν ἀποδει-
106 κνύειν ἀδολεσχίας ἐστὶ μᾶλλον ἢ διδασκαλίας ἴδιον. ἔστι δὲ τὰ | δι᾽ ἑτέρων πραγματειῶν ἀποδεδειγμένα ταυτί· κατὰ μὲν γὰρ τὴν Περὶ τῶν φυσικῶν δυνάμεων, ὅτι μία τίς ἐστιν ἐξ αὐτῶν καὶ ἡ ἀλλοιωτικὴ δύναμις, ἥτις καὶ τὴν ἐν γαστρὶ καὶ τὴν ἐν ἥπατι ἐργάζεται πέψιν μεταβαλλομένης τῆς τροφῆς ἐν ἥπατι μὲν εἰς αἷμα, κατὰ δὲ τὴν κοιλίαν εἰς ἐπιτήδειον αἵματι χυμόν, ὅτι τε τῶν τοῦ ζῴου μορίων ἕκαστον εἰς τὴν ἑαυτοῦ φύσιν ἄγει τὸν αὐτῷ πλησιάζοντα χυμόν. ἡ γὰρ ἐσχάτη πέψις ἐν τῷ προστίθεσθαί τε καὶ ἐξομοιοῦσθαι τὸ τρέφον τῷ τρεφομένῳ γίνεται. δῆλον οὖν ὅτι προπαρασκευάζεται χρόνῳ πλείονι πρὸς ταύτην τὴν ὁμοίωσιν. ἐλέχθη δὲ καὶ ἐν τοῖς Περὶ σπέρματος, ὡς ἐν τοῖς τῶν ἀγγείων χιτῶσιν, ὑφ᾽ ὧν οἱ ὄρχεις τρέφονται, πολλάκις φαίνεται ἐναργῶς προμεταβεβλημένον ἤδη τὸ αἷμα πρὸς τὴν τοῦ σπέρματος γένεσιν (οὐδὲ γὰρ αὐτοὺς τῶν ἀγγείων τοὺς χιτῶνας ὑπ᾽ ἄλλου τινὸς εἰκὸς τρέφεσθαι) καὶ καλοῦσιν ἔνιοι τῶν ἰατρῶν τὴν τοιαύτην ὑγρότητα θορώδη. διὸ καὶ τὸ σπέρμα αὐτὸ θορὸν ὀνομάζουσι καὶ μάλισθ᾽ ὅσοι τὴν δύναμιν αὐτοῦ σπέρμα καλοῦσιν, οὐ τὴν σωματικὴν οὐ-
107 σίαν. | ἀλλὰ μὴν καὶ ὅτι τὰς φλεγμονὰς ἐργάζεται τὸ κατασκῆψαν αἷμα τοῖς φλεγμήνασι μορίοις, ὡς ἐν ἀρχῇ μὲν αὐτὰ μόνα τὰ ἀγγεῖα πληρῶσαί τε καὶ διατεῖναι, μετὰ ταῦτα δὲ καὶ τὰς παρακειμένας αὐτοῖς κενὰς χώρας πολλὰς καὶ μικρὰς οὔσας καθ᾽ ἕκαστον μόριον, ἐν τῷ Περὶ τῶν παρὰ φύσιν ὄγκων δέδεικται· λέλεκται δὲ κἀν τῷ Περὶ τῆς ἀνωμάλου δυσκρασίας.

τοῦτ᾽ οὖν τὸ αἷμα τὸ κατὰ σμικρὰ μόρια παρεσπαρμένον τοῖς

1 ὅτι δὲ καὶ λευκὸν κτλ.] *cf. infra p. 281, 6* 4 Περὶ τῶν φυσικῶν δυνάμεων] *II 8 (II 117, 11 sqq. K.)* 12 Περὶ σπέρματος] *I 16 (IV 583, 4 sqq. K.)* 22. 23 ἐν τῷ Περὶ τῶν παρὰ φύσιν ὄγκων] *2 (VII 709, 18 sqq. K.)* 23. 24 ἐν τῷ Περὶ τῆς ἀνωμάλου δυσκρασίας] *3 (VII 736, 15 sqq. K.)*

1 *post* ἐὰν *add.* μὲν F μάθῃς VRPF: μάθοις *edd.* 2 ἀποδεδειγμένοις VRPF: προαποδεδειγμένοις *edd.* ἑτέρωθι *corros.* V πάντα RF: ἅπαντα P: *incertum* V 4 γὰρ τὴν τῶν *in ras.* F περὶ τῶν] τῶν περὶ F 5 *post* δυνάμεων *add.* βίβλον *edd.* ἐξ VRPF: *om. edd.* ἐξ αὐτῶν *post* δύναμις *colloc.* VPF ἡ *om.* P 6 πέ///ψιν V μεταβαλλομένης *in ras.* F 8 ἐπιτήδειον *corr. ex* ἐπιτήδειος R[1] αἵματι V: αἵματος RF: αἵμα^τ *ambigue* P τοῦ ζῴου *ex corr.* P 9 αὐτῷ *om.* F 10 πέ///ψις V 11 παρασκευάζει F 12 ἐλέγχθη P καὶ *om.* R καὶ ἐν] κἀν P σπέρματος *ex corr.* P 13 ὑφ᾽ RPF: *incertum* V 14 *post* αἷμα *eras.* ἤδη τὸ αἷμα *falso bis scriptum* V 15 οὐδὲ γὰρ VRF: οὐδὲ γὰρ οὐδ᾽ P: οὐ γὰρ οὐδ᾽ *edd.* 15. 16 ὑπ᾽ ἄλλου τινὸς εἰκὸς VRPF: εἰκὸς ὑπ᾽ ἄλλου τινὸς *edd.* 17 θορρώδη R: τινὲς ὀρρώδη R[2] *in mrg.* αὐτὸ *ex corr.* VP θορὸν *ex corr.* V 18 ὅσοι *ex corr.* P αὐτοῦ VRF: αὐτὴν *corr. ex* αὐτοῦ P *post* αὐτὴν *add.* τοῦ θοροῦ P 20 ὡς ἐν ἀρχῇ V: ȓ καὶ ἐν ἀρχῇ V[1] *in mrg.* 21 παρακειμένας *omissum vel corrosum add.* V[3] *post* αὐτοῖς *add.* τοῖς μορίοις P 22 χώρας κενὰς F *post* κενὰς *falso repetit* πληρῶσαι τε καὶ διατεῖναι F μικρὰς *corr. ex* μακρὰς F *post* μόριον *add.* ὡς PF: *eras.* V 23 ὄγκων (ν *superscr. man. 2*) V 25 τοῦτ᾽ οὖν VRPF: τοῦτο γοῦν *edd.* μικρὰ P

φλεγμαίνουσι μορίοις, ὡς ἂν ἔξω τῶν ἰδίων ἀγγείων γεγενημένον, ἐπανελθεῖν μὲν εἰς τὴν ἀρχαίαν φύσιν οὐκέτι δύναται, μεταβάλλεται δὲ καὶ σήπεται, καθότι καὶ πάνθ᾽ ὅσα θερμαίνεται σφοδρότερον ἐν ἀλλοτρίῳ χωρίῳ. ἐὰν μὲν οὖν ἐπὶ πλεῖστον ἐξεστηκὸς ᾖ τῆς οἰκείας εὐκρασίας τὸ ἔμφυτον θερμόν, ὡς ἐν ἀψύχῳ σώματι σήπεται τὸ αἷμα· διασῴζοντος δ᾽ αὐτοῦ τινα δύναμιν, ἐπίμικτός τις αὐτοῦ [ἡ] μεταβολὴ πρός τε τῆς παρὰ φύσιν αἰτίας καὶ τῆς κατὰ φύσιν ἀποτελεῖται, σηπούσης μὲν τῆς παρὰ φύσιν αἰτίας, πεττούσης δὲ τῆς κατὰ φύσιν. ὁποτέρα δ᾽ αὐ|τῶν μᾶλλον κρατήσει, κατ᾽ ἐκείνην αὐτὴν ἐξ ἀνάγκης καὶ τὰ γνω- 108
ρίσματα προσέρχεται τά τε τῆς χρόας καὶ τῆς ὀσμῆς καὶ τῆς συστάσεως.

ἐκ δὲ τούτων, ὡς ἔφην, ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις ἀκόλουθόν ἐστι συλλογίζεσθαι τὸ καλῶς μεταβεβλημένον εἰς πῦον αἷμα πρῶτον μὲν μὴ σεσῆφθαι, μᾶλλον δὲ πεπέφθαι, δεύτερον δὲ συνεμφαίνεσθαι μέν τι τῆς παρὰ φύσιν ἐν αὐτῷ σηπεδόνος, ὀλίγον δ᾽ εἶναι τοῦτο καί, καθάπερ ὁ Ἱπποκράτης εἶπεν, ὡς ἥκιστα δυσῶδες· τὸ γὰρ ὡς ἥκιστα ταὐτὸν σημαίνει τῷ ὡς ἐλάχιστα. πρὸς τούτοις δηλονότι καὶ τὴν χρόαν αὐτοῦ παραπλησίαν εἰκός ἐστι γενέσθαι τῷ σπέρματι, λευκὴν μέν, οὐ μὴν ἀκριβῶς γε τοιαύτην, ὁποία τῆς χιόνος ἐστίν. εἰς γὰρ τὴν τῶν στερεῶν σωμάτων ἄγεται χρόαν ὑπὸ τῆς φύσεως ἀκριβῶς μὲν τὸ σπέρμα, μετρίως δὲ τὸ πῦον, ἐπειδὴ τῷ μὲν σπέρματι τῆς παρὰ φύσιν αἰτίας οὐδὲν μέμικται. τῷ πύῳ δ᾽ οὐκ ἀεὶ μὲν ἴσον, ὡς ἐρρέθη, μέμικται δ᾽ οὖν τι πάντως, ἔξω τῶν οἰκείων ὀργάνων γεγενημένου τοῦ αἵματος.

αὕτη μὲν οὖν ἡ αἰ|τία τοῦ λευκὸν γίνεσθαι τὸ σπέρμα καὶ τὸ πῦον· 109
ὁμοιοῦται γάρ πως τοῖς στερεοῖς σώμασι καὶ τὸ πῦον, ἅπερ ἐστὶν οἵ τε τῶν ἀγγείων χιτῶνες καὶ τὰ νεῦρα καὶ οἱ σύνδεσμοι καὶ οἱ ὑμένες οἵ τε χόνδροι καὶ τὰ ὀστᾶ. ἡ δ᾽ αὐτὴ καὶ τοῦ τὸ ὑφιστάμενον ἐν τοῖς οὔροις λευκὸν ὑπάρχειν αἰτία. καὶ γὰρ καὶ τοῦτο τῷ πύῳ τὴν γένεσιν ἀνάλογον ἔχει μεταξὺ τεταγμένον ἐκείνου τε καὶ τῶν κατὰ φύσιν χυμῶν.

11 ἔφην] *p. 256, 2 sqq.*
22 ὡς ἐρρέθη] *supra v. 5 sqq.*

1 ἰδίων *prorsus evan.* P γεγενημένον VF: *corr. ex* γεγενημένων R: γεγενημένα P 2 ἐπανελθειν (ελ *in ras.*) P 4 ἐξεστηκὸς ᾖ VR: ᾖ ἐξεστηκὸς PF οἰκίας P *ante* εὐκρασίας *rasura* P 5 τὸ αἷμα *inclus.* V 6 ἐπίμικτός VR: ἐπίμυκτος P: ἔτι μικτή F ἡ VRPF: *inclus. Diels* 9 αὐτὴν VRP: αὐτῶν F ἐξ ἀνάγκης *om.* F 10 προέρχεται F τῆς *(alt.)* VRF: *om.* P ὀσμῆς VRPF: ὀδμῆς *edd.* τῆς *(tertium)* VR: *om.* PF 11 δὲ *om.* F
12 συλλογίζεσθαι VRP: σοι λογίζεσθαι F: συλλογίσασθαι *edd.* 13 δὲ *(prius)* VRP: τὲ F 15 ὁ V: *om.* RPF 17 *post* παραπλησίαν *add.* γε R γενέσθαι VRP: γίνεσθαι F 18 γε RPF: *om.* V τῆς χιόνος VRF: τις ἡ χιών P
19 στερρῶν *(sic)* P χροιὰν F 20 τὸ *(prius)*] τῶ P 21 τῆς *corr. ex* τὴν R[1] *post* οὐδὲν *add.* τι VRP *post* μέμικται *repet.* τι P 22 ἴσον ὡς VRP: εἰς ὅσον F 23 γεγενημένου VRPF: γενομένου *edd.* 24 πέρμα *(ex corr.)* R 26 οἱ *(prius) corr. ex* τὰ R[1] 27 περὶ γενέσεως τοῦ παρυφισταμένου ἐν τοῖς οὔροις R *in mrg.* ὑφιστάμενον *corr. ex* ἐφιστάμενον V[1]
28 ὑπάρχειν *corr. ex* ὑπάρχει F[1] αἴτιον R

ὅϲον γὰρ τῆϲ τροφῆϲ ἐν τῇ τοῦ αἵματοϲ γενέϲει τὴν ἀπὸ τῆϲ φύϲεωϲ ἐνέργειαν ἐξέφυγε, τοῖϲ οὔροιϲ ὑφίϲταται οὔθ' ὡϲ τὸ αἷμα μεταβληθὲν ὑπ' αὐτῆϲ οὔθ' ὡϲ τὸ πῦον τῆϲ παρὰ φύϲιν αἰτίαϲ ἐν τῇ γενέϲει μεταλαβόν.

1 τὴν VRF: τε P ἀπὸ VRP: ἀπ' αὐτοῦ F 2 ἐξέφυγε VRP: ἔφυγεν F 4 μεταλαβόν VRP: μεταβάλλον F *post* μεταλαβὸν *add.* τέλοϲ τοῦ πρώτου τμήματοϲ V

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ

II 1 [8. II 130, 12 L.] Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοςη- 110
μάτων πάντες κακοί· οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάςςουςιν ἐπώδυνοί τέ εἰςι κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖςτοι μὲν ἀπὸ τῶν κενεώνων τε καὶ τῆς ὀςφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

Κατὰ μὲν τὴν ἀρχὴν τοῦ ςυγγράμματος αὐτὸς ἔφη "ςκέπτεςθαι δὲ ὧδε χρὴ ἐν τοῖςιν ὀξέςι νοςήμαςι πρῶτον μὲν | τὸ πρόςωπον τοῦ 111
νοςέοντος, εἰ ὅμοιόν ἐςτι τοῖςι τῶν ὑγιαινόντων." ὅθεν ἔνιοί φαςιν οὐ περὶ τοῦ νεκρώδους προςώπου μόνον ὡς ἐν ὀξεῖ νοςήματι, ἀλλὰ καὶ περὶ τῶν ἑξῆς ἁπάντων γεγονέναι τὸν λόγον αὐτῷ, μηδὲ τὸ κατὰ τὴν τελευτὴν τοῦ ςυγγράμματος εἰρημένον ἀναγνόντες, ἔνθα φηςίν· "ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοςημάτων καὶ ὅςα ἐκ τούτων γίνεται." καὶ μέντοι καὶ φαίνεται περί τε τῶν ἐμπυημάτων εἰρηκὼς ἔμπροςθεν οὐ μόνον ἐκείνων, ὅςα κατὰ τὴν εἰκοςτὴν ἡμέραν ῥήγνυςθαι πέφυκεν, ἀλλὰ καὶ τῶν εἰς τὴν τριακοςτήν τε καὶ τεςςαρακοςτὴν καὶ ἑξηκοςτὴν ἀφικνουμένων, ἔτι τε πρόςθεν ὑπὲρ τῶν ἄχρι τῆς τεςςαρακοςτῆς ἡμέρας ἐκτεινομένων νοςημάτων, ἔνθα φηςίν· "εὔπνοιαν δὲ

8 κατὰ τὴν ἀρχὴν τοῦ ςυγγράμματος] *Prognost. 2 (II 112, 12 sqq. L.); cf. supra p. 209, 5 sqq.* 13 φηςίν] *24 (II 188, 4 sq. L.); cf. infra p. 366, 14 sq.* 15. 16 εἰρηκὼς ἔμπροςθεν] *7 (II 130, 3 sqq. L.)* 19 φηςίν] *5 (II 122, 14 L.); cf. supra p. 239, 8 sqq.*

1 *ante titulum add.* ἀρχὴ ςὺν θεῷ τοῦ δευτέρου τμήματος V 1. 2 Γαληνοῦ εἰς τὸ προγνωςτικὸν ἱπποκράτους (*om.* R) ὑπόμνημα δεύτερον VR: Γ. εἰς τὸ προγνωςτικὸν ἱπποκράτους βιβλίον β′ F: λόγος δεύτερος Γ. εἰς τὸ προγνωςτικὸν ἱπποκράτους P 3 περὶ ὑδρώπων F *in mrg.* δὲ] μὲν V 4 πάντες *om.* F ἀπαλλάςςουςιν F *Hipp. et ab Aldo edd.*: ἀπαλλάττουςιν VRP 5 καὶ κάρτα F θανατώδεες *ex corr.* P 6 μὲν R: *om.* VPF ἀπὸ *(prius)* R *Hipp. et ab Aldo edd.*: *superscr.* P^{2}: ἐκ VPF τε VRPF: *om. Hipp. et ab Aldo edd.* *post* δὲ *inser.* καὶ VPF 8 τὴν *bis scrib.* R ἔφηςεν R 9 δὲ *om.* F τοῖςι VRPF: τοῖς *edd.* πρόςωπον] ἀ$^{\pi'}$ςωπον *sic (compend.) saepissime* F 12 καὶ VRPF: *om. edd.* τὸ *om.* P 13 ςυγγράμματος εἰρη *evanida suppl.* V^{3} ἀναγνόντα P 14 *post* περὶ *inser.* τε R *(cf. infra p. 366, 14)* τούτων *corr. ex* τούτου V^{1} 15 γίνεται *corr. ex* γίνονται V^{1} καὶ μέντοι *om.* P τε PF: γε VR ἐμπυημάτων (ἐμ *superscr. man. 2*) V 17 τὴν VR: *om.* PF 18 ἀφικνουμένων VRPF: ἀφικομένων *edd.*

χρὴ κάρτα νομίζειν μεγάλην δύναμιν ἔχειν ἐc cωτηρίην ἐν ἅπαcι τοῖcιν ὀξέcι νοcήμαcιν, ὁκόcα cὺν πυρετοῖcί τέ ἐcτι καὶ ἐν τεccαράκοντα ἡμέρηcι κρίνεται.” καὶ νῦν ἄντικρυc εἶπεν οὐ περὶ πάντων ὑδρώπων ποιούμενοc τὸν λόγον, ἀλλ᾽ ὅcοιπερ ἂν αὐτῶν ἐκ τῶν ὀξέων νοcημάτων γένωνται. καὶ περὶ τῶν ἐμπύων τε καὶ φθινωδῶν ἐν τοῖc
112 ἑξῆc ἐρεῖ | καὶ πρὸc τούτοιc ἔτι καὶ περὶ τεταρταίων, ὁμολογουμένων καὶ τούτων χρονίων νοcημάτων.

οἱ γοῦν ἐκ τῶν ὀξέων νοcημάτων ὕδρωπεc ὅτι πάντεc εἰcὶ κακοὶ μήτε τὸν πυρετὸν παύοντεc ὀδυνηροί τε διαμένοντεc, αὐτὸc εἶπεν. ἐδίδαξε δὲ καὶ τὰc γενέcειc αὐτῶν, ἥπατοc μὲν ἄντικρυc ὀνομαcτὶ μνημονεύcαc, ἑνὶ δὲ κοινῷ λόγῳ τῶν ἐν τοῖc κενεῶcι μορίων, ἅπερ ἐcτὶ νῆcτιc καὶ μεcεντέριον ἔντερά τε τὰ λεπτά. προcαγορεύειν γὰρ εἰκόc ἐcτιν αὐτὸν ἐκεῖνα τὰ μόρια κενεῶναc, ὅcα μεταξὺ τῆc τε τοῦ θώρακοc ἐcχάτηc πλευρᾶc ἐcτι καὶ τοῦ τῆc λαγόνοc ὀcτοῦ. καὶ γάρ τοι καὶ κενὸν ἅπαν φαίνεται τοῦτο τὸ χωρίον, εἰ παραβάλλοιc αὐτὸ τοῖc ἄνωθεν αὐτοῦ μέρεcι καὶ κάτωθεν ὀcτώδεcιν ὑπάρχουcιν ἀμφοτέροιc. ἔcτι δὲ καὶ λαπαρὸν ἅπαν τοῦτο τὸ μόριον, ὅταν γε μὴ πρὸ ὀλίγου τιc ἐμπεπληcμένοc ᾖ cιτίων τε καὶ ποτῶν. καί μοι δοκεῖ καὶ ὁ ποιητὴc αὐτὰ ταῦτα τὰ μόρια τοῦ cώματοc ὀνομάζειν λαπάραc.

ὑδρώπων μὲν οὖν ἁπάντων ἡ κοινὴ γένεcιc ἀποτυχίᾳ τοῦ τῆc
113 αἱματώcεωc ἔργου | γίνεται. καθάπερ γὰρ ἐν γαcτρὶ πέττεται τὰ cιτία, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν ἥπατι καὶ φλεψὶν ἡ ἐν τῇ κοιλίᾳ προπεφθεῖcα τροφή. καὶ μέντοι καὶ ὡc ἐν τῇ κοιλίᾳ ποτὲ μὲν ἧττον ἀποτυγχάνεται τὸ τῆc πέψεωc ἔργον, ἔcτιν ὅτε δὲ μᾶλλον, οὕτω κἀν τῷ ἥπατι. πάcχει γὰρ τὸ ἧπαρ ἐνίοτε μὲν αὐτὸ καθ᾽ αὑτὸ πρῶτον ὥcπερ καὶ ἡ γαcτήρ, ἐνίοτε δὲ κατὰ cυμπάθειαν ἑτέρων μορίων. εὔδηλον οὖν, ὅτι τὰ cυμπαθοῦντα πάντα ἀλλήλοιc ἢ τῷ γειτνιᾶν ἢ τῷ κοινωνίαν

6 ἐρεῖ] *16—18 (II 150, 18—164, 3 L.); 20 (II 168, 9 sqq. L.)* 11 μνημονεύcαc] *cf. supra p. 259, 7* 19 ὁ ποιητήc] *Homerus* Γ *359* 20 *sq. cf. Stephan. 128, 16 sq.*

1 κάρτα νομίζειν VRPF: *fortasse transponendum; cf. supra p. 239, 8* ἐc F: εἰc VRP cωτηρίην PF: cωτηρίαν VR τοῖc P 2 πυρετοῖcι P: πυρετοῖc VR: πυρετ͂ F τε (τ *in ras.*) P 4 τὸν λόγον ποιούμενοc P *post* νοcημάτων *perperam add.* ὕδρωπεc R 5 *post* περὶ *inser* μὲν *edd.* *post* φθινωδῶν *add.* καὶ R ἐν τοῖc *om.* P 6 τεταρταίων *corr. ex* τετάρτων P^2 9 εἰcὶ *om.* R παύοντεc *corr. ex* παύονται P^1 9. 10 αὐτὸc εἶπεν. ἐδίδαξε *evanida supplev.* V^3 10 μὲν *om.* V 12 νῆcτιc *ex corr.* P τὰ VRP: *om.* F 13 αὐτὸν VRPF: αὐτὰ *Aldus Basil.* 15 τουτὶ P 16 *post* καὶ *superscr.* τοῖc V^2 ὑπάρχουcιν] cιν *superscr. man. 2* P ἀμφότερα P: *superscr.* οιc P^2 17. 18 μὴν πρὸc ὀλίγον *Aldus* 19 ταῦτα] πάντα F 20 κοινὴ] οι *in ras.* P ἀποτυχίᾳ *recte Ermerins* (*cf. Stephan. p. 128, 16* ἐπὶ ἀποτυχίᾳ): ἀποτυχία VRPF 21 αἱμοτώcεωc P *post* γὰρ *add.* καὶ *edd.*: *item sed del. ipse* V: *rasura* F: *om.* RP τὸ cιτίον R 22 καὶ *(prius)* F: *om.* VRP ἥπατι *corr. ex* ἥπατοc P^2 προπ/ε/φθεῖcα (ε *in ras.*) V: προπεμφεῖcα *(sic)* P 24 πέ///ψεωc V ἔcτι δ᾽ ὅτε P 25 πάcχει *corr. ex* πάcχη V^2P 27 cυμπαθοῦντα πάντα VRPF: πάντα cυμπαθοῦντα *edd.*

ἔχειν μεγάλην κατὰ τὰ ἀγγεῖα καὶ νεῦρα πάσχει. οὕτω τοίνυν καὶ τὸ ἧπαρ διά τε φλεβῶν μεγάλων συνῆφθαι φαίνεται καὶ σπληνὶ καὶ γαστρὶ καὶ ἐντέροις ἥ τε θέσις αὐτῶν οὕτω πλησίον ὡς ἔνια μὲν ἅπτεσθαι, τινὰ δ᾽ ὀλίγου δεῖν ψαύειν αὐτοῦ.

σπληνὸς μὲν οὖν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ περὶ τῶν ὀξέων νοσημάτων ὁ λόγος ἦν αὐτῷ. φαίνεται δὲ τοῦτο τὸ σπλάγχνον, ὅταν ἐν χρονίοις νοσήμασι σκιρρώδη λάβῃ διάθεσιν, εἰς συμπάθειάν τε τὸ ἧπαρ ἄγειν ὑδέρους τε δι᾽ ἐκείνου μέσου τῷ παντὶ σώματι κατασκευάζειν. ἥπατος δὲ καὶ τῶν κενεώνων μέμνηται καὶ | διδά- 114
σκει τὰς διαφορὰς τῶν ἐπ᾽ αὐτοῖς γινομένων ὑδέρων, ὡς διὰ τῆς ἑξῆς ῥήσεως ἔσται δῆλον.

II 2 [8. II 130, 15 L.] Οἷσι μὲν οὖν ἐκ τῶν κενεώνων αἱ ἀρχαὶ γίνονται, οἵ τε πόδες οἰδέουσι καὶ διάρροιαι πολυχρόνιοι ἴσχουσιν οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος οὔτε τὴν γαστέρα λαπάσσουσαι.

Τὸ μὲν οἰδεῖν τοὺς πόδας ἁπάντων κοινὸν ὑδέρων. ἀμέλει καὶ τοῖς ἐφ᾽ ἥπατι συνεδρεύειν αὐτό φησι· γινώσκομεν δ᾽ ὅτι καὶ τοῖς ἐπὶ σπληνὶ καὶ ἁπλῶς ἅπασι τοῖς ἄλλοις. τὸ δὲ τῆς διαρροίας ἴδιον ἐξαίρετόν ἐστι τοῖς ἐπὶ κενεῶσιν ὑδέροις, ὅσοι τῆς νήστεως ἢ τοῦ μεσεντερίου φλεγμαινόντων γίνονται. μάλιστα γὰρ δὴ τούτοις ἀκρατεῖς αἱ φλέβες εἰσί, δι᾽ ὧν ἕλκει τὸ ἧπαρ εἰς ἑαυτὸ τὴν τροφήν, | ὥστε 115
οὔθ᾽ ὑπηρετεῖν τῷ σπλάγχνῳ πρὸς τὴν ἀνάδοσιν οὔτε μένειν ἐν τῇ νήστει καὶ τοῖς λεπτοῖς ἐντέροις τὴν τροφήν. κἂν ἀρρωστοῦντα τύχῃ βαρυνόμενα πρὸς αὐτῆς, ὠθεῖ κάτω παραχρῆμα πᾶσαν αὐτὴν καὶ αὕτη τῆς διαρροίας ἡ αἰτία.

καὶ δὴ καὶ διαφθείρεσθαι τὴν τροφὴν ἀθροίζεσθαί τε πολὺ τὸ

9 μέμνηται] *cf. supra p. 259, 6. 7* 19 τοῖς ἐπὶ κενεῶσιν ὑδέροις κτλ.] *cf. Stephan. 139, 28 sqq.*

1 ἔχειν *om.* R *post* νεῦρα *add.* τοῦτο P οὕτω VRP: τοῦτο F 2 *post* φλεβῶν *rasura* P 3 ὡς *om. Aldus* 4 δεῖν PF: δεῖσθαι VR αὐτοῦ VF: *corr. ex* αὐτῷ P²: αὐτῷ *Aldus*: αὐ^τ R 6 αὐτῷ ἦν R 7 λάβῃ VF: λάβει R: λάβοι P διάθεσιν (α *et* ε *in ras.*) P 8 ἄγει R ἐκείνων *sed* ου *superscr. man. 2* V τῷ σώματι παντί F 9 τῶν κενεώνων VRF: τῶν κατὰ κενεῶνα V¹ *in mrg.* P μέμνηται (αι *in ras.*) P *post* μέμνηται *add.* γε P 10 γινομένων RP: γενομένων VF αὐτοῖς VRPF: αὐτῶν *edd.* 11 ῥήσεως VRF: λέξεως P 12 περὶ τῶν ἐκ τῶν κενεώνων ὑδέρων *inscrib.* R *in mrg.* ἐκ VRPF: ἀπὸ *ex Hipp. ab Aldo edd.* *post* κενεώνων *add.* καὶ τῆς ὀσφύος *ex Hipp. ab Aldo edd. Stephan.* 13 *post* γίνονται *add.* τῶν ὑδρώπων *ab Aldo edd.* πολυχρόνιαι F 14 ἴσχουσιν VRPF: ἔχουσιν *Hipp.* 15 τε VRPF: *om. Hipp.* λαμπάσσουσαι *(sic)* P 16 *post* μὲν *add.* οὖν P οἰδοῦν F κοινὸν ὑδέρων P: ὑδέρων κοινόν VR ὑδέρων *om.* F 17 αὐτῷ P γιγνώσκομεν V καὶ *resectum* F τοῖς] τῆς P 18 ἄλλοις . . . τῆς *evan.* V 19 τοῦ *om.* F 20 μεσεντέρου P 21 ἑαυτὸ RP: αὐτὸ VF 22 οὔθ᾽] οὐχ R ὑπηρετεῖν (εῖν *in ras.*) P: ὑπηρετεῖ F οὔτε VP: ὥστε F: *om.* R *post* μένειν *inser.* δὲ R 23 ἐντέροις *correctum esse videtur ex* ἐν ἑτέροις V *post* κἂν *add.* εἰ VPF 24 αὐτὴν] αὐτός P 25 ἡ *om.* P 26 καὶ *(alt.) om.* F φθείρεσθαι P

χολῶδες εἰκός ἐστι διὰ τὴν τῶν φλεγμαινόντων μορίων θερμότητα. δῆξις οὖν οὐ σμικρὰ γίνεται διὰ ταῦτα τοῖς ἐντέροις ἐρεθίζουσα πρὸς τὴν ἀπόκρισιν τῶν περιεχομένων ἐν αὐτοῖς καὶ αὕτη πάλιν αἰτία δευτέρα τῆς διαρροίας γίνεται. εἰκότως δὲ αὐτάς φησιν οὔτε τὰς ὀδύνας παύειν οὔτε λαπάττειν, τουτέστι κενοῦν καὶ προσστέλλειν τὰ τῆς γαστρὸς οἰδήματα, δηλῶν κἀν τούτοις ὅτι τε μετ' ὀδύνης ἐκκρίνουσιν ὅτι τε τὸ ὑπογάστριον ἅπαν αὐτοῖς εἰς ὄγκον ἐξαίρεται. τὰς μὲν γὰρ ὀδύνας ἀναγκαῖόν ἐστι γίνεσθαι διά τε τὰς φλεγμονὰς καὶ τὰς δήξεις, τὴν γαστέρα δὲ ὅλην ἐξαίρεσθαι τῶν ἐντέρων πληρουμένων πνεύματος
116 φυσώδους, οὗ τὴν μὲν γένεσιν εὔλογόν ἐστιν ἕπεσθαι ταῖς | ἀπεψίαις. τὸ δὲ ⟨οὐ⟩ μένειν ἔνδον ἀρρωστίᾳ τῆς περισταλτικῆς τῶν ἐντέρων δυνάμεως γίνεται.

II 3 [8. II 132, 1 L.] Οἷσι δ' ἀπὸ τοῦ ἥπατος οἱ ὕδρωπές εἰσι, βῆξαί τε θυμὸς ἐγγίνεται αὐτέοισι καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου καὶ οἱ πόδες οἰδέουσι καὶ ἡ γαστὴρ οὐ διαχωρέει εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται, τὰ μὲν ἐπὶ δεξιά, τὰ δὲ ἐπ' ἀριστερὰ ἱστάμενά τε καὶ καταπαυόμενα.

Θυμὸν εἴρηκε νῦν τὴν προθυμίαν, ἣν ἴσχουσι πρὸς τὸ βήττειν, ἐρεθιζόμενοι μὲν ὡς πρὸς τὸ σύμπτωμα, παραχρῆμα δὲ αὐτοῦ παυόμενοι καὶ μόνον ἀρχῆς τοῦ βήττειν πειρώμενοι. ὁ γὰρ τοῦ ἥπατος ὄγκος ἐγκείμενος ταῖς φρεσὶ στενοχωρίαν ἐργάζεται τῷ πνεύμονι. παραπλησίας οὖν διαθέσεως γινομένης τῇ κατὰ τὰς ὄντως αὐτοῦ στενο-
117 χωρίας, | δι' ἃς φλεγμαίνων τε καὶ καταρροϊζόμενος ἐκ τῆς κεφαλῆς

13 βῆξαι ... λόγου *(14)*] *cf. 17 (II 154, 1 sq. L.); infra p. 261, 22 sq.*
19 Θυμὸν κτλ.] *cf. etiam infra p. 312, 20 sq. et Stephan. 140, 3*

2 μικρά P 3 *post* ἀπόκρισιν *rasura* F αὐτοῖς *corr. ex* αὐταῖς P αὕτη] αὐτὴ P 4 τῆς *bis scribit* P *post* διαρροίας *falso inser.* ἐκρίσεως P γίνεται VRPF: ἐστίν *edd.* αὐτάς P: αὐτός VR: αὐτοῖς F 5 προσστέλλειν F: προστέλλειν VRP τῆς *omissum add. in mrg.* V² 6 τε *om.* V 7 τε *om.* R αὐτοῖς ἅπαν R 8 δήξεις (η *in ras.*) P 9 γαστέραν P *post* ὅλην *superscr.* τὸ P² ἐντερίων P 10 μὲν *om.* F 11 οὐ *edd.* *(cf. supra p. 261, 22)*: *om.* VRPF μένειν *corrosum suppl.* V³ ἀρρωστίᾳ *evanidum suppl.* V³ περισταλτικῆς *corr. ex* -καῖς P τῶν ἐντέρων δυνάμεως VRPF: δυνάμεως τῶν ἐντέρων *edd.* 12 γίνεταιεται *(sic)* V 13 οἷσι VRPF: ὁκόσοισι *Hipp. et ab Aldo edd.* *post* δ' *inser.* ἂν VRPF οἱ *om.* *Hipp.* 14 εἰσι VRPF: γίγνονται *Hipp.*: γίνονται *ab Aldo edd.* βῆξαι VRPF *Hipp. Aldus Stephan.*: βῆχες *a Basil. edd.* *post* τε *inser* καὶ *ab Aldo edd.* ἐγγίνεται αὐτέοισι VRPF: τούτοισιν ἐγγίγνεται *Hipp.* ἀποπτύουσιν οὐδὲν VRPF *Stephan.*: οὐδέν τι *(om. a Basil. edd.)* ἀποπτύουσιν *ex Hipp. ab Aldo edd.* 15 διαχωρέει //// R: διαχωρεῖ F 16 ἀνάγγην *(sic)* P κοιλίαν VP 17 οἰδήματα γίνεται (γίνονται P) VRPF: γίγνεται (γίνεται *ab Aldo edd.*) οἰδήματα *Hipp. et ab Aldo edd.* δεξίᾳ . . . ἀριστερᾷ F 19 περὶ τῶν ἀπὸ τοῦ ἥπατος ὑδέρων καὶ τῶν συνεπομένων αὐτοῖς συμπτωμάτων *inscrib.* R *in mrg.* 22 ἐργάζεσθαι V: *superscr.* εται V² 23 τῇ VRP: τῆς F ὄντως *corr. ex* ὄντας V¹P¹ αὐτοῦ VRPF: αὐτῷ *edd.* 24 ἃς] ἃ F φλεγμαίνων τε *corr. ex* φλεγμαίνονται F¹

πάσχει, προθυμοῦνται μὲν βήττειν ἐλπίζοντες ἐκ τοῦ κενῶσαι τὸ λυποῦν ἰάσασθαι τὴν στενοχωρίαν, ἀρξάμενοι δὲ αὐτοῦ παραχρῆμα παύονται διὰ τῆς πείρας αὐτῆς εἰς γνῶσιν ἀκριβεστέραν ἀφικνούμενοι τῆς διαθέσεως αἰσθανόμενοί τε σφῶν αὐτῶν ὅτι μάτην ἤλπισαν. ἀλλὰ καὶ ἡ φύσις αὐτὴ καθ᾽ αὑτὴν ἐπάγει βῆχα τὰς ἐμφράξεις τοῦ πνεύμονος ἐκκαθαίρουσα, κἂν ἡμεῖς μὴ προαιρώμεθα βήττειν, ὥστ᾽ ἔργον εἶναι πολλάκις ἀντισχεῖν τε καὶ κωλῦσαι τὸ σύμπτωμα. νῦν οὖν ὁπότε διὰ τὴν στενοχωρίαν ἐπὶ τὸ βήττειν οἱ κάμνοντες ἔρχονται μάτην ὡς ὀνησόμενοί τι τὴν ἐκ τῆς φυσικῆς δυνάμεως ὑπηρεσίαν οὐκ ἔχοντες αὐτίκα παύονται. διὰ ταῦτα μὲν γὰρ ἡ προθυμία γίνεται τοῖς οὕτω κάμνουσι τοῦ βήττειν, ἀπολείπει δ᾽ αὐτοὺς ἐν τάχει τοὔργον ὡς ἂν μηδ᾽ ἀναπτύοντας ἄξιον λόγου, ἀλλὰ τοσοῦτον ὅσον εἰς τὰς τραχείας ἀρτηρίας ὀρρῶδες καὶ λεπτὸν ἐκ τῶν περιεχόντων ἀγγείων τὸ ὀρρῶδες αἷμα συνθλίβεται δίκην ἱδρῶτός τινος. ταύτῃ γοῦν οἱ ἀπὸ τοῦ ἥπατος ὕδρωπες | ἀφορίζονται τῶν προειρημένων, ἔτι τε τῇ βραχύτητι καὶ τῇ ξηρότητι 118 τῶν ὑπερχομένων κάτω. διερεθίζονται γὰρ ἐκεῖνοι πεπονθότων αὐτοῖς ἤτοι τῶν ἐντέρων ἢ τοῦ μεσεντερίου. τοῖς δὲ ἀπὸ τοῦ ἥπατος ὑδεριῶσιν ὡς ἂν ἀπαθῶν ὄντων τούτων οὔτε διαφθειρομένης τῆς τροφῆς οὔτε βαρυνομένων ὑπ᾽ αὐτῆς τῶν μορίων (ἔρρωνται γὰρ καὶ οὐ γίνεται διάρροια) μένει πλεῖον αὐτόθι τὰ τῆς τροφῆς λείψανα τὸ μέν τι διαπέμποντα πρὸς τὴν ἐντὸς τοῦ περιτοναίου χώραν, τὸ δέ τι καὶ τῇ φλεγμονῇ τοῦ ἥπατος οἷον ἐξοπτώμενα.

καὶ μέντοι καὶ τὸ δέρμα πᾶν αὐτοῖς ὡς ἂν ὑπὸ φλεγματώδους αἵματος τρεφόμενον οἰδαλέον τε γίνεται καί, εἰ πιέσαις αὐτὸ τῷ δακτύλῳ, παραχρῆμα μὲν φαίνεται κοῖλον, ὀλίγον δ᾽ ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανερχόμενον κατάστασιν. οὐ μὴν εὐθέως ἐξ ἀρχῆς ἅμα τῇ μεταπτώσει τῆς ὀξύτητος εἴωθε γίνεσθαι τὸ τοιοῦτον, ἀλλ᾽ οἱ μὲν πόδες οἰδίσκονται πρῶτοι πορρωτάτω τῶν θερμοτάτων μορίων ὄντες. ἐπαναβαῖνον δὲ τὸ σύμπτωμα καὶ περὶ τὴν κοιλίαν πᾶσαν τὴν αὐτὴν ἐργά-

25. 26 ὀλίγον . . . κατάστασιν] *cf. infra p. 264, 2 sq.*

1 προθυμοῦνται] ν *superscr. man. 2* P 4 αἰσθόμενοι F ὅτι VRF: ὄντι P μάτειν P 5 *post* βῆχα *add.* καὶ F ἐμφράξεις] ἐμ *suppl. man. 3* V 6 προαιρούμεθα V βήττειν ὥστ᾽ *madore perierunt* V ὥστ᾽ οὔργον R ἔργον VPF: ἐργῶδες *edd.* *post* εἶναι *add.* αὐτοῦ P 8 ὀνησόμενοι RF: *in ras.* V: ὠνησόμενοι P 11 μηδ᾽ VRPF: μηδὲν *edd.* 12 ἄξιον VF: ἄξια RP *post* ἀρτηρίας *add.* ἢ V² 13 *post* ὀρρῶδες *add.* τε R *post* λεπτὸν *superscr.* θ V² ἐκ τῶν περιεχόντων *repet. sed ipse del.* P *post* τὸ *add.* δὲ F *post* ὀρρῶδες *(prius) inser.* τε R ὀρρῶδες *(alt.) om.* R 14 συνθλίβει V: *superscr.* βεται V² ταύτῃ γοῦν VRP: ταῦτ᾽ οὖν F 15 ξηρότητι VRF: ξερότητι P: σκληρότητι *a Basil. edd.* 16 ὑπερ/////μένων (χο *superscr. man. 2*) V διερεθίζονται VR: *corr. ex* διεθίζονται P²: διηρεθίζοντο F 18 τούτοις V 19 *post* οὐ *rasura* P 20 γίνεται διάρροια VRPF: γίνονται διάρροιαι *edd.* *post* μένει *add.* δὲ F: τε *Cornarius* πλείονα P 21 τὴν] τὸν P ἐντὸς VRP: ἐκτὸς F 22 ἐξοπτώμενα VR: *corr. ex* ἐξοπτώμενον P: ἐξοπτούμενα F 23 αὐτῆς F *post* αὐτοῖς *sex fere litteras eras.* V ὑπὸ] ἀπὸ R *post* ὑπὸ *add.* τοῦ F 24 ὑδαλέον RF αὐτὸ τῷ δακτύλῳ *resecta* V πιέσαις F: πιέσεις VRP 25 μὲν *om.* F ὀλίγῳ F 28 μορίων VRP: χωρίων F 29 τῇ κοιλίᾳ πάσῃ F ἐργάζεται τὴν αὐτὴν διάθεσιν F

ζεται διάθεςιν, ὥςτε, εἰ πιέςαις τὸ οἴδημα τῷ δακτύλῳ, κοιλαίνεςθαί τε
119 καὶ οἷον βοθροῦ|cθαι τὸν τόπον, εἶτ᾿ ὀλίγον ὕςτερον εἰς τὴν ἔμπροςθεν ἐπανέρχεςθαι κατάςταςιν, ὅπερ Ἱπποκράτης εἶπεν.

καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται ἱςτάμενά τε καὶ καταπαυόμενα. δύναιτο δ᾿ ἂν εἰρηκέναι τοῦτο καὶ περὶ τῆς πρώτης γενέςεως αὐτῶν ἔτι. καὶ γὰρ ἀρχόμενα ςυνίςταςθαι καθίςτανται πολλάκις, ὡς δόξαι τινὶ πεπαῦςθαι τελέως αὐτά, μετὰ ταῦτα δὲ αὖθις ἐπαίρεται· καὶ πάλιν δὲ καθίςταται καὶ αὖθις πάλιν ἐπαίρεται. προελθόντος δὲ τοῦ χρόνου μένει μὴ καθιςτάμενα. διαφέρει γε μὴν ταῦτα τῶν προειρημένων ἐπὶ τοῖς κενεῶςι τῷ κοιλαίνεςθαι πιεζόμενα, φλεγματικὴν ἔχοντα τὴν φύςιν, οὐκ ἐπὶ φυςώδει πνεύματι καθάπερ ἐκεῖνα γινόμενα.

II 4 [9. II 132, 6 L.] Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων.

120 Ἐν μὲν τοῖς χρονίοις νοςήμαςι καὶ μάλιςτα χειμῶνος καὶ γέρουςιν οὐ μόνον ἐν ταῖς εἰςβολαῖς τῶν πυρετῶν, ἃς ἐπιςημαςίας ὀνομάζουςιν, ἀλλὰ καὶ τοῖς διαλείμμαςιν, οὐδὲν θαυμαςτόν ἐςτι περιψύχεςθαι τὰ πέρατα τοῦ ςώματος ἄςαρκά θ᾿ ὑπάρχοντα φύςει καὶ πορρωτάτω κείμενα τῶν ςπλάγχνων. ἀλλ᾿ ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν χρονίων νοςημάτων οὐκ ἔςτιν ὁ λόγος αὐτῷ. τὸ τοίνυν ἐν τοῖς ὀξέςι καταψύχεςθαι ταῦτα τὰ μόρια κατὰ τὴν ἐναντίαν διάθεςιν ὡς τὸ πολὺ γίνεται τῆς ἐν τοῖς χρονίοις ἐργαζομένης τὸ ςύμπτωμα τοῦτο (κατ᾿ ἐκεῖνα μὲν γὰρ οὐκ ἐξικνεῖται μέχρι τῶν ἄκρων τοῦ ζῴου μορίων ἡ ἔμφυτος θερμότης ὑπ᾿ ἀρρωςτίας), ἐν δὲ τοῖς ὀξέςι διὰ μέγεθος τῆς τῶν ςπλάγχνων φλεγμονῆς ὀλίγον μέν τι τῆς αἱματώδους οὐςίας εἰς ὅλον ἥκει τὸ ςῶμα, πλεῖςτον δὲ αὐτῆς ἐν τοῖς φλεγμαίνουςι κατακλείεται. καὶ διὰ τοῦτο κατακαίεται τὰ μέςα μόρια τοῦ ςώματος, ἅπερ ἐςτὶ θώραξ τε καὶ γαςτήρ, καὶ ἱκανῶς φαίνεται θερμά.

2 ὀλίγον ὕςτερον κτλ.] *cf. supra p. 263, 25 sq.*
9 προειρημένων] *8 (II 130, 15 sq. L.); cf. supra p. 261, 12 sqq.*
14 *sqq.*] *excerps. Stephan. 140, 22 sqq.*

1 πιέςαις *recte* VRPF: πιέςας *a Basil. edd.* 14 τῷ *om. Kuehn* 4 κοιλίαν P 5 παυόμενα R δύναται V *post* ἂν *add.* τις R 6 ἔτι *corr. ex* ἔςτι P 7 τινὰ F τελέως P *(cf. infra p. 271, 9)*: τελείως VRF 8 καὶ *(prius) om.* P δὲ *(prius) eras.* V καθίςτανται R 9 μὴ VRPF: μηκέτι *edd.* 10 ἐπὶ VPF: ἐν R *post* κοιλαίνεςθαι *add.* τε V: *rasura* P 11 οὐκ ἐπὶ R: *corr. ex* οὐκ ἔτι V: οὐκέτι PF 12 περὶ τῶν ἐν τοῖς ὀξέςι νοςήμαςι κεφαλὴν καὶ χεῖρας καὶ πόδας καταψυχραινομένων τῶν πλευρῶν θερμῶν ὄντων *inscrib.* R *in mrg.* 13 κοιλίας P 16 ἀλλὰ *om.* F 17 θ᾿] δ᾿ P 21 γίνονται F τῆς P: *corr. ex* τοῖς VR: τοῖς F ἐργαζομένοις F 22 γὰρ] οὖν F 23 *post* ἐν *rasura* P 24 μέντι VRP: μέντοι F 25 *post* ςῶμα *eras.* τὸ P αὐτῆς RP: αὐτοῖς VF φεγμαίνουςι *(sic)* P κατακλείεται R: *omissum superscr.* V[1]: κατακέκλειςται P: *om.* F κατακαίεται VRP: κατακλείεται F: *om. edd.* 27 καὶ *(alt.)* VRP: *om.* F

γίνεταί γε μὴν ἐνίοτε ἐν τοῖς ὀξέσιν ἐπισημασία μετὰ ῥίγους ἢ
ψύξεως οὐ μόνα τὰ πέρατα τοῦ σώματος, | ἀλλὰ καὶ τὸ περὶ θώ- 121
ρακα καὶ τὴν γαστέρα δέρμα ψυχρὸν ἐργαζομένη. αὕτη μὲν οὖν οὐ-
δὲν ἐνδείκνυται κατὰ τὰ σπλάγχνα φαῦλον, ὅταν δὲ μενόντων θερμῶν
τῶν κατὰ τὰς πλευράς τε καὶ τὴν γαστέρα μορίων ἢ καὶ τοῦ κατὰ
φύσιν ἔτι θερμοτέρων γεγενημένων ψύχηται τὰ τοῦ σώματος ἄκρα
μόρια, μέγεθος φλεγμονῆς ἐνδείκνυται κατὰ τὰ σπλάγχνα καὶ τάχα
βέλτιόν ἐστιν ἀκοῦσαι τὸ θερμῶν ἐόντων ἐπί τε τῆς κοιλίας καὶ
τῶν πλευρῶν οὕτως εἰρημένον, ὡς ἐπιφανέστερον αὐτῶν τεθερμα-
σμένων ἢ ὁπότε κατὰ φύσιν εἶχεν. ἴσμεν δ' ὅτι καὶ ὁ καλούμενος λει-
πυρίας πυρετὸς ἐκ τῆς τοιαύτης ἰδέας ἐστίν.

II 5 [9. II 132, 7 L.] Ἄριστον δὲ ἅπαν τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶς.

Χειρίστην προειρηκὼς κατάστασιν εἶναι νοσήματος, ὅταν τῶν μέσων
τεθερμασμένων καταψύχηται τὰ πέρατα τοῦ σώματος, ἀντιπαραβάλλει
νῦν αὐτῇ τὴν ἀρίστην | ἐν ἡμῖν, ἐν ᾗ θερμὸν ὁμαλῶς ἐστιν ἅπαν τὸ 122
σῶμα, μετὰ τοῦ καὶ μαλθακὸν ὁμαλῶς εἶναι. τὸ γὰρ ὁμαλὸν ἀμφο-
τέρων ἐστὶ κοινόν. ὁμαλῶς μὲν οὖν θερμὸν γίνεται τὸ σῶμα καὶ κατὰ
τοὺς διακαεστάτους τῶν πυρετῶν, ἀλλὰ δακνῶδές τε καὶ ξηρὸν φαίνεται
κατὰ τὰς τοιαύτας διαθέσεις οὐ μαλακόν. εἰ δὲ ἅμα τε μαλακὸν εἴη
καὶ θερμὸν ὁμαλῶς, ἀρίστην ἐνδείκνυται διάθεσιν τοῦ σώματος.

14 προειρηκώς] *9 (II 132, 6 sq. L.); cf. supra p. 264, 12 sq. et 265, 5 sqq.*

1 γε RF: *om.* VP μὴν RF: *corr. ex* μὲν V: μὲν P ἐνίοτε (ἐν *in ras.*) P ἐν PF: κἂν R: καὶ *(superscr. man. 2)* ἐν V 2 *post* καὶ *add.* αὐτὸ R 3 θώρακι καὶ τῇ γαστρί F αὕτη] αὐτοῖς F οὖν *om.* F οὐδὲν *om.* V: *add.* V² *in mrg.* 4 κατὰ τὰ σπλάγχνα *om.* F 5 τὰς VRPF: *om. edd.* 6 γενομένων F ψύχεται R 8 τὸ] τῶν F 9 εἰρημένων PF ἐπιφανέστατον F 10 ἢ *om.* F εἶχεν VRPF: εἶχον *edd.* λειπυρίας (αμ *superscr. man. 1*) R 11 τῆς *om.* F 12 περὶ ἀρίστης καταστάσεως ἐν νοσήμασι *inscrib.* R *in mrg.* *post* δὲ *inser.* καὶ *ex Hipp. ab Aldo edd.* ἅπαν VRPF: ὅλον *Hipp. Chartier* 13 εἶναι VRPF: ἐὸν *Hipp.* θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶς V: ⸢ θερμόν τε εἶναι ὁμαλόν V² *in mrg.* 14 κατάστασιν εἶναι νοσήματος P: κατάστασίν νοσήματος (νοσημάτων V) εἶναι VRF μεσέων V 15 καταψύχηται VRPF: καταψύχεται *edd.* ἀντιπαραβάλλει RP: *corr. ex* ἀντιπαραβάλλειν V²: ἀντιπαραβάλλειν F 16 νῦν] οὖν F ἀρίστην (ν *superscr. man. 2*) V ἅπαν VRPF: ὅλον *edd.* 16. 17 τὸ σῶμα ἅπαν P 17 καὶ τοῦ F καὶ *om.* V γὰρ] καὶ *Aldus* 18 θερμὸν *correctum esse videtur ex* θερμασία F 20 κατὰ τὰς *omissa superscr.* P² 21 καὶ θερμὸν ἱκανῶς *suppl.* F² θερμὸν ὁμαλῶς VRP: θερμὸν ἱκανῶς *omissa suppl.* F² ἀρίστην ἐνδείκνυται *evanida suppl.* V³

II 6 [II 132, 7 L.] Στρέφεςθαι δὲ χρὴ ῥηϊδίως τὸν νοςέοντα καὶ ἐν τοῖςι μετεωριςμοῖςιν ἐλαφρὸν εἶναι.

Κεφάλαιον μὲν ἁπάςης προγνώςεώς ἐςτι τῶν τεθνηξομένων καὶ ςωθηςομένων ἡ παραβολὴ τῆς τοῦ νοςήματος ἰςχύος πρὸς τὴν τοῦ κάμνοντος δύναμιν· ἰςχυροτέρου μὲν γὰρ ὄντος τοῦ νοςήματος τεθνήξεται πάντως ὁ ἄνθρωπος, εἰ δὲ ἀςθενέςτερον εἴη τῆς τοῦ κάμνοντος δυνάμεως, οὐκ ἂν ἀποθάνοι μηδενὸς ἁμαρτηθέντος. καὶ τοῦτο τὸ κεφά|-
123 λαιον αὐτὸς ἔγραψε κατὰ τὸν ἀφοριςμόν, οὗ ἡ ἀρχή· "ξυντεκμαίρεςθαι δὲ χρὴ καὶ τὸν νοςέοντα, εἰ ἐξαρκέςει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούςου." τὸ μὲν οὖν κεφάλαιον τοῦτο τῆς προγνωςτικῆς θεωρίας ἐςτίν. οὐςῶν δὲ δυνάμεων τριῶν κατὰ γένος ἐπὶ τριςὶν ἀρχαῖς, ἐγκεφάλῳ καὶ καρδίᾳ καὶ ἥπατι, διὰ τῶν ἐνεργειῶν ἑκάςτης αὐτῶν ἥ τ' ἀρρωςτία καὶ ἡ ῥώμη γνωρίζεται. ἐνέργειαι δὲ τῆς μὲν κατὰ τὸν ἐγκέφαλον ἀρχῆς αἱ μὲν ἡγεμονικαὶ κατά τε μνήμας γίνονται καὶ διαλογιςμούς, αἱ δ' ὑπηρετικαὶ κατά τε τὰς αἰςθήςεις καὶ τὰς καθ' ὁρμὴν κινήςεις, τῆς δὲ κατὰ τὴν καρδίαν αἱ διὰ τῆς τῶν ἀρτηριῶν κινήςεως, τῆς δὲ κατὰ τὸ ἧπαρ αἱ περὶ τὸ αἷμα καὶ τοὺς χυμούς.

εἰς ταῦτ' οὖν τὰ δύο κεφάλαια τῆς προγνωςτικῆς θεωρίας τεμνομένης, ὅτιπερ ἂν ὑφ' Ἱπποκράτους ῥηθῇ ςημεῖον, ἐπιςκοπεῖςθαι χρή, τίνος ἐςτὶ γένους, οἷον καὶ νῦν ἐπὶ τοῦ ῥᾳδίως ςτρέφεςθαι τὸν κάμνοντα καὶ διανιςτάμενον ἐλαφρὸν ἑαυτῷ φαίνεςθαι. γνωρίςματα
124 γάρ ἐςτι ταῦτα τῆς καθ' ὁρμὴν κινούςης τὸ ςῶ|μα δυνάμεως. ἴςμεν δ' ὅτι καθ' ὁρμὴν ἢ κατὰ προαίρεςιν ἢ βούληςιν ὀνομάζειν οὐδὲν εἰς τὰ παρόντα διαφέρει. τούτου δὲ τοῦ γένους ἦν καὶ τὰ περὶ τῆς κατακλίςεως ἔμπροςθεν εἰρημένα κατὰ τὴν ῥῆςιν, ἧς ἡ ἀρχή· "κεκλιμένον δὲ χρὴ καταλαμβάνεςθαι τὸν νοςέοντα." δείκνυςι μὲν γὰρ ὅτι ἡ τοιαύτη κατάκλιςις ὥςπερ καὶ ἡ ἀνάρροπος ἐνεργούντων γίνεται τῶν μυῶν, ὀνομάζειν δὲ αὐτὴν εἰώθαςι τονικήν. εἴρηται δὲ περὶ αὐτῆς ἐπὶ πλέον

8 κατὰ τὸν ἀφοριςμόν, οὗ ἡ ἀρχή] *I 9 (IV 464, 3 sqq. L.); cf. Gal. XVII B 377, 9 sqq. K.* 25 ἡ ἀρχή] *3 (II 118, 7 sqq. L.); cf. supra p. 227, 1 sq.*

1 περὶ προγνώςεως τῶν ςωθηςομένων ἢ ἀπολλυμένων ἐν τοῖς ὀξέςι παθήμαςι *inscrib.* R *in mrg.* νοςέοντα VRPF: ἀλγέοντα *ex Hipp. ab Aldo edd.* 2 τοῖς μετεωριςμοῖς VR 3. 4 καὶ ςωθηςομένων *omissa add.* P^2 *in mrg.* 5 μὲν *superscr.* F^1 ἐόντος P 7 ἀποθάνοι VF: ἀποθάνει R: ἀποθάνῃ P 8 ξυντεκμαίρεςθαι VRPF: ςυντεκμαίρεςθαι *edd.* 9 τῇ διαίτῃ VRP^2F: ἡ δύναμις P 10 νούςου RF: νόςου VP 11 ἐπί VRF: *superscr.* P^2: ἐν P ἐγκεφάλου R 12 καρδίας R ἥπατος R ἀρρωςτία//ι// R 14 μνήμην R 15 ὑπηρετικαὶ *ex corr.* P *post* τὰς *(prius) rasura* P 16 ἀρτηριῶν κινήςεως *evanida suppl.* V^3 18 τὰ *om.* F δύο VRPF: *om. edd.* 20 χρή R: *om.* VPF ἐπὶ VRP: ὑπὸ F: ἐςτι *Chartier* 21 ἐλαφρόν R: ἐλαφρότερον VP: ἐλαφρῶς F *post* ἐλαφρ. *add.* γε V: *superscr* P^2 ἑαυτῷ R: ἑαυτοῦ VPF 23 ὀνομάζει F 24 δὲ VRPF: *om. edd.* ἦν VRP: ἐςτι F 25 *post* κατὰ *superscr.* τήνδε P^2 26 καταλαμβάνεςθαι *correxisse videtur ex* ∼βάνειν P^2

ἐν τοῖς Περὶ μυῶν κινήσεως. ἔλεγε δὲ καὶ ὁ Διοκλῆς, ὅτι τὰ σώματα τῶν ζῴων συνέστηκεν ἐκ τοῦ φέροντος καὶ φερομένου. φέρον οὖν ἐστιν ἡ δύναμις, φερόμενον δὲ τὸ σῶμα. καθάπερ οὖν οἱ βαστάζοντες φορτίον ἤτοι βαρυνόμενοι πρὸς αὐτοῦ κινοῦνται μόλις ἢ κοῦφον εἶναι νομίζοντες ἀλύπως φέρουσιν, οὕτως καὶ ἡ δύναμις ἡ μὲν ἰσχυρὰ ῥᾳδίως τὸ βάρος τοῦ σώματος φέρει, ὡς μηδὲν εἰς τὰς κινήσεις τοῦ σώματος βλάπτεσθαι, ἡ δὲ ἀσθενὴς βαρυνομένη μόλις ἐξαίρει τὰ μόρια τοῦ σώματος. |

II 7 [9. II 132, 10 L.] Ἢν δὲ βαρὺς ἐὼν φαίνηται τό τε ἄλλο **125**
σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερόν ἐστιν.

Ἐπιχειροῦντι κινεῖσθαι τὰς κατὰ προαίρεσιν ἐνεργείας ἡ τῶν μορίων βαρύτης καταφανὴς γίνεται, σκελῶν μὲν ἐν τῷ διανίστασθαι καὶ βαδίζειν ἢ καὶ μεταφέρειν ὅλως αὐτὰ πειρᾶσθαι κατακείμενον, οὕτω καὶ χειρῶν ἐν τῷ λαμβάνειν τι καὶ μεθιέναι καὶ μεταφέρειν ἐπιχειρεῖν, ὡσαύτως καὶ τῶν κατὰ τράχηλον καὶ ῥάχιν ἐν τῷ μετασχηματίζειν ἐπιχειρεῖν τὸ σῶμα κατὰ ταῦτα τὰ μόρια. καὶ μέγιστόν γε τοῦτ᾽ ἐστὶ καὶ κυριώτατον ἀρρώστου δυνάμεως σημεῖον ἡ βαρύτης τῶν μορίων οὐχ ἁπάσης, ὡς εἴρηται πρόσθεν, ἀλλὰ τῆς κατὰ μόνα τὰ νεῦρα καὶ μῦς.

II 8 [9. II 132, 11 L.] Εἰ δὲ καὶ οἱ ὄνυχες πελιδνοὶ πρὸς τῷ βάρει καὶ οἱ δάκτυλοι γίνονται, προσδόκιμος ὁ θάνατος αὐτίκα. |

1 Περὶ μυῶν κινήσεως] *I 7 (IV 396, 13 sqq. K.)* Διοκλῆς] *M. Wellmann, Fragmentsammlung der griech. Ärzte I 124, fr. 17; cf. Stephan. 141, 6 sqq.* 18 πρόσθεν] *supra p. 266, 27 sqq. et 267, 11 sqq.*

1 κινήσεων *Chartier* ὁ *om.* P 2 *post* ἐκ *add.* τε R *post* καὶ *inser.* τοῦ *edd.* φέρον] φέροντος R *post* φέρον *add.* μὲν P 4 μόλις VPF: μόγις R κοῦφον R: *corr. in* κουφότερον P²: κουφότερον VF 5 ἰσχυρὰ VRPF: ἰσχυροτέρα P² 6. 7 τοῦ σώματος *om.* V: *omissum superscr.* P² 7 μόλις VRPF: μόγις *edd.* 9 περὶ τῶν ἐν ταῖς κινήσεσι τῶν χειρῶν καὶ ποδῶν βαρεῖς ἑαυτοὺς εἰκαζόντων *inscrib.* R *in mrg.* ἢν VRPF: εἰ *ex Hipp. ab Aldo edd.* φαίνηται P: φαίνοιτο VRF 10 ἐστιν *om. Hipp.* 11 ἐπιχειροῦντι *corr. ex* ἐπιχειροῦντος P 13 πειρᾶσθαι αὐτὰ P *post* οὕτω *add.* δὲ F: *eras.* P 15 *post* ὡσαύτως *inser.* δὲ VF τῶν *om.* F *post* κατὰ *add.* τὸν PF *post* καὶ *(alt.) add.* τὴν F 16 κατὰ VRP: καὶ F γε *om.* F 17 ἀρρώστου R: ἀρρώστȣ (ȣ *superscr. in ras.*) V: ἀρρώστους *(sic) Aldus Basil.*: ἀρρωστίας PF 17. 18 οὐχ ἁπάσης R: οὐ πάσης *edd. et corr. ex* οὐχ ἁπάσης V²: οὐ κατὰ (*in ras.* P) πάσης PF 18 μόνα τὰ νεῦρα VR: τὰ νεῦρα μόνα P: τὰ μόρια καὶ νεῦρα F *post* καὶ *add.* τοὺς *edd.* μύας *corr. ex* μῦς P 19 περὶ τῶν πελιδνουμένων ὀνύχων καὶ δακτύλων *inscrib.* R *in mrg.* εἰ VF *Hipp. ab Aldo edd.*: οἱ P: ἢν R πρὸς τῷ βάρει *post* δὲ *coll. Hipp. et ab Aldo edd.* 21 αὐτίκα VRP: παραυτίκα *ex Hipp. Chartier*: *om.* F

126 Δέδεικται μὲν δι᾽ ἑτέρων ἡμῖν, ὅπως ἀλλήλαις αἱ διοικοῦcαι τὸ ζῷον δυνάμεις cυναπόλλυνται καὶ ὡς, ἄχρις ἂν ἡτιcοῦν αὐτῶν διαcῴζηται, ζῇ πάντως ὁ ἄνθρωπος. εἰρηκὼς οὖν ὁ Ἱπποκράτης γνωρίcματα τῆς καταλυομένης δυνάμεως, ὑφ᾽ ἧς οἱ μύες κινοῦνται, νῦν αὐτοῖς προcτίθηcιν ἑτέρας δυνάμεως cβεννυμένης ἴδια γνωρίcματα. τὸ γὰρ πελιδνοῦcθαι cημεῖον τοῦ cβέννυcθαι τὴν ἔμφυτον θερμαcίαν, ἥ τις ἀπὸ καρδίας ὁρμᾶται. διὰ τοῦτο τοιγαροῦν οὐχ ἁπλῶς θάνατον ἔφηcε δηλοῦν τὴν πελιδνότητα προcγινομένην τῷ βάρει τοῦ cώματος, ἀλλὰ παραχρῆμα καὶ οὐκ εἰς ἀναβολὰς ἔcεcθαι τοῦτον, ἐπειδὴ τῶν δυνάμεων ἀμφοτέρων νεκρουμένων φαίνεται τὰ γνωρίcματα.

II 9 [9. II 132, 13 L.] Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι καὶ οἱ πόδες ἧccον ὀλέθριοι τῶν πελιδνῶν, ἀλλὰ καὶ τὰ ἄλλα cημεῖα ἐπιcκέπτεcθαι. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν ἢ καὶ ἄλλο τι τῶν περιεcτικῶν cημείων ᾖ πρὸς
127 τουτέοιcιν, ἐπιδείκνυται τὸ νόcημα εἰς ἀπόcταcιν τρέπεcθαι, ὥcτε τὸν μὲν ἄνθρωπον περιγενέcθαι, τὰ δὲ μελανθέντα τοῦ cώματος ἀποπεcεῖν.

Οὐχ ἧccον ὀλέθριοι τῶν πελιδνῶν ἐχρῆν εἰπεῖν, ἀλλ᾽ ὡς ἐνίοτε μὲν οὐδ᾽ ὅλως, ἐνίοτε δὲ ἐcχάτως εἰcὶν ὀλέθριοι. καὶ ἴcως ἄν τις ὑπενόηcεν ἀγνοεῖν αὐτὸν τοῦτο διὰ τὸ μὴ κυρίως χρῆcθαι τῇ λέξει.

1 δέδεικται δι᾽ ἑτέρων] *e. g. IX 498, 13 sqq. K.*

1 μὲν *om.* F 1. 2 τὸ ζῷον *om.* F 2 ἄχρις *in ras.* P ἂν VRP: οὗ *a Basil. edd.*: ο̣ (*i. e.* οὖν) F *ante* ἡτιcοῦν *perperam inser.* μία τίς P: *rasura* V ἡτιcοῦν] ἥ τις ἂν F διαcῴζηται RF: διαcώζει ταὶ *(sic)* P: διαcώζεται V 3 *post* εἰρηκὼς *eras.* μὲν P 4 ἧς *omissum superscr.* P[2] αὐτοῖς VP: *ex corr.* R: αὐτῷ F 5 *post* δυνάμεως *add.* τῆς ζωτικῆς P γὰρ *omissum superscr.* P[2] 7 διὰ τοῦτο τοιγαροῦν *evan.* V ἔφηcε θάνατον F 9 ἀναβολὰς VRPF: ἀναβολὴν *edd.* τοῦτον VRPF: τοῦτο *edd.* 10 ἀμφοτέρων *corr. ex* ἀμφότερα P[1] 11 μελαινόμενοι *corr. ex* -νος P 11. 12 οἱ δάκτυλοι καὶ οἱ πόδες F *Hipp. et ab Aldo edd.*: οἱ πόδες καὶ οἱ δάκτυλοι VRP 12 ἧcον (c *superscr. man. 2*) V ὀλέθριοι V *Hipp. et ab Aldo edd.*: *ex corr.* P: ὀλέθριον RF *post* πελιδνῶν *add.* εἰcιν *Hipp. et ab Aldo edd.* καὶ *(alt.) superscr.* P[2]: *om.* F 13 ἐπιcκέπτεcθαι VRPF: cκέπτεcθαι *ex Hipp. ab Aldo edd.* *post* cκέπτεcθαι *add.* χρή *ex Hipp. ab Aldo edd.* φέρων φαίνηται *Hipp. et ab Aldo edd. Galen. infra p. 269, 5*: φαίνηται φέρων VRPF 14 καὶ *eras.* P περιεcτικῶν *Hipp. Aldus*: περιεcτικῶν V[2] *in mrg.*: περιεcτηκῶν R: περιεcτηκότων VPF; *cf. Cobet, Mnemos. N. S. 13 (1885) p. 250 sq.* ᾖ R *(cf. Galen. infra p. 269, 6)*: *om.* VPF *Hipp. et ab Aldo edd.* 15 τούτοις PF *post* τουτέοιcι *add.* τοῖcι cημείοιcι *ex Hipp. ab Aldo edd.* ἐπιδείκνυται VRP: ἐπιδείκνυcι F: ὑποδεικνύει *ab Aldo edd.*: ὑποδεικνύῃ *Hipp.* εἰς VRF: ἐς P *Hipp.* τρέπεcθαι VRPF: τραπῆναι *Hipp.* *post* τρέπεcθαι *add.* ἐλπίς *ex Hipp. ab Aldo edd.*: *del.* V 17 ἐκπεcεῖν (ἀπο *superscr. man. 2*) P 18 περὶ τῶν παντελῶς μελαινομένων χειρῶν καὶ ποδῶν *inscrib.* R *in mrg.* 20 ὑπονοήcειεν F ἀγνοῆν P αὐτὸ F

προσθεὶς δὲ ἑξῆς τὸν διορισμὸν καὶ διδάξας σαφῶς ἑκάτερον, ὧν εἶπον, εὔδηλός ἐστι γινώσκων μὲν τὸ ἀληθές, οὐκ ἀκριβῶς δὲ ἑρμηνεύσας. ἐνίοτε γὰρ ἀποσκήμματος λόγῳ μελαίνεταί τι μόριον, ἐνίοτε δὲ νεκρώσεως. ὅπως δ᾽ ἄν τις αὐτὸ τοῦτο διαγνοίη, σαφῶς ἐδήλωσεν εἰπών· ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακόν, τουτέστιν εὐφόρως ὁ κάμνων ἔχῃ, ʽκαί τι ἄλλο σημεῖονʼ αὐτῷ παρῇ τῶν σωτηρίων, ἀποσκήμματ᾽ ἐστίν· εἰ δὲ τὰ ἐναντία, νέκρωσις. |

II 10 [9. II 134, 3 L.] Ὄρχεις δὲ καὶ αἰδοῖον ἀνασπώμενα 128
πόνον σημαίνει ἢ θάνατον.

Φαίνεται τοῖς ὀδυνωμένοις ἀνασπώμενα ταῦτα τὰ μόρια καθάπερ τοῖς ἀποθνῄσκουσι, καὶ λόγον ἔχει. νεκρουμένης γὰρ ἤδη τῆς ζωτικῆς δυνάμεως καὶ διὰ τοῦτο αὐτὸ ἀποτείνεσθαι μέχρι τῶν περάτων τοῦ σώματος ἀδυνατούσης, ὀκλαζούσης δὲ καὶ ἐπὶ τὴν ἑαυτῆς ἀρχὴν συναγομένης, ἀναγκαῖόν ἐστιν ἕπεσθαι καὶ τὰ μόρια τῇ δυνάμει καὶ συνέρχεσθαί τε καὶ συνάπτεσθαι πρὸς τὰ μέσα τοῦ σώματος. ὅτι δὲ καὶ οἱ πόνοι συστολὴν ἐργάζονται τῆς δυνάμεως εἰς ἑαυτήν, ἐμάθομεν ἤδη πολλάκις, ὥστε εἰκότως καὶ δι᾽ ἐκείνους ἀνασπᾶσθαι τὰ μόρια πρὸς τὴν ἀρχήν.

II 11 [10. II 134, 5 L.] Περὶ δὲ ὕπνων ὥσπερ καὶ κατὰ φύσιν σύνηθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρή, τὴν δὲ
νύκτα καθεύ|δειν. εἰ δ᾽ εἴη τοῦτο μεταβεβλημένον, κάκιον 129
γίνεται. ἥκιστα δ᾽ ἂν λυπέοι, εἰ κοιμῷτο τὸ πρωῒ εἰς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δ᾽ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι πονηρότεροί εἰσιν.

1 προστιθεὶς F εἶπον *corr. in* εἶπεν P[1] 3 ἐνίοτε δὲ (καὶ *add. edd.*) νεκρώσεως R *edd.*: *om.* VPF 4 δ᾽ *om.* F αὐτὸ τοῦτο VRP: ἀπὸ τούτου F εἰπών P: *om.* VRF 5 εὐπετέως VRPF: εὐπετῶς *edd.* 6 ἔχῃ VF: *corr. ex* ἔχει P: ἔχει R αὐτὸ R αὐτῷ παρῇ *perierunt* V ἀποσκήμματ᾽ F: ἀποσκήμματα *edd.*: ἀποσκημμάτων VP: ἀποσκήμματος R 7 *post* δὲ *add.* καὶ F τἀναντία RP νεκρώσεως R 8 περὶ τῶν ἀνασπωμένων ὄρχεων καὶ αἰδοίων *inscrib.* R *in mrg.*: περὶ αἰδοίων F δὲ *om* P ὄρχιες *Hipp.* αἰδοῖον VRPF: αἰδοῖα *ex Hipp. ab Aldo edd.* ἀνασπώμενα VRPF: ἀνεσπασμένα *ex Hipp. ab Aldo edd.* 9 πόνον σημαίνει ἢ θάνατον VRPF: πόνους ἰσχυροὺς σημαίνει καὶ κίνδυνον θανατώδεα *ex Hipp. ab Aldo edd.* 10 ὀδυνομένης P *post* καθάπερ *inser.* καὶ R 12 καὶ *om.* F αὐτό RPF: αὐτοῦ *ex corr.* V τῶν *om.* F 13 δὲ VRF: τε P καὶ R: *om.* VPF 14 συναγομένης R: *om.* VPF ἐστιν *in ras.* P καὶ *(alt.)* PF: *item add. sed eras.* V: *om.* R 15 συνέρχεσθαι RF: συνεξαίρεσθαι VP: *superscr.* συνέρχεσθαι V[2]P[2] συνάπτεσθαι VPF: συνέπεσθαι V[2]R δὲ *superscr.* P[2] 17 ἀνασπᾶται P 19 περὶ ὕπνου *inscrib.* VRF 20 ξύνηθες *ex Hipp. ab Aldo edd.* ἐστιν ἡμῖν P ἡμέραν VP δὲ *superscr.* P[2] 21 εἰ VPF: ἢν R *Hipp.* κάκιστον P 22 γίνεται VRP: γίγνεται F: *om. Hipp. et ab Aldo edd.* λυπέοι VRP: λυπέοιτο *ex Hipp. ab Aldo edd* εἰ] ἢν P κοιμῷτο V[2]R *Hipp. et ab Aldo edd.*: *corr. ex* κοιμῶνται P[2]: κοιμῷντο F: κοιμῶν V τὸ V *Hipp. et ab Aldo edd.*: *om.* RPF εἰς PF: ἐς VR 23 ἡμέρας P πονηρότεροι *corr. ex* πονηρότατοι R[2]

Οὐ μόνον ὀρθῶς ἀπεφήνατο περὶ τῶν κατὰ τοὺς ὕπνους σημείων, ἀλλὰ καὶ τὴν αἰτίαν προσέθηκεν αὐτοῖς εἰς μὲν τὸ κατὰ φύσιν ἀναφέρων ὅσα χρηστά, τὰ δὲ ἐναντία, διότι παρὰ φύσιν ἐστί, διὰ τοῦτο μεμψάμενος. οὕτω δὲ καὶ κατὰ τὸ ἔθος ἔχει· τὸ μὲν γὰρ σύνηθες ἀγαθόν, τὸ δὲ ἀσύνηθες μοχθηρόν. ἀλλ' ἐπὶ τῶν Ἱπποκράτους χρόνων οὐκ ἄλλο μὲν ἦν τὸ κατὰ φύσιν, ἄλλα δὲ τὰ ἔθη, νυνὶ δὲ ἔμπαλιν οἱ πλούσιοι δρῶσιν ἔν ἄλλοις τέ τισι καὶ κατὰ τοὺς ὕπνους, τῆς μὲν ἡμέρας κοιμώμενοι, νύκτωρ δὲ ἐγρηγορότες. ἐπὶ τούτων οὖν ὡς ἂν παρὰ φύσιν εἰθισμένων ζῆν οὐκ ἀληθής ἐστιν ἡ εἰρημένη πρὸς Ἱπποκράτους διδασκαλία. κυριώτερον γὰρ ἔν γε τοῖς νῦν χρόνοις ἐστὶ τὸ
130 ἔθος τῆς | φύσεως, οὐκ ἐπὶ τῶν πλουσίων γυναικῶν μόνον, ἀλλ' ἤδη καὶ ἀνδρῶν οὐκ ὀλίγων.

II 12 [10. II 134, 9 L.] Κάκιστον δὲ μὴ κοιμᾶσθαι μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνήσει ἢ παραφρονήσει ἀπὸ τουτέου τοῦ σημείου.

Τὸ μήτε ἡμέρας μήτε νυκτὸς κοιμᾶσθαι τοῖς κατατεινομένοις ὑπό τινος ὀδύνης τε καὶ πόνου γίνεται καὶ τοῖς ἀρχομένοις παραφρονεῖν. ἀγρυπνίας γάρ ἐστι καὶ αὕτη ποιητικὴ διὰ ξηρότητα τῆς κατὰ τὸν ἐγκέφαλον κράσεως.

II 13 [11. II 134, 13 L.] Διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι

5 ἐπὶ τῶν Ἱπποκράτους χρόνων κτλ.] *cf. Stephan. 146, 16 sqq.* 7 *schol.* P (*ad* τισι): ⟨βαλανε⟩ίοις λέγ(ει) δὴ τοῖς ⟨ψ⟩υχροῖς χρώμενοι ⟨δ⟩ιόλου 13—15 *ad lemma adnotat* κείμενον ἦν καὶ διὰ λήθην οὐκ ἐγράφη διὰ κινναβάρεως (*cf. Gardthausen, Griech. Palaeogr.* I² *p. 210 sq.*) *in mrg.* R

1 τῶν] τὸν P 3 ἐστί VRF: εἰσί P 5 ἱπποκράτ (ους *superscr. man. 2*) R 6 ἄλλα VRPF: ἄλλο *edd.* ἔθ///η P 7. 8 ἡμέρας μὲν P 8 ὡς ἂν] ἐὰν R 9 οὐκ ἀληθής *corr. ex* οὐ καλήν P² ἀληθές V ἡ *ex corr.* P 10 γε VR: τε PF 11 μόνων F ἀλλ' ἤδη VRPF: ἀλλὰ (*omisso* ἤδη) *edd.* 14 ἡμέρας P ἢ] εἰ F *post* ὑπὸ *falso* ὁ *add.* V πόνου VRPF: πόνων *ex Hipp. ab Aldo edd.* 15 ἀγρυπνήσει VRPF: ἀγρυπνέειν *Hipp.*: ἀγρυπνίη *ab Aldo edd.* ἢ *om.* F παραφρονήσει VRPF: παραφρονήσειν ἕπεται *Hipp.*: παραφροσύνη ἔσται *ab Aldo edd.* *post* σημείου *repet., sed ipse del.* κάκιστον δὲ μὴ κοιμᾶσθαι P 16 *post* κοιμᾶσθαι *add.* ἐν VR 17 ὀδύνης τε ὑπό τινος καὶ πόνου *sed transpos. ipse* P καὶ τοῖς (*scrips. man. eadem supra* τῆς) ἀρχομένης παραφρονεῖν (*corr. ex* παραφροσύνης) *omissa add.* V¹ *in mrg.* παραφρονεῖν VRP: παραφροσύνης F 18 ἀγρυπνίας *ex corr.* R τῆς *corr. ex* τῇ P² 20 περὶ διαχωρημάτων *inscrib. in mrg.* RPF καὶ *ante* διαχώρημα *add.* F ἐστιν ἄριστον *Hipp.* *ante* μαλθακόν *add.* τὸ *Hipp.* 21 τε *om.* R ξυνεστηκὸς *ex Hipp. ab Aldo edd.* ὑγιαίνοντα P

ὑπεχώρεε, πλῆθος δὲ πρὸς λόγον τῶν εἰςιόντων· τοιαύτης γὰρ ἐούςης τῆς διεξόδου ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. |

Ἀπὸ cυcτάcεωc καὶ ποcότητοc καὶ χρόνου, καθ' ὃν ἐκκρίνεται τὰ **131** διαχωρούμενα, τὴν διάγνωcιν ἐποιήcατο τῶν ἀρίcτων διαχωρημάτων, οὐ μὴν τῶν γε κακίcτων ἀπὸ τούτων μόνον, ἀλλὰ προcέθηκε τούτοιc τά τε ἀπὸ τῆc χροιᾶc γνωρίcματα καὶ τὰ ἀπὸ τῆc ὀcμῆc ἔτι τε πρὸc τούτοιc τὸν κατὰ τὴν ἀπόκριcιν cυνεζευγμένον ψόφον.

cύcταcιν μὲν οὖν ἔχει τὴν κατὰ φύcιν, ὅcα μήτε cκληρὰ παντελῶc ἐcτιν ὡc λιθώδη μήθ' ὑγρὰ τελέωc ὡc δύναcθαι διαρρεῖν, ἀλλὰ μέχρι τοcούτου μαλακὰ μέχρι τοῦ μένειν ἔτι cυνεcτῶτα. ἔcτω δ' αὐτῶν καὶ τὸ πλῆθοc ἀνάλογον τῶν ἐδηδεcμένων καὶ ὁ χρόνοc, ἐν ᾧ κενοῦνται, cυνήθηc τῷ κάμνοντι. προcκείcθω δὲ ὅτι καὶ ἡ χροιὰ καὶ ἡ ὀcμὴ φυλαττέcθω τῶν κατὰ φύcιν, ἅπερ αὐτὸc ὁ Ἱπποκράτηc οὐ προcέγραψεν ὡc ἐξ ὧν εἶπε παρὰ φύcιν ἐπινοῆcαί cοι δυναμένῳ καὶ ταῦτα. cύνηθεc γὰρ αὐτῷ τοῦτο πολλάκιc ἐδείξαμεν ὂν ἐκ τῶν ἐναντίων ἐνδείκνυcθαι τἀναντία, παραλείποντι τὰc προcηγορίαc αὐτῶν.

ὑγιαίνειν δὲ τὴν κάτω κοιλίαν εἶπεν ὡc πρὸc τὸν θώρακα παραβάλλων, ἵν' ἀκού|cωμεν αὐτήν τε τὴν γαcτέρα καὶ τὴν νῆcτιν ἅμα **132** τῷ μετ' αὐτὴν ἐντέρῳ παντὶ κάτω κοιλίαν. οὐ μὴν εὐθέωc παρὰ φύcιν ἔχειν αὐτὴν ἐνδείξεται τἀναντία διαχωρήματα. τοῦτο γὰρ οὔτ' αὐτὸc εἶπεν οὔτ' ἄλλωc ἀληθέc. ἐγχωρεῖ γοῦν ὑγιαίνειν μὲν τὰ κατὰ τὴν κάτω κοιλίαν, ἤτοι δ' ἐξ ἥπατοc ἢ cπληνὸc εἰc αὐτήν τι cυρρέον ἀλλοιοῦν οὐ μόνον τὸ χρῶμα τὸ κατὰ φύcιν, ἀλλὰ καὶ τὴν cύcταcιν καὶ τὴν ὀcμὴν τῶν διαχωρουμένων. ὑπαλλαχθήcεται δ' ἐνίοτε καὶ τὸ πλῆθοc αὐτῶν ἐπιμιξίᾳ τῶν καταρρεόντων ὑγρῶν, οὐ φυλαχθήcεται δὲ οὐδ' ὁ cυνήθηc χρόνοc τῆc ἀποκρίcεωc.

τὸ μὲν οὖν ὁμοιότατον τῷ κατὰ φύcιν διαχώρημα γνώριcμά ἐcτιν οὐ μόνον τοῦ τὴν κάτω κοιλίαν ὑγιαίνειν, ὅπερ εἶπεν αὐτόc, ἀλλὰ καὶ τοῦ μηδὲν ἐκ τῶν εἰρημένων cπλάγχνων καταρρεῖν εἰc αὐτήν, τὸ

1 ὑπεχώρεε F *Hipp.*: ὑπεχώρει VRP λόγων P ἐcιόντων *Hipp.* 2 *post* γὰρ *add.* ὁ *vel* ῥ (*in ras.; voleb. fort.* ῥεούcηc) R ὑγιαίνει R 3 ἐκ(κ)ρίνεται (κ *superscr. man. 2*) V 4 διαχωρούμενα VRP: διαχωρήματα F 5 μὴν] μὲν F μόνων *edd.* τούτοιc VRF: αὐτοῖc P 6 χροιᾶc RPF: *corr. ex* χριοῦc V: χρόαc *edd.* τὰ ἀπὸ R: *om.* VPF ὀδμῆc F 7 τὸν . . . cυνεζευγμένον ψόφον R: *corr. ex* τοῦ . . . cυνεζευγμένου ψόφου P: *corr. in* τοῦ . . . cυνεζευγμένου ψόφου V: τοῦ . . . cυνεζευγμένου ψόφου F 9 ἐcτιν] εἰcιν F 10 μαλακὰ *ex corr.* P αὐτῶν PF: αὐτῶ (ν *superscr. man. 2*) R: *incert.* V *post* καὶ *add.* τῶ καὶ R 11 τὸ *om.* F κενοῦται V 12 cυνήθηc (*superscr.* ωc *man. 2*) P πρόcκειται F καὶ ὅτι R χροιὰ *corr. ex* χρόα P^2 14 ὧν] οἵων F δυναμένων F 15 ἐδείξαμεν VRP: ἐνδειξαμένῳ F 16 παραλείποντι VP: παραλιπόντι F: παραλείποντα R 17 ὑγιαίνει F κοιλίην *Aldus* 18 ἅμα (ἅ *in ras.*) V 19 ἐντέρω RPF: ἑτέρω V πάντα F κοιλίαν P: κοιλίην VRF 20 αὐτὴν ἔχειν *sed transpos. ipse* P 21 τὰ κατὰ *omissa superscr.* P^2 23 *post* κατὰ *add.* τὴν P 26 ὁ/// P 27 τῷ] τὸ V διαχώρημα VRPF: διαχωρήματι *edd.* 28 τοῦ P: *om.* VRF τὴν κάτω κοιλίαν ὑγιαίνειν *edd.*: ὑγιαίνειν τ. κ. κ. VRPF ὁ *ante* αὐτόc *add., sed ipse del.* V

δὲ παρὰ φύςιν ἔχον ἔςθ᾽ ὅτε μὲν αὐτὰ μόνα τὰ κατὰ τὴν κοιλίαν ἐνδείκνυται πεπονθέναι, πολλάκις δὲ καὶ τῶν ἄλλοθεν εἰς αὐτὴν ςυρρεόντων ἔχει γνωρίςματα καὶ πολυειδῆ γε ταῦτα τῷ τὸ ἧπαρ οὐ μόνον
133 ἑαυτοῦ τινα περιττώματα καὶ ἰχῶρας καὶ χυμοὺς παρὰ | φύςιν εἰς τὴν γαςτέρα παραπέμπειν, ἀλλὰ καὶ τοῦ ςώματος ὅλου. ςυνάπτεται γὰρ ἡ γαςτὴρ δι᾽ αὐτοῦ πᾶςι τοῖς τοῦ ζῴου μορίοις καὶ δέχεται δι᾽ ἐκείνου τὰ περιττώματα αὐτῶν ἐνίοτε μὲν ὡς ἀποςκήμματα τὸ ςύμπαν ἐκκαθαίροντα ζῷον, ἐνίοτε δὲ μορίου ἑνὸς ἢ δυοῖν ἢ πλειόνων ἅμα, πολλάκις δὲ ὡς ςυμπτώματα δηλωτικὰ τῶν παθημάτων ἤτοι τοῦ ςύμπαντος ςώματος ἢ μορίου τινὸς ἤ τινων. προςέχωμεν τοίνυν τοῖς ἐφεξῆς λόγοις αὐτοῦ περὶ τούτων διδάςκουςιν.

II 14 [11. II 134, 16 L.] Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ςυμφέρει μήτε τρύζειν μήτε πυκνόν τε καὶ κατ᾽ ὀλίγον διαχωρέειν. κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς ςυνεχέος ἐξαναςτάςιος, ἀγρυπνοίη ἄν. ἢν δὲ ἀθρόον καὶ πολλάκις διαχωρέῃ, κίνδυνος λειποψυχῆςαι. |

134 Ὅτι μὲν διὰ τὸ μὴ γεγενῆςθαι τὴν ἐκ τῆς κοιλίας ἀνάδοςιν ἢ διὰ τὸ κατερρυηκέναι τι τῶν ἐξ ἥπατος ἢ ςπληνὸς περιττωμάτων εἰς αὐτὴν ὑγρὸν ἔςται τὸ διαχώρημα, πρόδηλον. ἀλλ᾽ ἐγχωρεῖ τὸ τοιοῦτον ἀγαθὸν μὲν ὑπάρχειν, ἐὰν ἐκκαθαίρηται τὸ ἧπαρ ἢ ὁ ςπλὴν ἢ καὶ τὸ ςύμπαν ςῶμα δι᾽ ἥπατος, οὐκ ἀγαθὸν δ᾽, ὅταν ἐν ςυμπτώματος λόγῳ γίνηται τῆς ἀναδόςεως ἀτυχηθείςης ἢ τῶν ἐξ ἥπατος ἰόντων εἰς τὴν γαςτέρα διαθέςεως οὐκ ἀγαθῆς ἐχόντων γνωρίςματα. διοριςμὸς δὲ τούτων ἐςτίν,

21 οὐκ ἀγαθὸν κτλ.] *cf. Gal.* XV 802, 1 *sqq.* (*supra* V 9, 1 *p.* 306, 18 *sqq.*); XVII A 322 *sqq.*

1 ἔχον RF: *corr. ex* ἔχειν V: ἔχειν P 2 *supra* ἄλλοθεν *scrips.* ἄννωθεν (*sic*) *man.* 2 V 3 πολυειδῆ VRPF: πολλὰ *superscr.* V^2 γε R: τε VF: δὲ *corr. ex* γε P: δὴ V^2 *post* ταῦτα *superscr.* ἐν P^2 τῷ *om.* F 4 ἑαυτοῦ (οῦ *in ras.*) P 5 γαςτέραν P 6 ἐν *ante* δέχεται *del.* V δι᾽ (ι *add. man.* 2) R 8 ζῷον VRF: ζωήν P: ςῶμα *edd.* ἑνὸς VPF: τινὸς R *post* ἢ (*alt.*) *add.* καὶ P ἅμα RP: *omissum superscr.* V^2: ἄλλα F 9 δὲ *omissum superscr.* P^2 ςυμπτωμάτων F 10 προςέχωμεν VR: πρόςχ⟨ωμεν⟩ V^2 *in mrg.*: *item* P *sed* προς⟨έχωμεν⟩ P^2 *in mrg.*: προςέχομεν F 10. 11 τοῖς ἐφεξῆς λόγοις VRPF: ἐφεξῆς τ. λ. *edd.* 11 αὐτοῦ *ex corr.* P εἰ] ἢν *Chartier* 12 ὑγρὸν εἴη P 13 ξυμφέρει *Hipp. et ab Aldo edd.* πυκνόν RF (*sed cf. infra p.* 273, 3): *corr. ex* πυκνῶς P: πυκνῶς *corr. ex* πυκνὸν V^2 τε VRPF: τι *Hipp. Chartier* *ante* καὶ *inser.* εἶναι *Hipp. Chartier* διαχωρέειν VRF: διαχωρεῖν P: ὑποχωρέειν *ex Hipp. ab Aldo edd.* 14 ὁ *om. ab Aldo edd.* ςυνεχέος *ex corr.* V^2: ξυνεχέος *ex Hipp. ab Aldo edd.*: ςυνεχοῦς RF: *corr. ex* ςυνεχῶς P ἐξαναςτάςιος PF *Hipp.*: ἐξαναςτάςεως VR 15 ἀγρυπνήοι R ἢν VRP: εἰ F *Hipp. et ab Aldo edd.* καὶ VRP: *om.* F *Hipp.* διαχωρέῃ VP: διαχωρέει RF *Hipp.* 16 λειποψυχῆςαι VRPF: λειποθυμῆςαι *ex Hipp. ab Aldo edd.* 17 κοιλίης V *post* κοιλίας *add.* εἰς ἧπαρ *edd.* 18 καταρρυηκέναι R 19 ἐγχωρεῖ *corr. ex* ἐγκωρῇ P^2 *post* ἐγχωρεῖ *add.* μὲν *edd.* 20 ἢ (*alt.*) RP: *om.* VF καὶ *superscr.* P^2 21 ἐν *corr. ex* ἐκ V^1 ςυμπτώματος *corr. ex* ςυμπτώματι P^2 γίγνεται R 22 τὴν VP: *om.* RF

εἰ μή γε τρύζοι (γέγραπται δὲ καὶ μετὰ τοῦ σίγμα καὶ χωρὶς τοῦ σίγμα τοὔνομα καθ' ἑκατέραν γραφὴν ἀπὸ τοῦ γινομένου ψόφου πεποιημένον) ἔτι τε εἰ μὴ πυκνῶς καὶ κατ' ὀλίγον διαχωροίη. τὰ γὰρ οὕτω διαχωροῦντα συμπτώματος λόγον ἔχει, τὰ δὲ διὰ χρόνου πλείονος ἀθροώτερα πολλάκις ἀγαθῆς ἐκκρίσεως γνωρίσματά ἐστι, τῆς φύσεως ἀποτιθεμένης τὰ περιττὰ κατὰ πλῆθος ἢ ποιότητα ἢ τὸ σύμπαν ζῷον ἢ ἕν τι μόριον αὐτοῦ κενούσης ἢ καθαιρούσης. ὀνομάζω δὲ κέ|νωσιν μὲν τὴν τῶν οἰκείων, ὅταν ὑπερβάλλῃ τῷ πλήθει, κάθαρσιν δὲ **135** τὴν τῶν ἀλλοτρίων κατὰ ποιότητα.

συνακολουθεῖ δὲ καὶ ἄλλα τινὰ τοῖς τοιούτοις διαχωρήμασιν, ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης εἰπὼν κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς συνεχοῦς ἐξαναστάσιος, ἀγρυπνοίη ἄν. καὶ μὲν δὴ καὶ τὸ πολὺ πολλάκις ἐκκρίνειν ὡς καταλυτικὸν τῆς δυνάμεως μέμφεται. καὶ γὰρ σπανίως ποτὲ γίνονται ἐκκρίσεις ἀγαθαὶ τοιαῦται. τὸ γὰρ καταλύεσθαι τὴν δύναμιν οὐκ ἀγαθὸν αὐταῖς συνέζευκται, καθάπερ καὶ ταῖς ἐκκριτικαῖς μέν, ἀμέτροις δὲ αἱμορραγίαις.

II 15 [11. II 136, 3 L.] Ἀλλὰ χρὴ κατὰ τὸ τῶν εἰσιόντων πλῆθος ὑποχωρέειν δὶς ἢ τρὶς τῆς ἡμέρης καὶ τῆς νυκτὸς ἅπαξ. πλεῖστον δ' ὑπίτω τὸ πρωΐ, ὥσπερ σύνηθες ἦν τἀνθρώπῳ. |

Τοῦτο μὲν καὶ πρόσθεν ἐγεγράφει, βέλτιον δὲ ἦν αὐτὸν εἰρηκέναι **136** νῦν τὸν περὶ τῶν ἐκκριτικῶν μέν, ἀθρόως δὲ ἐκκρινομένων λόγον, ὃν ἐγὼ διῆλθον ἄρτι. μέμφομαι δ' ὡς περιττὰ τὸ δὶς ἢ τρὶς τῆς ἡμέρης

21 πρόσθεν ἐγεγράφει] *11 (II 134, 13 sqq. L.); cf. supra p. 270, 20 sqq.* 23 ἄρτι] *supra v. 3 sqq.*

1 γε VRP: τε F τρύζοι VRF: τρύζει P 2 ἑκατέραν VRF: ἑτέραν P ψόφου (ό *in ras.*) P 3 διαχωροίη VF*: corr. ex* διαχωρεῖ P^2: διαχωρείη R 4 διαχωροῦντα *corr. ex* διαχωροῦντος P 5 *post* ἀθροώτερα *superscr.* ὃ F^2 8 μὲν RP: *om.* VF τὴν *om.* R ὑπερβάλλει R δὲ *ex corr.* R 10 τινὰ RF: *corrosum* V: τι///νὰ P 11 ὁ *(prius) superscr.* V^2: *om.* R 12 συνεχούσης F ἐξαναστάσιος V *edd.*: ἀναστάσιος F: ἐξαναστάσεως R: *item sed* ἐξ *add. man. 2* P τὸ *om.* F 13 καὶ *corr. in* κἂν P^2: *super* καὶ *scrips.* ἂν V^2 14 γὰρ RF: *eras.* P: γὰρ *deleto superscr.* γοῦν V^2 15 *post* ἀγαθὸν *add.* ὃν *edd.* συνέζευκται P: ἔζευκται VRF ἐκκριτικαῖς F: κριτικαῖς VRP 17 περὶ τοῦ μέτρου τῶν ἀποχωρημάτων *inscrib.* R *in mrg.* κατὰ] καὶ F τὸ τῶν (*superscr.* V^2) εἰσιόντων πλῆθος VRPF: τὸ πλῆθος τῶν εἰσιόντων (ἐσιόντων *Hipp.*) *Hipp. et ab Aldo edd.* 18 ὑποχωρέειν PF: ὑποχωρεῖν VR ἡμέρας P τῆς *(alt.) om.* V 19 πλεῖστον VRPF: πλείονα *Hipp.* ὑπίτω VPF *(cf. p. 274, 4)*: ὑπείτω R: ἐπὶ *Hipp.* τὸ VPF *Hipp.*: τῷ R *post* ὥσπερ *inser.* κατὰ φύσιν *Chartier* ξύνηθες *Hipp.* ἦν VRPF: ἐστι *ex Hipp. ab Aldo edd.* 19. 20 τἀνθρώπῳ VRPF: τῷ ἀνθρώπῳ *Hipp. et ab Aldo edd. Galen. infra* 21 ἐγεγράφει VR: *corr. ex* ἐγράφει P^1: ἐγράφη F 22 τὸν] τῶν V *sed superscr.* τὸν *man. ead.* κριτικῶν VRPF: *corr. Diels* 23 ἄρτι *superscr.* V^1 τὸ *om.* F ἢ RPF: καὶ V ἡμέρας R

καὶ τῆς νυκτὸς ἅπαξ ὅσα τ᾿ ἄλλα πρὸς τούτοις ἔγραψεν. ἤρκει γὰρ μόνον εἰπεῖν, ὥςπερ σύνηθες ἦν τῷ ἀνθρώπῳ.

τὸ δὲ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ὑπ᾿ αὐτοῦ γεγραμμένον ἔν τισι μὲν ἀντιγράφοις μετὰ τοῦ ὑπίτω, κατ᾿ ἔνια δὲ καὶ χωρὶς τούτου κατὰ τόνδε τὸν τρόπον· πλέον τὸ πρωΐ, ὥςπερ σύνηθές ἐστι τῷ ἀνθρώπῳ, διαφέρει δ᾿ οὐδὲν ἢ οὕτως ἢ ἐκείνως γεγράφθαι. φυλάττεται γὰρ ἑκατέρως ἄριστον εἶναι τὸ συνηθέστατον.

II 16 [11. II 136, 6 L.] Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου. |

137 Παχύνεται δηλονότι τὸ ὑδατῶδες καὶ λεπτόν, οὐ τὸ παχὺ καὶ σκληρόν, ὥστ᾿ ἂν εἴη ὁ λόγος αὐτῷ περὶ τῶν ἐξ ἀρχῆς ὑγρὰ διαχωρούντων. ἴδιον δὲ τοῦτο βραχυλογίας παλαιᾶς καὶ μάλιστα σύνηθες Ἱπποκράτει τὸ διὰ τῶν ἀντικειμένων ἐνίοτε συνενδείκνυσθαί τινα παραλείποντι μνημονεύειν αὐτῶν ὀνομαστί.

II 17 [11. II 136, 7 L.] Ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες.

Ἔπρεπε τοῦτον τὸν λόγον κατὰ τὴν ἀρχὴν εἰρῆσθαι τῆς περὶ τῶν διαχωρημάτων διδασκαλίας, ὡς γενέσθαι τὴν ῥῆσιν τοιαύτην· "διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων· ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες", ἵν᾿, ὡς ἔφην ὀλίγον ἔμπροσθεν, τήν τε σύστασιν αὐτοῦ καὶ τὸ πλῆθος καὶ τὸν καιρὸν τῆς
138 ἀποκρίσεως ἔτι τε τὰς ποιότητας ἀμφοτέρας, τήν τε ὁρα|τὴν καὶ τὴν

17 κατὰ τὴν ἀρχὴν] *11 (II 134, 13 sqq. L.; cf. supra p. 270, 20 sqq.)* 21. 22 ὀλίγον ἔμπροσθεν] *supra p. 271, 3 sqq.*

1 καὶ *om.* V *post* τῆς *add.* δὲ V πρὸς (c *superscr. man. 2*) V πρὸς τούτοις ἔγραψεν VRP: τούτοις προσέγραψεν F 2 τῷ ἀνθρώπῳ ἦν R 3 τὸ δὲ *recte* R: *om.* VPF κατὰ VRP: καὶ F γεγραμμένην F 4 ὑπίτω *recte* P: *in ras.* (*corr. ex* η *vel* ὑπὸ?) V²: ν̄ R: η̄ F: ὑπείτω *edd.* καὶ *om.* F 5 κατὰ *om.* R τόνδε VRPF: τοῦτον *edd.* *post* πλέον *perperam inser.* ὑπείτω R: ὑπίτω F τὸ P: *corr. ex* ὑπίτω V: τῶ R: *om.* F: ὑπὸ τὸ *edd.* 5. 6 τῷ ἀνθρώπῳ VPF: τἀνθρώπῳ R 7 γὰρ *om.* P ἑκατέρους P 8 δὲ *superscr.* F 9 ἰούσης *post* διαχώρημα *colloc. Hipp.* τὴν *om. Hipp.* νόσου P 10 περὶ τῆς συστάσεως τῶν ἀποχωρημάτων *inscrib.* R *in mrg.* παχύνεται *sed superscr.* σθαι *man. 2* P *post* παχύνεται *add.* δὲ R 13 ἱπποκράτους P τὸ *om.* P ///////κειμένων (ἀντι *supra ras. man. 2*) V 14 παραλείποντι VP: παραλείπον^τ F: παραλιπόντι R αὐτῶν VR: *corr. ex* αὐτὸν F: αὐτὸν P 15 λίαν V 17 περὶ τῆς χροιᾶς τῶν ἀποχωρημάτων καὶ τῆς ὀσμῆς *inscrib.* R *in mrg.* τοῦτον τὸν λόγον RP: τὸν λόγον τοῦτον *sed transpos. ipse* V: τούτῳ τῷ λόγῳ F 19 ἄριστον *omissum post* ἐστι *superscr.* V² 20 καὶ *om.* R ὑγιαίνοντα P ὑπεχώρει R: διεχώρει P: διεχώρεε VF δὲ VRP: μὲν F 21 ἔστω *om.* F λίην RP: λίαν VF 23 τε *(alt.)* VRF: δ᾿ P τὴν *(alt.) om.* R

ὀcφραντήν, ἢ διωριcμένοc. ὅτι δὲ τὸ κατὰ φύcιν ὑπόπυρρόν ἐcτι δεχόμενον τὴν ἐξ ἥπατοc εἰc γαcτέρα καταρρέουcαν χολήν, cύμμετρον μὲν τῇ ποιότητι, ὀλίγην δὲ τῇ ποcότητι, πρόδηλόν τέ ἐcτι καὶ πᾶcιν ἰατροῖc ὁμολογούμενον. ἐὰν μὲν γὰρ ἄκρατοc ἢ πολλὴ καταρρέῃ, ξανθὸν ἢ πυρρὸν ἔcται, μηδ' ὅλωc δὲ ἀφικνουμένηc αὐτῆc εἰc τὸ ἔντερον ὡc ἐπὶ τῶν ἰκτεριώντων λευκὸν ἔcται τὸ διαχώρημα.

II 18 [11. II 136, 7 L.] Ἐπιτήδειον δὲ καὶ ἕλμινθαc cτρογγύλαc cυνεξιέναι μετὰ τοῦ διαχωρήματοc πρὸc τὴν κρίcιν ἰούcηc τῆc νούcου.

Ὅταν καὶ ταύταc ἡ φύcιc ἅμα τοῖc ἄλλοιc περιττοῖc ὠθῇ κάτω, βέλτιόν ἐcτιν ἤπερ ἄνω, καὶ ὅταν ἄλλωc ἐπιφαίνηται λόγῳ cυμπτώματοc. εἴρηται δ' ἐπὶ πλέον ἐν τοῖc Περὶ κρίcεων ὑπομνήμαcιν ἡ διαφορὰ πᾶcα τῶν κριcίμωc ἐπιφαινομένων. |

II 19 [11. II 136, 9 L.] Δεῖ δὲ ἐν παντὶ νοcήματι λαπαρὴν 139
εἶναι τὴν κοιλίην καὶ εὔογκον.

Τὸ μὲν λαπαρὴν ἀντίκειται τῷ τεταμένην ἢ πεπληρωμένην, τὸ δ' εὔογκον τῷ ἐκτετηκυῖαν, ἵνα τὸ μὲν πρότερον ὑπὲρ τῶν ἐν αὐτῇ περιεχομένων διδάcκῃ, τὸ δὲ δεύτερον ὑπὲρ αὐτῆc τῆc κοιλίαc, ὡc εἰ καὶ οὕτωc εἶπε· "δεῖ δ' ἐν παντὶ νοcήματι cυμμέτρωc μὲν κενὴν εἶναι τὴν κοιλίην, εὔογκον δὲ κατὰ τὴν ἑαυτῆc οὐcίαν καὶ μὴ λεπτήν."

II 20 [11. II 136, 10 L.] Ὑδαρὲc δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰcχυρῶc ἢ ἀφρῶδεc διαχωρέειν, πονηρὰ ταῦτα πάντα.

12 ἐν τοῖc Περὶ κρίcεων] *IX 550—768 K. passim; e. g. 710, 11 sqq.*
16 τὸ μὲν λαπαρὴν κτλ.] *cf. Stephan. 154, 14 sqq.*

1 ἢ *superscr.* F² διοριcμένοc VP: διωριcμένωc F: διωριcμένον R τὸ/// P 2 *post* εἰc *add.* τὴν P 3 μὲν . . . δὲ R: *om.* VPF ποιότητι F τε RF: *om.* VP 4 μὲν *superscr.* P² γὰρ VP: *om.* RF ἢ πολλὴ VRP: ἡ χολὴ F καταρρέῃ V: καταρρέοι RPF 5 πυρρὸν . . . δὲ *perierunt in* V ἔcται RPF: *incertum* V: ἐργάζεται *edd.* δὲ *om.* V τὸ ἔντερον VPF: τὰ ἔντερα R 6 ἰκτεριώντων (τε *in ras.*) P 7 ἕλμινθαc (ιν *in ras.*) P 8 cυνεξιέναι RF: cυνδιεξιέναι VP: ἐξιέναι *Aldus*: διεξιέναι *Hipp.* νόcου P 10 περὶ τῶν cυνεξερχομένων ταῖc cκυβάλαιc ἑλμίνθων R *in mrg.* *post* ὅταν *add.* δὲ R ὠθεῖ V 11 ἤπερ (ἤπ *in ras.*) P καὶ *om.* F ἄλλωc VRPF: ἄλλοιc *edd.* 12 κρίcεωc V 13 κριcίμωc VRP: κριcίμων F ἐπιφαινομένων] ἐπιφερομένων P 14 *post* παντὶ *add.* τῷ *ex Hipp. ab Aldo edd.* λαπαρὴν RF: *corr. ex* λυπαρὴν V: λαπαρὰν P 15 εἶναι τὴν κοιλίην V: τὴν κοιλίην εἶναι *Hipp. ex ab Aldo edd.* 16 περὶ τῆc κατὰ τὴν κοιλίαν cυμμετρίαc ἢ ἀμετρίαc *inscrib.* R *in mrg.* λαπαρὴν RF: λα *supra rasuram* V: *corr. ex* λαπαράν P¹ 17 εὔογγον P τῷ] τὸ R 18 διδάcκει R κοιλίηc V 19 εἶναι (ναι *in ras.*) P 20 κοιλίην VR: κοι^λ P: κοιλίαν F 21 περὶ ὑδαρῶν καὶ λευκῶν καὶ χλωρῶν καὶ ἀφρωδῶν cυcτάcεων *inscrib.* R *in mrg.* *post* χλωρὸν *add.* ἢ ἐρυθρὸν F *Hipp. et ab Aldo edd.; Galenus, ut ex commentario hoc et XVI 708 K. (supra p. 107, 3) apparet, non legit* 22 πάντα ταῦτα P

Τὸ μὲν οὖν ὑδαρὲς ἀπεψίας ἐστὶ σημεῖον, τὸ δὲ λευκόν, ὡς εἴρηται πρόσθεν ἤδη, τοῦ μὴ κατιέναι τὴν ὠχρὰν χολὴν ἐξ ἥπατος εἰς
140 τὰ κατὰ τὴν γαστέρα χωρία, τὸ δὲ χλω|ρὸν ἰσχυρῶς, ἐπειδὴ δύο σημαίνει τὸ χλωρόν, ὡς καὶ τοῦτ' εἴρηται πρόσθεν, κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων τὴν ὠχρὰν χολὴν παμπόλλην μεμῖχθαι δηλώσει, κατὰ δὲ τὸ ἕτερον τὴν ἰώδη. τὸ δὲ ἀφρῶδές ποτε μὲν πνεῦμα φυσῶδες ὑγρῷ δυσλύτῳ μεμῖχθαι, ποτὲ δὲ θερμασίας ἐστὶ πολλῆς σημεῖον. ὁρᾶται γοῦν κἀπὶ τῶν ἐκτὸς οὕτω γινόμενον ἐν μὲν τῇ θαλάττῃ διὰ τὰς τῶν ἀνέμων ἐμβολάς, ἐπὶ δὲ τῶν ἑψομένων λεβήτων διὰ τὴν πολλὴν θερμασίαν.

II 21 [11. II 136, 12 L.] Πονηρὸν δὲ καὶ σμικρὸν ἐὸν καὶ γλίσχρον καὶ λευκὸν καὶ ὑπόχλωρον καὶ λεῖον.

Διττὴν ἰδέαν ἐν τῷδε τῷ λόγῳ διδάσκει διαχωρημάτων, ἀμφοτέρων μὲν ὑπὸ συντήξεως γινομένων, διαφερόντων δὲ καθ' ὅσον ἡ μὲν μικρὰ καὶ γλίσχρος καὶ λευκὴ διαχώρησις πιμελῆς τετηκυίας ὑπὸ
141 πυρρώδους μὲν θερμό|τητος, οὐ μὴν κακοήθους γε σφοδρῶς γίνεται, ἡ δὲ ὑπόχλωρος καὶ λεία πιμελῆς μέν ἐστι καὶ ἥδε συντετηκυίας, ἀλλ' ἤτοι διὰ θερμασίαν σφοδροτέραν ἢ αὐτῆς τῆς πιμελῆς παλαιᾶς τε καὶ οἷον ἡμισαποῦς ὑπαρχούσης. ὁρᾶται γὰρ κἀκτὸς οὐχ ἡ πιμελὴ μόνον, ἀλλὰ καὶ τὸ στέαρ μεταβάλλοντα ἐν τῷ χρόνῳ τὸ πρόσθεν ἑαυτῶν χρῶμα καὶ σαφῶς ὑπόχλωρα γινόμενα. εἰ δέ γε τὸ ὑπόχλωρον ὑπὸ τῆς ἰαζούσης χολῆς εἴη γεγενημένον (ἔστι γάρ, ὡς ἐδείχθη, δεύτερον καὶ τοῦτο τῆς χλωρᾶς φωνῆς σημαινόμενον), ἰσχυρᾶς συντήξεως ἔσται σημεῖον.

2 πρόσθεν] *cf. supra p. 275, 6* 4 χλωρόν] *cf. Stephan. 155, 2 sqq.* εἴρηται] *supra p. 213, 15 sqq. et 235, 9 sqq.; cf. etiam Gal. IX 599, 13 sqq. K.* 13 διττὴν ἰδέαν κτλ.] *cf. Stephan. 155, 16 sqq.* 22 ἐδείχθη] *supra p. 213, 15 sqq.*
23 *schol.* R (*ad* γλίσχρον): ση(μείωσαι) ὅτι τὸ γλίσχρον διαχώρημα οὐ μόνον διὰ σύντηξιν ἐκκρίνεται, ἀλλὰ καὶ διὰ τὴν ποιότητα τῶν ἐδηδεσμένων. κε-

1 περὶ ὑδαρῶν καὶ λευκῶν καὶ χλωρῶν καὶ ἀφρωδῶν συστάσεων *inscrib.* R *in mrg.* ἐστι *omissum superscr.* P 3 τὴν VRPF: *om. edd.* γαστέρα^{v} (ν *superscr. man. 2*) V: γαστέραν P 4 πρόσθεν P: *om.* VRF 5 τῶν σημαινομένων VRP: σημαινομένον F 6 τὸν ἕτερον F 7 θερμασίας VRPF: θέρμης *edd.* πολλῆς ἐστι F 8 οὕτω *corr. in* τούτω P[2] γινόμενον RF: *corr. ex* γινομένων V: γινομένων P: γιγνομένων *edd.* θαλάττῃ VRPF: θαλάσσῃ *edd.* 9 τῶν ἀνέμων τὰς ἐ. R 11 περὶ μικρᾶς καὶ γλίσχρου καὶ λευκῆς καὶ ὑποχλώρου καὶ λείας συστάσεως *inscrib.* R *in mrg.* πονηρὸν δὲ VRPF: ἔτι δὲ πονηρὸν *Hipp. Chartier* σμικρὸν P *Hipp. et ab Aldo edd.*: μικρὸν VRF λευκὸν *omissum supra* μικρὸν *scrips.* F *sed ipse transpos.* *post* σμικρὸν *add.* τε *ex Hipp. ab Aldo edd.* 12 τὸ *ante* γλίσχρον *superscr.* F[2] καὶ λευκὸν *om.* F λεῖον καὶ ὑπόχλωρον V 14 *post* ὑπὸ *add.* τῆς F 15 γλίσχρος VRPF: γλίσχρα *edd.* 16 θερμότητος VRP: ὠχρότητος F 17 μὲν *om.* V 18 σφοδροτέραν VRPF: *om. Chartier* 19 οἷον PF: οἱονεὶ VR γὰρ VRPF: γοῦν *edd.* 21 ὑπὸ R *(cf. supra v. 14 et 15)*: ἀπὸ VPF 22 τῆς *in ras.* P ἰαζούσης VRFP[2] *in mrg.*: ἰώδους P

λεῖον δὲ γίνεται πᾶν ὁτιοῦν τῶν ἐκκρινομένων τοῦ cώματος ἢ διὰ τὸ ὁμαλὴν πέψιν ἔχειν, ὥcτε μηδὲν αὐτοῦ διαπεφευγέναι μέρος τὴν ἐκ τῆς φύcεως ἀλλοίωcιν ἢ διὰ ἰcχυρὰν cύντηξιν, ὡς μηδὲν ἐνταῦθα μόριον τῆς ὕλης ἀπαθὲς ὑπολειφθῆναι. ὥcπερ οὖν, ὅcα χρηcτά, βελτίω ταῦτ᾽ ἐcτὶν ὁμαλῶς φαινόμενα, κατὰ τὸν αὐτὸν τρόπον, ὅcα μοχθηρά, χείρω, καὶ ταῦτα πάντ᾽ ἐcτὶν ὁμαλῶς ὄντα τοιαῦτα. δι᾽ ὅλων γὰρ ἑαυτῶν ἑκάτερα φαίνεται, τὰ μὲν τὸν τῆς φύcεως κόcμον δεδεγμένα, τὰ δὲ τὸ τῆς μοχθηρίας αἶcχος. |

τὸ δὲ γλίcχρον, ὅτι μὲν πολλάκις ἐπὶ τῶν πλεῖον ἤδη τεθερ- 142
μαcμένων γίνεται, πρόδηλον, ἐνίοτε δὲ καὶ ἡ τῶν ἐδεcμάτων ποιότης ἀπεργάζεται τοιούτους χυμούς. ἀλλ᾽ οὗτοι μέν, ὅταν ἐπὶ τὴν ἔκκριcιν ὁρμήcωcιν, οὐκ εἰcὶν ὀλίγοι· τὸ δὲ κατ᾽ ὀλίγον ἐκκρινόμενον γλίcχρον ἀποκεχώρηκε μὲν τούτων, ᾤκείωται δὲ cυντήξεcι μετρίαις. ἐνίοτε δὲ αἱ cφοδραὶ cυντήξεις ἀθρόας ἐργάζονται διαχωρήcεις. ἀλλ᾽ αἱ τοιαῦται πάντως εἰcὶ καὶ δυcώδεις καὶ ταύτῃ διορίζονται τῶν ὠμῶν χυμῶν οὐκ ὄντων δυcωδῶν.

II 22 [11. II 138, 1 L.] Τουτέων δ᾽ ἔτι θανατωδέcτερα εἴη τὰ μέλανα ἢ πελιδνὰ ἢ λιπαρὰ ἢ κάκοcμα.

Τὰ μέλανα μὲν ὑπὸ μελαίνης χολῆς ἀκράτου χρῴζεται, τὰ πελιδνὰ δὲ μετρίας τε καὶ μετρίως ἐπιμιγνυμένης αὐτοῖς γίνονται τοιαῦτα, λιπαρὰ δὲ διαχωρεῖται cυντηκομέ|νης τῆς πιμελῆς ὑπὸ πυρρώ- 143
δους θερμαcίας, τὰ δὲ κάκοcμα cηπεδόνος ἐcτὶ γνωρίcματα.

II 23 [11. II 138, 2 L.] Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧccον. ἔcτι δὲ τὰ τοιαῦτα ξυcματώ-

χώριcται δὲ τῆς cυντήξεως τῷ τε [τῇ] πλήθει καὶ τῇ δυcωδίᾳ· ἐξ ἀνάγκης γὰρ πρόcεcτι τῇ cυντήξει ἡ δυcωδία, τὸ δὲ πλῆθος οὐκ ἐξ ἀνάγκης. ταῖς μὲν γὰρ μετρίαις cυντήξεcιν ὀλίγον ἐcτὶ τὸ διαχωρούμενον, ταῖς δ᾽ ἰcχυραῖς πολύ.
9 τὸ δὲ γλίcχρον κτλ.] *cf. Stephan. 156, 8 sqq.*

2 αὐτοῦ *corr. ex* αὐτῷ V² 3 μηδὲν P: *ex corr.* V: μηδ᾽ RF 4 *post* μόριον *inser.* ἓν R ὑπολειφθήcεται *coni. Cornarius* 6 *post* ὄντα *rasura* V ὅλον *vel* ὅλου R 7 δεδεγμένα VRPF: δεδειγμένα *a Basil. edd.* δεδεγμένα κόcμον P 9 πλεῖον VR: πλείων *corr. ex* πλέον P²: πλέον F 11 τὴν *corr. ex* των P 13 οἰκείωται F 14 αἱ *om.* P *post* ἀθρόας *add.* καὶ γλίcχρας *edd.* 15 καὶ *(prius)* VRPF: *om. edd* 17 τουτέων *Hipp. et ab Aldo edd.*: τούτων VRPF *(sed cf. supra p. 249, 6 et infra v. 23* δ᾽ ἔτι VRPF: δὲ *ex Hipp. ab Aldo edd.* *post* θανατωδέcτερα *inser.* ἄν *ex Hipp. ab Aldo edd.*: *om.* VRPF 18 μέλαινα R ἢ πελιδνὰ ἢ λιπαρὰ ἢ κάκοcμα VRP 19 περὶ λιπαρῶν καὶ μελάνων καὶ πελιδνῶν καὶ κακόcμων διαχωρημάτων *inscrib.* R *in mrg.* χροΐζεται F 19. 20 τὰ δὲ πελιδνὰ F

20 μετρίας τε καὶ *om.* F ἐπιμιγνυμένης VF: ἐπιμιγνυμένης (οι *superscr. man. 2*) P: ἐπιμεμιγμένης RP² *in mrg.* γίνεται F 21 τῆς VRF: *superscr.* P²: *om. edd.* 22 *post* κάκοcμα *add.* καὶ R 23 περὶ ποικίλλων διαχωρημάτων *inscrib.* R *in mrg.* 24 ἧccον *ex Hipp. ab Aldo edd.*: ἧττον VRPF *post* ἔcτι *spatium* P

δεα καὶ χολώδεα καὶ αἱματώδεα καὶ πρασοειδέα καὶ μέλανα ποτὲ μὲν ὁμοῦ, ποτὲ δὲ κατὰ μέρος διεξερχόμενα.

Τὰ ποικίλα πολλὰς εἶναι διαθέσεις ἐνδείκνυται· διὸ καὶ χρόνου δεῖται πρὸς τὴν πέψιν. πολλῶν γὰρ οὐσῶν διαθέσεων εἰκὸς μὲν εἶναί τινας ἐξ αὐτῶν χρονίας, εἰ δὲ μή, ἀλλ' ἀπαντᾷ γέ πως τὴν φύσιν ὥσπερ ἀνταγωνισταῖς πολλοῖς διαγωνιζομένην ἀναλίσκειν πλείονα χρόνον.

II 24 [11. II 138, 6 L.] Φῦσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι ἄριστον, κρεῖσσον δὲ καὶ σὺν ψόφῳ διεξελθεῖν
144 ἢ αὐτοῦ ἐναπει|λῆφθαι καὶ ἐνειλέεσθαι. καίτοι καὶ οὕτω διεξελθοῦσα σημαίνει πονέειν τι τὸν ἄνθρωπον ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν οὕτω ποιέηται τὴν ἄφεσιν τῆς φύσης.

Τὰς φύσας ἔνιοι μὲν ἐκκρίνουσι μετὰ ψόφου μηδὲν ἐπαισχυνόμενοι, τινὲς δὲ ἀποθανεῖν ἂν ἕλοιντο μᾶλλον ἢ τοῦτο πρᾶξαι. τούτους μὲν οὖν, ὅταν ἀκουόντων πολλῶν προϊῶνται φῦσαν, εἰδέναι χρὴ δυοῖν θάτερον, ἢ μὴ παρακολουθεῖν τοῖς πραττομένοις ἢ διὰ τὸ μέγεθος τῆς ὀδύνης κατηναγκάσθαι πρᾶξαί τι τῶν ἀβουλήτων. ἐπὶ δὲ τῶν ἄλλων, ὅσοι μηδόλως φροντίζουσι τῶν παρόντων, οὐδὲν μὲν σημαίνειν ἄτοπον ὑποληπτέον τὴν μετὰ ψόφου φῦσαν, ἄμεινον δ' εἶναι κἀπὶ τούτων ἄνευ ψόφου. πάντως γὰρ ἤτοι πλῆθος ἐνδείκνυται τοῦ φυσώδους πνεύματος ἢ στενοχωρίαν τῶν ὀργάνων. ὅταν δὲ τὸ πνεῦμα μὴ πάνυ πολὺ ᾖ τά τ' ὄργανα, δι' ὧν ἐκκρίνεται, χαλαρὰ τελέως ᾖ, χωρὶς ψόφου τοῖς τοιούτοις ἡ τῆς φύσης ἀπόκρισις γίνεται.

12 *sqq.* τὰς φύσας κτλ.] *excerps. Stephan. 157, 13 sqq.*

1 καὶ αἱματώδεα VRPF: *om. Hipp.* 2 ὁμοῦ ποτὲ δὲ κατὰ μέρος διεξερχόμενα VRPF: ὁμοῦ διεξερχόμενα ἀλλήλοισι ποτὲ δὲ κατὰ μέρος *ex Hipp. ab Aldo edd.* 3 εἶναι *om.* R *ante* διαθέσεις *add* τὰς F 4 μὲν *omissum superscr.* P² 5 ἀλλ' ἀπαντᾷ γέ πως *coni. Diels (conl. Dione Chrysost.* Περὶ τύχης α' *in. et Schmid, Atticismus I 156)*: ἀλλ' ἅπαντά γέ πως VP: ἀλλὰ πάντως γε πρὸς (*om.* R) RF; *pro* ἀλλὰ πάντως *coni.* ἀλλ' ἐναντίας *Cornarius; similem in modum post* φύσιν *addi iubet* ἐναντιωτάτας *Ermerins* *post* φύσιν *distinguunt et inser.* δεῖ οὖν *edd.* 6 διαγωνιζομένοις F ἀναλίσκειν (ν *add. man. 2*) V 7 περὶ φύσσης *inscrib.* R *post* ψόφου *add.* μὲν *ab Aldo edd.*
8 *post* ἄριστον *add.* ἐστι *ab Aldo edd.* κρεῖσσον VRPF: κρέσσον *ex Hipp. ab Aldo edd.* σὺν VRF: *in ras.* P: ξὺν *Hipp. et ab Aldo edd.* διεξελθεῖν VRPF: διελθεῖν *ex Hipp. ab Aldo edd.* 9 αὐτὴν R ἐναπειλῆφθαι καὶ VP: ἐναπειλὴ, φθ^ά^σαι τε καὶ *(sic)* R: ἐναπολειφθῆναι F: *om. cum Hipp ab Aldo edd.*
ἐνειλέεσθαι VRP: ἐξειλέεσθαι F: ἀνειλέεσθαι *ex Hipp. ab Aldo edd.* καίτοι VRPF: *om. Hipp. et ab Aldo edd.* 10 διεξελθοῦσα RP: διεξελθ^ου^ V: διεξελθούσης F: διελθοῦσα *ex Hipp. ab Aldo edd.* *post* σημαίνει *add.* ἢ *ex Hipp. ab Aldo edd.*
παραφρονεῖν P 11 ἢν VRF: εἰ P *post* ἑκὼν *add.* ὁ ἄνθρωπος *ex Hipp. ab Aldo edd.* ποιέηται VF: ποιέεται P: ποιήσηται R ποιήσηται *post* φύσης *colloc. cum Hipp. ab Aldo edd.* τὴν ἄφεσιν *om. Aldus* φύσης V: *corr. ex* φύσιος P: φύσσης R: φύσιος F 12 φύσας *corr. ex* φύσεις V μηδὲν *corr. ex* μηδ' V² ἐπαισχυνόμενοι RF: *corr. ex* ἀπαισχυνόμενοι V²: ἀπαισχυνόμενοι *edd.*: αἰσχυνόμενοι P 13 *post* μᾶλλον *quattuor litteras eras.* V 14 ἀκουόντων *corr. ex* ἀκούωνται V προίωνται R: *corr. ex* προίενται V²: προίενται PF
φῦσαν VRP: φύσας F: φῦσας *edd.* χρὴ VRPF: δεῖ *edd.* 15 τὸ RF: *om.* VP τῆς RF: *om.* VP 16 μὲν *om.* F 18 καὶ ἐπὶ P *edd.* 21 τά τ' VRPF: τὰ δ' *edd.* χαλαρὰ *ex corr.* R τελείως P

II 25 [11. II 138, 10 L.] Τοὺς δὲ τῶν ὑποχονδρίων πόνους 145
τε καὶ τὰ κυρτώματα, ἤν νεαρά τε ᾖ καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρῳ, εἰ δὲ μή, καὶ αὐτὸς διαπεραιωθεὶς ⟨ὠφελέει⟩· ὠφελέει δὲ καὶ ὑποκαταβὰς εἰς τὰ κάτω χωρία.

Κυρτώματα τῶν ὑποχονδρίων ὠνόμασεν, ἃ διὰ τῶν ἔμπροσθεν 'οἰδήματα' προσηγόρευσεν, ἔστι δὲ ταῦτα πάντες οἱ παρὰ φύσιν ὄγκοι, χωρὶς μὲν φλεγμονῆς οὗτοι γινόμενοι πνευματώδεις καὶ μάλισθ', ὅταν ὦσι πρόσφατοι.

λύεσθαι δέ φησι βορβορυγμοῦ ἐπιγενομένου κατὰ τὸ ὑποχόνδριον. ὁ γὰρ τοιοῦτος ψόφος οὐ μόνον πνεύματός ἐστι σημεῖον, ἀλλ' ὑγρῷ συμμιγοῦς καὶ σώματι στερεῷ. ὅταν οὖν ἤτοι διεξέλθῃ κάτω τὸ φυσῶδες τοῦτο πνεῦμα φῦσα γενόμενον ἢ μὴ διεξελθὸν ὑποκαταβῇ πρός τι τῶν κάτω χωρίων, ἀπαλλάττει τὸ ὑποχόνδριον ἀμφοτέρων τῶν συμπτω|μάτων τῆς τε ὀδύνης καὶ τοῦ οἰδήματος, ἔτι δὲ μᾶλλον, 146
εἰ καὶ σὺν οὔρῳ καὶ κόπρῳ κενωθείη. καταλείπει γὰρ οὐδὲν ἔτι περιττὸν ἡ τοιαύτη κένωσις ἐν τοῖς ὑποχονδρίοις.

II 26 [12. II 138, 15 L.] Οὖρον δὲ ἄριστον μέν ἐστιν, ὅταν λευκή τε ἡ ὑπόστασις ᾖ καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει τε γὰρ ἀσφάλειαν

7 *sqq.*] *cf. Stephan. 158, 35 sqq.* διὰ τῶν ἔμπροσθεν] *e. g. supra p. 247, 4; 262, 17* 11 φησι] *11 (II 138, 11 sq.); cf. supra v. 3* 19 οὖρον . . . λείη *(20)*] *cf. Gal. XV 749, 14 sq. K. (supra V 9, 1 p. 280, 1 sq.); IX 613, 2 sq. K.*

1 περὶ τῶν κατὰ τὰ ὑποχόνδρια πόνων καὶ κυρτωμάτων *inscrib.* R *in mrg.* *post* δὲ *inser.* ἐκ *Hipp. a Basil. edd.*: εἰς *Aldus* 2 τε *om.* P τὰ *om. Hipp.* νεαρά τε ᾖ F: νεαρά τε εἴη VRP: ᾖ νεαρὰ *ex Hipp. ab Aldo edd.* μὴ *superscr.* F[1] 3 ἐγγινόμενος V ὑπο///χονδρίῳ P 4 διεξελθὼν VRPF: διεξιὼν *ex Hipp. ab Aldo edd.* *post* οὔρῳ *add.* καὶ φύσῃ *ex Hipp. ab Aldo edd.* 5 διαπεραιωθεὶς VPF: διαπερεωθῇ R: δὴ περαιωθεὶς *Hipp.* ὠφελέει *(prius) Hipp.*: *om.* VRPF *et ab Aldo edd.* δὲ καὶ *eras.* V 6 εἰς VRPF: ἐς *ex Hipp. ab Aldo edd.* τὴν κ. χώραν R 8 οἰδήματα *corr. ex* οἰδημάτων V[2] πάντες *ex corr.* P 9 μὲν *om.* F πνευματώδεις (πνεύματ *in ras.*) V 11 ἐπιγινομένου V 12 πνεύ^ματος^ (ματος *superscr. man. 2)* V 13 ὑγροῦ P συμμιγοῦς P: συμμιγεῖ F: *corr. ex* σιμμιγοῦς V[2]: συμμιγὴς R καὶ] ἐν P σώματι στερεῷ *corr. ex* σώματος στερεοῦ V ἤτοι RP: *corr. ex* ἢ V[2]: *om.* F διεξέλθοι R κάτω *corr. ex* κατὰ V 14 πνεῦμα τοῦτο P ἢ μὴ] ἢν μὲν F *post* ὑποκαταβῇ *perperam inser.* κάτω VP 15 χωρίων VRPF: χωρίον *edd.* ἀπαλλάττεται R 17 εἰ *om.* P 19 περὶ οὔρων *inscrib.* RPF οὖρον δὲ VRPF: τὸ δὲ οὖρον *Hipp. Chartier* μὲν *om. Hipp.* 19. 20 ὅταν λευκή τε ἡ ὑπόστασις ᾖ (ἔῃ *Stephan.*: εἴη VR: εἴ *in ras.* P) VRPF: ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις *Hipp. Aldus Basil.*: ὅταν λευκή τε εἴη ἡ ὑπόστασις *Chartier* 21 ἡ νοῦσος κριθῇ *sed transpos. ipse* R κριθῇ . . . ἀσφάλειαν *omissa add.* V[2] *in mrg.* τε *post* ἀσφάλειαν *colloc. cum Hipp. ab Aldo edd.*

καὶ τὸ νόςημα ὀλιγοχρόνιον ἔςεςθαι. εἰ δὲ διαλείποι καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίςταται τὸ λευκόν τε καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦςος καὶ ἧςςον ἀςφαλής.

Ὥςπερ ὀλίγον ἔμπροςθεν ἔφην, ἐκ μὲν τῶν κατὰ προαίρεςιν ἐνεργειῶν γνωρίζεςθαι μίαν δύναμιν, ὅπως ἔχει ῥώμης τε καὶ ἀρρωςτίας, ἣν τῆς ἄνωθεν ἀρχῆς ἔλεγεν ὑπάρχειν, ἣν ἐδίδαξα δι᾽ ἑτέρων ἐν ἐγκεφάλῳ καθιδρυμένην, οὕτω δὴ νῦν ἄλλης δυνάμεως φυςικῆς ὁ Ἱππο-
147 κράτης cημεῖα τὰ μὲν ἤδη διῆλθεν, τὰ δὲ καὶ κατὰ τὸν | ἐνεςτῶτα λόγον διεξέρχεται· καλεῖται δὲ ἡ δύναμις, περὶ ἧς φημι προκεῖςθαι τὸν λόγον, ἀλλοιωτική τε καὶ πεπτική. τὰ μὲν οὖν τῆς κατὰ γαςτέρα δυνάμεως cημεῖα διὰ τῶν ὑπερχομένων ὁςημέραι γνωρίζεται, τὰ δὲ τῆς καθ᾽ ἧπάρ τε καὶ φλέβας ἐκ τῶν οὔρων. ἔςτι γὰρ καὶ ἐν τούτοις ἐναργέςτατα cημεῖα τὰ μὲν ἀκριβοῦς πέψεως, τὰ δὲ ἐλλιποῦς, τὰ δὲ καὶ τελέως ἀποτυγχανομένης, ὥςπερ καὶ ἐν τοῖς κατὰ γαςτέρα πρὸς τούτοις ἔξωθεν. ὥςπερ ἐκεῖ ςυνεκκρίνεταί τινα γνωρίςματα διαθέςεων ἑτέρων, οὕτω κἀνταῦθα. τὴν μὲν οὖν ἀρχὴν τῆς διδαςκαλίας ὁ Ἱπποκράτης ἀπὸ τῶν τῆς πέψεως γνωριςμάτων ἐποιήςατο, ςυνάψει δ᾽ αὐτοῖς ἐφεξῆς τἄλλα.

περὶ πρώτων οὖν καὶ ἡμεῖς λέγωμεν, ἃ πρῶτα διῆλθεν ἐκεῖνος ἐν τῇ προκειμένῃ ταύτῃ ῥήςει τὰς ὑποςτάςεις τῶν οὔρων ςκέπτεςθαι κελεύων, εἰ λευκαὶ καὶ λεῖαι καὶ ὁμαλαὶ πᾶςαι τυγχάνουςιν οὖςαι καὶ μὴ ποτὲ μὲν τοιαῦται, ποτὲ δὲ ἑτεροῖαι. γίνεται γὰρ καὶ τοῦτο ςυνεχέςτατα. καί τις οὐρήςας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἄμεμπτον ἕτερον οὔρηςε κατὰ τὴν ἑξῆς νύκτα μεμπτόν, εἶτ᾽ αὖθις ἄμεμπτον ἐπὶ

4 *haec de urinis capitula citat Gal. XV 818, 2 (supra V 9, 1 p. 314, 13)* ὀλίγον ἔμπροςθεν] *supra p. 267, 11* 6 ἐδίδαξα δι᾽ ἑτέρων] *e. g. IV 396 K.* 17 ἐφεξῆς] *12 (II 140, 2 sqq. L.)* 19 διῆλθεν] *12 (II 138, 15 sq. L.); supra p. 279, 20*

1 τὸ VRPF: *om. Hipp. et ab Aldo edd.* νούςημα *ex Hipp. ab Aldo edd.* *post* δὲ *add. sed ipse expunx.* μὴ F 2 οὐρέοι VPF: οὐρέει R: οὐρέοιτο *Hipp.* οὐρέοι καθαρὸν P ὑφίςταται VRP *Hipp.*: ὑφίςτηται F *Chartier* τὸ F *Hipp. et ab Aldo edd.*: *om.* VRP τε VRPF: *om. Hipp. et ab Aldo edd.* 3 γίνεται RP: γίγνεται V *Hipp.*: γὰρ *(compend.)* F 4 ἔφη R 5 γνωρίζεται *Aldus* ἔχει VRP: ἔχῃ F τε *om.* P 6 ἀρχῆς *omissum post* ὑπάρχειν *superscr.* V² ἔλεγεν RF: *corr. ex* ἔλεγον V²: ἔλεγον P ἐδίδαξα PF: *corr. ex* ἐδίδαξε V²: ἐδίδαξε R: ἔδειξα *edd.* οὕτω (οὔ *in ras.*) V 7 δὴ *om.* V *post* δὴ *superscr.* καὶ P² ὁ *om.* P 8 τὰ δὲ καὶ κατὰ τὸν ἐνεςτῶ *perierunt* F *post* τὸν *add.* νῦν P 9 διεξέρχεται λόγον P 11 τῶν *om. Chartier* δὲ *supra rasuram* V *post* δὲ *add.* ἐκ RPF: *add. sed eras. ipse* V 12 ἐκ VPF: διὰ R: *superscr.* P² καὶ ἐν] κἀν RP *post* ἐναργέςτατα *add.* τὰ F 14 καὶ ἐν] κἀν P 15 ὥςπερ VRP: ἅςπερ F 16 οὖν *superscr. sed item del.* P² ὁ R: *om.* VPF 17 τῶν *in ras.* P ςυνάψει *sed superscr.* πτει *man. 2* P 19 περὶ πρώτων VRPF: πρῶτον *edd.* *post* πρώτων *add.* μὲν F λέγομεν F πρῶτα VRPF: πρῶτον *edd.* 21 κελεύων (ων *in ras.*) V 22 μὲν *omissum superscr.* V² τοιαῦται *corr. ex* τοιαῦτα P² 23 ἄμεμπτον VP: ἄπεπτον RF 24 ἕτερος R μεμπτόν VP: πεπεμμένον R: πεπτόν F ἄμεμπτον VP: ἄπεπτον R: ἄπεμπτον *(sic) corr. ex* ἄμεμπτον F²

τῆς | τρίτης ἡμέρας ἕωθεν, εἶτ᾽ εἰς ἑσπέραν μεμπτόν. ἐκ μὲν δὴ τῶν 148
τοιούτων οὔρων ἐμφαίνεται τούτῳ τὸ μέν τι πεττόμενόν τε καὶ κρατούμενον ὑπὸ τῆς φύσεως τῶν ἐν τοῖς ἀγγείοις χυμῶν, τὸ δὲ ἀπεπτούμενον. ἐὰν δὲ μηδαμοῦ παρεμπίπτῃ τῷ πεπεμμένῳ τὸ ἄπεπτον, ἄριστον οὖρόν ἐστι τὸ τοιοῦτον.

εἰ μὲν οὖν ὑπόστασιν ἴσχει, λευκήν τε εἶναι χρὴ ταύτην καὶ ὁμαλὴν καὶ λείαν διὰ παντὸς τοῦ χρόνου μέχρι λύσεως τοῦ νοσήματος ὁμοίως γινομένην· εἰ δ᾽ οὐκ ἔχει, πάντως μὲν ἕξει τινὰ νεφέλην λευκήν, ἐξ ἀνάγκης δὲ καὶ τῇ χροιᾷ συμμέτρως ὠχρὸν ἔσται καὶ τῇ συστάσει μεταξὺ τοῦ λεπτοῦ καὶ ὑδατώδους καὶ τοῦ παχέος, ὁποῖόν ἐστι τὸ τῶν ὑποζυγίων. ἀλλὰ τὰ μὲν οὐδ᾽ ὅλως ἔχοντα τὰς τοιαύτας ὑποστάσεις οὖρα τοῖς λεπτῶς πάνυ διῃτημένοις γίνεται, τὰ δὲ πολλὴν τοῖς ἁδρῶς, τὰ δὲ ὀλίγην τοῖς συμμέτρως. ἔτι δ᾽ ἐν μὲν τοῖς χολώδεσι νοσήμασιν ἐπὶ τὸ ξανθότερον ῥέπει κατὰ τὴν χρόαν, ἐν δὲ τοῖς ἐξ ὠμῶν χυμῶν γινομένοις ἐπὶ τὸ λευκότερον ὑπόστασίν τε τὰ μὲν ἐπὶ
τοῖς ὠμοῖς ἴσχει | δαψιλῆ, τὰ δ᾽ ἐπὶ τοῖς χολώδεσιν ἢ οὐδ᾽ ὅλως ἢ παν- 149
τάπασιν ἐλαχίστην, ἀλλ᾽ ἱκανόν ἐστιν αὐτοῖς ἐναιώρημα ἔχειν. ὀνομάζω δὲ ἐναιώρημα τὸ παχύτερον μέν τι καὶ λευκότερον οὔρου, μήτε δὲ ἐπιπολῆς αὐτοῦ μήτε ἐν τῷ πυθμένι τοῦ ἀγγείου, κατὰ δὲ τὴν μεταξὺ χώραν ἐναιωρούμενον ἤτοι μέσον ἀκριβῶς ἢ κάτω μᾶλλον ἢ ἄνω. τὰ μὲν οὖν τοιαῦτα σύνηθές μοι καλεῖν ἐναιωρήματα, πρὸς Ἱπποκράτους γε μὴν καὶ ταῦτα 'νεφέλαι' προσαγορεύονται, τὴν αὐτὴν ἀναλογίαν ἔχουσαι περὶ τὸ οὖρον, ἣν αἱ ὄντως νεφέλαι πρὸς τὸν ἀέρα. καὶ γὰρ καὶ ταῦτα τοῦ πέριξ ἑαυτῶν ὑγροῦ παχύτερα κἀκεῖναι τοῦ ἀέρος. πολλάκις οὖν, ὡς ἔφην, ἐφίσταταί τι τοῖς οὔροις ἄνωθεν, ὅπερ ἐγὼ νεφέλην ἰδίως ὀνομάζειν εἴωθα. ταυτὶ μὲν οὖν ἐγνώσθω τέ σοι καὶ μνημονευέσθω πρῶτα, μετὰ δὲ ταῦτα πρόσεχε τὸν νοῦν οἷς

17.18 ὀνομάζω δὲ ἐναιώρημα κτλ.] *cf. etiam Gal. XVI 588, 7 K. et XVII A 493, 12 K. et infra p. 289, 1 sqq.* 22 νεφέλαι] *cf. e. gr. infra p. 284, 14* 25 ἔφην] *supra p. 280, 19 sqq.*

1 εἰς VR: ἐς F: *om.* P ἑσπέραν VRF: ἑσπέρας P μεμπτόν P: *item sed superscr. man. 2* πεπεμμένον V: πεπεμμένον R: πεμπτόν *(sic) corr. ex* μεμπτόν F^2 2 τούτῳ R: τοῦτο F: *eras.* V: *om.* P 4 δὲ *om.* P παρεμπίπτει RP τῷ *corr. ex* τὸ V πεπεμμένῳ] πεττομένῳ F ἄπεπτον *corr. ex* ἄπεμπτον V 6 ὑπόστασιν *corr. ex* ὑπόστασις V^2 ἴσχει VRF: ἔχει P 7 λείαν καὶ ὁμαλὴν R 8. 9 νεφέλην λευκὴν PF: λευκὴν νεφέλην VR 9 χροιᾷ VP: χρόᾳ RF 10 λεπτοῦ R: *item sed superscr. man. 2* λευκοῦ P: λευκοῦ F: λευκοῦ *deleto superscr.* λεπτοῦ V^2 11 τῶν *in ras.* P ἀλλαὶ *(sic)* V τὰς *om.* F τοιαύτας RP: *om.* VF 12 λεπτῶς *corr. ex* λεπτοῖς V^2P^1 πολὺν R 13 ἁδρῶς VF: *corr. ex* ἀδεῶς R: ἀδεῶς P ὀλίγην VF: ὀλίγον R: ὀλίγης *corr. ex* ὀλίγην P^2 15 χυμῶν *om.* F τε VRPF: δὲ *edd.*
16 *post* ὠμοῖς *add.* χυμοῖς P ἴσχῃ P δαψιλῆ/// P 18 τι καὶ *deleto ante* λευκότερον *add.* καὶ V^2 *post* λευκότερον *add.* δὲ V^2: *eras.* τε P οὔρον RPF: *corr. ex* οὖρον V^1: ἐν οὔρῳ *edd.* 22 *post* Ἱπποκράτους *add.* δὲ P^2
23 περὶ] παρὰ R τὸ VRF: *corr. in* τοῦ P 24 παχύτερα *corr. ex* παχύτερον P^2 κἀκεῖνα F 26 ἰδίως *om.* F μὲν οὖν *corrosa* F ἐγνώσθω *corr. in* ἔγνωσται P^2 τε VR: *eras.* P: *om.* F

ἔγραψεν ὁ Ἱπποκράτης. τὸ γὰρ διὰ παντὸς ὑπόστασιν οἵαν εἴρηκε ποιούμενον οὖρον ἀσφάλειάν τε σημαίνει, τουτέστιν ἀκίνδυνον εἶναι τὸ νόσημα καὶ τελέως λυθησόμενον ὡς μηκέτι ὑποστρέψειν καὶ
150 πρὸς τούτοις ἔτι ταχεῖαν αὐτοῦ γίνεσθαι | τὴν λύσιν, ὥστ', εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν ἢ καὶ τὴν ἐχομένην αὐτῆς νύκτα φανὲν ὅμοιον διαμένοι κατά τε τὴν δευτέραν ἡμέραν καὶ νύκτα, τῆς πρώτης περιόδου τῶν κρισίμων ἡμερῶν οὐκ ἂν ἐξωτέρω προέλθοι τὸ νόσημα. λέγω δὲ ταῦτα δηλονότι περὶ τῶν πυρετωδῶν νοσημάτων ὡς, ὅσα γε χωρὶς πυρετῶν ἤτοι κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας ἢ κατὰ τὸν θώρακά τε καὶ πνεύμονα συνίσταται, δι' ἄλλων σημείων γνωρίζομεν, εἴτ' ἐπιεικῆ τε καὶ ταχυκρίσιμ' ἐστὶν εἴτε κινδυνώδη τε καὶ χρόνια.

διὰ τί δὲ χρὴ τὴν ὑπόστασιν τῶν οὔρων λευκὴν εἶναι, ἔμπροσθεν ἐν τῷ περὶ τοῦ πύου δέδεικται λόγῳ κατὰ τὸ τέλος τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων.

II 27 [12. II 140, 4 L.] Εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα. |

151 Ὅταν αἵματος ὀρρὸς συναπέρχηται τῷ οὔρῳ, φαίνεται μὲν κατὰ τὴν χρόαν ὑπέρυθρον, ἐνδείκνυται δὲ περιουσίαν αἵματος οὐκ ἀκριβῶς κατειργασμένου. διότι μὲν οὖν τοῦ χρηστοτάτου τῶν χυμῶν ἐστιν ἡ πλεονεξία, διὰ τοῦτο ἀκίνδυνον ὑπάρχει. διότι δ' ὑγροτέρου τε καὶ ὀρρωδεστέρου τούτου, διὰ τοῦτο χρήζει πέψεως. εἴπερ οὖν ἐκ τῶν χρόνων οἱ πεπασμοὶ γίνονται, δεόντως τὸ τοιοῦτον οὖρον χρονιωτέραν ἔσεσθαι παρὰ τὸ πρότερον ἐνδείκνυται τὴν λύσιν τοῦ νοσήματος.

1 εἴρηκε] *12 (II 138, 15 sqq. L.)* 12 ἔμπροσθεν] *supra p. 255, 1 sqq.* 24 *schol.* P (*ad* πρότερον): λέγει δὴ τὸ ἡμίπεπτον.

1 ὁ *om.* P 3 μηκέθ' *sed superscr.* τι *man. 2* P ὑποστρέψειν VRPF: ὑποστρέφειν *edd.* 4 γίνεσθαι VF: γενέσθαι RP 5 ἢ *om.* F ἐχομένην] ἐρχομένην F αὐτῆς R: *corr. ex* αὐτῇ V^2: αὐτῇ PF νύκτα *om.* V φανὲν RP: *corr. ex* φαμὲν V^1: φαμὲν F *post* φανὲν *spatium quattuor litterarum* V 6 διαμένοι P: διαμένει VRF 7 προέλθει (ει *in ras.*) P λέγω R: *corr. ex* λέγει V^2: λέγει PF δὲ *om.* P 8 τῶν (ν *add. man. 2*) P πυρετωδῶν (πυρετω *superscr. man. 2,* δ *in ras.*) P νοσηματων (ν *alt. adscrips. man. 2*) P *post* νοσημάτων *add.* οὐ τῶν R: τῶν F ὡς *om.* F ὡς ὅσα *corr. ex* ὥσα P^2 10 γνωρίζομεν VRPF: γνωριζόμενα *edd.* 11 ταχυκρίσιμα *corr. ex* ταχυκρίσιμον P^1 ἐστιν *in ras.* P 12 ὑπόστασιν λευκὴν εἶναι τῶν οὔρων P 13 τοῦ VPF: *om.* R 15 περὶ ὑπερύθρου οὔρου *inscrib.* R *in mrg.* *post* τό *add.* τε *ex Hipp. ab Aldo edd.* 16 *post* ὑπόστασις *inser.* αὐτέου *ex Hipp. Chartier*: *om. Gal. etiam supra p. 75, 5* ὑπέρυθρος VRPF: ὑπερύθρη *Aldus Basil.*: ὁμοίη ὑπερύθρη *Chartier*: ὁμοίη *Hipp.* τε *om. Hipp* πολυχρονιώτερον *corr. ex* πολυχρονιωτέρα P^2 17 πρώτου VRPF: πρόσθεν *Gal. supra p. 75, 6*: προτέρου *Chartier* 18 τί δηλοῖ τὸ ὑπέρυθρον οὖρον καὶ ὑπὸ τίνος γίνεται *inscrib.* R *in mrg.* συναπέρχηται P: *corr. ex* συναπέρχεται V^1: συναπέρχεται R: συνυπέρχηται F φαίνεται V^2RP: φανεῖται V^1F 21 ἡ] ἢ P τούτου (ού *in ras.*) P *post* τούτου *add.* ὄντος *edd.* 22 ἤπερ R 24 ἐνδείκνυσθαι R

II 28 [12. II 140, 6 L.] Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηραί, τουτέων δ' ἔτι κακίους εἰσὶν αἱ πεταλώδεες. αἱ δὲ λεπταὶ καὶ λευκαὶ κάρτα φλαῦραι· τουτέων δ' ἔτι κακίους αἱ πιτυρώδεες.

Κρῖμνα καλεῖται τὰ τοῖς ἀλφίτοις ἐμφερόμενα τῆς πεφρυγμένης κριθῆς μόρια μεγάλα διαπεφευγότα δηλονότι τὴν ἐν τῇ μύλῃ κατεργασίαν ἀκριβῆ. τοιαῦτα τοίνυν ὅταν | ἐμφέρηται ταῖς ὑποστάσεσι τῶν 152
οὔρων, οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐν μὲν γὰρ τοῖς ἀλφίτοις τὸ μὴ καταθραυσθὲν εἰς ἄκρως λεπτὰ μόρια γίνεται κρῖμνον, ἐν δὲ τοῖς οὔροις οὐ δήπου τῶν σιτίων τι συναναδοθὲν ἔμεινεν ἔτι σκληρόν, ἀλλ' ἐξ ὑπεροπτήσεως αἵματος παχέος ἢ συντηκομένων ἀνωμάλως τῶν σαρκῶν γίνεται ταῦτα. τὸ δὲ ἀνωμάλως ἔστιν, ὅταν ὑπὸ πυρετώδους θερμασίας, ὅσον μὲν ἁπαλόν τέ ἐστι καὶ νεοπαγὲς τῆς σαρκός, εἰς ἰχῶρα ἀναλυθῇ, τὸ σκληρὸν δὲ τοῖς πεφρυγμένοις ἐπὶ ταγήνου παραπλησίως συστῇ ξηρανθέν. πρῶτον μὲν γὰρ ἡ νέα καὶ ἁπαλὴ πιμελὴ τήκεται κατὰ τοὺς τοιούτους πυρετούς, εἶθ' ἡ σκληροτέρα καὶ παλαιοτέρα καὶ μετὰ ταύτην αἱ νέαι καὶ ἁπαλαὶ σάρκες, εἶθ' αἱ σκληραὶ καὶ παλαιαὶ καὶ τούτων ἐφεξῆς ἤδη τὰ στερεὰ μόρια τοῦ σώματος, ὧν πάλιν ἀνωμάλως συντηκομένων πεταλώδη μόρια τοῖς οὔροις συνεκκρίνεται. διὸ καὶ χείρω τὰ τοιαῦτά ἐστιν οὖρα τῶν τὰ κριμνώδη μόνον ἐχόντων.

ἕτεραι δέ εἰσιν ὑποστάσεις λεπταί, τουτέστιν οὐκ ἔχουσαι πάχος, ἀλλ', ὡς ἂν εἴποι τις, ἀφρῷ παραπλήσιαι. | εὐθέως δέ εἰσιν αἱ τοιαῦται 153
καὶ λευκαί, διότι δέχονται δι' ὅλων ἑαυτῶν τὴν τοῦ περιέχοντος αὐγὴν μᾶλλον τῶν παχέων. ἡ γένεσις δ' αὐταῖς ἐκ φυσώδους πνεύματος ἀναμεμιγμένου δυσλύτως ἡμιπέπτῳ περιττώματι χυμῶν. ἴδιον γάρ ἐστιν αὐτῶν τῶν τελέως πεπεμμένων, ὃ καλεῖν εἴωθα ὁμαλές. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν ὁμοιομερὲς ὑπάρχῃ πᾶν, ὡς τό γε μεμιγμένον ἑτεροίῳ

5 *schol.* R (*ad* κρῖμνα): τί λέγεται κρῖμνον; ὡς ἐμοί γε δοκεῖ τὸ παρ' ἡμῶν ὀνομαζό⟨με⟩νον κορκότον   10. 11 *cf. Gal. IX 603, 7 sq. K.*

1 περὶ κριμνώδους οὔρου *inscrib.* R *in mrg.*   κριμνώδεες P *Hipp. et ab Aldo edd.*: κριμνώδεις VRF   δὲ ἐν τοῖσιν (δὲ ἐν τ *in ras.*) P   *post* οὔροισιν *add.* αἱ F   2 ὑποστάσεις F   πονηρεὶ *(sic)* P   τουτέων (έων *in ras.*) P   δ' ἔτι κακίους εἰσίν VRPF: δέ εἰσι κακίους *ex Hipp. ab Aldo edd.*   3 αἱ δὲ . . . πιτυρώδεες *(4)* R: *add.* V^3: *om.* VPF   αἱ δὲ λεπταὶ (λεπταὶ δὲ *colloc. omisso* αἱ *ab Aldo edd.*) καὶ λευκαὶ V^{3}R *ab Aldo edd.*: αἱ λευκαὶ δὲ καὶ λεπταὶ *Hipp.*   φλαῦραι VPF: φαῦλαι V^{3}R   3. 4 δ' ἔτι RV^3: δέ εἰσι *ex Hipp. ab Aldo edd.*   5 τῆς *falso repetitum del.* P   πεφριγμένοις P   6 τῷ μύλῳ R   7 ἀκριβῆ κατεργασίαν R   ἐμφέρεται R   ὑποστάσεσι *corr. ex* ἀποστ. P   8 οὐκ ἀγαθόν (οὐκ ἀγα *in ras.*) V   10 δήπου *corr. ex* δήπω V^2 σίτων P   τι *om.* R   συναναδοθέν VPF: συναναδοθέντων R   ἔτι VPF: γέ τι R   13 ὅσον VRF: ὅ//// P   τε *om.* P   ἰχῶρας R   14 ἐπὶ VRF: *corr. in* ὑπὸ P: ὑπὸ V^1 *in mrg.*   15 συστῇ] εὔστι *(sic)* P   πρῶτον RP: πρώτη VF   πιμελὴ *omissum superscr.* V^2 16 σκληροτέρα *corr. ex* σκληρότερον P^2 παλαιοτέρα *corr. ex* παλαιότερον P^2 17 ταύτην VF: *corr. ex* ταῦτα P^2: ταῦτα R   18 στερεὰ τοῦ σώματος μόρια P   20 ἐχόντων *corr. ex* ἔχοντα P   21 πάχος *corr. ex* παχες P   22 εὐθέως *om.* R   δέ P: *om.* VRF   23 αὐγὴν VRP: αὐτοὺς οὐσίαν F   26 αὐτῶν *del. sed infra scrips.* αὐτὸ V^2 τῶν *om.* RF   εἴωθα VP: εἴωθεν F: εἰώθασιν R   ὁμαλές VRF: *corr. in* ὁμαλόν P^2 27 ὑπάρχῃ VPF: ὑπάρχει R

cώματι διάφορα τὰ μόρια κατά τε τὴν cύcταcιν ἔχει καὶ τὴν χροιάν. αὐτῶν δὲ τῶν ἀνωμάλων τὰ κατὰ cμικρὰ μόρια τῶν κατὰ μεγάλα τὴν ἀνωμαλίαν ἐχόντων ἐcτὶ χείρω. τὰ μὲν γὰρ κατὰ μεγάλα μεγάλην τινὰ ῥώμην τῆς φύcεωc ἐνδείκνυται τοcαύτην ὅcον πέρ ἐcτι τὸ μέγεθοc τῆc οὐcίαc ἀκριβῶc κατειργαcμένον, τὰ δὲ κατὰ cμικρὰ νικᾶcθαι πρὸc τῆc ὕληc τὴν δύναμιν ἐμφαίνει καὶ οἷον μάχην τινὰ ἔχειν ἐν αὐταῖc ἰcοcθενῆ. τοῦτο μὲν δὴ κοινὸν ἐπὶ πάντων ἐcτὶ τῶν ἀνωμάλων. αἱ δὲ κατὰ μέροc ἐν αὐταῖc διαφοραὶ παρά τε τὴν τοῦ πεφθέντοc ἀρετὴν
154 γίνονται καὶ τὴν κακίαν τοῦ μὴ | πεφθέντοc. ἐπὶ δὲ ταῖc εἰρημέναιc τριcὶ διαφοραῖc τῶν ὑποcτάcεων ἄλλην τετάρτην λέγει τὴν πιτυρώδη χείρω τῆc τρίτηc, ὡc ἂν καὶ αὐτὴν ἐνδεικνυμένην ὁμοίωc τῇ τε πρώτῃ καὶ τῇ δευτέρᾳ τὴν θερμαcίαν τοῦ πυρετοῦ φλογώδη καὶ cυντηκτικήν, ἣν ἐχρῆν οὐ τετάρτην, ἀλλὰ τρίτην γεγράφθαι.

II 29 [12. II 140, 9 L.] Νεφέλαι δὲ ἐμφερόμεναι τοῖcιν οὔροιcι λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φαῦλαι.

Περὶ τῶν ἐν ταῖc ὑποcτάcεcι διαφορῶν εἰπὼν ἑξῆc ἐπὶ τὰc νεφέλαc μετέβη δηλώcαc ὅτι τὸ ἐναιώρημα νεφέλην ὀνομάζει τῇ προcθήκῃ τοῦ ἐμφερόμεναι ῥήματοc, ὧν ὅτι τὰc μελαίναc εἰκότωc μέμφεται δῆλον, εἴ γε δὴ τὸ μέλαν ἢ διὰ ψύξιν ἰcχυρὰν γίνεται, καθ' ὃν λόγον καὶ τὸ αἷμα μελαίνεται θρομβούμενον ὅcα τε νεκροῦται ψυγέντα τε-
155 λέωc ἢ δι' ὑπερβάλλουcαν θερμαcίαν. καὶ γὰρ αὖ καὶ τὸ | αἷμα μελαίνεται καιόμενον, ὥcπερ καὶ τὰ ἄλλα cύμπαντα cώματα, καὶ οἱ πολλῷ χρόνῳ διατρίψαντεc ἐν ἡλίῳ θερινῷ μέλανεc γίνονται.

II 30 [12. II 140, 10 L.] Ἔcτ' ἂν δὲ λεπτὸν ᾖ τὸ οὖρον καὶ πυρρόν, ἄπεπτον εἶναι δηλοῖ τὸ νόcημα.

Τὸ κατὰ φύcιν οὖρον μετρίωc ἐcτὶν ὠχρὸν ὡc ἂν ἐκ τοῦ πεφθέν-

16 *sqq.*] *cf. Gal. XV 807, 6 sqq. K. (supra V 9, 1 p. 309, 6 sqq.)*
24 *sq.*] *cf. Gal. IX 602, 13 sq. K.*

1 χροιάν VRF: *corr. ex* χρόαν P 2 *post* κατὰ *(prius et alt.) add.* τὰ F cμικρὰ *edd. (cf. infra v. 5)*: μικρὰ VRPF μεγάλα *ex corr.* P 3 *post* κατὰ *add.* τὰ P *in mrg.* F 5 κατηργαcμένον P *post* κατὰ *add.* τὰ F cμικρὰ VRP: μικρὰ F 6 ὕληc *recte* VRPF: ὅληc *edd.* ἐμφαίνει *corr. ex* ἐμφανεῖ V μάχην (ν *superscr. man. 1*) V 7 κοινὸν ἐπὶ πάντων ἐcτί PF: κοινόν ἐcτιν ἐπὶ πάντων VR 8 πε///φθέντοc VP 9 δὲ *om.* F *post* εἰρημέναιc *add.* οὖν *edd.* 11 χείρω PF: χεῖρον R: χείρονα *corr. ex* χείρω V 12 cυντικτικὴν V 13 ἣν ἐχρῆν οὐ VRF: ἣν οὐκ ἐχρῆν P 15 μέλανεc F φαῦλαι VRPF: φλαῦραι *ex Hipp. ab Aldo edd.* 16 περὶ λευκῶν καὶ μελα⟨ι⟩νῶν νεφελῶν R *in mrg.* νεφέλην (ν *alt. add man. 2*) P 18 ἐμφερομένου F 19 ψύξιν *ex corr.* R 20 ψυγέντα RP: *corr. ex* ψυχέντα V[1]: ψυχέντα *Aldus Basil.*: ψυχθέντα F 22 τἆλλα PF *post* πολλῷ *inser.* δὲ F 23 θερινῷ VRP: *corr. in* θερμῷ F[1] 24 δὲ λεπτὸν ᾖ τὸ οὖρον καὶ πυρρόν VRF: δὲ πυρρὸν τε (*om.* P *Aldus Basil.*) εἴη (ᾖ *Aldus Basil.*) τὸ οὖρον καὶ λεπτόν P *Hipp. et ab Aldo edd.* 25 ἄπεπτον εἶναι δηλοῖ τὸ νόcημα (τὸ νόcημα δηλοῖ P) VRPF: cημαίνει τὸ νόcημα (νοῦc. *Hipp.*) ἄπεπτον εἶναι *ex Hipp. ab Aldo edd.* 26 ὠχρόν *recte* V[2] *(cf. infra p. 285, 5 sqq.)*: πυρρόν VRPF

τος ὑγροῦ γεγονὸς ὀλίγον τε τῆς ξανθῆς χολῆς προσειληφός· ὅταν δὲ ἤτοι πλείων [ἢ] αὕτη τοῦ δέοντος ἢ ἄκρατος ἰσχυρῶς οὖσα προσαναμιχθῇ τῷ οὔρῳ, πυρρὸν φαίνεται. ἐὰν οὖν πρὸς τῷ τοιοῦτον εἶναι κατὰ χροιὰν ἔτι καὶ λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἄπεπτον εἶναι σημαίνει τὸ νόσημα. χρὴ γάρ, ὥσπερ ἐν τῇ χροιᾷ μετρίως ὠχρὸν ἔφαμεν εἶναι δεῖν τὸ κατὰ φύσιν οὖρον, οὕτως καὶ κατὰ τὴν σύστασιν ἔχειν μετρίως, μήθ᾽ οὕτως λεπτὸν ὑπάρχον ὡς ὕδωρ μήθ᾽ οὕτως γεγονὸς παχύ, ὡς ἐοικέναι τοῖς | τῶν ὑποζυγίων. εἴρηται δὲ τελέως 156 ἅπαντα περὶ τῆς τῶν οὔρων φύσεώς τε καὶ διαφορᾶς ἐν τοῖς Περὶ κρίσεων. ἐκεῖθεν οὖν αὐτὰ λαμβάνει, ὅστις ἂν ἐραστὴς προγνωστικῆς ᾖ θεωρίας. ἐν γὰρ ταῖς ἐξηγήσεσιν ὁ σκοπός ἐστι σαφὲς ἐργάσασθαι τὸ δοκοῦν ἀσαφῶς εἰρῆσθαι· τὸ δὲ καὶ διακρῖναι, τίνα μὲν αὐτῶν ἀληθῶς εἴρηται, τίνα δὲ οὔ, καὶ προσθεῖναι τὰς ἀποδείξεις ἑκατέροις, ἐκ περιουσίας γίνεται.

II 31 [12. II 140, 12 L.] Εἰ δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημα, τὸ δὲ οὖρον τοιοῦτον ἐόν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ᾽ ἂν πεπανθῇ ἡ νοῦσος.

Ἐὰν ἐπὶ πλείονα χρόνον ἄπεπτον διαμείνῃ τὸ νόσημα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, εἰ μή τι ἄρα τὴν ἀντέχουσαν τῷ νοσήματι δύναμιν ἰσχυροτέραν ἔχει. δῆλον οὖν ὅτι κἀνταῦθα τῶν κατὰ τοὺς Ἀφορισμοὺς εἰρημένων μεμνη|μένος ἐπισκέψῃ, πηλίκη μέν ἐστιν ἡ ῥώμη 157 τῆς δυνάμεως, ὁπόσης δὲ πέψεως δεῖται τὸ νόσημα καὶ εἰ ὁ κάμνων ἐξαρκέσει μέχρι τῆς ἀκμῆς αὐτοῦ.

6 ἔφαμεν] *supra p. 284, 26* 9. 10 ἐν τοῖς Περὶ κρίσεων] *I 12 (IX 594, 13 sqq. K.)* 20. 21 κατὰ τοὺς Ἀφορισμούς] *I 9 (IV 464, 3 sqq. L.)*

1 ὀλίγης R τε VRP: τι V²F: δὲ *Aldus* προσειληφός VRP: περιειληφότος F: προσειληφότος *a Basil. edd.* 2 πλείων V: πλεῖον RP: πλέον F ἢ VRPF: *inclus. Diels* 3 *ante* τῷ *(prius) rasura* P τῷ *(alt.)*] τὸ P 4 χροιάν VRPF: χρόαν *edd.* 5 σημαίνει *ex corr.* V χρὴ *om.* F ὥσπερ γὰρ F χροιᾷ VR: *corr. ex* χρόᾳ P²: χρόᾳ F 6 καὶ *om.* P 7 ὑπάρχειν R 8 τοῖς *supra* τῶ *scrib.* P² 9 *post* ἅπαντα *add.* τὰ R τῆς] τοῖς R τοῖς P: τε *suprascr.* P² 10 αὐτά VRF: *corr. in* ταῦτα P λαμβάνει VRP: μανθάνει V¹ *in mrg.* F: μανθάνειν *edd.* ἂν VRPF: ὄντως *edd.* *post* ἂν *add.* εἶ P 10. 11 προγνωστικῆς ᾖ VRF: ᾖ προγνωστικῆς *edd.* 11 ᾖ *om.* P 12 *post* αὐτῶν *add.* ὡς *edd.*: *rasura* P: *om.* VRF 15 εἰ VPF: ἦν R *Hipp. Chartier* τὸ νόσημα τὸ δὲ οὖρον VRPF: *om. Hipp.* 17 ἡ νοῦσος VP *Hipp.*: τὸ οὖρον RF 18 περὶ τῶν ἐν τοῖς πολυχρονίοις νοσήμασι λεπτῶν καὶ πυρρῶν οὔρων *inscrib.* R *in mrg.* ἄπεπτον διαμείνῃ τὸ νόσημα P: εἴη τὸ οὖρον τοιοῦτον ἄπεπτον ὂν R: εἴη τοιοῦτον ἄπεπτον ὄν (ἐόν F) VFP² *in mrg.* 19 τῶν νοσημάτων P 20 ἰσχυροτέραν VRP: ἰσχυροτάτην F ἔχει RP: ἔχοι VF τῶν . . . εἰρημένων *(21)* VRP: τὸ . . . εἰρημένον F 21 μεμνημένον ἐπισκέψαι δεῖ *Cornarius* ἐπισκέψῃ R: ἐπίσκεψαι VF: ἐπισκέπτεσθαι P 22 εἰ] ἦν R 23 ἀκμῆς (κμ *in ras.*) V αὐτῆς R

II 32 [12. II 142, 1 L.] Θανατωδέστερα δὲ τῶν οὔρων ἐςτὶ τὰ ὑδατώδεα καὶ δυςώδεα καὶ μέλανα καὶ παχέα.

Τὰ ὑδατώδη λεπτὰ μὲν τὴν cύςταςίν ἐςτιν, λευκὰ δὲ τὴν χροιάν, ἀπεψίαν μὲν ἐςχάτην ἐνδεικνύμενα τῶν χυμῶν, ἀρρωςτίαν δὲ τῆς φυςικῆς δυνάμεως. περὶ δὲ τῶν δυςωδῶν ἁπάντων εἴρηται πρόςθεν ὥςπερ γε καὶ περὶ τῶν μελαινομένων. ταῦτα μὲν οὖν αὐτὰ καθ' ἑαυτὰ καὶ cὺν ἀλλήλοις ἐςτὶ θανατώδη.

τὰ δὲ παχέα πότερον αὐτὰ καθ' ἑαυτὰ καὶ ταῦτα θανατώδη νομιςτέον ἢ ςυμπλέξαι χρὴ τοῖς προειρημένοις αὐτὰ καὶ τοῖς μέλαςιν, ἄξιόν ἐςτιν ἐπιςκέψεως. ὅςα τοίνυν ἡμεῖς εἴδομεν, ἀκριβῶς παραφυλάξαντες ἐροῦμεν, ἵν' ἐξ αὐτῶν τις ὁρμώμενος ἅμα μὲν ἐπίςτηται τὸ ἀληθές, ἅμα δὲ καὶ τὴν βελτίω τῶν ἐξηγήςεων ἕληται. τὰ μέλανα
158 τῶν | οὔρων, ὅςῳ περ ἂν ᾖ παχύτερα, τοςούτῳ χείρω παρεφυλάξαμεν ὄντα· τὰ δὲ τῆς κατὰ φύςιν χροιᾶς μὴ ἐκςτάντα παχέα διττὴν ἔχοντα τὴν ἔκβαςιν, ἐνίοτε μὲν ἐπ' ὄλεθρον, ἐνίοτε δὲ εἰς ὑγείαν ὑπόγυον τελευτῶντα, καθάπερ καὶ ἄλλα πολλὰ τῶν παρὰ φύςιν, ὡς ἂν ἐκκαθαίρηται δι' αὐτῶν τὸ cῶμα. δῆλον δ' ὅτι παχέα πρὸς αὐτοῦ λέλεκται τὰ πάνυ ςφόδρα τοιαῦτα. τὰ γὰρ ἁπλῶς παχύτερα τῶν κατὰ φύςιν οὐ πάντως ἐςτὶν ὀλέθρια.

II 33 [12. II 142, 2 L.] Ἔςτι δὲ τῇςι μὲν γυναιξὶ καὶ τοῖςιν ἀνδράςι τὰ μέλανα τῶν οὔρων κάκιςτα, τοῖςι δὲ παιδίοιςι τὰ ὑδατώδεα.

Ἐν πάςαις μὲν ταῖς ἡλικίαις ὀλέθρια τά τε μέλανα τῶν οὔρων ἐςτὶ καὶ τὰ ὑδατώδη, ἀλλ' ἐπὶ μὲν τῶν ἀκμαζόντων τὴν πρώτην

5 εἴρηται πρόςθεν] *supra p. 255, 23 sqq.* 6 περὶ τῶν μελαινομένων] *supra p. 268, 12* 20 ἔςτι . . . ὑδατώδεα *(22)*] *cf. Gal. IX 606, 3 sqq. K.*

1 δὲ PF: *om.* VR ἐςτὶ V: *in ras.* P: *om. cum Hipp. ab Aldo edd.* *post* τά *inser.* τε *ex Hipp. ab Aldo edd.* 2 ὑδατώδεα καὶ δυςώδεα VRP: ὑδατώδη (*omissis* καὶ δυςώδεα) F: δυςώδεα καὶ ὑδατώδεα *ex Hipp. ab Aldo edd.* 3 περὶ θανατωδῶν οὔρων *inscrib.* R *in mrg.* χροιάν VR: χρόαν PF 4 ἐνδεικνύμενα *ex corr.* P 6 περὶ *omissum add.* P^2 *in mrg.* *post* αὐτὰ *inser.* τε R 7 ἑαυτὰ VRF: αὑτὰ P ἐςτὶ *in ras.* P θανατώδη F: θανατώδεα VRP 8 ἑαυτὰ R: αὑτὰ VPF θανατώδεα V 9 καὶ VP: *om.* RF 11. 12 ἀληθὲς *ex corr.* P^2 13 τοςοῦτο P 14 τῆς RF: *corr. in* ἐν τῇ V^2P^2 χροιᾶς] χροιᾷ *corr. ex* χροιᾶς V^2P^2 μὴ ἐκςτάντα R: *expunx.* P: *om.* VF 15 ἐπ'] εἰς P 16 ὡς ἂν PF: ὡςὰν *deleto superscr.* ὅταν V^2: ὡς ὅταν *corr. ex* ὥςτ' ἂν R ἐκκαθαίρηται VF: *corr. ex* ἐκκαθαιρουμένου P^2: ἐκκαθάρηται R 17 τὸ cῶμα *corr. ex* τοῦ cώματος P^2 19 ἐςτὶν ὀλέθρια *Aldus*: ὀλέθριά ἐςτιν VRPF 20 περὶ τῶν ἐν ταῖς γυναιξὶ καὶ ἀνδράςι καὶ παιδίοις κακῶν οὔρων *inscrib.* R *in mrg.* τῇςι (*corr. ex* τοῖςι RP) μὲν (*om.* F) γυναιξὶ καὶ τοῖςιν (τοῖς P) ἀνδράςι VRPF: τοῖςι μὲν ἀνδράςι καὶ τῇςι γυναιξὶ *ex Hipp. ab Aldo edd.* 21 μέλαινα R 23 τε VF: *om.* RP 24 τὰ *om.* *Chartier* ὑδατώδη VRPF: ὑδατώδεα *Aldus* μὲν *om.* P *post* πρώτην *rasura* P

ἔχει τάξιν ὡς ἐν ὀλεθρίοις τὰ μέλανα, ἐπὶ δὲ τῶν παιδίων τὰ ὑδατώδη. λέλεκται γὰρ ἔμπροσθεν αὐτῷ τὰ ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλεθριώτατα ὑπάρ|χειν. ἐναντιώτατα δέ ἐστι τοῖς κατὰ φύσιν ἐπὶ τῶν **159**
παιδίων οὐχ οὕτως τὰ μέλανα ὡς τὰ λεπτά. κατὰ φύσιν γὰρ αὐτοῖς ἐστιν οὐρεῖν παχέα τε καὶ πολλὴν ὑπόστασιν ἔχοντα, τοῖς δ᾽ ἀκμάζουσιν ὀλίγην ὑπόστασιν ἔχοντα καὶ λεπτότερα γίνεται· διόπερ ἐπ᾽ αὐτῶν ἐστιν ὀλεθριώτατα τὰ μέλανα τῶν οὔρων. ἐπὶ δὲ τῶν παιδίων καὶ δι᾽ ἄλλην αἰτίαν ὀλέθρια τὰ ὑδατώδη. τάχιστα γὰρ ἐπ᾽ αὐτῶν πέττεται πάντα διὰ ῥώμην τῆς ἀλλοιωτικῆς δυνάμεως, αἱ πέψεις δὲ παχύνουσιν οὐκ οὖρα μόνον, ἀλλὰ καὶ διαχωρήματα τοῖς εὐπεπτοῦσι κατὰ γαστέρα καὶ πτύσματα περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς καὶ φλέγμα ἐν κατάρροις καὶ κορύζαις καὶ λήμας ἐν ὀφθαλμίαις καὶ πῦον ἐν ἕλκεσιν. ἐὰν οὖν φαίνηται τοῖς παισὶ τὸ οὖρον ὑδατῶδες ἐπὶ πλέονα χρόνον παραμένον, ὡς μηδεμίαν μεταβολὴν ἴσχειν ἐπὶ τὸ παχύτερον, ὀλέθριον γίνεται τὸ σημεῖον. |

II 34 [12. II 142,4 L.] Ὁκόσοισι δὲ οὖρα λεπτὰ καὶ ὠμὰ οὐ- **160**
ρέουσι πολὺν χρόνον ἢν καὶ τἄλλα σημεῖα ὡς περιεσομένοισιν ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

Ἀληθέστατα καὶ τοῦτο εἴρηται τῷ Ἱπποκράτει. τὰ μὲν γὰρ δυσπεπτότερα τῶν νοσημάτων, ὡς ἂν ἐπὶ παχυτέροις καὶ ψυχροτέροις

2 ἔμπροσθεν] *supra p. 284, 24 sqq.*

1 δὲ *superscr.* P^2 παιδίων *corr. ex* παίδων P^2 ὑδατώδη *corr. ex* ὑδατώδεα P^2 2 αὐτῷ VRPF: αὐτῶν *Aldus Basil.* *post* ἐναντιώτατα *superscr.* γὰρ P^2 3 ἐναντία R δέ *om.* P τοῖς κατὰ φύσιν *post* μέλανα *(4) colloc. edd.*: *om.* F 4 παιδίων VR: *corr. ex* παίδων P^2: παίδων F *post* μέλανα *repet. sed ipse expunx.* τοῖς κατὰ φύσιν P λεπτά] λευκά F 5 *post* πολλὴν *add.* τὴν P τοῖσι F τοῖς δ᾽ . . . ἔχοντα *(6) omissa add. in mrg.* V^{2}P^2 6 ὀλίγην ὑπόστασιν ἔχοντα καὶ λεπτότερα (*corr. in* λεπτοτέραν V^2: *corr. ex* λεπτὰ P^2) VRP: καὶ λεπτότερα τὰ οὖρα καὶ ὀλίγην ὑπόστασιν ἔχοντα F: καὶ λεπτότατα καὶ ὀλίγην ὑπόστασιν ἔχοντα *Aldus* γίνεται RF: *eras.* V: γίνονται P 7. 8 καὶ δι᾽ ἄλλην αἰτίαν *perperam bis scribit* R 8 τάχιστα γὰρ ἐπ᾽ αὐτῶν *expunctis post* πέττεται *superscr.* γὰρ ἐπ᾽ αὐτῶν τάχιστα P^2 10 εὐπεπτοῦσι P: ἀπεπτοῦσι VRF *post* κατὰ *add.* τὴν V 11 πλευριτικ//// (∂ *superscr. man. 2*) P φλέγμα VRPF: φλέγματα *Aldus* *post* φλέγμα *add.* καὶ βλέννας RF 12 ὀφθαλμοῖς *corr. ex* ὀφθαλμίαις P^2 13 οὖν *superscr.* P^2 14 ἴσχειν VPF: σχεῖν R 16 ὁκόσοισι (σι *superscr.* P^2) δὲ VRPF: ὁκόσοι δ᾽ ἂν *ex Hipp. ab Aldo edd.* 17 οὐρέουσι VRPF: οὐρέωσι *ex Hipp. ab Aldo edd.* πουλὺν *Hipp.* καὶ VRF: *superscr.* P^2: *om. cum Hipp. edd.* τἄλλα (τἄλλα τὰ F) σημεῖα ὡς περιεσομένοισιν ᾖ VRF: τ///ἄλλα ὡς περιεσομαίνοισιν ᾖ σημεῖα P: τἄλλα ὡς περιεσομένοισι (περιεχομένοισι *Aldus Basil.*) σημεῖα ᾖ *Hipp. et ab Aldo edd.* 18 προσδέχεσθαι εἰς (σθαι εἰς *suppl. man. 2*) ///////////// V ἐς R *Hipp. et ab Aldo edd.*: εἰς PF: ἐπὶ, *sed eras.* V 20 περὶ τῆς ἐκ τῶν οὔρων τῶν ἀποστημάτων προγνώσεως R *in mrg.* 21 δυσπεπτότερα (εὐ *superscr. man. 2*) P

γινόμενα χυμοῖς, ταῖς ἀποστάσεσιν εἴωθε κρίνεσθαι, τὰ δὲ ἐπὶ θερμοῖς καὶ λεπτοῖς, ἐκκρίσεσιν. ὅταν οὖν ποτε χρόνῳ πλείονι παραμένῃ τὰ οὖρα μὴ πεττόμενα, διορίζεσθαι χρή, πότερον οὐκ ἐξαρκέσει τῷ μήκει τοῦ νοσήματος ὁ κάμνων ἢ δι᾽ ἀποστάσεως κριθήσεται. ὁ διορισμὸς δὲ ἀπὸ τῶν ἄλλων σημείων γενήσεται· τὰ μὲν γὰρ ὀλέθρια θάνατον δηλώσει, τὰ δὲ ἐπιεικῆ σωτηρίαν.

αἵ γε μὴν ἀποστάσεις ἐν μὲν τοῖς πάνυ χρονίζουσιν ἐς τὰ κάτω χωρία γίνονται διά τε τὴν ψυχρότητα καὶ τὸ πάχος τῆς ὕλης καὶ τὴν τῆς δυνάμεως ἀρρωστίαν κεκμηκυίας διὰ τὸν χρόνον, ἐν δὲ τοῖς
161 ὀξυτέροις παρ᾽ ὦτα. καὶ | γὰρ καὶ οἱ χυμοὶ τούτοις ἧττόν εἰσι παχεῖς καὶ ἡ θερμασία πολλὴ καὶ ἡ δύναμις εὐρωστοτέρα, τὰ δὲ μεταξὺ τούτων νοσήματα τὰς ἀποστάσεις ἐπαμφοτερίζούσας ἔχει καὶ οὐδέν ἐστιν ὅσον ἐπὶ τῷ χρόνῳ ζητεῖν, εἰ ἄνω μᾶλλον ἢ κάτω ῥέψουσιν, ἀλλ᾽ ἐκ τῶν ἄλλων σημείων διορίζεσθαι προσήκει.

II 35 [12. II 142, 6 L.] Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι· συντήξιος γὰρ σημεῖον.

Οἷόν τι τοῖς λιπαροῖς ζωμοῖς ψυχομένοις ἐφίσταται τὸ καλούμενον ὑπὸ τῶν πολλῶν ‘γραῦς’, τοιοῦτον καὶ τοῖς ἐκ συντήξεως οὔροις, ὑπὲρ ὧν νῦν ἐποιήσατο τὸν λόγον αὐτὸς καὶ τὴν αἰτίαν προσθείς.

II 36 [12. II 142, 8 L.] Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε κάτω ὦσιν, ἤν τε ἄνω, καὶ τὰ χρώματα
162 ὁκοῖα ἴσχουσι καὶ | τὰς μὲν κάτω φερομένας σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται ἀγαθὰς εἶναι καὶ ἐπαινέειν, τὰς δὲ ἄνω σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται κακὰς εἶναι καὶ μέμφεσθαι τὰς τοιαύτας.

1 ταῖς ἀποστάσεσι κτλ.] *cf. Gal. XV 759, 3 sqq. K. (supra V 9, 1 p. 284, 18 sqq.)*
18 γραῦς] *cf. Aristot. Problem. 10, 26; Bekker Anecd. I 33, 28*

1 ταῖς ἀποστάσεσιν VRP: εἰς ἀπόστασιν F θερμοῖς *recte* VRF: *corr. in* θερμαῖς P²: θερμαῖς *Aldus* 1. 2 λεπτοῖς καὶ θερμοῖς, *sed ipse transpon.* V 2 λεπτοῖς VRF: *corr. in* λεπταῖς P²: λεπταῖς *Aldus* χρόνῳ *corr. ex* χρόνον P¹ πλείονι VP: πλέονι RF παραμένει R 3 *post* τὰ *quattuor litteras eras.* P 4 δι᾽ ἀποστάσεως VRPF: δι᾽ ἀπόστασιν *edd.* 5 γενήσεται (ής *in ras.*) P 6 δηλοῦσι VRP²F: δηλοῦσι P 7 χρονίζουσιν *corr. ex* χρόζουσιν V ἐς VRP²F: πρὸς P 9 δυνάμεως (ναμ *in ras.*) P 10 καὶ *(alt.) om.* V 13 ζητεῖν *om.* F εἰ P: ἢ R: *om.* VF 15 περὶ τῶν ἐπιφαινομένων τοῖς οὔροις ἀραχνοειδῶν λιπαροτήτων R *in mrg.* 16 συντήξιος RF: ξυντήξιος *Hipp.*: συντήξεως VP: ξυντήξεως *ab Aldo edd.* 17 ψυχομένοις *omissum post* ἐφίσταται *superscr.* V²: *om.* P ἐφίσταται *corr. ex* ὑφίσταται F καλουμένῳ P 18 *post* ἐκ *add.* τῆς *Aldus*: *item sed ipse del.* R 19 τὸν λόγον αὐτὸς ἐποιήσατο P 20 προσθείς VRP: ἔμπροσθεν *(sic)* F 21 περὶ τῶν ἐν τοῖς οὔροις νεφελῶν R *in mrg.* σκοπέειν *Hipp.* χρὴ *om.* R οἷσιν *ex Hipp. ab Aldo edd.*: οἷς VRPF 22 ἤν τε κάτω ὦσιν (ἐῶσιν F) ἤν τε ἄνω VRPF: ἤν τε ἄνω ἤν τε κάτω ἔωσι *ex Hipp. ab Aldo edd.* 23 τοῖς V 24 *post* εἶναι *inser.* νομίζειν *ex Hipp. Chartier*: *om.* VRPF 25 τοῖς V οἷς P 26 τὰς τοιαύτας VRPF: *om. Hipp.*

῞Οτι τὰ πρὸς ἐμοῦ κατὰ τὰ Περὶ κρίcεων ὑπομνήματα πολλάκις ‘ἐναιωρήματα’ λελεγμένα καλεῖν αὐτὸc εἴωθε νεφέλας, ἐδήλωcε καὶ διὰ τῆcδε τῆc ῥήcεωc οὐκ ἀcαφῶc. ἀλλαχοῦ γε μὴν αὐτὸc ἐναιώρημα γονοειδὲc εἴρηκεν, ὡc εἶναι δυοῖν θάτερον, ἤτοι γενικωτέρου πράγματοc εἶναι τὸ ἐναιώρημα ὄνομα τὴν τομὴν ἔχοντοc εἴc τε τὰc νεφέλαc καὶ τὰ γονοειδῆ ἢ μηδέποτε τὰc νεφέλαc ἐναιωρήματα καλεῖcθαι πρὸc αὐτοῦ. ὅτι δὲ πάντα τὰ τοῖc οὔροιc ἐμφαινόμενα χρηcτά, ὅcῳ περ ἂν ὑφίζῃ κάτω, τοcούτῳ βελτίω γίνεται, λέλεκται δυνάμει πρόcθεν, ἡνίκα ἐλέγομεν ἀναμεμῖχθαι τοῖc τοιούτοιc ἐνίοτε φυcῶδεc πνεῦμα. τὸ τοίνυν ἀκριβῶc πεπεμμένον τε καὶ διακεκριμένον ὁμαλέc τε καὶ ὁμοιομερὲc ὂν ὡc ἂν οὐδὲν ἔχον πνεύματοc, εἰc τὸν πυθμένα καταφέρεται τοῦ τὸ οὖρον | ἀγγείου περιέχοντοc. ὅcον δ’ ἐπίμικτόν ἐcτιν ἀερώδει **163**
τινὶ καὶ ἀτμώδει φύcει, τοῦτο κουφιζόμενον ὑπ’ ἐκείνηc ἀνὰ λόγον τῇ ποcότητι τοῦ κουφίζοντοc ἧττόν τε καὶ μᾶλλον ἄνω φέρεται.

II 37 [12. II 142, 12 L.] Μὴ ἐξαπατάτω δέ cε, ἤν τι αὐτὴ ἡ κύcτιc νόcημα ἔχουcα τῶν οὔρων τι ἀποδιδῷ τουτέων. οὐ γὰρ τοῦ ὅλου cημεῖον, ἀλλ’ αὐτῆc καθ’ ἑαυτὴν τῆc κύcτεωc.

Κάλλιcτα καὶ τοῦτο προcέγραψεν ἀναμιμνῄcκων ἡμᾶc, ὃ τάχ’ ἂν ἐνίοτε παρελίπομεν ἐπὶ τῶν νοcούντων διορίcαcθαι. καὶ χρὴ δηλονότι καὶ περὶ τῶν διαχωρουμένων κατὰ γαcτέρα μεμνῆcθαι τοῦ νῦν εἰρημένου διοριcμοῦ. κοινὸν μὲν γὰρ ἀμφοτέραιc ταῖc ἐκκρίcεcίν ἐcτι τό τε

1 κατὰ τὰ Περὶ κρίcεων ὑπομνήματα] *e. g. IX 602, 8; 604, 9; 605, 2. 4. 13 K.; cf. etiam supra p. 281, 17* 3 ἀλλαχοῦ] *Epidem. III 1 (III 40, 3 sq. L.); III 2 (III 46, 5 L.)* 8 πρόcθεν] *supra p. 281, 25 sqq.*

1 πρὸc (c *superscr.*) V *post* πολλάκιc *superscr.* τὰ P^2 2 λελεγμένα] λεγόμενα P *post* αὐτὸc *superscr.* ὁ Ἱπποκράτηc P^2 *post* εἴωθε *add.* καλεῖν τὰ ἐνεωρήματα P^2 νεφέλαc *in ras.* P^2 *post* ἐδήλωcε *perperam inser.* δὲ R 3 τῆcδε VRPF: *om. edd.* 5 εἶναι R: εἴη P: *item sed delevisse videtur* V: *om.* F τὸ ἐναιώρημα ὄνομα VRP: ὄνομα τὸ ἐναιώρημα F 7 τὰ *superscr.* V^2 ἐμφαινόμενα VRP: ἐμφερόμενα F *post* ἐμφερόμενα *inser.* κάτω *Aldus* χρηcτῶc F *post* χρηcτὰ *add.* καὶ *edd.* 8 ὑφίζῃ RPF: *in ras.* V: ὑφιζάνῃ *Aldus* τοcοῦτον F βέλτιον F 10 τε VRPF: *om. edd.* ὁμαλέc VF: ὁμαλὸν RP 12 περιέχοντοc ἀγγείου *sed transp. ipse* P ἐπί∼μικτον *(sic)* P ἐcτίν *superscr.* P^2 13 φύcει$^{\text{cη}}$ (cη *superscr. man. 2*) V 15 διοριcμὸc τῶν ἐκ τῆc κύcτεωc cυνεξερχομένων τοῖc οὔροιc *inscrib.* R *in mrg.* cε *corr. ex* cυν P ἤν τι (καὶ *add. man. 2* P) αὐτὴ (αὐτέη R: *om. ab Aldo edd.*) ἡ κύcτιc VRPF: ἤν γε ἡ κύcτιc τι *Hipp.* 16 νόcημα ἔχουcα *sed transpos. man. 2* P τῷ οὔρῳ F τι ἀποδιδῷ τουτέων VRPF: τὰ (*om. ab Aldo edd.*) τοιαῦτα ἀποδιδῷ *ex Hipp. ab Aldo edd* 17 *post* ὅλου *add.* cώματοc *ex Hipp. ab Aldo edd.*: *om.* VRPF cημείου P ἑαυτὴν VF: αὑτὴν RP: ἑωυτῆc *Hipp. Aldus Basil.*: ἑωυτὴν *Chartier* τῆc κύcτεωc VRPF: *om. Hipp. et ab Aldo edd.* 18 κάλλιcτα] μάλιcτα R ἀναμιμνήcκων *corr. ex* -μνίcκων V^2 ἂν *om.* F 19 παρελίπομεν RF: παρελείπομεν V: παρελήπομεν P 20 κατὰ γαcτέρα διαχωρουμένων P 21 $^{\text{ἐκ}}$κρίcεcι$^{\text{ν}}$ (ἐκ *et* ν *superscr. man. 2*) P ἐcτι VRF: *superscr.* P^2: *om. Aldus*

τοῦ παντὸς σώματος ὑποδέχεσθαι τὰ περιττώματα ταῦτα καὶ τὰ τῶν μορίων ἐκείνων, δι᾽ ὧν ἐκκρίνεται. συμβέβηκε δὲ κατὰ φύσιν ἐχόντων ἡμῶν τὰ μὲν τοῦ παντὸς σώματος ἐκκαθαίρεσθαι περιττώματα δι᾽ οὔ-
164 ρων, τὰ δὲ τῶν κατὰ γα|στέρα συνεξέρχεσθαι τῇ κόπρῳ, παρὰ φύσιν δ᾽ ἐχόντων τοῖς μὲν οὔροις συνεκκενοῦσθαί τινα τῶν ἐν νεφροῖς καὶ κύστει νοσημάτων γνωρίσματα, τῇ δὲ κόπρῳ τοῦ παντὸς σώματος. οὐκ ὀλιγάκις γοῦν ἐπὶ τῶν οὐρησάντων πυώδη ζήτησις ἐγένετο, πόθεν ἥκει τὸ πῦον. οὕτω δὲ καὶ πεταλώδη ποτὲ οὐρηθέντα τὴν αὐτὴν ζήτησιν εἰργάσατο. καὶ δριμέα δὴ καὶ δυσώδη καὶ χολώδη τὰ οὖρα πολλάκις μὲν ἐγένετο διὰ κύστιν τε καὶ νεφρούς, οὐκ ὀλιγάκις δὲ καὶ διὰ τὸ πᾶν σῶμα, τουτέστι τὴν ἐν ὅλῳ τῷ ζῴῳ πεπτικὴν τῶν χυμῶν δύναμιν, ἥ τις, ὡς ἐδιδάξαμεν, οἷον ἑστίαν καιομένην καὶ πηγὴν ἔχει τὸ ἧπαρ, ἐνίοτε δὲ καὶ ταύτης αὐτῆς μηδὲν πεπονθυίας ἤδη γε ἐκκαθαίρεται διὰ νεφρῶν καὶ κύστεως ὅλον τὸ ζῷον ἢ μορίων τινῶν ἐν αὐτῷ τινα περιττώματα ταῖς φλεψὶν ἐμπίπτοντα καθαιρομένου τοῦ αἵματος ὑπὸ τῶν νεφρῶν συνεκκρίνεται, καθότι καὶ ἀποστήματα πολλαχόθεν γενόμενα δι᾽ οὔρων ἐκκρίνεται. |

165 **II 38** [13. II 142,16 L.] Ἔμετος δὲ ὠφελιμώτατος φλέγματός τε καὶ χολῆς συμμεμιγμένων ὡς μάλιστα καὶ μὴ παχὺς μηδὲ πολὺς κάρτα ἐμείσθω· οἱ γὰρ ἀκρητέστεροι κακίους.

Καὶ διὰ ταύτης τῆς λέξεως ἐδήλωσεν, ὁποῖόν τι καλεῖ τὸ ἄκρατον, ἀντιθεὶς αὐτῷ τὸ μεμιγμένον. δηλωτικὸν δὲ οὐχ ἥκιστα καὶ αὐτὸ τοὔνομά ἐστι τοῦ πρὸς αὐτοῦ σημαινομένου. καὶ γὰρ οἶνον ἄκρατον εἶναι λέγομεν, ᾧ μὴ μέμικται τὸ ὕδωρ ἢ παντάπασιν ὀλίγον μέ-

12 ἐδιδάξαμεν] *cf. e. g. supra p. 239, 16 sqq.* 18 ἔμετος . . . συμμεμιγμένων *(19)*] *affert etiam infra p. 295, 17 sq.*

1 τὰ *(alt.)* VP: τὸ F: *om.* R 5 συνεκκενοῦσθαι VRPF: συνεκκρίνεσθαι *edd.* τῶν *del. Cornarius* 7 ὀλιγάκις] ὀλίγη F ἐγένετο VR: *corr. ex* ἐγίνετο P: ἐγίνετο F 8 δὲ] δὴ F 9 εἰργάσατο VRPF: ἔχει *edd.* δὴ VRPF: δὲ *edd.* τὰ οὖρα *post* ἐγένετο *colloc. sed transpos. ipse* P 10 οὐκ *om.* F δὲ *ex corr.* R διὰ *superscr.* R¹ 11 ἐν ὅλῳ *corr. ex* ὅλου V² πεπτικὴν τῶν χυμῶν δύναμιν VRPF: πεπτικὴν δύναμιν τῶν ζώων *edd.* 12 ἥν τινα *corr. ex* ἥ τις P² ἐδιδάξαμεν VRF: *corr. ex* ἐδίξαμεν P²: ἐδείξαμεν *edd.* 13 ἤδη RPF: *eras.* V: *om. edd.* γε RP: *om.* F: *eras.* V 14 *post* τινῶν *add.* τῶν *edd.* 15 τινα *om.* F ταῖς] τοῖς R καθαιρομένου *corr. ex* καθαιρουμένου V 16 πολλαχόθεν RP: πολλαχόθι VF 17 γενόμενα VRPF: γινόμενα *edd.* 18 περὶ ἐμέτων *inscrib.* RF *post* ὠφελιμώτατος *add.* ὁ *ex Hipp. ab Aldo edd.* 19 τε VRPF: *om. cum Hipp. Aldus Basil.* συμμεμιγμένων VRP: ξυμμ. *Hipp.*: ξυμμεμιγμένος F: συμμεμιγμένος *ab Aldo edd.* ὡς RP: ὅτι *Hipp.*: καὶ V: *om.* F καὶ *(alt.) superscr.* P² μὴ RF: μὴ//// P: μήπω V 20 πολὺς κάρτα μήδε παχὺς R κάρτα *post* παχὺς *colloc. cum Hipp. ab Aldo edd.* μηδὲ RPF *Hipp.*: καὶ μὴ V: μήτε *ab Aldo edd.* ἐμεέσθω *Hipp.* κακίους (κακ *in ras.*) P *post* κακίους *add.* εἰσί *ex Hipp. ab Aldo edd.* 21 ταύτης *corr. ex* ταῦτα V¹ 22 ἀντιθείς RPF: *corr. in* ἀντιτιθείς V²: ἀντιτιθείς *edd.* 23 αὐτὸ] αὐτοῦ P αὐτοῦ RF: ἑαυτοῦ VP 24 τὸ] τῷ P

μικται, καὶ τῶν ἄλλων ἕκαστον ἄκρατόν ἐστί τε καὶ λέλεκται πρὸς τῶν Ἑλλήνων, ὅταν αὐτὸ καθ᾽ ἑαυτὸ μόνον ἀμιγὲς ἑτέρας οὐσίας ὑπάρχῃ. τὴν γοῦν ξανθὴν χολὴν ποτὲ μὲν ἔστιν ἰδεῖν παχεῖάν τε καὶ ἄκρως ξανθὴν ἐμουμένην καὶ κάτω διερχομένην, ἣν δὴ καὶ λεκιθώδη προσαγορεύουσιν ἔνιοι, πολλάκις δὲ ὑγροτέραν καὶ ἧττον ξανθήν, ἥ τις ἰδιώτερον ὠχρὰ προσαγορεύεται, μεμιγμένον ἔχουσα δι᾽ ὅλης αὐτῆς φλεγματώδη χυμὸν λεπτὸν ἢ ὑδατῶδές τι περίττωμα.

βούλεται τοίνυν ὁ | Ἱπποκράτης μηδέτερον τῶν χυμῶν ἄκρα- 166 τον εἶναι, μεμῖχθαι δ᾽ ἀλλήλοις πως αὐτούς. ὁ μὲν γὰρ χολώδης ἄκρατος πολλὴν τὴν θερμασίαν, ὁ δὲ φλεγματώδης τὴν ψῦξιν ἐνδείκνυται. καὶ μέντοι καὶ παχυτέροις ὑπάρχει τοῖς ἀκράτοις εἶναι τῷ μὲν φλεγματώδει διὰ ψῦξιν οἱονεὶ πεπηγότι, τῷ δὲ χολώδει διὰ τὴν τῆς θερμασίας ὑπερβολὴν ἐξικμασμένῳ τε καὶ οἷον πεφρυγμένῳ. δύο γὰρ αἴτια ταῦτα τῶν παχυνομένων ἐστί, τὸ θερμὸν πάνυ καὶ τὸ ψυχρόν, ἐξικμάζον μὲν τὸ θερμόν, πηγνύον δὲ τὸ ψυχρόν.

II 39 [13. II 144, 2 L.] Εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδὲς ἢ πελιδνὸν ἢ μέλαν, ὅ τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι.

Περὶ μὲν τοῦ πελιδνοῦ καὶ μέλανος χρώματος εἴρηται πρόσθεν, τοῦ δὲ πρασοειδοῦς νῦν πρῶτον ἐμνη|μόνευσεν οὐκ ἔχοντος μὲν 167 οἰκεῖον ὄνομα, συγχρωμένου δὲ τῇ τῶν πράσων προσηγορίᾳ, εἰ μὴ ἄρα τις ἔμπαλιν ἀπὸ τοῦ πρασοειδοῦς χρώματος ὠνομάσθαι φαίη τὸ πράσον, οὐκ ἀπὸ τοῦ πράσου τὸ πρασοειδές. ἐπί τινων μὲν γὰρ εὔδηλος ἡ παραγωγὴ τῶν ὀνομάτων, ὡς γνωρίζεσθαι τό τε πρωτότυπον ὑπὸ

5 ἔνιοι] *e. g. Epidem. IV 14 (V 152, 7 sq. L.); Aretaeus, de causis et sign. diuturn. morb. I 15 (113, 6 K.)* 19 πρόσθεν] *II 122, 4 L. (supra p. 235, 3); II 132, 11 L. (supra p. 267, 19); II 132, 13 L. (supra p. 268, 11); II 142, 1 sqq. L. (supra p. 285, 2. 21)* 20 νῦν πρῶτον ἐμνημόνευσεν] *Galenus oblitus esse videtur Hippocratem iam 11. II 138, 4 (cf. supra p. 277, 1)* τοῦ πρασοειδοῦς *meminisse*

1 ἄκρατα R λέλεκται] λέγεται F 2 ἑαυτὸ VRPF: αὑτὸ *edd.* 3 ὑπάρχει RP ποτὲ V: ὅτε RF: *om.* P μὲν . . . ξανθὴν *(4) om.* P τε *om.* R 4 *post* ἐμουμένην *add.* τε R 5 *post* ὑγροτέραν *add.* τε F 6 ἰδιώτερον V: *corr. ex* ἰδιαίτερον P^1: ἰδιαίτερον F: ἰδιωτέρως R μεμιγμένον *corr. ex* μεμιγμένην P 7 αὐτῆς VRPF: ἑαυτῆς *edd.* φλεγματωδῶν χυμῶν R 8 *post* Ἱπποκράτης *add. sed item del.* φλεγματώδη P 9 εἶναι VRP: φαίνεσθαι F 11 παχύτερος F 12 πεπηγότι VRP: ἐπιπεπηγότι F *supra* πεπηγότι *scrips. sed ipse del.* πεφρυγμένον *man. 2* P 13 ἐξηκμασμένῳ VP οἷον VRF: *corr. in* οἱονεὶ P^2 14 *post* ταῦτα *add.* ἐναντία F: *superscr.* P^2 16 ἐμεύμενον *Hipp.* 17 πελιδνὸν VRPF *(cf. supra p. 75, 23)*: πελιὸν *ex Hipp. ab Aldo edd.* ἢ μέλαν *falso repetitum del.* P ᾖ VR *Hipp.*: εἴη PF *supra p. 75, 24 codd.*: ἔῃ *Diels* 18 χρή VF *Hipp.*: *eras.* P: *om.* R εἶναι πονηρόν P 19 *post* μὲν *add.* οὖν P^2F 20 δὲ VRF: *superscr.* P^2: *post* πρασοειδοῦς *colloc. edd.* *ante* νῦν *eras.* δὲ P πρῶτον VRPF: πρώτως *edd.* ἔχον F 22 ὠνομάσθαι RF: *corr. ex* ὠνομάζεσθαι V^1: ὠνομάζεσθαι P 23 τινων *ex corr.* P

τῶν γραμματικῶν ὀνομαζόμενον καὶ τὸ παρηγμένον ἀπ' αὐτοῦ, καθάπερ ἐπὶ τοῦ γαλακτοειδοῦς χρώματος, ἐπί τινων δὲ οὐ δῆλον. ἔξεστι γὰρ λέγειν οὐκ ἀπὸ τοῦ φοίνικος ὠνομάσθαι τὸ φοινικοῦν, ἀλλ' ἀπὸ τοῦ φοινικοῦ τὸν φοίνικα, καθάπερ γε καὶ τὸ κυανὸν οὐκ ἀπὸ τοῦ κυανοῦ μᾶλλον ἤπερ τὸ κυανοῦν ἀπ' ἐκείνου καὶ ἡ ὤχρα δὲ καὶ τὸ ὠχρὸν χρῶμα τῆς αὐτῆς εἰσι συστοιχίας. ὤχραν δὲ εἴρηκα νῦν οὐ τὴν ὀξυνομένην φωνήν, ὥσπερ ἂν εἴποι τις ὠχρὸν μὲν εἶναι τὸν νεανίσκον, ὠχρὰν δὲ τὴν γυναῖκα, ἀλλὰ τὴν παροξυνομένην. ἔστι γὰρ εἶδός τι γῆς ἡ ὤχρα καὶ μάλιστά γε αὐτῆς ἡ Ἀττικὴ καλλίστη. ταυτὶ μὲν οὖν ἅπαξ εἰρήσθω μοι νῦν, ἀεὶ δὲ μέμνησο τοῦ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι τοσοῦτον, ὅσον εἰς σαφῆ δήλωσιν ὧν λέγομεν ἐξ αὐτῶν |
168 ἔστιν ὀνίνασθαι. τὸ δ' ἐπέκεινα τοῦδε περιττὸν ἡγοῦ, τὸν χρόνον εἰς τὴν τῶν βελτιόνων σπουδὴν κατατιθέμενος. γίνεται δή τις ἐν τῷ σώματι καθάπερ ὠχρὰ χολὴ κατὰ φύσιν ἐχόντων, οὕτω καὶ πρασοειδὴς ἑτέρα παρὰ φύσιν. καὶ φαίνεται αὕτη πολλάκις μὲν ἐν αὐτῇ τῇ γαστρὶ γεννωμένη διά τινων ἀπεψίαν ἐδεσμάτων ἢ λαχάνων, ὁποῖα καὶ τὰ τεῦτλά ἐστι καὶ τὰ κρόμμυα καὶ αἱ κράμβαι, φαίνεται δ' ἐνίοτε καὶ χωρὶς τοῦ τοιοῦτόν τι προσενηνέχθαι τῷ λόγῳ τοῦ νοσήματος ἔν τε ταῖς φλεψὶ γεννᾶσθαι καὶ καταρρεῖν ἤτοι γε εἰς τὴν ἄνω κοιλίαν ἢ εἰς τὴν κάτω θερμασίαν γέ τινα παρὰ φύσιν ἐν τῷ σώματι δηλοῦσα καὶ περιττώματος ἰδιότητα τοιούτου τὴν κρᾶσιν, οἷος ὁ τῶν εἰρημένων λαχάνων ἐστὶ χυμός.

II 40 [13. II 144, 4 L.] Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέει, ὀλέθριον κάρτα γίνεται. |

1 ὑπὸ τῶν γραμματικῶν] *e. g. Apoll. Dysc. p. 164, 9 sqq.; 37, 17; 66, 22 Sch. et saepius; cf. etiam Gramm. Graeci IV 1 p. 1 sqq.; III p. 364, 24 sqq.; 527, 22 sqq.* 6 ὤχραν κτλ.] *cf. Gal. XV 554, 15 sqq. K. (supra V 9, 1 p. 182, 8 sqq.)*

1 τῶν VRPF: *om. edd.* ὀνομαζομένων F 2 δῆλος F 3 *post* γὰρ *add.* τὸ R ὠνομάσασθαι *(sic)* P 4 κυανὸν R: κυανοῦν VPF 5 εἴπερ VF κυανοῦν VPF: κυανὸν R 6 εἰσι VRPF: ἐστι *edd.* ὤχρα P δὲ VRF: μὲν P εἴρηκα VRF: εἴρηκεν P νῦν VRF: *om.* P 9 ἡ *(prius)* VRPF: *om. edd.* γε VRF: *om.* P αὐτῆς VRF: ταύτης P 10 ἅπαξ *om.* F μοι *superscr.* R[1] νῦν VRPF: *om. edd.* δὲ VRPF: γὰρ *edd.* σπουδάζειν *corr. ex* σπουδάζον P[1] 12 ὀνίνασθαι VPF: ὀνίσασθαι R: ὀνήσασθαι *edd.* ἐπικεῖνα *(sic)* R 13 καταθέμενος P *ante* γίνεται *add.* ὥσπερ VP[2] *in mrg.* δή VF: *expunx. et add. in mrg.* ὥσπερ P: δέ R 14 καθάπερ RF: *om.* V: *del.* P πρασοειδής *corr. ex* πρασοειδεῖ P[2] 15 ἑτέρα] ἑτέρω *ex corr.* P μὲν *om.* R γαστρὶ *corr. ex* γαστρὸς P 16 γενομένη V τινων VP: τινα RF ἢ λαχάνων VPF: λαχανωδῶν R 17 ἐστι VRPF: εἰσι *edd.*

18 τοῦ τοιοῦτον (*corr. ex* τοιούτου P) τι VPF: τοῦ τοιον' (τι *supra*) *(sic)* R: τούτου τοιοῦτον τι *Aldus Basil.*: τοῦτο τοιοῦτό τι *Chartier* τε VR: τῷ F: *om.* P
19 γεννᾶσθαι *in ras.* P κοιλίαν RF: κοιλίην V: κοιλ (λ *supra lin.*) *ambigue* P
20 παρὰ φύσιν ἐν τῷ σώματι VRF: ἐν τῷ σώματι παρὰ φύσιν *edd.*: *item sed transpos. ipse* P δηλοῦσα// (ν *eras.*) V 21 καὶ *om.* F 23 ὁ *om. Aldus Basil.* ὡυτὸς *ex Hipp. ab Aldo edd.* 24 ἐμέει VRPF: ἐμέοι *Galen. supra p. 75, 25 et Hipp.* ὀλέθριον κάρτα VRF: κάρτα ὀλέθριον *(ut Gal. supra p. 75, 26) cum Hipp. ab Aldo edd.*: *item sed transpos. ipse* P *post* ὀλέθριον *add.* ἤδη *Aldus Basil.*: *superscr.* ἤδη P[2]: τοῦτο *Hipp.*: τοῦτο ἤδη *Chartier*

Εἴτε περὶ τῶν προειρημένων χρωμάτων, τοῦ πραcοειδοῦc καὶ πελιδνοῦ καὶ μέλανοc, εἴρηται τὸ πάντα, εἴτε καὶ περὶ τῶν ἄλλων cὺν αὐτοῖc, ὁπόcα χρώματά ἐcτι παρὰ φύcιν, ἑκατέρωc ὀλεθριώτατόν ἐcτιν ἐνδεικνύμενον πολλὰc ἐν τῷ cώματι χαλεπὰc εἶναι διαθέcειc. 169

II 41 [13. II 144, 5 L.] Τάχιcτον δὲ θάνατον cημαίνει τὸ πελιδνὸν τῶν ἐμεcμάτων, εἰ ὄζοι δυcῶδεc.

Cηπεδόνα γὰρ ἐνδείκνυται μετὰ νεκρώcεωc τὸ τοιοῦτον, εἴ γε μεμνήμεθα τῶν προειρημένων.

II 42 [13. II 144, 7 L.] Πᾶcαι δὲ αἱ ὑπόcαπροι καὶ δυcώδειc ὀδμαὶ κακαὶ ἐπὶ πᾶcι τοῖcιν ἐμουμένοιcιν.

Ἧι γὰρ ἂν διαθέcει μιχθῇ cηπεδών, χείρων ἑαυτῆc αὐτὴ γίνεται. |

II 43 [14. II 144, 9 L.] Πτύελον δὲ χρὴ ἐπὶ πᾶcι τοῖcιν ἀλγήμαcι τοῖcι περὶ τὸν πνεύμονά τε καὶ τὰc πλευρὰc ταχέωc τε ἀποπτύεcθαι καὶ εὐπετέωc. 170

Τὸ μὲν ταχέωc ἐν ἀρχῇ τῆc νόcου δηλοῖ, τὸ δ' εὐπετέωc ἀντὶ τοῦ ῥᾳδίωc τε καὶ ἑτοίμωc οἱ Ἕλληνεc λέγουcι· cυμβαίνει δὲ τοῦτο ταχέωc τε καὶ ἀπόνωc ἀναπτυόντων. τὸ γάρτοι ταχέωc γίνεcθαι διττόν ἐcτι, τὸ μὲν ἕτερον ὅλου τοῦ νοcήματοc τὸν πρῶτον καιρὸν ἐνδεικνύμενον, τὸ δ' ἕτερον τὸν ταῖc ἐνεργείαιc ἐζευγμένον χρόνον. εὐπετὴc γὰρ ἀναγωγὴ πτυέλου τουτέcτιν ἑτοίμη τε καὶ ῥᾳδία γίνεται, μήτ' ὀδύνηc ἰcχυρᾶc οὔcηc κατὰ τὸν θώρακα (διακόπτει γὰρ αὕτη καὶ καταπαύει μεταξύ, πρὶν ἐκτελεcθῆναι γινομένην ἔτι τὴν τοῦ θώρακοc ἐνέργειαν), ἀλλὰ μηδ' ἀcθενοῦc ὑπαρχούcηc τῆc δυνάμεωc

1 τῶν προειρημένων χρωμάτων] *supra p. 291, 16 sq.* 8 τῶν προειρημένων] *supra p. 255, 24* 15 τὸ μὲν ταχέωc κτλ.] *cf. Stephan. 173, 22 sq.*

1 *post* τοῦ *add.* τε P 2 καὶ μέλανοc *bis scrips.* R εἴρηται τὸ πάντα *falso repet. sed ipse del.* P τῶν *superscr.* R 6 πελιδνὸν VRPF: πελιὸν *ex Hipp. ab Aldo edd.* ἐμεcμάτων R *Hipp. et ab Aldo edd.*: *corr. ex* ἐδεcμάτων V[1]: ἐμεcάντων P: /////εcμάτων F ὀ///ζοι P 9 δυcώδειc VRPF: δυcώδεεc *ex Hipp. ab Aldo edd.* 10 ὀδμαὶ VRF: ὀcδμαὶ P: ὀcμαὶ *Hipp.* ἐμεομένοιcιν *Hipp.* 11 χεῖρον R *post* χείρων *add. sed ipse del.* αὐτή P ἑαυτῆc αὐτὴ (*superscr.* P[2]) VRP[2]F: αὐτὴ ἑαυτῆc V[2]P γίνεται VRPF: φαίνεται *edd.*
12 περὶ πτυέλου *inscrib.* R: περὶ πτυέλων F δὲ VRPF: *om. Hipp.* 13 ἀλγήμαcι τίcι (*pro* τοῖcι) *omissa superscr.* P[2] πλεύμονα *Hipp.* τε VRPF: *om. cum Hipp. ab Aldo edd.* 14 εὐπετέωc *sed superscr. man. 2* τωc P 16 τε PF: *om.* VR 17 ταχέωc *om. Aldus* *post* ταχέωc *eras.* ταχέωc *falso repetitum* V 19 ἐνδεικνύμενον VR: *corr. ex* ἐνδείκνυται P[2]: ἐνδεικνυμένου F *post* τὸν *frustra add.* ἐν P *(cf. infra p. 295, 1)* 20 τε *om.* V ῥᾳδία *corr. ex* ῥᾳδίωc P[2] 21 ὀδύνηc (δύν *in ras.*) P 23 ὑπαρχούcηc VRF: οὔcηc P

(ὀκλάζει γὰρ καὶ αὕτη μεταξὺ κατὰ τὴν ἐνέργειαν, ὡς ἡμιτελὲς ἀπολιπεῖν τὸ ἔργον). αὐτό τε τὸ ἀναγόμενον, ἐὰν μὲν ἰσχυρῶς ᾖ γλίσχρον, |
171 ἐμπλάττεται δυσαπολύτως τοῖς μορίοις ἀναφερόμενόν τε πολλάκις ἐνίσχεται προσκολλώμενον ταῖς σήραγξι τοῦ πνεύμονος, ὥσπερ γε καί, ἐὰν ἱκανῶς ᾖ παχὺ δυσχερῶς ἀναφερόμενον, ἐν χρόνῳ τε πλείονι κακοπαθεῖν ἀναγκάζει καί που καὶ σφηνοῦται κατά τινας τῶν στενοχώρων ὁδῶν, ὅθεν καὶ τὸ πνιγῆναί τισι συνέβη. καὶ μὲν δὴ καὶ τὸ λεπτὸν ἱκανῶς ὡς ὑδατῶδες εἶναι μόγις ἀναπτύεται, περιρρέον ἐν κύκλῳ τῷ πνεύματι. τοῦτο γάρ ἐστι τὸ πρῶτον αἴτιον τῆς ἀναγωγῆς, ὅπερ καὶ προσεχὲς ὀνομάζουσι. διττὸν γὰρ τὸ πρῶτον αἴτιον, ὡς ἐν τοῖς Περὶ αἰτίων λόγοις διῄρηται, τό τε φαῦλον τῆς ὕλης καὶ τὸ τὴν ἀρχὴν τῆς κινήσεως ἔχον.

ἡ μὲν οὖν ἀρχὴ τῆς κινήσεως ἐπὶ τῶν βηττόντων ἐκ τῆς τὸν θώρακα κινούσης δυνάμεώς ἐστιν· ἐδείχθη γὰρ τοῦτο ἐν ταῖς τῶν Συμπτωμάτων αἰτίαις. ἡ συστολὴ δὲ αὐτοῦ βιαίως γινομένη τὴν ἔξω φορὰν τοῦ πνεύματος ἐργάζεται σφοδράν, ἡ δὲ ταύτης σφοδρότης ἑαυτῇ συναναφέρει τὰ κατὰ τὰς σήραγγας τοῦ πνεύμονος, αἵπερ εἰσὶν ἀρτηρίαι τραχεῖαι. ὅταν μὲν οὖν ὅ τε θώραξ ἐνεργῇ ῥωμαλέως τό τε
172 ἐν ταῖς σήραγξι τοῦ πνεύμονος ὑγρὸν ὑπάρχῃ μετρίως | παχύ, ῥᾳδίως ἀναπτύεται, μηδετέρου δὲ ὄντος τοιούτου χαλεπῶς καὶ μόγις· εἰ δὲ τὸ μὲν εἴη τῶν εἰρημένων αἰτίων, τὸ δὲ οὐκ εἴη μεταξὺ τοῦ τ' ἀρίστου τρόπου καὶ τοῦ χειρίστου, τὴν κένωσιν τοῦ πτυέλου συμβήσεται γίνεσθαι. καὶ ὅλως δὲ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιτετάσθαι ἕκαστον τῶν αἰτίων ἢ ἐκλελύσθαι, τινὲς μὲν αὐτῶν ῥᾷον, ἔνιοι δὲ χαλεπώτερον ἀναπτύουσι. τί μὲν οὖν ἐστι τὸ εὐπετέως ἀναπτύεσθαι, δοκῶ μοι δεδεῖχθαι σαφῶς τε ἅμα καὶ ἀληθῶς. εἰ δ' ἀληθές ἐστι τοῦτο, καθάπερ οὖν ἔστιν, ἀληθὲς ἂν εἴη καὶ τὸ ταχέως. οὐ γὰρ τὸν ἐζευγμένον

2 *sqq.*] *cf. Stephan. 174, 1 sqq.* 10 *schol.* P (*ad* ὅπερ) τὸ πνεῦμα
10. 11 ἐν τοῖς Περὶ αἰτίων λόγοις] *immo De causis procatarcticis liber qui Latine extat in Charterianae t. VII 350 A sqq.* 13. 14 ἐν ταῖς τῶν Συμπτωμάτων αἰτίαις] *VII 168, 9 sqq. K.*

1 ἀπολιπεῖν RP: *corr. in* ἀπολείπειν V^2: *incertum* F 2 *post* μὲν *add.* γὰρ F ἰσχυρῶς *corr. ex* ἰσχυρὸν V^1 3 τε *add. in mrg.* V^2 4. 5 καὶ ἐὰν *corr. ex* κἂν P^2 5 ἱκανῶς] ἰσχυρῶς F τε *om.* F πλέονι F 6 ἀναγκάζῃ V στενοχώρων R: στεροτέρων *(sic) corr. ex* στενοχώρων P^2: στενωτέρων VF 7 τὸ *(alt.) om.* F 8 λεπτὸν (τὸν *in ras.*) P παραρρέον F 10 προσε (χ superscr.) P 11 διείρηται V τὸ *(alt.) superscr.* V^2 13 τῆς τὸν *in ras.* P 15 αἰτίαις *corr. ex* αἰτίας R^1 αὐτοῦ PF: *corr. ex* αὐτῶν V^2: αὐτῶν R βιαίως RF: *corr. ex* βίαιος V: βίαιος (βί *in ras.*) P 16 ἐργάζεται *in ras.* P 17 ἑαυτῇ *corr. ex* ἑαυτῆς P τὰ RF: τὰς V: τὰ/// P 17. 18 εἰσιν ///// τραχίαι ἀρτυρίαι *(sic)* P 18 ἐνεργεῖ RP 19 ὑπάρχον R 21 τὸ (τὸ superscr.) δ' (δὲ superscr.) (τὸ δὲ *superscr. man. 2*) P τ' VRPF: *om. edd.* 22 πτυέλου *corr. ex* πτυάλου R συμβήσεται] συμμήσεται P 23 ὅλος R *post* ἐπιτετάσθαι *add.* τι F: *add., sed del.* P ἕκαστον VF: *superscr.* P^2: *corr. ex* ἕκαστος R^1: *om. Aldus* 24 ἐκλελύσθαι VRF: *corr. ex* ἐκλύεσθαι P^2: ἐκλύεσθαι *edd.* ἔνιοι VRPF: τινὲς *edd.* 25 δοκεῖ F 27 *post* οὖν *add.* καὶ *Aldus*: *item, sed ipse del.* P ἂν *om.* F τὸ *om.* F

χρόνον αὐταῖς ταῖς βηξίν, ἀλλὰ τὸν πρῶτον τοῦ νοσήματος σημαίνει
καιρόν, ὑπὲρ οὗ καὶ κατὰ τοὺς 'Αφορισμοὺς εἶπεν· ''ἐν πλευριτικοῖσι
πτύελον ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου βραχύνει''. ὡς εἴ γέ τις
ἐπὶ τοῦ χρόνου τῆς ἐνεργείας ἀκούσειεν εἰρῆσθαι τὸ ταχέως, ὅπερ
ἐδείχθη κἂν τῷ εὐπετέως περιεχόμενον, διττῶς ἁμαρτήσεται τῷ τὸν
μὲν τῶν χρόνων ἀναξίως εἰρῆσθαι δὶς ὑπ' αὐτοῦ, τὸν δὲ ἕτερον, οὗ
κἂν τοῖς 'Αφορισμοῖς ἐμνημόνευσε, παραλελεῖφθαι καίτοι μεγίστην ἔχοντα
δύναμιν. ὅτι δ' οὐ διὰ ταῦτα μό|νον, ἀλλὰ καὶ διὰ τὰ συνεχῶς εἰρη- 173
μένα κατὰ τὴν ἑξῆς ῥῆσιν οὕτως ἀκούειν δεῖ, δειχθήσεταί σοι διὰ τῆς
κατ' ἐκείνην αὐτὴν ἐξηγήσεως.

II 44 [14. II 144, 11 L.] Συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ.

Τὸ ἰσχυρῶς ἐπὶ τὸ συμμεμιγμένον, οὐκ ἐπὶ τὸ ξανθὸν φέρεσθαι χρή, ὡς εἰ καὶ οὕτως εἴρηται φαίνεσθαι δὲ χρὴ τὸ ξανθὸν συμμεμιγμένον ἰσχυρῶς τῷ πτυέλῳ· τό γε μὴν ἰσχυρῶς αὐτὸ τῷ 'λίαν' καὶ 'μάλιστα' σημαίνει ταὐτόν. ὀλίγον μὲν οὖν ἔμπροσθεν εἶπεν ''ἔμετος δὲ ὀφελιμώτατος φλέγματός τε καὶ χολῆς συμμεμιγμένων μάλιστα'', νυνὶ δὲ ἐπὶ τῶν πτυομένων τὸ ἰσχυρῶς προσέθηκεν. ὅτι δὲ ὀρθῶς ἐξηγησάμεθα, τῆς ἑξῆς ῥήσεως ἀκούσας μαθήσῃ. |

II 45 [14. II 144, 12 L.] Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν 174
ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο ξανθὸν ἐὸν ἢ πυρρὸν ἢ πολλὴν
βῆχα παρέχον ἢ μὴ ἰσχυρῶς ξυμμεμιγμένον κάκιον γίνεται.

2 κατὰ τοὺς 'Αφορισμούς] *I 12 (IV 464, 18 sq. L.); cf. Galeni in Aphor. comm. I 12 (XVII B, 381, 4 sqq. K.)* 5 ἐδείχθη] *supra p. 293, 15* 9 δειχθήσεται] *infra p. 296, 1 sqq.* 16. 17 ἔμπροσθεν εἶπεν] *13 (II 142, 16 L.); supra p. 290, 18 sqq.* 19 μαθήσῃ] *infra v. 22*

1 σημαίνειν VRF: σημαίνῃ P: σημαίνειν *Aldus* 2 τοὺς] τ\\ (*i. e.* τὸν) F πλευριτικοῖσι *corr.* πλευριτικοῖς P² 3 πτύελον (ν *add. man. 2*) P ἢν αὐτίκα R *Hipp. Gal. in Hipp. Aph. comm. I 12 (XVII B, 381, 4 K.)*: *corr. ex* αὐτίκα ἢν P²: αὐτίκα ἢν VP *post* ἀρχομένου *add.* μὲν RP 4 ὅπερ] ὥσπερ F 5 ἁμαρτῆσαι F τῷ τὸν VR: τῷ τὸ P: τοῦτον F 6 τῶν χρόνων P: *corr. ex* τὸν χρόνον V: τὸν χρόνον RF ἀναξίως VP: ἀξιοῦν R: ἀξιῶν F τὸν] τὸ P 7. 8 δύναμιν ἔχοντα R 10 αὐτὴν P: αὐτῆς VRF 11 συμμεμιγμένον VRF: ξυμμεμιγμένον P *Hipp. et ab Aldo edd.* 13 ξυμμεμιγμένον *edd.* 14 εἴρηται RP: *correxisse videtur in* εἴρητο V: εἴρητο F 15 αὐτὸ RF: αὐτῷ P, *ex corr.* V 16 τὸ λίαν R *post* τῷ *superscr.* ἤγουν P² ὀλίγω F 16. 17 ἔμπροσθεν εἶπεν RP: εἶπεν ἔμπροσθεν VF ἔμετοι R ὠφελιμώτατοι R φλέγματος VR: φλέγματι PF χολῆς VR: χολῇ PF συμμεμιγμένων R: συμμεμιγμένος VPF 18 νῦν F 20 τὴν *om.* V 21 ἀναπτύοιτο] ἀναπτύον τὸ *(sic)* F: ἀναπτύοι τὸ *Aldus Basil.* *post* ἐὸν *add.* ἢ λευκὸν VP 22 ἢ VRPF *Hipp.*: καὶ *ab Aldo edd.* συμμεμιγμένον *corr. ex* ξυμμ. V²

Κατὰ ταύτην τὴν ῥῆσιν ὑπεσχόμην ἀποδείξειν ἀμφοτέρας τὰς ἔμπροσθεν ἐξηγήσεις ἀληθεῖς τήν τε τοῦ ʽταχέωςʼ καὶ τὴν τοῦ ʽἰσχυρῶςʼ διάνοιαν. ἐπὶ γάρτοι τὰ ἐναντία μεταβάς, ὡς εἴωθε, τῷ μὲν ʽταχέωςʼ ἀντέθηκε τὸ εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, τῷ δὲ ʽσυμμεμιγμένον ἰσχυρῶςʼ τὸ μὴ ἰσχυρῶς συμμεμιγμένον, ἀντέθηκε δὲ καὶ τῷ ʽʽεὐπετῶς πτυομένῳʼʼ τὸ πολλὴν βῆχα παρέχον (τὸ γὰρ ἀνωδύνως τε καὶ ταχέως ἀναφερόμενον ὀλίγης δεῖται βηχός). εἴρηται δέ μοι πρόσθεν ἄμεινον εἶναι μεμῖχθαι πως ἀλλήλοις τὰ κενούμενα καὶ μηδὲν εἰλικρινῶς ἄκρατον ἐκκρίνεσθαι· λέλεκται δὲ καὶ περὶ τοῦ δεῖν ἐπιφαίνεσθαι ταχέως ἐν πλευριτικοῖς τὰ πτύσματα κατά τε τὰ Περὶ κρίσεων καὶ τῶν Ἀφορισμῶν ὑπομνήματα.

175 **II 46** [14. II 144, 14 L.] Τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν κινδυνῶδες, τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελές.

Οὐκ ἄλλο τι νῦν λέγει τοῦ πρόσθεν εἰρημένου. τὸ γὰρ ʽμὴ συμμεμιγμένονʼ ἄκρατόν ἐστι καὶ γίνεται ξανθὸν μὲν διὰ τὴν ξανθὴν δηλονότι χολήν, λευκὸν δὲ καὶ γλίσχρον καὶ στρογγύλον διὰ φλέγμα κατωπτημένον. ἐπιδέδεικται δ' ἡμῖν πολλάκις ὡς τὰ κατασκήπτοντα μέλεσί τισι ῥεύματα καὶ φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ οἰδήματα καὶ σκίρρους καὶ καρκίνους ἐργαζόμενα παρὰ τὰς διαφορὰς τῶν ἐπικρατούντων ἐν αὐτοῖς χυμῶν εὐήθη τε καὶ κακοήθη γίνεται. τὰ μὲν γὰρ αἱματώδη τε καὶ φλεγματώδη μέτρια, τὰ δὲ τῆς ξανθῆς

1 ὑπεσχόμην] *supra p. 295, 9 sq.* 3 *schol.* P (*ad* διάνοιαν): ἀποδεικνύει τὴν διάνοιαν τοῦ ταχέως καὶ τοῦ ἰσχυρῶς· ἀντέθηκε γάρ 8 *schol.* P (*ad* βηχός): ὡς πτυόμενόν ἐστι πρόσθεν] *supra p. 290, 21 sqq.* 10 ἐπιφαίνεσθαι . . . πτύσματα *(11)*] *affert Gal. in Hipp. Aphor. I 12 (XVII B 400, 10 K.)* 11 Περὶ κρίσεων] *I 5 (IX 562, 8 sqq. K.)* κατὰ τὰ τῶν Ἀφορισμῶν ὑπομνήματα] *nempe in priore horum librorum editione (cf. Ilberg, Mus. Rhen. N. S. 44 (1889) p. 231)* 15 τοῦ πρόσθεν εἰρημένου] *14 (II 144, 12 L.)* 18 ἐπιδέδεικται πολλάκις] *cf. e. g. supra p. 256, 19 sqq.; Gal. VII 709, 18 sqq. K.; 736, 15 sqq. K.*

1 ἀποδεῖξαι P ἔμπροσθεν] ἔξωθεν P 2 τὴν *(alt.) ante* διάνοιαν *(3) colloc.* R ἰσχυροῦ (ῶς *superscr. man. 2*) V *post* ἰσχυρῶς *perperam inser.* ἐπιδεῖξαι RF 3 τὰ ἐναντία VR: τἀναντία PF τῷ] τὸ F 4 τὸ] τῷ F εἰ γὰρ VR: *om.* P: γὰρ F 5 τῷ] τὸ F τῷ μὴ ἰ. συμμεμιγμένῳ F 6 δὲ VRPF: *om. edd.* εὐπετῶς VR: *corr. ex* εὐπετέως P[2]: εὐπετέως *edd.*: ἀπέπτως F πτυομένῳ *omissum superscr.* P[2] πολὺν R 8 δέ P: γάρ VRF μεμεῖχθαι P 9 τὰ κενούμενα ἀλλήλοις *sed transpos. ipse* P εἰλικρινὲς F ἄκρατον *corr. ex* ἀκράτως P[2] *post* ἄκρατον *superscr.* φέρεσθαι, οὕτω καὶ P[2] 10 περὶ *omissum superscr.* R *post* δεῖν *superscr.* καὶ P[2] 11 *post* καὶ *add.* τὰ P 12 ἄκρητον F: ἄκρατον VRP 13 δὲ F: *corr. ex* τε P[1]: τε VR 15 περὶ πτυέλων ξανθοῦ τε καὶ λευκοῦ γλίσχρου καὶ στρογγύλου *inscrib.* R *in mrg.* 17 δὲ RPF: τε V 18 *ante* ἡμῖν *add. sed item del.* καὶ P κατασκήποντα R 19 τε RP: *del.* V: *om.* F 19. 20 καὶ οἰδήματα *om.* F 20 σκίρρους *corr. ex* σκήρους V[2] 21 ἐν αὐτοῖς *superscr.* V[2]: ἑαυτοὺς V τε VRPF: *om. edd.*

ἢ μελαίνης χολῆς χαλεπά. διαβρωτικὰ μὲν γάρ ἐστιν ἄμφω τῶν σωμάτων καὶ τοῦτ' αὐτοῖς κοινόν, ἴδιον δὲ ἑκατέρου τοῦ μὲν τῆς ξανθῆς χολῆς τὸ πυρετοὺς ὀξεῖς ἐπιφέρειν, τοῦ δὲ τῆς μελαίνης τὸ δύσλυτον ἐργάζεσθαι τὴν διάθεσιν. ἅτε γὰρ παχὺς ὢν καὶ γεώδης ὁ χυμὸς οὗτος | ἐμφράττεται τοῖς ὑποδεξαμένοις μέλεσιν αὐτόν, ὡς δυσέκνιπτον εἶναι. 176

II 47 [14. II 146, 2 L.] Κακὸν δὲ καὶ χλωρόν τε ἐὸν κάρτα καὶ ἀφρῶδες.

Εἴρηται πολλάκις ὅτι τὸ χλωρὸν ἐπί τε τοῦ ὠχροῦ λέγειν εἴωθε καὶ τοῦ καλουμένου πρός τινων ἰώδους. ὁπότερον δ' ἂν αὐτῶν ἄκρως ᾖ τοιοῦτον, ὅτι χαλεπόν ἐστιν, οὐδὲν ἔτι δέομαι λέγειν εἰρηκὼς ἤδη περὶ πάντων τῶν ἀκράτων χυμῶν. πλὴν γὰρ τοῦ αἵματος ὅστις ἂν αὐτῶν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται διάθεσιν ἐπὶ θερμότητι φλογώδει τὴν γένεσιν ἔχων, ὁ μὲν ξανθὸς ἐξωπτημένης αὐτοῦ τῆς ὀρρώδους ὑγρότητος, ἧς ἐπιμεμιγμένης ὠχρὸς ἐφαίνετο, ὁ δὲ ἰώδης ἐξ ὑπεροπτήσεως ταύτης, ὁ δὲ μέλας ἤτοι τῆς αὐτῆς ὑπεροπτηθείσης, ἥπερ δὴ κακίστη τε καὶ διαβρωτικωτάτη γίνεται μέλαινα χολὴ ἢ τοῦ παχέος αἵματος ὁμοίως | ξηρανθέντος ἢ λόγῳ νεκρώσεώς τε καὶ ψύξεως. ταῦτα 177 οὖν χρὴ μεμνημένον σε μὴ πολλάκις ἀξιοῦν ἀκούειν ὑπὲρ τῶν αὐτῶν τὰ αὐτά.

τό γε μὴν ἀφρῶδες πτύελον (εἴρηται γὰρ καὶ τοῦτο ἐπὶ τέλει τῆς ῥήσεως) ἐκ φλεγματικῆς τε ἅμα καὶ ἀερώδους οὐσίας ἐστὶ συμμιγές· ἐκ τούτων γάρτοι καὶ ἡ γένεσίς ἐστιν ἀφρῷ παντὶ κατὰ μὲν τὴν θάλατταν ὑπὸ βιαίας ἀνέμων ἐμπτώσεως εἰς πολλὰ καὶ μικρὰ μόρια

8 εἴρηται πολλάκις] *supra p. 213, 25 sqq.; 235, 10 sqq.; 276, 4 sqq.* 10 εἰρηκὼς ἤδη] *supra p. 296, 15 sqq.* 20 εἴρηται] *14 (II 146, 3 L.); supra v. 7* 22 ἐκ τούτων . . . παντί] *cf. supra p. 275, 6 et Gal. in Prorrh. I 21 (XVI 557, 6 sqq. K.); supra p. 36, 17 sqq.*

1 ἢ VF: *item sed superscr. man. 2* καὶ P: καὶ R γὰρ RPF: *om.* V ἐστιν *om.* F 2 τοῦ δὲ . . . ὢν καὶ *(4) omissa add. in mrg.* P² 4 ταχὺς P² γεώδης . . . εἶναι *(5) repet. in mrg.* P² 5 ἐμφράττει F ὑποδεξαμένοις VRFP² *in mrg.*: ἀποδεξαμένοις P αὐτὸν *corr. ex* αὐτῶν V¹ δυσέκνιπτον VRPF: δυσέκστηκτον *(sic)* P² *in mrg.* 6 περὶ ἀφρωδῶν συστάσεων *inscrib.* VP²F²: περὶ χλωροῦ καὶ ἀφρώδους πτυέλου R *post* καὶ *inser.* τὸ *Hipp.* τε VPF: *om.* R *Hipp.* 7 *post* καὶ *inser.* τὸ *Hipp.* 8 πολλάκις (ις *in ras.*) V 9 ἂν VRPF: *om. edd.* 10 *post* ᾖ *add.* τι RF: *item, sed del.* VP *post* ἐστιν *addi vult* διακρῖναι *Diels* ἔτι *del.* P 11 *post* πλὴν *rasura* P γὰρ RF: *ex corr.* P: γε V ἂν *omissum superscr.* V 12 αὐτῶν VRF: *superscr.* P²: *om. edd.* *post* μοχθηρὰν *add.* μὲν RF: *eras.* V: *om.* P 13 τὴν] τε R ἔχων *corr. ex* ἔχον P μὲν] δὲ F *post* μὲν *add. sed ipse expunx.* γὰρ P ἐξαπτομένης *(sic)* F αὐτοῦ VRPF: αὐτῆς *edd.* 14 ἐπιμεμιγμένης VR: ἐπιμιγνυμένης PF 15 ἤτοι] ἢ F 16 *post* δὴ *inser.* καὶ F τε VRP: τ' ἐστὶ F ἢ *incertum* P 18 τῶν *corr. ex* τὸν P² αὐτῶν *omissum superscr.* P² 20 τοῦτ' (το *superscr. man. 2*) P τέλει *corr. ex* τέλους P² 21 συμμιγές VF: *corr. ex* συμμιγής P²: συμμιγής R 22 γάρ τοι VRF: γάρ τι P: γὰρ *edd.* ἐστιν *om.* F μὲν *om.* F 23 θάλατταν P: θάλασσαν VRF

θραυομένου τοῦ ὕδατος, ἐπὶ δὲ τῶν ἑψομένων **διὰ** τὸ πλῆθος τῆς θερμαςίας. κοινὸν δὲ ἐν ἀμφοῖν ἐστι γένεςις πομφολύγων cμικρῶν τε καὶ πολλῶν· γίνονται δὲ αὗται δύcλυτοι μάλιςτα μὲν ἀμφοῖν cυνελθόντοιν ἀέρος τε θολεροῦ καὶ ὁμιχλώδους ὑγρότητος γλίcχρον ἐχούcης τι καὶ παχύ· τὸ γὰρ λεπτὸν ὑγρὸν οἷόν πέρ ἐςτι τὸ ἀκριβῶς ὕδωρ, ὅταν ἀέρα περιλάβῃ καθαρόν, οὐ cτέγει μέχρι πλείονος, ἀλλ' αὐτίκα ῥαγειcῶν τῶν πομφολύγων εἰς τὴν ἑαυτοῦ χώραν ἀναθεῖν ἐπιτρέπει. διὰ τοῦτο καὶ κατὰ τὴν θάλατταν ὁ ἀφρὸς ἐν τάχει λύεται, τὸ δὲ παχὺ καὶ γλίcχρον ὑγρόν, ὅταν ὡς εἴρηται θολερὰν καὶ ὁμιχλώδη τινὰ οὐςίαν ἔνδον ἑαυτοῦ κατακλείςῃ, μέχρι πλείςτου κατέχει
178 μήτ' ἐκείνης ἐπει|γομένης ἄνω, καθάπερ ὁ καθαρὸς ἀήρ, αὐτό τε δύςρηκτον ὑπάρχον. ὥςπερ γὰρ ἡ γένεςις ταῖς πομφόλυξιν ἐξ ὑγρᾶς οὐςίας γίνεται κατακλειούςης ἔνδον ἑαυτῆς ἀέρα, κατὰ τὸν αὐτὸν τρόπον ἡ λύςις αὐταῖς ἐν τῷ ῥαγῆναι τὴν ὑγρὰν οὐςίαν ἐςτί. ῥήγνυται μὲν οὖν ῥᾳδίως ὑπὸ τῆς ἄνω φορᾶς τοῦ λεπτοῦ πνεύματος, οὐ ῥήγνυται δέ, ὅταν μήτε λεπτὸν ᾖ μήτε ἄνω φέρηται. τοιοῦτον δ' ἐςτὶ τὸ ὁμιχλῶδες οὔτ' ἀναθέον εἰς ὕψος οὔτε λεπτὸν ὄν, ἀλλ' ἱκανῶς ὑγρὸν ὡς βαςτάζειν δύναςθαι τὸ περιταθὲν ὑγρὸν ἑαυτῷ. διὰ τοῦτ' οὖν οὐδ', ὅταν ὕδωρ ἕψηται, δύςλυτος γίνεται πομφόλυξ, ἀλλ' ἐπειδὰν ᾖ παχὺς ἢ λιπαρὸς ⟨ὁ⟩ χυμός, ἐξ οὗ τό τε γεννώμενον πνεῦμα φυςῶδές τε καὶ ἀτμῶδές ἐςτι τό τε ἐπιπολῆς τοῦ λέβητος ὑγρὸν ἐλαιῶδές τε καὶ λιπαρὸν καὶ γλίςχρον. οὕτως οὖν ἀναγκαῖόν ἐςτι καὶ κατὰ τὰ τῶν ζῴων ςώματα γεννᾶςθαι τὸν ἀφρόν. οὐ γὰρ δὴ ςφοδράς γέ τινας ἀνέμων ὥςπερ ἐν τῇ θαλάττῃ καταιγίδας ὑπολαβεῖν ἐγχωρεῖ, θερμαςίαν
179 μέντοι πυρώδη ςυντήκουςάν τε ἅμα καὶ | πνεῦμα φυςῶδες ἐργαζομένην, μονονοὺ καὶ αὐτοῖς τοῖς ὀφθαλμοῖς ἐπὶ πολλῶν ἔςτιν ἀρρώςτων θεάςαςθαι.

ταῦθ' ἡμῖν μὲν αὐτάρκως εἰρήςθω. καὶ ςοὶ δὲ μνημονευέςθω περὶ

9 ὡς εἴρηται] *supra v. 4*

2 πομφολύγγων *ut saep.* P 2. 3 ςμικρῶν (μικρ. F) τε καὶ πολλῶν VRF: πολλῶν τε καὶ μικρῶν P 3 ςυνελθόντοιν R: *corr. ex* ςυνελθόντος P: ςυνελθόντ͡ (*i. e.* ςυνελθόντων) VF: ςυνελθόντων *edd.* 4 ὁμιγλώδους P *post* ὑγρότητος *add.* τε R: τε *vel* τι *sed ipse del.* P: καὶ F 5 ἀκριβῶς RP: ἀκριβὲς VF 6 περιλάβοι R 7 τὴν *superscr.* P^1 ἐπιτρέπει /// P 11 *post* καθάπερ *add.* καὶ *edd.* 12 πομφόλυγξιν R 13 αὐτὸν *corr. ex* τρόπον V^1 14 αὐταῖς V^2: αὐτῇ VRPF 15 ῥᾳδίως VPF: ῥᾶον R 18 δύναςθαι *corr. ex* δύνανται P ἑαυτῶ VRP: ἐν αὐτῷ F: ἑαυτοῦ *Aldus* 19 δύςλυτος *corr. ex* δυςλύτου P πομφόλυξ VF: πομφόλυγξ R: πομφόλυγξ//// P ᾖ VRF: ἢ P
20 *post* λιπαρὸς *add.* ἐςτιν *Aldus Basil.* ὁ *inser. Aldus*: *om.* VRPF γενόμενον V φυςςῶδες *ex corr.* R 21 λέβη^τος^ (τος *superscr. man. 2*) P
22 τὰ RF: *add. in mrg., sed eras. ipse* V: *omissum superscr.* P^2 23 ςώματα *corr. ex* ςωμάτων V ςφοδρή P τινας VR: *corr. ex* τινος P^2F 24 θαλάττῃ PF: θαλάςςῃ VR 25 πυρώδη *edd.*: πυρρώδη R: πυρρώδη *expuncto superscr.* πρὸς *(sic)* P^2: πυρὸς VF 26 μονονοὺ VF: *item sed superscr.* ὡςανεὶ P^2: μόνον R αὐτοῖς *om.* F τοῖς VRF: *omissum superscr.* P^2: *om. edd.* 27 μὲν *om.* R *post* εἰρήςθω *perperam inser.* τό γε νῦν εἶναι RF

γενέϲεωϲ ἀφρωδῶν εἴτ' ἐπὶ πτυϲμάτων εἴτε διαχωρημάτων εἴτε οὔρων (ἐφίϲταται γάρ ποτε καὶ τούτοιϲ ἡ καλουμένη λάμπη) πρὸϲ τὸ μηκέτι ποθεῖν αὖθιϲ ἀκούειν ὑπὲρ τῶν αὐτῶν.

II 48 [14. II 146, 3 L.] Εἰ δὲ εἴη οὕτωϲ ἄκρητον, ὥϲτε καὶ μέλαν φαίνεϲθαι, δεινότερόν ἐϲτι τοῦτο ἐκείνου.

Εἴρηται πρόϲθεν ἤδη περὶ τῶν ἀκράτων ἁπάντων κοινῇ καὶ περὶ τῶν μελάνων ἰδίωϲ καί, εἰ μὴ μέμνηϲαι τῶν εἰρημένων, αὖθιϲ ἀνάγνωθι τὰ αὐτά. βέλτιον γὰρ τοῦτο τοῦ πολλάκιϲ ἐμὲ γράφειν περὶ τῶν αὐτῶν τὰ αὐτά. |

II 49 [14. II 146, 6 L.] Κορύζαϲ δὲ καὶ πταρμοὺϲ ἐπὶ πᾶϲι **180**
τοῖϲι περὶ τὸν πνεύμονα νοϲήμαϲι κακὸν καὶ προγεγονέναι καὶ ἐπιγενέϲθαι. ἀλλ' ἐν τοῖϲιν ἄλλοιϲι νοϲήμαϲι τοῖϲι θανατώδεϲιν οἱ πταρμοὶ λυϲιτελέεϲ.

Τὸ διὰ τῶν ῥινῶν ἐκκρινόμενον ὑγρὸν λεπτὸν καὶ ἄπεπτον ὀνομάζειν εἰώθαϲι κόρυζαν οἱ παλαιοὶ πάντεϲ ἰατροὶ καθάπερ τὸ δι' ὑπερῴαϲ τοιοῦτο κατάρρουν. καὶ θαυμάζω γε, πῶϲ ὁ Ἱπποκράτηϲ οὐ τοὺϲ κατάρρουϲ, ἀλλὰ τοὺϲ πταρμοὺϲ ταῖϲ κορύζαιϲ προϲέθηκεν.

αἱ μὲν γὰρ κόρυζαι καθ' ἕνα λόγον εἰϲὶ μοχθηραὶ τοῖϲ τοιούτοιϲ ἐπιγινόμεναι νοϲήμαϲιν, οἱ κατάρροι δὲ κατὰ δύο. καὶ λέλεκται πολλάκιϲ ἡμῖν ἔμπροϲθεν ἔνια μὲν αἴτια μοχθηρὰ κατὰ ϲυμβεβηκὸϲ ἐν τοῖϲ κακοῖϲ ἀριθμεῖϲθαι ϲημείοιϲ, ἄλλα δ' ἄντικρυϲ (αὐτὸ δὴ τοῦτο μόνον εἶναι ϲημεῖα μοχθηρά, μηδὲν μὲν αὐτὰ κακὸν ἐργαζόμενα, δηλοῦντα δέ τινα

2 λάμπη] *cf. Erot. p. 91, 13 K.; Hesych. III 10; Phot. p. 206, 13* 6 εἴρηται πρόϲθεν] *supra p. 290, 21 sqq.; 286, 2. 21* 19 λέλεκται πολλάκιϲ ἔμπροϲθεν] *cf. e. g. supra p. 221, 11 sqq.; 227, 8 sqq.*

1 εἴτ' οὔρων εἴτε διαχωρημάτων P 2 ποτε καὶ τούτοιϲ RPF: καὶ τούτοιϲ ποτὲ *sed transp. ipse* V λάμπη VP: λεπίϲ F: πομφόλυξ R πρὸϲ τὸ VRP: πρὸϲ τῷ F 4 ἄκρατον P 5 ἐκείνου VRPF: ἐκείνων *ex Hipp. ab Aldo edd.* *post* ἐκείνου *add.* κακὸν δὲ κἢν μηδὲν ἀνακαθαίρηται μηδὲ προίῃ ὁ πνεύμων (πλεύμων *Hipp.*), ἀλλὰ πλήρηϲ ἐὼν ζέῃ ἐν τῷ (τῇ *Hipp.*) φάρυγγι *ex Hipp. ab Aldo edd.* 6 πρόϲθεν ἤδη περὶ *sed ipse transpos.* P 7 *post* μελάνων *inser.* δὲ P *post* ἰδίωϲ *inser.* τι PF: *eras.* V *post* εἰ *eras.* μὲν V μὴ RP: *add. in mrg.* V²: *om.* F 8 γὰρ VRPF: καὶ *Chartier* τούτου P τῶν αὐτῶν] τῶν αὐτοῦ P 10 περὶ κορύζηϲ καὶ κατάρρου καὶ πταρμοῦ *inscrib.* VRPF 11 *et* 12 νουϲήμαϲι *ex Hipp. ab Aldo edd.* κακὸν *post* ἐπιγενέϲθαι *colloc. cum Hipp. ab Aldo edd.* καὶ *om. Hipp.* 12 καὶ] ἢ *Hipp.* θανατώδεϲιν VRPF: θανατωδεϲτάτοιϲιν *ex Hipp. ab Aldo edd.* 13 λυϲιτελέεϲ VRPF: λυϲιτελοῦϲι *ex Hipp. ab Aldo edd.* 14 ἐκκρινόμενον VR: ἐκρινόμενον P: ἐκκενούμενον F 15 εἰώθαϲιν ὀνομάζειν R οἱ παλαιοὶ πάντεϲ VRPF: πάντεϲ οἱ παλαιοὶ *edd.* *post* καθάπερ *add.* καὶ P 18 γὰρ VRF: οὖν P 19 ἐπιγενόμεναι RF 20 ἔμπροϲθεν *om.* P μὲν αἴτια *add.* R: *omissa superscr.* V²: γοῦν αἴτια *superscr.* P²: μὲν (*omisso* αἴτια) *edd.*: *om.* F 21 δὴ RF: *expunx.* P: *om.* V ϲημεῖον P 22 μὲν *omissum superscr.* P² δηλοῦντα *corr. in* δηλοῦντι P² τινα *post* χαλεπήν *(p. 300, 1) colloc.* V

χαλεπὴν διάθεσιν, ἐφ᾽ ᾗ γέγονεν), ἄλλα δὲ πρὸς τούτοις εἶναι τρίτα |
181 κατ᾽ ἄμφω μοχθηρὰ καὶ ὡς σημεῖα καὶ ὡς αἴτια, σημεῖα μέν, ὅταν ὑπὸ χαλεπῶν γένηται διαθέσεων, αἴτια δέ, ὅταν αὐτὰ πάλιν ἑτέρας ἐργάζηται μοχθηρὰς διαθέσεις.

ἐπιγίνονται μὲν οὖν κατάρροι καὶ κόρυζαι τοῖς περὶ τὸν πνεύμονα νοσήμασι θερμοὺς ἀτμοὺς δεχομένης τῆς κεφαλῆς· ἀδικεῖται δ᾽ οὐχ ὑπὸ ἀμφοτέρων ὁ πνεύμων, ἀλλ᾽ ὑπὸ τῶν κατάρρων μόνων. ἔξω γὰρ ἐκκρίνεται τὸ διὰ τῶν ῥινῶν φερόμενον ἐν ταῖς κορύζαις· διὸ δὴ καὶ χείρους εἰσὶν οἱ κατάρροι τῶν κορυζῶν.

οὐκ οἶδ᾽ οὖν ὅπως ἐν τῷ προκειμένῳ λόγῳ παρελείφθησαν ὑπὸ τοῦ Ἱπποκράτους, εἰ μή τι ἄρα συνεπινοεῖν ἡμᾶς ἀξιοῖ ταῖς κορύζαις αὐτούς. ἴσως δὲ εὐθὺς ἐν ἀρχῇ πρὸς τοῦ βιβλιογράφου παρελείφθησαν· μυρία γὰρ ὁρῶ γινόμενα καὶ νῦν τοιαῦτα. κορύζας μὲν οὖν καὶ κατάρρους ἀεὶ χρὴ νομίζειν οὐκ ἀγαθὰ σημεῖα προγινομένους μὲν ὡς ἂν πληροῦντας τὸν πνεύμονα κακοχυμίας, προήκοντος δὲ τοῦ νοσήματος ἐπιφαινομένους ὡς ἂν τήν τε τοῦ πνεύμονος διάθεσιν ἐνδεικνυμένους μεγάλην ὑπ᾽ αὐτῆς τε τὴν κεφαλὴν βεβλάφθαι σημαίνοντας.

182 οἵ γε μὴν πταρμοὶ | ταῖς κορύζαις ἕπονται τὰ πολλά. καὶ μέντοι καὶ σείοντες σφοδρῶς ὅλον τὸν θώρακα λυμαίνονταί τι καὶ τὸν πνεύμονα, ἐν δὴ τοῖς ἄλλοις νοσήμασιν οὐ συνεισβάλλοντες οὐδέποτε, καθάπερ οὐδ᾽ ἄλλο οὐδὲν σύμπτωμα, προήκουσι δὲ ἐπιφαινόμενοι σωτηρίαν σημαίνουσι, κἂν θανατώδης, ὅσον ἐπὶ τοῖς ἄλλοις σημείοις, ἡ νόσος ὑπάρχῃ. πέψεώς τε γάρ εἰσι γνωρίσματα καὶ ῥώμης τῆς κατὰ τὸν ἐγκέφαλον ἀποκριτικῆς δυνάμεως, ὑφ᾽ ἧς εἰς τὴν ῥῖνα τῶν φυσωδῶν πνευμάτων ἐκκρινομένων ἅμα τισὶν ὑγρότησιν ἐνίοτε μὲν αἰσθηταῖς τε καὶ σαφέσιν, ἐνίοτε δὲ ἀμυδραῖς τε καὶ δυσοράτοις οἱ πταρμοὶ γίνονται.

1 δὲ VRF: *superscr.* P^2: καὶ P *post* τρίτα *add.* τὰ RF 3 γίνηται F 5 κάταρροι R 6 οὐχ ὑπὸ VR: οὐχ ὑπ᾽ F: *item sed* χ᾽ ὑπ᾽ *supra rasuram* P 7 μόνον F 8 ῥ////νῶν P 9 κορύζων P 10 παρελείφθησαν PF: *corr. ex* παρελήφθησαν V^1: παρελήφθησαν R 10. 11 ὑπὸ τοῦ VRP^2F: ὑφ᾽ (*omisso* τοῦ) P 11 τι VP: τοι R: *om.* F 12 εὐθὺς VR: *post* ἐν ἀρχῇ *colloc.* F: *om.* P βιβλιογράφου RF: βιβλογράφου (ογρά *corrosa suppl. man. 2*) V: βιβλιουράφου (*compendiose*) P παρελήφθησαν R 13 καὶ νῦν γινόμενα P κορύζας ... σημαίνοντας (*17*) *post* πνεύμονα (*19*) *colloc.* VPF κορύζας μὲν οὖν καὶ *om.* R *post* κατάρρους *add.* μὲν R 14 ἀγαθὰ σημεῖα VF: *corr. ex* ἀγαθὸν σημεῖον P^2: ἀγαθὸν σημεῖον R προγενομένους R 15 πληροῦντας *corr. ex* πληροῦνται P^2 τὸν πνεύμονα κακοχυμίας P: κακοχυμίας τὸν πνεύμονα VRF 16 *supra* ἐπιφαινομένους *scrips.* γενομένους P^2 τε *om.* F 17 τε *corr. ex* δὲ V^2 σημαίνοντας *corr. ex* σημαίνοντος P^2 18 *post* μὴν *superscr.* οἱ P^2 καὶ μέντοι VRF: *corr. ex* καὶ μὲν δὴ P^2: καὶ μὲν δὴ *edd.* 19 φοδρῶς (*sic*) R 20 δὴ *scripsi*: μέντοι VRPF συνεισβάλλοντες *corr. ex* συνεισβάλλονται P^2 22 ὑπάρχει RP 25 τίσιν *corr. ex* τῆσιν P

II 50 [14. II 146, 9 L.] Αἵματι δὲ cυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖcι περιπνευμονικοῖcι νοcήμαcιν ἐν ἀρχῇ μὲν τῆc νούcου πτυόμενον περιεcτικὸν κάρτα ὠφελέει. ἑβδομαίῳ δ᾽ ἐόντι ἢ παλαιοτέρῳ ἧccον ἀcφαλέc. |

Κοινὸc καὶ οὗτοc ὁ λόγοc ἐcτὶν ἐπὶ παcῶν φλεγμονῶν ἤδη πολ- 183
λάκιc ἡμῖν ἐν πολλοῖc εἰρημένοc ὡc τοῦ καταcκήψαντοc εἰc τὰ φλεγ-
μαίνοντα μόρια χυμοῦ διϊδροῦται τὸ λεπτότερον, ὅταν ἡ περιέχουcα
τὸ φλεγμαῖνον ἐπιφάνεια μὴ πυκνὴ τὴν φύcιν ὑπάρχῃ καθάπερ τουτὶ
τὸ ἐκτὸc δέρμα. καὶ διὰ τοῦτ᾽, ἐάν τε κατὰ τὸ cτόμα φλεγμονὴ γένη-
ταί τιc, ἐάν τε κατὰ τοὺc πόρουc τῆc ῥινὸc ἢ τοὺc ὀφθαλμούc, ἀπορ-
ρέουcιν αὐτῆc ὑγρότητεc λεπταί, παραπλήcιαι τοῖc ἐπὶ τῶν ἑλκῶν
ἰχῶρcιν. οὕτωc οὖν καὶ ὁ πνεύμων φλεγμήναc ἀποκρίνει τινὰc ὑγρό-
τηταc εἰc τὰc ἐντὸc ἑαυτοῦ χώραc κενάc (αἵ πέρ εἰcιν αἱ τῶν τρα-
χειῶν ἀρτηριῶν), αἵ τινεc ὑγρότητεc ὑπὸ τῶν βηχῶν ἀναφερόμεναι
πτύονται, τὰ γνωρίcματα φέρουcαι τοῦ τὴν περιπνευμονίαν ἐργαcα-
μένου ῥεύματοc (ἐκείνου γάρ εἰcιν οἷον ὀρρόc τιc). ἔcονται τοιγαροῦν,
ἐὰν μὲν χολώδηc ἱκανῶc ὁ χυμὸc ᾖ, ξανθαὶ μόνον, ἐὰν δὲ αἱματώδηc,
ἐρυθραί, ἐὰν δ᾽ ἐξ ἀμφοῖν μικτόc, ἐρυθραί θ᾽ ἅμα καὶ ξανθαί. αὗται
μὲν οὖν αἱ ὑγρότητεc ἀγαθαί, βραχὺ δ᾽ ἀπολείπονται αὐτῶν, καθ᾽ ἃc
ἀναπτύουcιν εἰλικρινὲc αἷμα καὶ τάχα τινὰ | καταπλήξεται τὸ cημεῖον, 184
ὥcπερ ὅταν ἕλκοc ἐν πνεύμονι γένηται ῥαγέντοc ἀγγείου (καὶ γὰρ
καὶ τότε πτύουcιν αἵματοc) ἀλλὰ τὸ κατά τιναc τῶν περιπνευμο-
νικῶν ἐπιφαινόμενον αἷμα παντελῶc ὀλίγον ὅμοιον γίνεται τῇ κατὰ

1 περὶ πτυέλου *inscrib.* VP²: περὶ αἵματοc ἐν πτυέλῳ R: περὶ πτυέλου αἵματι cυμμεμιγμένου F cυμμεμιγμένον V: ξυμμεμιγμένον P *Hipp.*: cυναναμεμιγμένον R: ἀναμεμιγμένον F 2 περιπλευμονικοῖcιν *Hipp.* νοcήμαcιν VRP: *om.* F *Hipp.* 3 μὲν *om.* F νούcου RF *Hipp.*: νόcου VP πτυόμενον τῆc νούcου, *sed transp. ipse* R περιεcτικὸν *recte Hipp. (cf. Cobet. Mnemosyne N. S. 13, 1885, 250 sq.)*: περιεcτηκὸc VPF: περιεcτηκὼc R; *cf. etiam infra p. 192, 11 et 193, 4* *ante* κάρτα *inser.* καὶ *ex Hipp. Chartier* ὠφελέει *om.* V 4 ἢ VRPF: καὶ *Hipp.* παλαιότερον *vel* παλαιοτέρου R ἧccον P *Hipp.*: ἧττον VRF 5 *post* κοινὸc *add.* εἷc F ἐπὶ *om.* F *post* παcῶν *superscr.* τῶν P² 6 εἰρημένοc ἐν πολλοῖc P 8 ὑπάρχει RP 9 καὶ *om.* F ἐάν τε VRF: ἄν τε P: ἐάν τε *superscr.* P² 9. 10 κατὰ τὸ cτόμα φλεγμονὴ γένηταί τιc ἐάν τε κατὰ τοὺc πόρουc τῆc ῥινὸc ἢ τοὺc ὀφθαλμούc VRF: κατὰ τοὺc πόρουc τῆc ῥινὸc ἢ τοὺc ὀφθαλμοὺc ἢ τὸ cτόμα φλεγμονὴ γένηταί τιc *edd.*: *item, sed transp. man. 2* P 9 κατὰ *omissum superscr.* P² 11 αὐτῆc *supra rasuram* V² ὑγρότητεc *corr. ex* ὑγρότηταιc P² ἐπὶ VRP²F: ἀπὸ P 13 εἰc τὰc ἐντὸc *omissa add. in mrg.* P² χώραc κενὰc VPF: κενὰc χώραc R 14 τινεc *superscr.* P² ὑγρότητεc VRF: *add. in mrg.* P²: *om. edd.* 15 ἐργαcαμένου VRF: *corr. ex* εἰργαcμένου P²: ἐργαζομένου *edd.* 16 οἷον *omissum superscr.* P² ἔcονται *eras.* V 17 ἱκανῶc VRPF: ἱκανὸc *edd.* ᾖ RP: *om.* VF: εἴη *edd.* 18 ἐὰν] εἰ P μικταί F 19 αἱ *om.* F 21 ἐν πνεύμονι γένηται F: ἐν πνεύμονι γίνεται *Aldus Basil.*: γίνηται (γένηται R) ἐν πνεύμονι VR γένηται *om.* P 22 αἵματοc VRP: αἷμα F *post* αἵματοc *addi iubet* πλῆθοc *Ermerins* *post* ἀλλὰ *add., sed ipse expunx.* καὶ P: *superscr.* V² 23 ὅμοιον VR: *corr. ex* ὁμοίωc P²: ὁμοίωc F γίνεται *bis scriptum del.* V

διαπήδηϲιν ὀνομαζομένῃ πρὸϲ τῶν ἰατρῶν αἵματοϲ πτύϲει. γίνεται γὰρ καὶ τοῦτο τὸ ϲύμπτωμα καταϲκήψαντοϲ μὲν αἵματοϲ εἰϲ τὸ ϲτόμα λεπτοῦ τὴν ϲύϲταϲιν, ἀραιῶν δὲ τῶν οὔλων ὑπαρχόντων, ὡϲ μὴ ϲτέγειν αὐτό.

καὶ μέντοι καὶ κατὰ τὴν φάρυγγα διὰ τὴν αὐτὴν αἰτίαν γίνεταί ποτε τοιαύτη τιϲ ἔκκριϲιϲ αἵματοϲ ὀρρώδουϲ. οὐδὲν οὖν ἄτοπόν ἐϲτιν οὐδέ, ὅταν ἐν τῷ πνεύμονι γένηταί τι τοιοῦτον. διαγνώϲῃ δ' αὐτὸ ῥᾳδίωϲ ἔκ τε τῆϲ ϲυϲτάϲεωϲ τοῦ αἵματοϲ καὶ αὐτοῦ τοῦ πλήθουϲ. οὔτε γὰρ παχὺ τὴν ϲύϲταϲίν ἐϲτι τὸ οὕτωϲ ἀναπτυόμενον οὔτε πολύ. χρὴ δὲ μὴ παραμένειν τὸ ϲύμπτωμα μέχρι τῆϲ ἑβδόμηϲ ἡμέραϲ, ἀλλὰ μάλιϲτα μὲν ἐντὸϲ τῆϲ πρώτηϲ τετράδοϲ ἀλλοιωθῆναι πεττόμενον, εἰ δὲ μή, ἀλλὰ πάντωϲ γε πρὸ τῆϲ ἑβδόμηϲ. εἰ δὲ διαμένει τοιοῦτον οἷον ἐξ ἀρχῆϲ ἦν, εὔδηλον ὡϲ εἰϲ χρόνον πλείονα δηλοῖ τὸ νόϲημα προήξειν. |
185 ὅπου γὰρ οὐδέπω μέχρι τῆϲ ἑβδόμηϲ ἤρξατο πέττεϲθαι, χρονιωτάτην ἔϲεϲθαι δηλοῖ τὴν τελείαν πέψιν. ἐν δὲ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν καὶ τῶν ἄλλων ἀτόπων εἴωθε ϲυμπίπτειν, ὅϲα διά τε τὸν κάμνοντα καὶ τοὺϲ ὑπηρετουμένουϲ αὐτῷ τά τ' ἄλλωϲ ἔξωθεν ἀδοκήτωϲ γινόμενα ϲυμβαίνει.

καὶ μέντοι καὶ διὰ τὸν ἰατρὸν αὐτὸν ἐνίοτε, κἂν τούτων μηδὲν γένηται, κίνδυνόϲ ἐϲτι πρὸ τοῦ πεφθῆναι τὸ νόϲημα καταλυθῆναι τὴν δύναμιν. διὰ τοῦτ' οὖν ἧϲϲον ἀϲφαλὲϲ εἶναί φηϲι διαμένειν τὰ τοιαῦτα πτύϲματα μέχρι πλειόνων ἡμερῶν.

21 φηϲι] *14 (II 146, 12 L.); cf. supra p. 301, 4*

1 διαπήδηϲιν VF: διαπίδηϲιν (ί *in ras.*) P: διαπύ/////ν (*voleb.* διαπύηϲιν) R τῶν *corr. ex* τὸν P πτύϲειν (ειν *in ras.*) P γὰρ *omissum superscr.* P² 3 οὔλων VRP: ὅλων F 5 καὶ *(prius)* VRF: *superscr.* P²: τὸ P καὶ *(alt.)* VRF: *omissum add. in mrg.* P²: *om. edd.* διὰ τὴν αὐτὴν αἰτίαν VRP²F: δι' αἰτίαν τὴν αὐτὴν P 6 τιϲ *om. Aldus Basil.* τοῦ αἵματοϲ τοιαύτη τιϲ *(superscr. man. 2)* ἔκκριϲιϲ *sed transp. man. 2* P τοῦ *ante* αἵματοϲ *add.* P: *item sed eras.* V ὀρρώδουϲ RF: *corr. ex* ὀρρώδηϲ V²: ὀρρώδηϲ P οὐδὲν VRPF: οὐδὲ *edd.* 7 οὐδὲ VRPF: οὐδὲν *edd.* διαγνώϲῃ VRPF: διαγνώϲειϲ *Aldus Basil.* αὐτὸ *corr. ex* αὐτή V¹ 10 ϲύμπωμα *(sic)* V ἑβδόμηϲ VRP²F: ἑβδομάδοϲ P 11 μὲν VRF: *superscr.* P²: *om. edd.* ἐντὸϲ *om.* R 12 ἑβδόμηϲ VRP²F: ἑβδομάδοϲ P διαμένοι VF τοιοῦτον *falso bis scriptum del.* V 13 πλείονα P: πλέονα VRF 14 οὐδέπω RF: *ex corr.* P: οὐδὲ *(ex corr.)* V ἑβδόμηϲ *corr. ex* ἑβδομάδοϲ P² 15 ἔϲεϲθαι *omissum add. post* δηλοῖ *in mrg.* P² τελείαν VRP: τελευταίαν F 16 καὶ *omissum superscr.* P² διά τε VRP²F: τε διὰ P 17 ὑπηρετουμένουϲ VRPF: ὑπηρετοῦνταϲ *edd.* 18 ϲυμβένει P 19 αὐτὸν *corr. ex* αὐτῶν R¹ ἐνίοτε *omissum superscr.* P² τούτων VF: *omissum superscr.* P²: τοῦτο R *post* τούτων *perperam add.* δὲ RF: *superscr.* P²: *del.* V 20 γίνηται P *post* γίνηται *add. sed ipse expunx.* τοιοῦτον P πεμφθῆναι P 21 καὶ *ante* διὰ *inser. edd.* τοῦτ' οὖν *corr. ex* τοῦτο P² οὖν *om. Aldus* ἧϲϲον VR: ἧττον P: οὐκ F *ante* εἶναι *add.* τοῦτο *Aldus* εἶναι VRP²F: δοκεῖ P: *om. a Basil. edd.*

II 51 [14. II 146, 12 L.] Πάντα δὲ τὰ πτύελα πονηρά ἐστιν, ὁκόςα ἂν τὴν ὀδύνην μὴ παύῃ, κάκιςτα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. τὰ δὲ παύοντα τὴν ὀδύνην πάντα ἀμείνω ἀναπτυόμενα.

Κοινὸς καὶ οὗτος ὁ λόγος ἐπὶ πάντων ἐςτὶ τῶν ἐκκρινομένων ἐκ τοῦ ςώματος, ὑπὲρ οὗ καὶ κατ᾽ ἄλλα βιβλία | καὶ κατὰ τοὺς Ἀφοριςμοὺς 186 εἶπεν αὐτός, ὡς τὴν εὐφορίαν μάλιςτα θεάςαςθαι χρή. πολλάκις γὰρ ἡ φύςις ἴςχυςε νικήςαςα μοχθηρὰν διάθεςιν ἐκκαθᾶραι τὸ ςῶμα κἀν τούτῳ καταπλήττονται πολλοὶ θεώμενοι τὴν κακίαν τῶν ἐκκρινομένων οὐκ εἰδότες, εἴτε ςυμπτώματος λόγῳ γίνεται τὸ τοιοῦτον εἴτε τῆς φύςεως ὠθούςης ἔξω τὰ μοχθηρά.

κατὰ μὲν οὖν τοὺς Ἀφοριςμοὺς τὴν τῆς εὐφορίας προςηγορίαν ἔγραψε μόνην, ἐνταυθοῖ δὲ τὴν ἀνωδυνίαν ἐνεδείξατο, δι᾽ ἣν ἐπαινεῖ τὰ παύοντα τὴν ὀδύνην πτύςματα, μετ᾽ ὀλίγον δὲ πάνθ᾽ ἑξῆς ἐρεῖ τὰ γνωρίςματα τῶν ἐπὶ τὸ βέλτιον ἰόντων νοςημάτων, ἃ τῷ τῆς εὐφορίας ὀνόματι περιέλαβε. καὶ μέντοι καὶ κατωτέρω κελεύει τῶν εἰρημένων ὑπ᾽ αὐτοῦ ςημείων ἁπάντων ἀκριβῶς ἐξητακέναι τὰς δυνάμεις, ὅπως ἀλλήλοις αὐτὰ παραβάλλων τις ἱκανὸς ᾖ ςτοχάζεςθαι τοῦ μεγέθους τῆς ἐπὶ τὸ χεῖρόν τε καὶ βέλτιον ὅλου τοῦ νοςήματος ῥοπῆς, οἷόν περ κἀν τῷδε τῷ λόγῳ τῷ νῦν ἡμῖν προκειμένῳ πεποίηκεν αὐτός· εἰ γὰρ ἐπὶ τοῖς πτυέλοις αἱ ὀδύναι μένοιεν, οὐκ ἀγαθὸν τὸ ςημεῖον.

οὐ | μὴν ἀρκέςει γέ ςοι μόνον τοῦτο γνῶναι πρὸς ἀκριβῆ τοῦ 187 μέλλοντος ἔςεςθαι πρόγνωςιν, ἀλλὰ θεάςαςθαι χρὴ καὶ τὰ ἄλλα ςυμπτώματα. τοῦτο γὰρ ἐνεδείξατο τῶν μελάνων πτυςμάτων μνημο-

6 κατ᾽ ἄλλα βιβλία] *e. g. Epid. V 182, 7 sq. L.* κατὰ τοὺς Ἀφοριςμοὺς] *I 2 (IV 458, 7 sqq. L.)* 14 ἐρεῖ] *15 (II 146, 16 sqq. L.)* 16 κατωτέρω κελεύει] *25 (II 188, 9 sq. L.); cf. infra p. 367, 4 sq.* 24 μνημονεύςας] *14 (II 146, 14 L.); supra v. 2*

1 τὰ *om. Hipp.* 2 ἂν P *Hipp.*: *om.* VRF ὀδύνην *in ras.* V παύῃ P *Hipp.*: παύει VF: παύςει R 3 δὲ *post* παύοντα *colloc. ab Aldo edd.* τὴν VRPF: *om. Hipp.* πάντα VRPF: πάντων *ex Hipp. ab Aldo edd.* ἀμείνω *omissum ante* πάντα *superscr.* P² 5 περὶ τῶν μὴ παυόντων τὴν ὀδύνην πτυέλων καὶ περὶ μελάνων *inscrib. in mrg.* R κοινός *corr. ex* κοινόν P¹ ἐπὶ πάντων ἐςτὶ VRP²: ἐςτὶν ἐπὶ πάντων PF ἐκ R: *om.* VPF 6 κατ᾽ ἄλλα VRF: κατὰ τὰ ἄλλα P 7 θεάςαςθαι *corr. in* θεᾶςθαι V 8 ἡ φύςις ἴςχυςε νικήςαςα VRF: ἴςχυςεν ἡ φύςις νικήςαςα *edd.*: ἡ φύςις νικήςαςα ἴςχυςε P² *ante* μοχθηρὰν *add.* τὴν *edd.* ἐκκαθᾶραι RP: ἐκκαθῆραι VF 10 οἰδότες R λόγω *corr. ex* λόγου P¹ γίνεται RPF: γίγνεται V: γίγνεςθαι *Aldus* τῆς *omissum superscr.* V² 12 οὖν *om.* P 13 ἐνταυθοῖ VF: *corr. ex* ἐνταῦθα P²: ἐνταῦθα R ἐνεδείξατο *corr. ex* ἐπεδείξατο P² ἣν *recte edd.*: ὧν VRPF 16 ὀνόματι *corr. ex* ὀνόματα P² 18 τις *ex corr.* P ἱκανῶς P ᾖ VRF: εἴη P τοῦ μεγέθους V²: *corr. in* τῷ μεγέθει P²: τῷ μεγέθει VR: τὸ μέγεθος F: ἐκ τοῦ μεγέθους *Aldus* 19 τε *om.* VF νοςήματος VRF: ςώματος P ῥοπῆς *om.* F 20 περ *incertum* F 21 πτυάλοις F μένοιεν VRPF: μὴ λύονται *edd.* *post* οὐκ *add.* εἰς F 22 τοῦτο μόνον γνῶναι P² 24 τῶν *corr. ex* τῆς P² πτυςμάτων *om.* P

νεύcαc. ὄντοc γοῦν κοινοῦ cημείου τοῦ μὴ παύεcθαι τὴν ὀδύνην, εἰ μὲν ὠχρὸν εἴη τὸ ἐπτυcμένον ἢ ἐρυθρόν, ἧττόν ἐcτι κινδυνῶδεc, εἰ δὲ μέλαν, ὀλεθριώτατον, ὥcτε ἅπαντα ἐπιcκεψάμενοc, οὐ μόνον τὰ εἰρημένα, κεφάλαιον ἓν ἐξ αὐτῶν ἀθροίcειc ἀκριβοῦc προγνώcεωc. καὶ αὐτὸc δὲ ἐφεξῆc ὁ Ἱπποκράτηc ἁπάντων τῶν ἀγαθῶν τε καὶ κακῶν cημείων ἔγραψε κατάλογον ἀναμιμνήcκων τῶν προειρημένων.

II 52 [15. II 146, 16 L.] Ὁκόcα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύεται μήτε πρὸc τὴν τῶν πτυέλων κάθαρcιν μήτε πρὸc τὴν τῆc κοιλίηc ἐκκόπρωcιν μήτε πρὸc τὰc φλεβοτομίαc τε καὶ φαρμακείαc καὶ διαίταc, εἰδέναι δεῖ ἐκπυήcοντα. |

188 Ὅcα τῶν ἀλγημάτων ἐκ τῶν κατὰ θώρακα καὶ πνεύμονα χωρίων οὐ παύεται πρὸc τὰ βοηθήματα, καὶ τοῦτ' ἔχει μόνον ἄτοπον οὐδενὸc ὀλεθρίου cυνόντοc ἑτέρου γνωρίcματοc ἐκπυήcειν αὐτὰ προcδοκᾶν· μέcα γάρ πώc ἐcτι ταῦτα τῶν τε λυομένων ἐν τάχει καὶ τῶν ἀνιάτων.

II 53 [15. II 148, 3 L.] Τῶν δὲ ἐμπυημάτων ὅcα μὲν ἔτι χολώδεοc ἐόντοc τοῦ πτυέλου ἐκπυΐcκεται ὀλέθρια κάρτα εἴτ' ἐν μέρει τὸ χολῶδεc τῷ πύῳ ἀναπτύοιτο εἴθ' ὁμοῦ.

Τῶν ἐν τοῖc φανεροῖc μέρεcι τοῦ cώματοc ἐκπυϊcκόντων ὅcα τοιαῦτ' ἐcτίν, ὡc ἐν μέρει μέν τινι πῦον ἔχειν, ἐν μέρει δ' εἶναι τὸ λοι-

6 ἔγραψε] *15 II (148, 5 sqq. L.); cf. infra p. 305, 7 sqq.* 16 τῶν δ' ἐμπυημάτων κτλ.] *cf. infra p. 370, 7 sqq.*

1 *ante* κοινοῦ *superscr.* τοῦ P^2: *add. edd.* παύεcθαι *corr ex* πάβεcθαι P^2 2 ἐπτυcμένον P: ἐπτυcμένων R: πτυόμενον VF: ἐκπτυόμενον *edd.* ἧττον VRF: ἧccον P 3 μόνον VR: *corr. ex* μόνα P^2: μόνα F 4 εἰρημένα VRF: προειρημένα P κεφάλαιον *corr. ex* κεφάλαια P^2 ἀθροίcειc VP: ἀθροίcηc R: ἀθροιcθείcηc F προγνώcεωc VRP: διαγνώcεωc F 5 τε *omissum superscr.* P^2
7 περὶ τῶν εἰc ἐκπύηcιν τρεπομένων παθῶν R *in mrg.* 8 παύεται V: πάβεται *corr. ex* παύεται P^2: παύηται RF *(ut Hipp.)* τὴν . . . κάθαρcιν *(9)* VRPF: τὰc . . . καθάρcιαc *ex Hipp. ab Aldo edd.* πτυέλων V *Hipp.*: πτυάλων F: πτυcμάτων RP 9 τῆc *superscr.* P^1 κοιλίηc VF: κοιλίαc R: κοιλίαν P
10 τε *superscr.* P^2 *post* καὶ *add.* τὰc VF φαρμακείαc καὶ διαίταc P *Hipp.*: διαίταc καὶ φαρμακείαc VRF 11 ἐκπυήcαντα F 12 θώρακα *corr. ex* θώρακοc P^2 πνεύμονα *corr. ex* πνεύμονοc P^2 13 παύεται VRF: *corr. ex* παύονται P^2: παύονται *edd.* 14 ἐκπυήcειν VRF: ἐποιήcειν *corr. ex* ἐκποιῆcαι P^2 15 τε λυομένων *corr. ex* τελουμένων P^2 16 περὶ τῶν ἔτι χολώδουc ὄντοc τοῦ πτυέλου ἐμπυημάτων *inscrib.* R *in mrg.*: περὶ ἐμπυημάτων F *in mrg.* ὅcα VRF: *corr. ex* ὁκόcα P^2: ὁκόcα *ex Hipp. ab Aldo edd.*
17 ὄντοc P ἐμπυημάτων VRF *(ut Gal. infra p. 370, 7)*: *corr. in* ἐκπυημάτων P^2: ἐκπυημάτων *ex Hipp. Aldus* πτυάλου F εἴτ' VRPF: ἤν τε *ex Hipp. ab Aldo edd.* 18 πύῳ R *Hipp.*: *corr. ex* πτυέλῳ P^2: πτυέλῳ VF ἀναπτύοιτο VRPF: ἀναπτύηται *ab Aldo edd.* εἴθ' VRPF: ἤν τε *ex Hipp. ab Aldo edd.* 20 τινὶ *corr. ex* τι P^2 *post* ἔχειν *add.* ἄπεπτόν τε (εἶναι *add.* F) καὶ λεπτόν P^2 *in mrg.* F εἶναι τὸ λοιπόν VRP: οὔ F *post* λοιπόν *inser.* ἄπεπτον καὶ λεπτόν *Chartier*

πόν, οὐδὲν εὐΐατόν ἐστιν. εἰ δὲ καὶ πρὸς τῷ μηδέπω πῦον ἔχειν ἔτι καὶ κακόηθές τι σημεῖον αὐτοῖς συνείη, πολὺ μᾶλλόν ἐστι μοχθηρά. τούτων δ' ἔτι πολὺ μᾶλλον ὑποληπτέον εἶναι μοχθηρὰ τὰ κατὰ τοὺς κυρίους τόπους γινόμενα. δηλοῦται | γὰρ ἀγριώτατός τις ὢν ὁ λυπῶν 189 χυμός, ὅπου τῆς φύσεως ἐνδειξαμένης ὅπως ἔχει τῆς εἰς τὸ πέττειν παρασκευῆς, οὐδὲν ὅλως εἶξεν αὐτῇ.

II 54 [15. II 148, 6 L.] Μάλιστα δέ, ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου ἑβδομαίου ἐόντος τοῦ νοσήματος.

Καὶ τοῦτο κοινὸν ἁπάντων ἐστὶ τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γινομένων. εἰς γὰρ τὸ βέβαιον τῆς προγνώσεως ἡ κρίσιμος συντελεῖ, πότερον δ' ἀγαθόν ἐστιν ἢ κακὸν τὸ γινόμενον, ἐξ ἄλλων τεκμηρίων ἡ διάγνωσις. καὶ γὰρ ἐάν θ' ἱδρὼς γένηται κατὰ τὴν ἑβδόμην ἡμέραν, ἐάν τε διαχώρησις γαστρός, ἐάν θ' αἱμορραγία, βελτίονα μὲν ἐργασάμενα τὸν κάμνοντα τῶν ἀγαθῶν ἐστι σημείων, χείρονα δὲ τῶν κακῶν. καὶ πιστῶς γε δηλοῖ τούτων ἑκάτερον, οὐχ ὡς εἰ κατ' ἄλλην ἡμέραν ἐγένετο. γέγραπται δέ μοι περὶ | τούτων ἐπὶ πλεῖστον ἔν τε τοῖς Περὶ 190 κρισίμων ἡμερῶν καὶ τοῖς Περὶ κρίσεων, ἐν οἷς χρὴ προγεγυμνάσθαι τὸν βουλόμενον ἀκριβῶς παρακολουθῆσαι τοῖς ὑφ' Ἱπποκράτους λεγομένοις.

II 55 [15. II 148, 7 L.] Ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι ἐπιγένηται αὐτῷ ἀγαθόν.

Ἔργῳ τὴν τούτων ἀλήθειαν μεμαθήκατε προλέγοντος ἐμοῦ πειραθέντες, ὥστε προσέχειν ὑμᾶς χρὴ τὸν νοῦν τοῖς λεγομένοις ὑφ' Ἱπποκράτους, μὴ τοιαῦτα νομίζοντας αὐτὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὁποῖα

17. 18 ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν] *IX 769—941 K. passim* 18 τοῖς Περὶ κρίσεων] *IX 550—768 K. passim*

1 *post* μηδέπω *inser.* τὸ P 2 καὶ *om.* V 3 δ' ἔτι VRF: τι *superscr.* P²: δὲ *edd.* πολὺ *om.* F 4 ἀγριώτατος *corr. ex* ἀγριώτατα P² 5 ὅπου] οὔπω F 6 *post* παρασκευῆς *perperam add.* ἧς F αὐτῇ VRPF: αὐτῆς *edd.* 8 ἀπὸ τουτέου τοῦ πτυέλου RF *Hipp.*: *om.* VP ἐόντος *corr. ex* ὄντος P² 9 νοσήματος VRPF: νουσήματος *ex Hipp. a Basil. edd.* *post* νουσήματος *add.* ἢ παλαιοτέρου *Chartier* 12 ἐστιν *post* κακὸν *colloc.* VRF 13 καὶ γὰρ ἐάν θ' P: ἐάν τε γὰρ *edd.*: ἐάν τ' οὖν VR: ἐάν τε F 15 χείρονα VRF: χείρω P 16 τούτοις V εἰ] ἡ P 18 *ante* κρισίμων *et* κρίσεων *add. sed ipse del.* τῶν P 19 ἀκριβῶς V²RPF: ἀκολούθως V 21 τὸν *omissum superscr.* V² τὰ *om. Chartier* 22 τετταρεσκαιδεκαταῖον F ἐπιγένηται αὐτῷ VR: ἐγγένηται αὐτῷ F: αὐτέῳ ἐπιγένηται P *Hipp.* 24 τὴν *corr. ex* τὸν V¹ προλέγοντα P 25 ὑμᾶς *corr. ex* ἡμᾶς R¹ 26 ταῖς *corr. ex* τοῖς P

τοῖϲ πολλοῖϲ τῶν ἰατρῶν γέγραπται μέχρι γραμμάτων καὶ λόγων τὸ πιθανὸν ἔχοντα, τοῖϲ δ' ἐπὶ τῶν νοϲούντων ἔργοιϲ ἐξελεγχόμενα. πρὸϲ γάρτοι τὸν εἰρημένον ὑπ' αὐτοῦ ϲκοπὸν ὄντα μέϲον ἁπάντων τῶν ἄλλων ἀγαθῶν τε καὶ κακῶν ἀποβλέπων δυνήϲῃ προλέγειν τὴν ἡμέραν, ἐν ᾗ τεθνήξεταί τιϲ.

191 ὑποκείϲθω γὰρ ὁ κάμνων | ἑβδομαῖοϲ ἐπτυκὼϲ τὸ πυῶδεϲ, οὐ μὴν μόνον οὐδὲ δι' ὅληϲ τῆϲ ἡμέραϲ ἐφεξῆϲ, ἀλλ' ἤτοι ϲὺν αὐτῷ τὸ χολῶδεϲ ἢ μόνον ἐφεξῆϲ ἐκεῖνο χωρὶϲ τοῦ πυώδουϲ. ἔϲτω δ' αὐτῷ καὶ τἄλλα πάντα μέϲα ἀπό τε τῆϲ ἡλικίαϲ καὶ τῆϲ φύϲεωϲ καὶ τῆϲ ὥραϲ καὶ τῆϲ χώραϲ καὶ τῆϲ οἰκείαϲ δυνάμεωϲ, ὡϲ μήτ' ἰϲχυροτάτην εἶναι τὴν δύναμιν μήτ' ἀϲθενεϲτάτην, ὡϲαύτωϲ δὲ καὶ τὴν κρᾶϲιν αὐτοῦ τοῦ κάμνοντοϲ μήτε τὴν εὐκρατοτάτην εἶναι μήτε τὴν δυϲκρατοτάτην. οὕτω δὲ καὶ ὥραν καὶ χώραν καὶ κατάϲταϲιν καὶ ἡλικίαν τοῦ κάμνοντοϲ ἐν τῷ μέϲῳ τετάχθαι τῶν ἀρίϲτων τε καὶ χειρίϲτων ὑποθώμεθα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἑκάϲτου γένουϲ ϲημείων ὑπάρχειν ὑποκείϲθω τῷ κάμνοντι τὰ μέϲα. τοῦτον ἔλπιζε τεθνήξεϲθαι τεϲϲαρεϲκαιδεκαταῖον ὡϲ ταύτηϲ μέϲηϲ οὔϲηϲ προθεϲμίαϲ τοῦ θανάτου. προϲγενομένων δὲ ϲημείων ἀγαθῶν μὲν ἐπὶ πλείονα χρόνον ἐκταθήϲεϲθαι τὴν προθεϲμίαν τοῦ θανάτου, κακῶν δὲ θᾶττον ἢ τεϲϲαρεϲκαιδεκαταῖον τεθνήξεϲθαι.

τίνα δέ ἐϲτι τὰ ἀγαθὰ καὶ τίνα τὰ κακά, διῆλθεν αὐτὸϲ ἐφεξῆϲ τὰ μὲν ὀνομαϲτί, τὰ δὲ ἐπὶ κεφαλαίων. ἀλλὰ ϲύ γε μηδὲ περὶ τούτων
192 ἀκούϲῃϲ ἁπλῶϲ ὡϲ ὁμοτίμων | ἁπάντων, ἀλλ' ἀναμνηϲθεὶϲ ὧν τε αὐτὸϲ ἔγραψε καὶ ὧν ἡμεῖϲ προϲεθήκαμεν, εἴϲ τε τὸν ἀριθμὸν αὐτῶν ἀπόβλεπε καὶ τὴν δύναμιν, ὅπου μὲν αὐτὸϲ εἶπε 'ϲωτήριον κάρτα' καὶ 'ὀλέθριον κάρτα' τῆϲ πρώτηϲ τοῦτο δυνάμεωϲ τιθεὶϲ τὸ μὲν ἐν τοῖϲ ἀγαθοῖϲ, τὸ δὲ ἐν τοῖϲ κακοῖϲ. ὡϲαύτωϲ δὲ καὶ ὅπου τὸν θάνατον 'ὑπόγυον' ἔφηϲεν 'ὑπάρχειν' ἢ 'θανατωδέϲτατα' προϲέγραψεν, οὐχ ἁπλῶϲ εἶπε

20 διῆλθεν . . . ἐφεξῆϲ] *15 (II 148, 9 usque ad 150, 21 L.)* 24 εἶπε] *12 (II 140, 6 L.) et 15 (II 148, 4 L.)* 27 ἔφηϲεν] *cf. Epidem. VII 52 (V 420, 21 L.) et supra p. 226, 13* προϲέγραψεν] *cf. supra p. 299, 12*

2 νοϲούντων VRPF: νούϲων *edd.* ἐξελεγχόμενα VRP²F: ἐλεγχόμενα P 3 τῶν εἰρημένων P 3. 4 ἁπάντων τῶν ἄλλων PF: τῶν ἄλλων ἁπάντων V, *item sed ipse transp.* R 4 ἀγαθῶν τε καὶ κακῶν VRF: κακῶν τε καὶ ἀγαθῶν P 6 οὐ . . . χολῶδεϲ *(7) omissa add. in mrg.* V¹ μὴν *ex corr.* P 7 ὅληϲ τῆϲ ἡμέραϲ *corr. ex* ὁλημέραν P² τῆϲ RP²F: *seclusisse videtur* V: *om. edd.* 8 ἐφεξῆϲ VRF: *omissum add. in mrg.* P²: *om. edd.* ἐκείνῳ F 9 ἅπαντα F μέϲωϲ F 10 ὡϲ PF: *superscr.* V²: *om.* R 11 κρᾶϲιν VRP: φύϲιν F 13 καὶ χώραν P: *om.* VRF 14 τε////τάχθαι P ὑπεθέμεθα F δὲ *om.* F 16 *et* 19 τεϲϲαρεϲκαιδεκαταῖον *corr. ex* τεϲϲαρεϲκαιδεκταῖον P² 17 προϲγενομένων *corr. ex* προγενομένων P² 18 πλείονα VRF: πλέονα P 20 τίνα *(alt.) omissum superscr.* P² διῆλθεν VR: διῆλθον F: διῆλ (θ superscr.) *ambigue* P 21 γε *omissum superscr.* P² μηδὲ VRP: μηδὲν F 22 ἀκούϲειϲ P ἁπλῶϲ VRF: *omissum superscr.* P²: *om. Aldus* τε VRP: *om.* F 23 αὐτῶν VRPF: αὐτὸν *edd.* 25 τοῦτο *om.* F 27 ἔφηϲεν ὑπόγυον F ἢ RP: *omissum add.* V²: *om.* F θανατωδέϲτατα VR: θανατωδέϲτατον PF

ʽθανατώδηʼ. καὶ μὲν δὴ κἀπὶ τῶν ὑγιεινῶν ϲημείων ὅταν εἴπῃ ʽμεγάλην δύναμιν ἔχειν ἐϲ ϲωτηρίηνʼ καὶ πάλιν ʽἀϲφάλειάν τε γὰρ ϲημαίνειʼ καὶ ʽτὸ νόϲημα ὀλιγοχρόνιονʼ ἤ τι τοιοῦτο προϲέθηκε. τὰ δὲ ἁπλῶϲ θανατώδη καὶ πάλιν ἁπλῶϲ ʽπεριεϲτικὰʼ καλούμενα μέϲηϲ ἐϲτὶ τάξεωϲ ἀμφότερα κατὰ τὴν ἑαυτῶν φύϲιν. ἐφʼ ἑκάτερα δὲ τούτων ὅϲα παραβλητικῶϲ εἶπεν ἤτοι θανατωδέϲτερα ἢ περιεϲτικώτερα ἢ τὸ μᾶλλόν τε καὶ ἧττον ἑκατέροιϲ προϲέθηκεν. ἐὰν μὲν γὰρ ἐπιφανῇ τι τοῖϲ κατὰ τὴν ἑβδόμην ἡμέραν εἰρημένοιϲ ὀλεθρίοιϲ πτύϲμαϲι τῶν τῆϲ πρώτηϲ τάξεωϲ κακῶν ϲημείων, οὐκ ἂν οὐδʼ εἰϲ τὴν ἑνδεκάτην ἡμέραν ὁ κάμνων ἐξίκοιτο καὶ μᾶλλον | ἐὰν ἑνὸϲ πλείω γένηται ταῦτα. κατὰ 193 δὲ τὸν αὐτὸν τρόπον, ἐὰν τῶν ἱκανῶϲ ἀγαθῶν ἐπιφανῇ τινα, μέχρι τῆϲ τρίτηϲ ἑβδομάδοϲ ἐκταθήϲεται τὸ νόϲημα, μιχθέντων δὲ ἀλλήλοιϲ ὀλεθρίων τε καὶ περιεϲτικῶν ἢ τῶν μᾶλλον ἐν ἑκατέρῳ τῷ γένει τοῖϲ ἧττον ἢ ὁπωϲοῦν ἄλλωϲ· ἐπὶ μὲν τοῖϲ πλείοϲί τε καὶ ἰϲχυροτάτοιϲ ἀγαθοῖϲ ϲημείοιϲ ἐλπὶϲ τὸν κάμνοντα πλείονα ζήϲεϲθαι χρόνον, ἐπὶ δὲ τοῖϲ ἐναντίοιϲ ἐλάττονα· κατὰ ταῦτα δὲ κἂν ἤτοι γέρων ἢ ἀϲθενὴϲ τὴν δύναμιν ἢ ἐν ὥρᾳ καὶ χώρᾳ καὶ καταϲτάϲει μοχθηρᾷ καὶ δυϲκράτῳ νοϲῇ τιϲ, ἐπιταθήϲεϲθαι τοῦ θανάτου τὸ τάχοϲ προϲδοκᾶν, μεγίϲτην πάλιν ἰϲχὺν ἐν τούτοιϲ ἔχειν ἡγούμενοϲ τὸν ἀπὸ τῆϲ δυνάμεωϲ ϲκοπόν.

II 56 [15. II 148, 9 L.] Ἔϲτι δὲ τὰ μὲν ἀγαθὰ τοιαῦτα. |

Ἐντεῦθεν ἄρχεται τοῦ καταλόγου τῶν ἀγαθῶν τε καὶ κακῶν ϲη- 195 μείων, ὑπὲρ ὧν ἔμπροϲθεν εἴρηται. καὶ διὰ τοῦθʼ ὑπερβὰϲ αὐτὰ τὰ ἑξῆϲ προχειριοῦμαι.

1 εἴπῃ] *cf. e. g. supra p. 239, 8 sq.; 279, 21 sq.*

1 θανατώδη VR: *corr. ex* θανατῶδεϲ P^2: θανατῶδεϲ F   ὑγιεινῶν *deleto superscr.* ἀγαθῶν V^2 2 ἐϲ VRF: εἰϲ P   ϲωτηρίαν P: *superscr.* η *man. 2*   καὶ RP: *superscr.* V^2: *om.* F   3 ἢ *eras.* V   προϲέθηκε *corr. ex* προϲέθηκα P^2 4 περιεϲτικὰ VF (*cf. supra p. 268, 14*): περιεϲτηκὰ P: περιεϲτηκότα R   καλούμενα VRF: λεγόμενα P   5 τούτων *omissum superscr.* P^2 6 παραβλητικῶϲ *corr. ex* παρακλητικῶϲ P^2 περιεϲτικότερα V: *corr. in* περιεϲτηκότερα P^2: περιεϲτηκότερα F: περιεϲτηκότα R   7 γὰρ *omissum superscr.* V^2 8 *ante* ἑβδόμην *inser.* πέμπτην ἢ *edd.*   πτύϲμαϲι *corr. ex* πτύϲματα P^2 13 περιεϲτικῶν *corr. ex* περιεϲτηκῶν F: περιεϲτηκότων R, *corr. ex* περιεϲτηκῶν P^2: περιεϲτῆκ῀ (*sic*) V   ἐν *om.* R   ἑκατέρῳ VRF: ἑτέρῳ P   τῷ *om.* P   14 τοῖϲ VRP: τῶν F   ἰϲχυροτάτοιϲ (οιϲ *in ras.*) P   15 ἐλπὶϲ VRF: ἐλπίϲον P   16 κατὰ VRP: καὶ F   17 καταϲτάϲει *corr. ex* καταϲτάϲη P^2 18 νοϲεῖ R   *post* τιϲ *add.* νοϲήμαϲιν F   τοῦ θανάτου *falso repetitum del.* P   προϲδοκᾶν VRPF: προϲδόκα V^2 *in mrg.*   19 πάλιν (λιν *in ras.*) P   ἰϲχὺν ἐν τούτοιϲ ἔχειν R: ἐν τούτοιϲ ἰϲχὺν ἔχειν VF: ἐν τούτοιϲ ἔχειν ἰϲχὴν P: ἔχειν ἐν τούτοιϲ ἰϲχὺν *ab Aldo edd.*   ἡγούμενον R   20 δὲ *in ras.* P   τοιαῦτα VRPF: τάδε *ex Hipp. ab Aldo edd.*   *post* τάδε *addunt totum indicem malorum vel bonorum signorum (II 148, 9 L.* εὐπετέωϲ φέρειν τὸ νούϲημα κτλ. *usque ad p. 150, 21 L.) ab Aldo edd. Quae cum Galenus ipse (infra v. 22) se non enarravisse dicat, ex Hippocratis codice interpolata esse certum est*   21 *post* ἐντεῦθεν *eras.* δʼ V   καταλόγου *corr. ex* κατάλογον VP^2 *post* κακῶν *perperam add.* τὲ V   22 τὰ VRP: τῶν F   23 προχειριοῦμεν R

πρὸς μὲν δὴ τὸ περιγενέϲθαι πάντων δεῖ παρόντων ἀγαθῶν, πρὸς δὲ τὴν ἀπώλειαν ἀρκεῖ καὶ ἓν παρεῖναι τῶν κακῶν, μόνου τοῦ θᾶττον καὶ βράδιον ἀπολέϲθαι ἐκ τοῦ πλείω ἢ ἐλάττω ἀγαθὰ ἢ κακὰ παρεῖναι δηλουμένου.

II 57 [15. II 150, 15 L.] Αἱ δὲ ἄλλαι ἐκπυήϲιεϲ αἱ πλεῖϲται ῥήγνυνται αἱ μὲν εἰκοϲταῖαι, αἱ δὲ τριηκοϲταῖαι, αἱ δὲ τεϲϲαρακονθήμεροι, αἱ δὲ πρὸϲ τὰϲ ἑξήκοντα ἡμέραϲ ἀφικνέονται. |

196 Ἀϲαφέϲ ἐϲτιν, ὁποίαϲ ἄλλαϲ λέγει. δυνατὸν μὲν γάρ ἐϲτι καὶ περὶ τῶν ἐν ἑτέροιϲ μέρεϲι γινομένων ἐκπυήϲεων τὸν λόγον αὐτὸν ποιεῖϲθαι καταλιπόντα θώρακα καὶ πνεύμονα, περὶ ὧν ἄχρι δεῦρο διείλεκτο, δυνατὸν δὲ καὶ περὶ τῶν ἐν τοῖϲ αὐτοῖϲ μὲν ὀργάνοιϲ, ἀλλ' οὐχ ὁμοίων ταῖϲ προειρημέναιϲ, ἐνδέχεται δὲ καὶ περὶ ἀμφοτέρων. ἐπεὶ δὲ "οὐχ ὁμοίων ταῖϲ προειρημέναιϲ" εἶπον, ἐξηγήϲαϲθαι χρὴ τοῦτο.

φημὶ γὰρ οὐ περὶ παϲῶν αὐτὸν ἐκπυήϲεων, ἀλλὰ τῶν ὡϲ αὐτὸϲ εἶπεν 'ἔτι χολῶδεϲ ἐχουϲῶν τι μεμιγμένον', ἄχρι δεῦρο ποιεῖϲθαι τὴν διδαϲκαλίαν οὐδὲ τούτων ἁπαϲῶν, ἀλλ' ὅϲαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐρράγηϲαν. ἔϲτι δὲ τοῦτο ϲπάνιον. αἱ πλεῖϲται γὰρ εἰκοϲταῖαι ῥήγνυνται, τινὲϲ δὲ καὶ μέχρι πλείονοϲ ἀφικνοῦνται χρόνου, περὶ ὧν νῦν διέρχεται. διαφοραὶ δὲ αὐτῶν παϲῶν εἰϲι κοιναί, δι' ἃϲ καὶ τῷ χρόνῳ παραλλάττουϲιν ἀλλήλων, ἔκ τε τοῦ πάϲχοντοϲ μορίου καὶ τοῦ πλεονεκτοῦντοϲ χυμοῦ. τὰ μὲν γὰρ θερμότερα καὶ μαλακώτερα μόρια θᾶττον ἐκπυΐϲκεται, τὰ δὲ ψυχρότερα καὶ ϲκληρότερα βραδύτερον. οὕτω δὲ καὶ
197 τῶν | χυμῶν οἱ μὲν θερμότεροι θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον. αὗται μὲν αἱ κατ' αὐτὴν τοῦ πράγματοϲ τὴν οὐϲίαν εἰϲὶ διαφοραί. προϲέρχονται δὲ ἔξωθεν αἱ παρὰ τὴν ἡλικίαν τε καὶ τὴν φύϲιν, ὥραν

15 εἶπεν] *cf. supra p. 304, 16 sq.*

1 δὴ RP²F: *eras.* V: οὖν V²P   δεῖ VF: *in ras.* P: δὴ R   *ante* ἀγαθῶν *inser.* τῶν PF   2 μόνου VRP: μόνον F   3 καὶ VRF: ἢ P   πλείω VRP: πλεῖον F   ἐλάττω VRP: ἔλαττον F   ἀγαθὰ ἢ *inclus.* V   4 δηλούμενα F
5 περὶ ἐκπυήϲεωϲ ἐμπύου *inscrib.* V: π. ἐ. ἐν πτυέλῳ RF   ἐκπυήϲιεϲ VR: *corr. ex* ἐκπυήϲειϲ P: ἐκπυήϲειϲ F   αἱ πλεῖϲται ῥήγνυνται VRPF *Stephan.*: ῥήγνυνται αἱ πλεῖϲται *ex Hipp. ab Aldo edd.*   6 εἰκοϲταῖαι *corr. ex* εἰκοϲταὶ V²
αἱ δὲ τριηκοϲταῖαι *om.* F   τριηκοϲταῖαι R: *corr. ex* τριηκοϲταὶ V²: τριακοϲταῖαι P   7 *post* δὲ *inser.* καὶ R   ἑξήκοντα VRP: ζ *(sic)* F   9 τῶν VPF: τὴν *corr. ex* τοῖϲ R¹   γινομένην R   ἐκπυήϲεων VRP: ἐμπυήϲεων F
10 καταλιπόντα PF: καταλειπόντα V: καταλιπόντεϲ R   θώρακοϲ P   πνεύμονα VF: *corr. ex* πνεύμονοϲ R: πνεύμονοϲ P   διείλεκτο VRF: διείλεκται P
11 τοῖϲ αὐτοῖϲ μὲν VRP: αὐτοῖϲ μὲν τοῖϲ *edd.*: τοῖϲ μὲν F   11. 12 ἀλλ' οὐχ VRF: οὐ μὴν P   12 *post* ὁμοίων *add.* ἐκπυήϲεων *edd.*   δὲ *superscr.* V
13 εἶπεν V   τοῦτο χρὴ P   14 αὐτὸν R: αὐτῷ F: *eras.* V: τῶν *superscr.* P²: *post* ἐκπυήϲεων *colloc. edd.*   15 ἔτι VRPF *(cf. supra p. 304, 16)*: *om. edd.*   *post* ποιεῖϲθαι *quattuor fere litteras* (*fort.* αὐτὴν) *eras.* V   16 ἑβδόμην *corr. ex* ἑδόμην V²   18 καὶ *om.* P   19 αὐτῶν RF: *om.* VP   *post* εἰϲι *add.* δύο *edd.*   παραλλάττουϲιν *ex corr.* R   20 πλεονεκτοῦντοϲ VRPF: πλεονάζοντοϲ *edd.*   21 ἐκπυΐϲκεται (ΐ *supra lin.*) V: ἐκπυΐϲκεϲθαι R   22 *ante* τὰ *duae litterae* (κα *ut videtur*) *eras.* P   ψυχρότερα δὲ *edd.*   24 κατ' αὐτὴν τοῦ πράγματοϲ τὴν οὐϲίαν VR: *corr. ex* κατὰ τὴν τ. πρ. οὐ. P²: κατὰ τὴν τοῦ πρ. οὐϲίαν F: κατὰ τοῦ πρ. τὴν οὐϲίαν *Aldus Basil.*   25 τὴν *(alt.) om.* F

τε καὶ χώραν καὶ κατάστασιν ἔτι τε δύναμιν τοῦ κάμνοντος. ἐν ἁπάσαις δ' αὐταῖς οἱ μὲν θερμότεροι χυμοὶ θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον ἐκπυΐσκονται.

ταῦτα μὲν οὖν κοινῇ περὶ πασῶν ἐκπυήσεων ἐπίστασθαι καλόν. ἐμοὶ δὲ δοκεῖ νῦν ἔτι περὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα διέρχεσθαι.

II 58 [16. II 150, 18 L.] Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ἧς τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν ἢ εἴ ποτε αὐτὸν ῥῖγος ἔλαβε καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης βάρος αὐτῷ γεγενῆσθαι ἐν τῷ τόπῳ ᾧ ἤλγεε. ταῦτα γὰρ ἐν ἀρχῇ γίνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τοῦ πύου ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους. |

Ἕν τι τῶν ὁμολογουμένων ἐστὶν ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ἐπειδὴ **198**
καὶ φαίνεται σαφῶς, ὅταν αἱ κατὰ τὰ κύρια μόρια φλεγμοναὶ μὴ διαφορηθῶσιν ὑπὸ τῶν βοηθημάτων, ἀλλ' ἐκπυΐσκωνται, ῥῖγος γίνεσθαι τηνικαῦτα καὶ πυρετὸν ἐπ' αὐτῷ. δέδεικται δὲ ἐν τοῖς Περὶ ῥίγους λόγοις, ὡς ἡ δριμύτης τοῦ γενομένου πύου δάκνουσα καὶ διαβιβρώσκουσα τὰ περικείμενα σώματα ῥῖγος ἐργάζεται παραπλησίως τοῖς δριμέσι φαρμάκοις, ὧν ἐνίοτε προσενεχθέντων ἕλκεσι κακοήθεσιν ἤ τινι σηπεδονώδει διαθέσει ῥιγῶσαί τε καὶ πυρέξαι συνέπεσεν. ἀκολουθεῖ δ' ἀεὶ τῷ τοιούτῳ ῥίγει πυρετός. ἀμέλει καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ἐμνημόνευσε καὶ προτέρου γε τοῦ πυρετοῦ λέγων ἀπὸ τῆς ἡμέρης, ἧς τό πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, οὐκ ἐκείνην ἑρμηνεύων τὴν ἡμέραν, ἥτις ὅλου τοῦ νοσήματος ἐγένετο πρώτη, ἀλλὰ καθ' ἣν τὸ ῥῖγος ἅμα τῷ πυρετῷ συνέπεσεν ἐναργῶς σφοδροτέρῳ δηλονότι τοῦ πρόσθεν ὄν-

16 ἐν τοῖς Περὶ ῥίγους λόγοις] *Gal. VII 606, 15 sqq. K.; cf. etiam IX 651, 2 sqq. K.* 18 τοῖς δριμέσι φαρμάκοις] *cf. Gal. VII 627, 11 sqq. K.*

1 τε *(alt.)* VRF: *in ras.* P: δὲ καὶ *edd.* δύναμιν *corr. ex* δύναμις P² 2 *post* βραδύτερον *falso repetit* αὗται μὲν *(p. 308, 24)* ... ψυχρότεροι βραδύτερον *(p. 309, 2)* F 5 *post* δὲ *add. sed ipse del.* περιττὸν P τῶν *corr. ex* τὸν V *post* κατὰ *add.* τὸν F θώρακα *corr. ex* θώρακος P² *post* καὶ *add.* τὸν *edd.* πνεύμονα *corr. ex* πνεύμονος P² 6 περὶ ἐπισκέψεως ἀρχῆς τοῦ ἐμπυήματος *inscrib.* F *in mrg.* ὑποσκέπτεσθαι *mavult Ermerins* 7 ἡμέρης F *Hipp.*: ἡμέρας VRP *(sed cf. infra v. 22)* ἧς] ἐν ᾗ P τὸ VRPF: ὁ *ab Aldo edd.* 8 ὁ *om. ab Aldo edd.* ἢ *om. ab Aldo edd.* εἴ VF *Hipp.*: ᾗ R: ἐν ᾗ (ᾗ *in ras.*) P *post* ποτε *add.* πρῶτον R: *post* αὐτὸν *add.* F *Hipp. vulg.* 9 ἀντὶ VR: *corr. in* ἄν τι P: ἄν τι F *Hipp. vulg.* βάρος αὐτῷ VRPF: αὐτέῳ βάρος *Hipp.* 10 *post* τόπῳ *inser.* ἐν *ex Hipp. ab Aldo edd.* ἤλγεε PF *Hipp.*: ἤλγει VR ἀρχῇ RF: ἀρ (χ supra) VP: ἀρχῇσι *ex Hipp. ab Aldo edd.* 11 τουτέων PF *Hipp.*: τούτων VR ῥῆξιν *corr. ex* ῥῆσιν V χρὴ *post* χρόνων *colloc.* P 11. 12 τοῦ πύου VRPF: τῶν ἐμπυημάτων *ex Hipp. ab Aldo edd.* ἐς R *Hipp.*: εἰς V²PF: *om.* V¹ 13 πρόγνωσις ἐμπύου R *in mrg.* τι τῶν *corr. ex* τινῶν V 14 *post* σαφῶς *inser.* ὡς P μόρια VRF: *corr. ex* μέρη P²: μέρη *edd.* 16 πυρετὸν *corr. ex* πυρετὸς P δὲ ἐν τοῖς *in ras.* V ῥίγους (ῥίγ *in ras.*) P 17 ἡ *om.* F γενομένου VF: *ex corr.* P: γεννωμένου R 18 περικείμενα VRPF: παρακείμενα *edd.* 20 δ' ἀεὶ VRF: δὲ ἀεὶ (ἀεὶ *omissum add. in mrg. man. 3*) P: δὲ (*omisso* ἀεὶ) *edd.* 25 σφοδροτέρῳ RPF: *corr. in* σφοδροτέρου V²

τος γενομένῳ. ἀλλὰ καὶ βάρους αἴcθηcις γίνεται τηνικαῦτα τοῖc κάμνουcι
199 τοῦ κατὰ πολλὰ καὶ cμικρὰ μόρια παρεcπαρμένου τοῖc φλε|γμαίνουcι
cώμαcι χυμοῦ μετὰ τὴν εἰc πῦον μεταβολὴν ἀθροιζομένου πρόc τινα
μίαν χώραν κενὴν cυνεχῆ τῷ φλεγμαίνοντι παντί.

ἐκ τούτων οὖν φηcι τῶν χρόνων, ἐν οἷc ταῦτα πρῶτον ἐγένετο, προcδέχεcθαι χρὴ τὰ μὲν εἰκοcταῖα, τὰ δὲ τριακοcταῖα, τὰ δὲ τεccαρακοcταῖα, τὰ δὲ ἑξηκοcταῖα ῥαγήcεcθαι τῶν ἐμπυημάτων. ἃ δ' εἶπε γνωρίcματα, τρία τὸν ἀριθμόν ἐcτι, ῥῖγοc καὶ βάροc καὶ πυρετὸc τοῦ πρόcθεν ὡc ἔφην cφοδρότεροc πολλῷ.

II 59 [16. II 152, 6 L.] Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μόνον, cτρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοιcι, μή τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ καὶ ἤν τι θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου κατακεκλιμένου ἐπὶ τὸ ὑγιαῖνον πλευρόν, ἐρωτᾶν, εἴ τι δοκέει αὐτῷ βάροc ἐκκρέμαcθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερά ἐcτι τὸ ἐμπύημα, ἐπὶ ὁκοίῳ ἂν πλευρῷ τὸ βάροc ἐγγίνηται. |

200 Ὅτι διαφράττουcιν ὑμένεc τὸν θώρακα διήκοντεc ἀπὸ τοῦ cτέρνου μέχρι τῆc ῥάχεωc, ὡc δύο ποιεῖν αὐτοὺc κοιλότηταc, ἐν ταῖc ἀνατομαῖc ἐμάθομεν. ὅθεν οὐδὲ κοινωνεῖ τὰ κατὰ τὸ ἕτερον μέροc ἐμπυήματα τοῖc κατὰ θάτερον ὥcπερ ἐπὶ τῶν ἐντὸc τοῦ περιτοναίου. κατ' ἐκεῖνο μὲν γὰρ ἐν κύκλῳ πᾶcι τοῖc ἐντέροιc περιρρεῖ τὸ πῦον, ἐνταῦθα δὲ οὔτε τὰ κατὰ τὰ δεξιὰ μέρη τοῦ θώρακοc εἰc τὰ ἀριcτερὰ δύναται

7 εἶπε] *16 (II 152, 2 L.); supra p. 309, 8 sq.* 9 ὡc ἔφην] *p. 309, 25* 17 ὑμένεc κτλ.] *excerps. Stephan. 184, 7 sqq.* *schol.* R: cημ(είωcαι) διαγνωcτικὰ εἴτ' εἰc τὰ δεξιὰ μέρη τοῦ θώρακόc ἐcτι τὸ πῦον εἴτ' εἰc τὰ ἀριcτερά 18 ἐμάθομεν] *cf. Gal. De usu part. VI 3 (III 416, 9 sqq. K., I 304, 5 sqq. Helmreich)*

1 γενομένῳ VRF: γενομένου V²: *corr. ex* γινομένῳ P²: γινομένῳ *edd.* 2 πολλὰ καὶ cμικρὰ P: cμικρὰ καὶ πολλὰ VRF μόρια (α *in ras.*) P 5 ἐγίνετο P 6 τριηκοcταῖα V 7 ῥαγήcεcθαι VRPF: ῥήγνυcθαι *edd.* δ' VRP: καὶ F εἶπε γνωρίcματα] εἶπεριγνωρίcματα *(sic)* P 8 ἐcτι VPF: εἰcὶ R ῥῖγοc καὶ βάροc VRPF: βάροc καὶ ῥῖγοc *edd.* 9 cφοδρότεροc F: *corr. in* cφοδρότερον V²: cφοδροτέρου RP 11 μόνον VRPF: μέρη *superscr.* V¹: μόνα P¹ *in mrg.*: μοῦνον *ex Hipp. ab Aldo edd.* ἐπὶ *om. Chartier* 12 ἔχῃ VP: ἔχει RF ἄλγημα *post* πλευρῷ *colloc.* P τι VRPF: *om. cum Hipp. ab Aldo edd.* ᾖ P: εἴη VRF 13 τὸ ἕτερον *om.* VP *post* ἑτέρου *add.* καὶ R κατακεκλιμένου RF: κεκλιμένου VP: κατακλινομένου *ex Hipp. edd.* ὑγιαῖνον F: ἕτερον VRP 14 εἴ τι PF: *superscr.* V¹: ἤν τι R δοκέει αὐτῷ VRPF: αὐτέῳ δοκέει *ex Hipp. Chartier*: αὐτοῦ δοκέει *Aldus Basil.* ἐκκρέμαcθαι F: ἐκκρεμᾶcθαι VRP: ἀποκρέμαcθαι *Hipp.* τοῦ] τῶν R 15 *post* τοῦτο *perperam inser.* ἐκ τοῦ VP θάτερα VRPF: θάτερον *ex Hipp. ab Aldo edd.* 15. 16 ἐπὶ ὁκοίῳ VR: ἐφ' ὁποτέρῳ PF: ἐπὶ ὁκοῖον *ex Hipp. ab Aldo edd.* 16 πλευρῷ VRPF: πλευρὸν *ex Hipp. ab Aldo edd.* τὸ *om. ab Aldo edd.* τὸ βάροc πλευρῷ *sed transp. ipse* P γίγνηται F 17 ὑμένεc *ex corr.* P τὸν θώρακα ὑμένεc R 18 δύο *corr. ex* δὺc P² αὐτοὺc RF: *corr. in* αὐτοῦ V²: *corr. ex* αὐτὸν P² 20 κατ' ἐκεῖνο *corr. ex* κἀκεῖνο P² 21 ἐντέροιc RPF: ἑτέροιc V 22 τὰ *(prius)* VRP: τὸ *(sed* μέρη*)* F κατὰ VRP²F: περὶ P τὰ *(alt.) om.* V

μετελθεῖν οὔτ' ἔμπαλιν ὅσον ἐν τοῖϲ ἀριϲτεροῖϲ ἐϲτιν εἰϲ τὰ δεξιὰ μεταρρυῆναι. διὰ τοῦτ' οὖν ἀξιοῖ καταμανθάνειν, εἴτ' ἐξ ἀμφοτέρων τῶν μερῶν ἔχει τὸ πῦον ὁ κάμνων εἴτε κατὰ τὸ ἕτερον μόνον. ἐν μὲν γὰρ ταῖϲ περιπνευμονίαιϲ εἰϲ ἐμπύημα τρεπομέναιϲ κατ' ἄμφω μᾶλλον ἢ κατὰ θάτερον ἀθροίζεται τὸ πῦον, ἐν δὲ ταῖϲ πλευρίτιϲι κατὰ τὸ ἕτερον μέροϲ μᾶλλον, οὐ κατ' ἄμφω. διάγνωϲιϲ δὲ τοῦ πεπονθότοϲ ἔκ τε τοῦ τῆϲ θερμαϲίαϲ διαφόρου (θερμότερον γάρ ἐϲτι τὸ πεπονθόϲ) κἀκ τοῦ κατακλινόμενον τὸν ἄνθρωπον ἐπὶ τὸ ἀντικείμενον πλευρὸν αἰϲθάνεϲθαι βάρουϲ ἐγκειμένου τῷ ὑψηλοτέρῳ μέρει. δῆλον | γὰρ ὅτι 201
τὸ πῦον ἠθροιϲμένον ἐν τούτῳ τῷ μέρει τὴν τοῦ βάρουϲ αἴϲθηϲιν ἐργάζεται.

II 60 [17. II 152, 13 L.] Τοὺϲ δὲ ϲύμπανταϲ ἐμπύουϲ γινώϲκειν χρὴ τοῖϲδε τοῖϲι ϲημείοιϲι· πρῶτον μὲν εἰ ὁ πυρετὸϲ οὐκ ἀφίηϲιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸϲ ἴϲχει, ἐϲ νύκτα δὲ πλείων, καὶ ἱδρῶτεϲ πολλοὶ ἐπιγίνονται καὶ βῆξαι θυμὸϲ ἐγγίνεται αὐτέοιϲι καὶ ἀποπτύουϲιν οὐδὲν ἄξιον λόγου καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴϲχουϲι καὶ οἱ μὲν ὄνυχεϲ τῶν χειρῶν γρυποῦνται, οἱ δὲ δάκτυλοι θερμαίνονται καὶ μάλιϲτα τὰ ἄκρα, καὶ ἐν τοῖϲι ποϲὶν οἰδήματα γίνονται καὶ ϲιτίων οὐκ ἐπιθυμέουϲι καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ ϲῶμα.

Ὅϲοι πῦον ἀθρόον ἔχουϲιν ἔνδον τοῦ ϲώματοϲ εἴτ' ἔτι περιεχόμενον ἐν τῷ φλεγμαίνοντι μορίῳ πρόϲθεν εἴτε καὶ μετὰ τὸ ῥαγῆναι, δυνατόν ἐϲτιν ὀνομάζεϲθαι τού|τουϲ ἐμπύουϲ, ἀλλ' εἴθιϲται παρὰ τοῖϲ 202
ἰατροῖϲ μόνουϲ ἢ μάλιϲτα τοὺϲ κατὰ θώρακα καὶ πνεύμονα τὸ τοιοῦτον ἔχονταϲ πάθοϲ ἐμπύουϲ ὀνομάζεϲθαι. περιέχεται δὲ μετὰ τὴν

1 μετελθεῖν *corr. ex* μεταθεῖν P^2 ἐν VRF: ἐπὶ *(in ras.)* P 2 *post* μεταρρυῆναι *add., sed item expunx.* μέρη τοῦ θώρακοϲ R τοῦτ' VRPF: ταῦτ' *edd.* ἐξ *in ras.* P 3 ἕτερον . . . κατὰ *(5) om.* F 5 *post* θάτερον *perperam add.* μᾶλλον R 9 ὑψηλοτάτῳ F 10 τὸ *om.* PF 12 ϲύμπανταϲ VRF: ξύμπανταϲ P *Hipp.* 13 τοῖϲδε RPF: τοῖϲ////δε V: τοιϲίδε *ab Aldo edd.* τοῖϲι ϲημείοιϲι P *Hipp.*: τοῖϲ ϲημείοιϲι VR: τοῖϲ ϲημείοιϲ F εἰ *omissum superscr.* P^2 14 ἡμέραν P λεπτόϲ PF *Hipp.*: λεπτὸϲ (ω superscr.) (ω *man. 1)* R: λεπτῶϲ V ἐϲ νύκτα (νύκταϲ R) δὲ VRPF: τὴν δὲ νύκτα *ex Hipp. ab Aldo edd.* 15 πλείων (ν *man. 2)* V πολλοὶ *om.* P ἐπιγίγνονται VF: ἐπιγίγνωνται R καὶ βῆξαι VRPF: βῆξαι τε *cum Hipp. Aldus Basil.*: βηχόϲ τε *Chartier* 17 μὲν *omissum superscr.* P^2 19 τὰ ἄκρα VRPF: ἄκροι *ab Aldo edd.*: οἱ ἄκροι *Hipp.* τοῖϲ V ποϲὶν *in ras.* V 20 γίνονται VPF: *corr. in* γίνεται R^1: γίγνεται *Hipp.* *post* γίνονται *add.* ἱϲτάμενά τε καὶ καταπαυόμενα *(cf. supra p. 262, 18)* F φλύκταιναι VF: κ *superscr.* P^2: φλύκταινα *(sed* γίνονται *v. 21)* R 21 ϲῶμα VRP: *superscr.* F^2: ϲτόμα F 22 διάγνωϲιϲ καὶ ϲημεῖα πάντων τῶν ἐμπύων *in mrg.* R ἔχουϲιν ἀθρόον P *post* εἴτ' *add.* οὖν PF 23 πρόϲθεν μορίῳ P *supra* εἴτε *rasura* P 24 δυνατόν *ex corr.* P ἐϲτι τοὺϲ *(in ras.)* τοιούτουϲ *(in ras.)* ἐμπύουϲ ὀνομάζεϲθαι P 25 μόνουϲ VR: *corr. ex* μόνον P^2: μόνοιϲ F ἢ *in ras.* P θώρακα *corr. ex* θώρακοϲ P^2 τὸ VRF: *superscr.* P^2: *om. Aldus Basil.* 26 ἔχονταϲ (ϲ *add. man. 2)* P

ῥῆξιν ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ τὸ πῦον τοῦτο καὶ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινωδῶς ἀπόλλυνται πυρέττοντες λεπτῶς μέν, ἀεὶ δέ πως αὐξανομένης τῆς θερμασίας εἰς νύκτα. καὶ γίνεται τοῦτο πᾶσι τοῖς ἑκτικῶς πυρέττουσιν οὐ τῷ τῆς διαθέσεως λόγῳ τῆς νυκτὸς αὐξανούσης αὐτοῖς τὸν πυρετόν, ἀλλὰ κατά τι συμβεβηκός, ὅπερ ἐστὶ τοιοῦτον ἐν τοῖς καλουμένοις ἑκτικοῖς πυρετοῖς, αὐτὰ τοῦ ζῴου τὰ στερεὰ μόρια διάπυρα γίνεται. κατὰ τοῦτ᾽ οὖν ἀεὶ παραπλήσιος ὁ πυρετὸς ἑαυτῷ μένει τὴν θερμασίαν ἔχων οἵαν περ ἡ τίτανος ἀμυδρὰν τοῖς ἁπτομένοις. ὅταν οὖν φάγωσί τε καὶ πίωσιν, ὅμοιόν τι συμβαίνει τοῖς γινομένοις κατὰ τὴν τίτανον ὕδατι βραχεῖσαν, ὥστε τοὺς ἁπτομένους ἔξωθεν αἰσθάνεσθαι πολὺ θερμοτέρου τοῦ κάμνοντος· ἔδειξα δὲ τοῦτο πολλάκις ὑμῖν ἐπὶ τῶν ἀρρώστων ἄλλοτε ἄλλῳ
203 καιρῷ θρέψας τοὺς οὕτω | πυρέττοντας, ἵνα πεισθῆτε διὰ τὴν τροφὴν γίνεσθαι τοῦτ᾽ αὐτοῖς, οὐ τῷ τῆς διαθέσεως λόγῳ. ἐναργῶς γὰρ φαίνεται συμμεταπίπτειν ἡ πυρετώδης θερμασία τοῖς καιροῖς τῆς τροφῆς αὐτίκα μὲν ἐπὶ ταῖς προσφοραῖς τῶν σιτίων αὐξανομένη σφοδροτάτη τε φαινομένη κατὰ τὴν ἀνάδοσιν αὐτῶν.

διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως ἱδρῶτες ἐπιγίνονται διαφορουμένης τῆς ἀναδοθείσης τροφῆς.

ἀλλὰ καὶ βῆξαί φησι θυμὸς αὐτοῖς γίνεται (τουτέστι προθυμία) καὶ ἀναπτύουσιν οὐδὲν ἄξιον λόγου. εἰ γὰρ ἔπτυον, οὐκ ἂν ἔμπυοι διέμενον. αἰτία δὲ τοῦ μηδὲν ἀναπτύειν ἄξιον λόγου τριττή, τοῦ πύου μὲν αὐτοῦ γλισχρότης καὶ τὸ πάχος, τοῦ δὲ περιέχοντος ὑμένος τὸν πνεύμονα πυκνότης, ἀρρωστία δὲ ἐπὶ τούτοις τῆς τοῦ κάμνοντος δυνάμεως.

ἀλλὰ καὶ οἱ ὀφθαλμοί φησιν ἔγκοιλοι γίνονται. κοινόν τι

12 ἔδειξα πολλάκις] *cf. e. g. Gal. VII 324 K.*

2 ἀπόλλυται F 3 μὲν . . . πως *omissa superscr.* P^2 4 ἑκτικῶς (*superscr. sed ipsa del.* οἷς *man. 2)* P πυρέσσουσιν RF 6 συμβεβηκός (ός *adscr. man. 2*) P τοιοῦτον VRP: τοῦτο F 7 τὰ στερεὰ τοῦ ζῴου μόρια P μόρια *om.* V κατὰ] μετὰ *Aldus* τοῦτ᾽ (τοῦ *superscr. man. 2*) P *post* οὖν *add.* αὐτὸ *edd* 8 παραπλήσιος PF: *corr. ex* παραπλησίως V^1: παραπλησίως R ἑαυτῷ V^1: *corr. in* ἐν ἑαυτῷ V^2: ἐν ἑαυτῷ R: ἐν αὐτῷ PF μένει *omissum superscr.* V^2 περ PF: *om.* VR 9 οὖν VRPF: γοῦν *edd.* φάγωσι P: τραφῶσι VRF τε *om.* P 10 τι *om.* V τῷ γινομένῳ P ὕδατι (ι *in ras.*) P 11 θερμοτέρου τοῦ κάμνοντος *corr. in* θερμοτέρους τοὺς κάμνοντας P^2 12 ἡμῖν F 13 πυρέττοντας VRF: *corr. ex* πυρέξαντας P^2: πυρέξαντας *edd.* 15 πυρώδης P 16 σιτίων *corr. ex* σίτων P^2 αὐξανομένη RP: αὐξανομένης VF σφοδροτάτη V^2RP: σφοδροτάτης VP^2F 17 τε VRF: δὲ P *post* τε *add.* αὐτῆς (*corr. in* ἑαυτῆς V^2) VF: ἑαυτῆς R: *om.* P φαινομένη V^2RP: φαινομένης VF αὐτῶν VRF: τῶν σιτίων P 18 *post* ἐπιγίνονται *add.* συνεχεῖς *edd.*: *add. sed ipse expunx.* P: *om.* VRF ἀναδοθείσης (εί *in ras.*) P 21 ἀναπτύουσιν (ύ *superscr. man. 2*) P εἰ γὰρ] ὡς εἴ γε F 22 ἔμπυοι *corr. ex* ἔπτυοι P^2 δὲ *add. in mrg.* P^2 ἀναπτύειν VRF: ἀποπτύειν P 23 *post* αὐτοῦ *inser.* ἡ VRF γλισχρότης (γ *ex corr.*) V τὸ VRF: *superscr.* P^2: *om. edd.* 24 *post* πνεύμονα *inser.* ἡ R 26 οἱ *om.* P

τοῦτο τῶν χρονίων ἁπάντων πυρετῶν καὶ μάλιστα τῶν ξηραινόντων ἐπιφανῶς. ἐρυθραίνονται δὲ τὰ μῆλα διὰ τὴν ἐν τῷ πνεύμονι θερμότητα καὶ τὰς βῆχας. ἄμφω γὰρ ταῦτα θερμαίνει τό τε πρόσωπον καὶ ὅλην τὴν κεφαλὴν ἀπὸ | τοῦ κατασκήψαντος εἰς τὸν πνεύμονα 204
ῥεύματος ἀτμῶν ἀναφερομένων ἐπ' αὐτήν.

οἱ δὲ ὄνυχες γρυποῦνται τῶν στηριζουσῶν αὐτοὺς ἑκατέρωθεν σαρκῶν ἐκτηκομένων. οἱ μὲν οὖν δάκτυλοι καίτοι καταψυχόμενοι τούπίπαν ἐπὶ τῶν χρονίως νοσούντων ὅμως ἐν ἅπασι τοῖς ἑκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν, ἐπειδὴ κατειλήφασιν οὗτοι τὰ στερεὰ μάλιστα τοῦ σώματος μόρια· κατά γε μὴν ἄκρους ἑαυτοὺς ἐναργέστερον φαίνονται θερμότεροι, οὐκ ἐκ τῶν ἔξω μερῶν, ἀλλ' ἐκ τῶν ἔνδον, ἔνθα τὸ σαρκῶδες αὐτῶν ἐστι. καὶ ἡ αἰτία πρόδηλος, εἴ γε μεμνήμεθα τῶν ἐπὶ ταῖς προσφοραῖς εἰρημένων. ἔνθα γὰρ ⟨ἂν⟩ ὑγρότης ᾖ δαψιλεστέρα, σαφέστερον ἐν τούτοις τοῖς χωρίοις ἡ θερμασία φαίνεται.

προήκοντός γε μὴν τοῦ χρόνου καὶ οἱ πόδες αὐτῶν οἰδίσκονται τῆς τοῦ σώματος ὅλου νεκρώσεως ἐκεῖθεν ἀρξαμένης ὡς ἂν πορρωτάτω κειμένων μορίων τῆς ἀρχῆς. τηνικαῦτα δὲ ἤδη καὶ ἀνόρεκτοι γίνονται νεκρουμένης δηλονότι τῆς ὀρεκτικῆς δυνάμεως ἅμα ταῖς ἄλλαις. καὶ φλύκταιναί τινες ἐπιγίνονται διαβρωτικῶν ἰχώρων ἀθροιζομένων ἐν τῷ σώματι· τοιαύτην | γὰρ αὐτῶν ὁ Ἱπποκράτης 205
ἐδίδαξεν εἶναι τὴν γένεσιν ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν, ἡνίκα φησί "καὶ ὑπογίνονται μὲν ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ θερμαίνονται." οἱ γὰρ ἰχῶρες οὗτοι τὸ μὲν ἄλλο τοῦ δέρματος ὅσον μανώτερόν ἐστι διεξερχόμενοι κατὰ τὸ ἔξω πέρας αὐτοῦ πυκνότατον ὂν ἴσχονται. διιστᾶσι δὲ τοῦτο καὶ ἀφιστᾶσιν ἀπὸ τοῦ ἔνδον ἀθροιζόμενοί τε κατ' αὐτὸ τὰς φλυκταίνας ἐργάζονται.

12. 13 τῶν ἐπὶ ταῖς προσφοραῖς εἰρημένων] *supra p. 312, 15 sqq.*
21 ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *II 1, 1 (V 72, 2 sqq. L.)*

1 τοῦτο *ex corr.* P² πυρετῶν *corr. ex* πυρετοῦ P² 2 ἐρυθαίνονται F δὲ VRPF: τε *edd.* 3 *post* καὶ *add.* διὰ *edd.* 4 *post* ἀπὸ *inser.* τε *edd.* διασκήψαντος F 5 ἐπ' αὐτήν VRP²F: εἰς αὐτά P: ἐπ' αὐτά V² 6 αὐτοὺς *corr. ex* αὐτοῖς F¹ 7 οἱ μὲν οὖν P: οἵ γε μὴν VRP²F 8 ἅπασι VRF: *corr. ex* πᾶσι P²: πᾶσι *edd.* 9 διαμένουσιν *corr. ex* διαμένωσιν P² 10 μόρια τοῦ σώματος P ἑαυτοὺς *corr. ex* αὐτοὺς P² 11 ἔνδον VRF: ἔνδοθεν P 12 ἐπὶ VPF: ἐν RP² 13 ὑγρότης] γρό *in ras.* P ἂν *addidi* ᾖ *ex corr.* P δαψιλεστέρα/// (ν *eras.*) F 14 τοῖς VRPF: *om. edd.* ἡ θερμασία *superscr.* P²: τὸ θερμὸν P φαίνεται *post* χωρίοις *colloc.* P 16 τοῦ ὅλου σώματος P ἀρξαμένης VRF: *corr. ex* ἀρχομένης P²: ἀρχομένης *edd.* 17 *post* κειμένων *inser.* τῶν F τῆς ἀρχῆς μορίων P δὲ *om.* F ἤδη PF: *om.* VR 20 τῷ VRPF: *om. edd.* αὐτῶν *om.* F 21 εἶναι VPF: *om.* R γένεσιν VRF: φύσιν V²P εἶναι *ante* ἐν *colloc.* P 22 καὶ VRF: *om.* P ὑπογίνονται VP: ὑπογίγνονται F: οἱ πόδες γίνονται *(sic)* R: ἐπιγίνονται *edd.*: ὑπεγίνοντο *Hipp.* ἐν VRP: οὖν F τῷ PF: *superscr.* V²: *om.* R ἐγκαταλαμβανόμεναι R 23 ἐθερμαίνοντο R δέρματος VRP²F: σώματος V²P 24 διεξέρχονται P *post* κατὰ *tres vel quattuor litteras eras.* V: *add.* δὲ P κατὰ . . . ἴσχονται *(25) falso repet.* P πυκνότατον VRPF: πυκνότερον *edd.* 25 διιστᾶσι VF: *corr. ex* διιστῶσι P²: διιστῶσι R ἀφιστᾶσιν V: *corr. ex* ἀφιστῶσιν P²: ἀφιστῶσιν RF

II 61 [17. II 154, 6 L.] Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἴσχει τὰ σημεῖα ταῦτα καὶ πιστεύειν αὐτοῖσι χρὴ κάρτα. ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων ἤν τι ἐπιφαίνηται οἷα καὶ τοῖσιν ἐν ἀρχῇ γινομένοισιν, ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος.

Καλῶς εἶπε πιστεύειν χρῆναι τοῖς τῶν χρονιζόντων ἐμ-
206 πυημάτων σημείοις. οὕτως γάρ ἐστιν ἰσχυρὰ τὴν δύναμιν, | ὡς μηδεμίαν ἐν αὐτοῖς ἀμφιβολίαν ἀπολείπεσθαι. τὰ δ' ὀλιγοχρόνια γνωρίζεται διὰ τῶν ἔμπροσθεν εἰρημένων. ἦν δ' ἐκεῖνα τὸ ῥῖγος καὶ ὁ πυρετὸς καὶ τὸ βάρος ἔτι τε εἴ τι τῶν ἐπὶ τοῖς χρονίοις εἰρημένων ἤδη φαίνοιτο καὶ εἰ δυσπνούστερος ὁ κάμνων γίνοιτο παρὰ τὸ πρόσθεν. ἀνάγκη δὲ τοῦτο συμβῆναι διὰ τὴν στενοχωρίαν τοῦ πνεύμονος, ὅταν καταλάβῃ τὰς κενὰς χώρας τοῦ θώρακος τὸ πῦον.

II 62 [17. II 154, 10 L.] Τὰ δὲ ταχύτερόν τε καὶ βραδύτερον ῥηγνύμενα τοῖσδε γινώσκειν χρή. ἢν μὲν ὁ πόνος ἐν ἀρχῇ γίνηται καὶ ἡ δύσπνοια καὶ ἡ βὴξ καὶ ὁ πτυελισμὸς διατελέῃ ἔχων, ἐς τὰς εἴκοσιν ἡμέρας προσδέχεσθαι τὴν ῥῆξιν καὶ ἔτι πρόσθεν. ἢν δὲ ἡσυχέστερος ὁ πόνος ᾖ καὶ τἆλλα πάντα κατὰ λόγον, τουτέοισιν ὕστερον προσδέχεσθαι τὴν ῥῆξιν, προσ-

9 διὰ τῶν ἔμπροσθεν εἰρημένων] *supra p. 309, 8 sq.*

1 περὶ τῆς τῶν χρονίων ἐμπυημάτων καὶ ὀλιγοχρονίων σημειώσεως *inscr. in mrg.* R   χρονίζει P   2 ἴσχει VRF: ἔχει P *Hipp.*   αὐτοῖσι VR: αὐτοῖς PF: αὐτέοισι *ex Hipp. ab Aldo edd.*   3 σημαίνεσθαι VRPF: ἐπισημαίνεσθαι *Hipp.*   4 οἷα *corr. ex* ὁκοῖα P   ἀρ (χ͡ superscr.) VR *(cf. infra v. 15; p. 309, 10)*: ἀρχῇσι PF   5 τι VR: *supe scr.* P[2]: *om.* F   ᾖ F *Hipp.*: εἴη VRP   6 ἐμπυημάτων] ἐ////////μάτων (superscr. ‡ ... r) *(sic)* V   8 ἐν αὐτοῖς ἀμφιβολίαν VRF: ἀμφιβολ. ἐν αὐτοῖς P: ἀμφιβολ. ἑαυτοῖς *edd.*   ἀπολείπεσθαι VR: ὑπολείπεσθαι PF   γνωρίζεται VRPF: γνωρίζεσθαι *edd.*   9 *post* διὰ *add.* γε R: τε P[2]F: *item sed eras.* V   δ' ἐκεῖνα] δὲ κἀκεῖνα V   10 ἔτι τε εἴ τι *scripsi*: εἴ τι τὲ VP: εἰ τέ τι F: ἔτι τε R   τῶν ἐπὶ *om.* F   φαίνοιτο VRF: φαίνηται P: φαίνεται *Aldus Basil.*   11 γίνοιτο F: γένοιτο RP: φαίνοιτο V   12 δὲ VR: γὰρ P[2]F   συμβῆναι VRP: συμβαίνειν F   *post* ὅταν *duas litteras* (δε?) *eras.* R   14 περὶ τῶν ἐν τοῖς ἐμπύοις προγνωστικῶν σημείων τῶν δηλούντων εἴτε ταχύτερον ἢ βραδύτερον ῥήγνυνται *inscrib. in mrg.* R   *post* ταχύτερον *inser.* αὐτέων *ex Hipp. ab Aldo edd.*   τε VRPF: *om. cum Hipp. ab Aldo edd.*   *post* τε *superscr.* ἢ P[2]   βραδύτερον] βαρύτερον P   15 τοισίδε *Hipp.*   ἦν R   ἀρχῇ VRPF: ἀρχῇσι *ex Hipp. ab Aldo edd.*   16 γίνηται VR: γίγνηται F: γένηται P *Hipp.*   πτυελισμὸς VR: *corr. ex* πτυαλισμὸς P[2]: πτυαλισμὸς F *Hipp.*   διατελέῃ VRPF: διατελέει *Basil. in mrg.*: διατείνῃ *Littré*: διατείνει *ab Aldo edd.*   17 ἔχων *post* ἡμέρας *colloc. ab Aldo edd. Hipp. vulg.*   ἐς VR *Hipp.*: εἰς PF   *post* ῥῆξιν *add.* ἢ *ex Hipp. ab Aldo edd.*   18 πρόσθεν F *Hipp.*: ἔμπροσθεν VRP   ἦν R   ἡσυχέστερος VRPF: ἡσυχαίτερος *Hipp.*   ᾖ VPF *Hipp.*: εἴη R   19 τουτέοισιν *corr. ex* τούτοισιν P[2]   ὕστερον προσδέχεσθαι τὴν ῥῆξιν VRPF: προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον *ex Hipp. ab Aldo edd.*   προσγενέσθαι RPF: προγενέσθαι V: προσγίνεσθαι *ab Aldo edd.*: γίγνεσθαι *Hipp.*

γενέcθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύcπνοιαν καὶ πτυελιcμὸν πρὸ τῆc τοῦ πύου ῥήξεωc. |

Ἐξ ὧν ὅτι ῥαγῆναι κίνδυνόc ἐcτι τὸ διαπυïcκόμενον, ἔνεcτί coι 207
προγινώcκειν ἐκ τούτων καὶ ὅτι θᾶττον· ἔcτι δὲ ταῦτα πόνοc καὶ δύcπνοια καὶ βὴξ καὶ πτυελιcμόc. ἐὰν μὲν οὖν cυνεχῆ τε γένηται καὶ ἰcχυρά, ταχεῖαν ἔcεcθαι cημαίνει τὴν ῥῆξιν, ἐὰν δὲ μήτε cυνεχῆ μήτε ἰcχυρά, χρονιωτέραν. ἀνάγκη δὲ διαβιβρωcκομένου τοῦ περικειμένου τῷ πύῳ cώματοc ὑπὸ τῆc δριμύτητοc αὐτοῦ πόνον μὲν γίνεcθαι δι᾽ αὐτὸ τοῦτο, βῆχα δὲ καὶ πτυελιcμὸν ἰχῶρόc τινοc ἤδη λεπτοῦ διεξερχομένου τὸ περιέχον cῶμα. δυcπνοοῦcι δὲ καὶ δι᾽ ὅλην μὲν τοῦ νοcήματοc τὴν κατάcταcιν, ἐξαιρέτωc δὲ διὰ τὴν προcγενομένην ὀδύνην.

II 63 [17. II 156, 2 L.] Περιγίνονται δὲ τουτέων μάλιcτα μὲν οὓc ἂν ὁ πυρετὸc αὐθημερὸν ἀφῇ μετὰ τὴν ῥῆξιν καὶ cιτίων ταχέωc ἐπιθυμέωcιν. |

Οὗτοc ὁ πᾶc λόγοc ὁ ἀπὸ ταύτηc τῆc λέξεωc ἀρχόμενοc ὅλοc 208
ἐcτὶ caφὴc τοῖc μεμνημένοιc τῶν ἔμπροcθεν εἰρημένων. ὑπερβὰc οὖν αὐτὸν ἐπὶ τὰ cυνεχῆ μεταβήcομαι. |

II 64 [18. II 158, 3 L.] Ὁκόcοιcι δὲ ἀποcτάcιεc γίνονται ἐκ 209
τῶν περιπνευμονικῶν νοcημάτων παρὰ τὰ ὦτα καὶ ἐκπυέουcιν ἢ εἰc τὰ κάτω χωρία καὶ cυριγγοῦνται, οὗτοι περιγίνονται.

Τὸ cυριγγοῦνται μόνον ἀcaφέc ἐcτιν ἐν ταύτῃ τῇ ῥήcει κατὰ μεταφορὰν εἰρημένον. αἱ γάρτοι cύριγγεc αἱ κυρίωc ὀνομαζόμεναι (ταῦτα δὴ τῶν μουcικῶν ὄργανα) προμήκειc ἔχουcι κοιλότηταc· ὅταν οὖν ἐν τοῖc τῶν ζῴων cώμαcιν ὅμοιαι παρὰ φύcιν γένωνται, διὰ

1 καὶ δύcπνοιαν καὶ πόνον *sed transp. ipse* P πτυελιcμὸν VRPF: πτυαλιcμὸν *Hipp.* 2 ῥήξεωc RF: ῥήξιοc *Hipp.*: πτύcιοc V: πτύcεωc P 3 (*et* 4) ὅτι VPF: ὅτε R 3 coι *om.* F 5 γένηται VP: γίνηται RF 8 αὐτὰ F γίνεcθαι VRP: γεγενῆcθαι F: γενέcθαι *edd.* 9 ἤδη *corr. ex* ἤδι P[2] 11 *post* δὲ *superscr.* καὶ P[2] προcγενομένην VRP: προcγινομένην F 12 τουτέων RPF: τούτων V 12. 13 μὲν μάλιcτα P 13 αὐθημερὸν (ὸν *in ras.*) P ἀφῇ *post* ἂν *colloc. cum Hipp. ab Aldo edd.* τὴν *om.* F 14 *post* ἐπιθυμέωcιν *add.* καὶ δίψηc . . . ἄλλοιcιν ἅπαcιν *ex Hipp. (II 156, 4—158, 2 L.) ab Aldo edd.*: *om.* VRPF 15 περὶ τῶν cῳζομένων ἢ ἀπολλυμένων ἐμπυïκῶν *inscrib.* R *in mrg.* ὁ πᾶc P: πᾶc (ἅπαc *edd.*) ὁ VRF 18 ὁκόcοιcι VR *Hipp.*: ὁκόcοιc F: οἷcι P 19 περιπνευμονικῶν *corr. ex* περιπνευμονῶν P[1] ἐκπυέουcιν VRP *Hipp.*: ἐκπύουcιν F 20 ἢ *om. ab Aldo edd.* εἰc VRF: ἐc P *Hipp.* *post* χωρία *superscr.* καὶ ῥήγνυνται R[2]: *add. in mrg., sed ipse inclus.* V: καὶ ῥίγνυνται *add. in mrg.* P *post* οὗτοι *inser.* δὲ F *Hipp. vulg.* 21 περὶ τῶν ἀποcτάcεων τῶν ἐκ τῶν περιπνευμονικῶν νοcημάτων παρὰ τὰ ὦτα ἢ τὰ κάτω χωρία γιγνομένων *inscrib. in mrg.* R cυριγγοῦνται *corr. ex* cυριγγοῦντι P[2] 22 γάρ τι V 23 *post* δὴ *inser.* τὰ VRF τῶν VRPF: *om. edd.* *ante* ὅταν *inser.* αἷc RF 24 οὖν VPRF ὁμοῖαι *edd.* γένωνται VRPF: γεννῶνται *edd.*

τῆϲ αὐτῆϲ προϲηγορίαϲ δηλοῦνται. δοκεῖ δή μοι καὶ νῦν ὁ Ἱπποκράτηϲ διὰ τὸ τῆϲ διεξόδου πρόμηκεϲ κεχρῆϲθαι τῷ ϲυριγγοῦνται ῥήματι.

τὸ δὲ ϲύμπαν τοῦ λόγου κεφάλαιόν ἐϲτι περὶ τῶν ἐπιγινομένων τοῖϲ περιπνευμονικοῖϲ ἀποϲτάϲεων ἐνίοτε μὲν εἰϲ τοὺϲ ὑπὸ τοῖϲ ὠϲὶν ἀδένας, ἐνίοτε δὲ εἰϲ τὰ κάτω τοῦ θώρακοϲ χωρία.

210 **II 65** [18. II 158, 5 L.] Ὑποϲκέπτεϲθαι δὲ χρὴ καὶ τὰ τοιάδε ὧδε· ἢν ὅ τε πυρετὸϲ ἔχῃ καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον μηδὲ χολώδεεϲ αἱ τῆϲ κοιλίηϲ διαχωρήϲιεϲ μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται μηδὲ οὖρον πολύ τε κάρτα καὶ παχὺ καὶ ὑπόϲταϲιν ἔχον πολλήν, ὑπηρετῆται δὲ περιεϲτικῶϲ ὑπὸ τῶν λοιπῶν πάντων ϲημείων, τουτέοιϲι χρὴ τὰϲ τοιαύταϲ ἀποϲτάϲιαϲ ἐλπίζειν ἔϲεϲθαι.

Τὰϲ προειρημέναϲ ἀποϲτάϲειϲ ὅπωϲ ἄν τιϲ προγινώϲκῃ, διδάϲκει διχῇ τεμὼν τὸν λόγον, ὡϲ τὸ μὲν πρῶτον αὐτοῦ μέροϲ εἶναι διδαϲκαλίαν τοῦ γενήϲεϲθαι τὴν ἀπόϲταϲιν, τὸ δὲ δεύτερον διορίζεϲθαι, πότερον ἄνωθεν τοῦ θώρακοϲ εἰϲ τοὺϲ ὑπὸ τοῖϲ ὠϲὶν ἀδέναϲ ἢ κάτω τῶν φρενῶν.

ἀρξώμεθα οὖν καὶ ἡμεῖϲ ἀπὸ τοῦ πρώτου μέρουϲ, ἐν ᾧ κεφάλαιόν ἐϲτι δύϲπεπτον μὲν εἶναι τὸ νόϲημα, μὴ μέντοι θανατῶδεϲ. οὔτε γὰρ
211 ἐὰν εὔπεπτον ᾖ, δι᾽ ἀποϲτάϲεωϲ, | ἀλλ᾽ ἤτοι δι᾽ ἐκκρίϲεωϲ ἢ κατὰ

15 τὰϲ προειρημέναϲ ἀποϲτάϲιαϲ] *cf. supra p. 315, 18*

1 δηλοῦνται RP: *ex corr.* V²: δηλοῦται F δή VPF: δέ R 2 τῆϲ *superscr.* V² διεξόδου F: *corr. ex* ἐξόδου V²: ἐξόδου RP ϲυριγγοῦντι R 6 τὰ *corr. ex* τὸ P² χωρία *corr. ex* χωρίω P² 7 ὑποϲκέπτεϲθαι VRPF: ἐπιϲκέπτεϲθαι *Hipp.* καὶ VRPF: *om. Hipp.* τοιάδε VRPF: τοιαῦτα *ex Hipp. ab Aldo edd.* 8 ὧδε *superscr.* R¹ ἔχοι P *post* ὀδύνη *eras.* ν P πεπαυμένη ᾖ] παύηται *Hipp.* ᾖ VF: ἢ R: εἴη P 9 ἐκχωρῇ P χολώδεεϲ *corr. ex* χολῶδεϲ R² 10 διαχωρήϲιεϲ PF: διαχωρήϲειϲ VR *post* διαχωρήϲιεϲ *inser.* ἐῶϲι P τε PF: *om.* VR ἄκρητοι F: *corr. ex* ἄκριτοι V²: ἄκριτοι R: ἄκρατοι P γίνωνται F: γίνονται VRP: γίγνοιντο *Hipp.* *post* γίνωνται *add.* καὶ *cum Hipp. Chartier* 11 *post* μηδὲ *add.* τὸ *ex Hipp. ab Aldo edd.* πολύ (πουλύ *Hipp.*) τε κάρτα VRPF *Hipp.*: κάρτα πολύ (πουλύ *Chartier*) τε *ab Aldo edd.* καὶ παχὺ *superscr.* P² ὑπόϲταϲιν ἔχον πολλὴν VRPF: πολλὴν ὑπόϲταϲιν ἔχον *ex Hipp. ab Aldo edd.* 12 ὑπηρετῆται F: ὑπηρετεῖται VRP: ὑπηρετέηται *Hipp.* περιεϲτικῶϲ F *Hipp.*: *corr. in* περιεϲτικὸϲ V²: περιεϲτηκῶϲ R: περιεϲτηκὸϲ P 12. 13 πάντων ϲημείων VRF: ϲημείων πάντων P: πάντων τῶν περιεϲτηκότων ϲημείων *ex Hipp. ab Aldo edd.* 13 τουτέοιϲι R *Hipp.*: τούτοιϲι VP: τούτοιϲ F *post* τούτοιϲ *inser.* γὰρ F 15 πρόγνωϲιϲ καὶ διάκριϲιϲ εἰ ἄνωθεν τοῦ θώρακοϲ ἢ κάτωθεν τῶν φρενῶν αἱ ἀποϲτάϲειϲ γίνονται *in mrg.* R *ante* τὰϲ *add.* γινομέναϲ P τιϲ (ϲ *add. man. 2*) P προγινώϲκῃ VRF: προγινώϲκοι P διδάϲκει *om.* F 17 ἀπόϲταϲιν *corr. ex* ὑπόϲταϲιν V²P² διορίϲαϲθαι F 18 τοῖϲ *corr. ex* τοὺϲ V¹ 20 ἀρξώμεθα VRPF: ἀρξόμεθα *edd.* πρώτου VRPF: προτέρου *edd.* 21 εἶναι VPF: τε R

βραχὺ λυθήσεται πεπανθέν, οὔτε ἐὰν ὀλέθριον ὑπάρχῃ, γενήσεταί τις ἀπόστασις ἀγαθή. μέσον οὖν αὐτὸ χρὴ τῶν τε ἐπιεικῶν εἶναι καὶ τῶν ὀλεθρίων. ὅθεν εἰκότως ὁ Ἱπποκράτης ἔνια μὲν αὐτῶν τῶν γνωρισμάτων ἔγραψεν ἐκ τῶν κακῶν σημείων, ἔνια δὲ ἐκ τῶν ἀγαθῶν· ἃ κατὰ μέρος ἤδη σοι δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πρώτου ποιησάμενος, ὑπὲρ οὗ κατὰ λέξιν οὕτω φησὶν ἢν ὅ τε πυρετὸς ἔχῃ (τουτέστι κατείληφε τὸν ἄνθρωπον), ὡς εἰς ἀπυρεξίαν μηδέποτε ἀφικνεῖσθαι, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ. παυσαμένης γὰρ αὐτῆς οὐδὲ ἀποστάσεως ἔτι χρεία τίς ἐστι πρὸς τὴν λύσιν ὡς ἐπιεικοῦς τοῦ νοσήματος ὄντος.

καὶ τὸ πτύελον, φησί, μὴ ἐκχωρέῃ κατὰ λόγον. οὐδὲ γὰρ ὅλως ἀποστάσεως δεήσεται τὸ νόσημα διὰ τῶν πτυσμάτων ἀεὶ ἐκκαθαιρόμενον. εἶτ᾽ ἐφεξῆς φησι μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες. εἴρηται γάρ σοι καὶ πρόσθεν, ὡς ἐν τοῖς χολώδεσι νοσήμασιν αἱ ἀποστάσεις οὐ γίνονται. χρὴ γὰρ ὠμὴν καὶ παχεῖαν εἶναι τὴν τῶν χυμῶν ὕλην, ἵν᾽ εἴς τε χρόνον πλείονα ἐκπέσῃ τὸ νόσημα καὶ μὴ δι᾽ ἐκκρίσεως, ἀλλ᾽ ἤτοι διὰ ἀποστάσεως ἢ μόνης πέψεως | ἰαθῇ. 212

τὸ δὲ ἐφεξῆς τῷδέ τινες μὲν οὕτως γράφουσι· μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνωνται. ὥσπερ ἔφη μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, οὕτως μηδ᾽ εὔλυτοι καὶ ἄκρητοι γίνωνται, τοῦ μὲν ἀκρήτου πρὸς τὰς ἀμίκτους τῶν ἄλλων τινὶ χυμῶν ἀναφερομένου διὰ τὸ μίαν ἔχειν αὐτὰς ποιότητα τὴν τῶν χολωδῶν, τοῦ δὲ μηδ᾽ εὔλυτοι πρὸς τὸ πλῆθος τῶν ἐκκρίσεων, ὡς εἴ γε καὶ χολώδεις εἶεν καὶ εὔλυτοι δι᾽ ἐκκρίσεως μᾶλλον ἢ δι᾽ ἀποστάσεως ἐσομένης τῆς κρίσεως.

ἔνιοι δὲ ἐναντίως γράφουσι τὴν λέξιν ὧδε μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται, εὐλύτους

13 πρόσθεν] *supra p. 291, 9 sqq.*

1 οὔτ᾽ ἂν P ὑπάρχει F 2 ἀπόστασις *corr. ex* ὑπόστασις V τε PF: *om.* VR 3 αὐτῶν VRP: αὐτοῦ V^{2}F 6 *post* οὗ *inser.* πρώτου P τε VRF: *superscr.* P^{2}: *om. edd.* *post* τουτέστιν *inser.* οὕτω P 8 *post* πεπαυμένη *rasura* P οὐδὲ RF: οὐδ᾽ P: οὐ δι᾽ V: οὐκ *edd.* 8. 9 ἔτι χρεία τίς ἐστι VRP^{2}F: ἔστι χρεία τις ἔτι P 10 πτύαλον F φησί *superscr.* R^{1} *post* φησί *add.* ἔτι F κατὰ λόγον μὴ ἐκχωρέῃ F ἐγχωρέῃ *edd.* *post* κατὰ *falso inser.* τὸν R οὐδὲ (δὲ *superscr. man. 2)* P 11 δεήσεται VF: *corr. ex* δεηθήσεται P: δεήσηται R: δεηθήσεται *edd.* ἀεὶ *inclus.* V ἐκκαθαιρόμενον VRF: εκ *superscr. man. 2* P: *scripserim* καθαιρόμενον *propter hiatum* 12 εἶθ᾽ ἑξῆς VF φησι VRPF: *om. edd.* διαχωρήσεις VR 14 ἀποστάσεις P: ἀποστάσιες VRF 15 χρόνον ἐκπέσῃ πλέονα F 16 *post* μόνης *add.* τῆς F πέψεως *omissum superscr.* V^{1} 17 ἐφεξῆς VRF: ἑξῆς P τῷδε *corr. in* τόδε P^{2} μηδὲ (μη *supra rasuram*) V 18 ἄκρητοι *corr. ex* ἄκριτοι $V^{1}R^{1}$ γίνονται RP ὥσπερ ... γίνονται *(19) om.* F ὡσπερεὶ *coni. Ermerins* 19 εὔλυτοι *in ras.* V ἄκρητοι *corr. ex* ἄκρατοι R^{1} γίνονται RP 20 χυμῶν τινι *edd.* ἀναφερομένου] ἐπι *superscr. man. 2* P 22 γε VRPF: τε *edd.* χολώδεις *corr. ex* χολῶδες V^{2} 23 μᾶλλον ἐσομένης τῆς κρίσεως ἢ δι᾽ ἀποστάσεως *sed transp. ipse* P δι᾽ *(alt.)* P: *om.* VRF 26 τε *scripsi*: δὲ VPF: *om.* R ἄκρητοι *corr. ex* ἄκρατοι $R^{1}P^{1}$ γίνονται RPF *ante* εὐλύτους *add.* καὶ F: *item sed del.* V

μὲν εἶναι βουλόμενοι τὰς συμμέτρως ὑπερχομένας, ἀκρήτους δὲ τὰς ὑδατώδεις καὶ ἀμίκτους. ἐρρέθη γὰρ ἔμπροσθεν ὡς τὸ ἄκρατον ἐπὶ τῆς ἀμίκτου λέγεται ποιότητος. ἀποφήσας οὖν, φασίν, ὁ Ἱπποκράτης τὰς χολώδεις διαχωρήσεις ἐπὶ τῶν ἀκράτων, ὅπερ ἔστιν ἀμίκτων καὶ οἷον ἄκρων κατὰ μίαν ποιότητα, δῆλός ἐστι τὰς ὑδατώδεις λέγων, αἵπερ ἄπεπτοί τέ εἰσι καὶ διὰ τοῦτο χρόνου δέονται πρὸς τὴν πέψιν,
213 ἐν ᾧ καὶ ἀποστάσεις | γίνονται. τὰ μὲν γὰρ ὀξέα δι᾿ ἐκκρίσεων μᾶλλον εἴωθε κρίνεσθαι, τὰ δὲ χρονίζοντα δι᾿ ἀποστάσεων. ἀλλὰ περὶ μὲν τῆς ἐν ταῖς εἰρημέναις γραφαῖς διαφορᾶς ἔνεστί σοι καὶ αὖθις ἐπισκέψασθαι κατὰ πολλὴν σχολήν, ἐν δὲ τῷ παρόντι τὴν ὅλην τοῦ λόγου σύνοψιν, ὡς εἰς τὰ τῆς τέχνης ἔργα λαβεῖν ἐξ αὐτῆς τὸ χρησιμώτατον, ἐγώ σοι δίειμι.

πρόκειται μὲν αὐτῷ τεκμήρασθαί τι περὶ τῶν εἰς ἀπόστασιν ὁρμησάντων νοσημάτων. εἶναι δὲ χρὴ ταῦτα πάντως μὲν ἐξ ὠμῶν καὶ παχέων χυμῶν, οὐ μὴν ὀλεθρίων. τὰ γὰρ τοιαῦτα χρονίζοντα ποιεῖται τὰς ἀποστάσεις, εἴ γε μὴ κατὰ ‘σύμπεψιν’ (οὕτως γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἀφ᾿ Ἱπποκράτους) ἡ λύσις αὐτῶν γενέσθαι φθάσειε. γνώρισμα δέ σοι τῆς πέψεως ἔσται τὸ οὖρον αὐτό τε πολὺ γινόμενον ὑπόστασίν τε πολλὴν ἔχον. ᾧ δ᾿ ὑπόστασίς ἐστι πολλή, τούτῳ πάντως ἐστὶ καὶ αὐτὸ παχύτερον τοῦ κατὰ φύσιν. εἰκότως οὖν ἐγένετο διττὴ ἡ γραφὴ κατὰ τὴν λέξιν ἐνίων μὲν οὕτω γραψάντων μηδὲ οὖρον παχύ τε καὶ πολὺ καὶ ὑπόστασιν πολλὴν ἔχον, ἐνίων δὲ μηδὲ οὖρον πολὺ κάρτα καὶ ὑπόστασιν πολλὴν ἔχον. |

214 **II 66** [18. II 160, 3 L.] Γίνονται δ᾿ αἱ μὲν εἰς τὰ κάτω χωρία οἷσιν ἄν τι περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγένη-

2 ἐρρέθη] *supra p. 317, 20; cf. etiam supra p. 290, 21 sqq.*

1 ἀκράτους F 2 ὑδατώδεις] /////ώδεις F (δυ *vel* πυ *erasum esse videtur*) ἄκρατον RPF: ἀκρ(α)////τον V: ἄκρητον *edd.* ἐπὶ VRP: ἐκ F 8 ἀποφήσας VRF: ἀποφήνας P φασὶν (*corr. ex* φησὶν V²) ὁ Ἱ. VRF: ὁ Ἱ. φησὶ P: ὁ Ἱ. φασὶ *Chartier* 4 ἐπὶ τῶν RF: *in ras.* V: ἐπιδόσεις *(sic)* P ἀκράτων VRPF: ἀκράτους V² ἀμίκτων VRPF: ἀμίκτους V² 5 ἄκρων VRPF: ἄκρας V² 6 τέ RF: *superscr.* V²: *om.* P πέψιν *corr. ex* πέμψιν R¹ 7 *post* καὶ *add.* αἱ *edd.* 8 ἀποστάσεων VF: ἀποστάσεως P: *ambigue* R 10 τῷ *corr. ex* τὸ P² 13 *post* μὲν *add.* οὖν *edd.* αὐτῷ VPF: αὐτοῖς R ὁρμησάντων *eras.* V 14 ταῦτα χρὴ P 15 χυμῶν *post* ὠμῶν *(14) colloc.* P *post* ὀλεθρίων *add.* γε *edd.*: *item sed eras.* P ποιεῖται RPF: ποιεῖσθαι VP²: ποιεῖσθαι δεῖ *edd.* 16 ἀποστάσεις *corr. ex* ὑποστάσεις P² 17 ἐστὶ *omissum superscr.* P² ἀφ᾿ V: ὑφ᾿ RPF ἡ λύσις *corr. ex* τὴν λῦσιν V¹ φθάσειε VRPF: φθάσει *edd.* γνωρίσματα P 18 σοι *superscr.* P² τε VF: *om.* R: *eras.* P γενόμενον P 19 τούτω V: τοῦτο RPF 20 αὐτὸ VRP: αὐτοῦ V²P²F 21 ἡ *om.* F τὴν VRPF: *om. edd.* μηδ᾿ οὖρον πολύ τε καὶ παχύ *edd.* 22 ὑπόστασιν *ex corr.* P ἔχον πολλὴν P ἐνίων *(superscr.* οι *man. 2)* P ἐνίων . . . ἔχον *(23) omissa add. in mrg.* (μηδὲ *omisso*) F² 24 περὶ τῶν εἰς τὰ κάτω χωρία ἢ εἰς τὰ ἄνω γινομένων ἀποστάσεων R *in mrg.* εἰς VRPF: ἐς *Hipp.* χωρία *omissum add. in mrg.* P² 25 τι RF: *om.* VP: *post* φλέγματος *colloc. cum Hipp. a Basil. edd.* τὸ ὑποχόνδριον VRPF: τὰ ὑποχόνδρια *ex Hipp. ab Aldo edd.* τοῦ φλέγματος VRF: φλέγματα P ἐγγένηται VRPF *Hipp.*: ἐγγίνηται *ab Aldo edd.*

ται, αἱ δ᾽ ἄνω οἷςιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύςπνοος δέ τινα χρόνον γενόμενος παύςηται ἄνευ προφάςιος ἄλλης.

Προφάςεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς φανερὰς αἰτίας. ὅταν οὖν ἐξαίφνης γενομένη δύςπνοια κατὰ τὰς προειρημένας διαθέςεις ἐξαίφνης πάλιν παύςηται καὶ τὸ γενέςθαι καὶ τὸ παύςαςθαι χωρὶς φανερᾶς αἰτίας ἔχουςα, τὴν ἐπὶ κεφαλὴν ῥοπὴν ἐνδείκνυται τῶν χυμῶν, ὥςπερ πάλιν τὴν ἐπὶ τὰ κάτω θερμαςία τις ἐν τοῖς ὑποχονδρίοις ἐπιφανής. οὐ γὰρ δὴ τὸν χυμόν γε τὸν φλεγματικὸν ἡγεῖςθαι χρὴ νῦν ὑπ᾽ αὐτοῦ λέγεςθαι κατὰ τὴν λέξιν, ἐν ᾗ φηςιν· οἷςι δ᾽ ἄν τι περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγένηται. πολλῷ γὰρ ἄμεινον ἀκούειν ἐπὶ τῆς παρὰ φύςιν θερμαςίας τῆς φλογώδους εἰρῆςθαι τὸ φλέγμα. γίνεται δ᾽ | αὕτη δι᾽ ἐρυςίπελας ἢ τὴν ἰδίως ὀνομαζομένην 215
φλεγμονήν. εἰ δέ γε τοὐναντίον εἴη λαπαρὸν μὲν καὶ ἀνώδυνον τὸ ὑποχόνδριον, ἡ δ᾽ ἄνω ῥοπὴ τῶν χυμῶν ὑπὸ τῆς προειρημένης δυςπνοίας δηλουμένη, τὴν ἀπόςταςιν ἄνω γενήςεςθαι προςδέχου.

II 67 [18. II 160, 7 L.] Αἱ δ᾽ ἀποςτάςιες αἱ ἐς τὰ ςκέλεα ἐν τῇςι περιπνευμονίῃςι τῇςιν ἰςχυρῇςί τε καὶ ἐπικινδύνοιςι λυςιτελέες μὲν πᾶςαι, ἄριςται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γινόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδους γενομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀςφαλέςτατα ὅ τε ἄνθρωπος

4 προφάςεις] *cf. Gal. in Hipp. Epidem. l. I comm. I passim, e. g. XVII A 52, 6 sqq. K.; 265, 10 sq. K.; cf. etiam Gal. XV 490, 9 K. (supra V 9, 1 p. 19); XVIII B 498; 603 K. et A. Foesii Oecon. Hippocr. s. v.*

1 οἷςιν RP *(ut infra v. 10)*: οἷς VF ἂν RPF: *om.* V λιπαρόν F 2 διατελῇ V δύςπνοος VRP *Hipp.*: δύςπνους F: δύςπνοον *ab Aldo edd.* τινα *ex corr.* P χρόνον *ex corr.* P γενόμενος VPF *Hipp.*: γενόμενον R 3 ἄνευ VRPF: ἄτερ *ex Hipp. a Basil. edd.*: ἄπερ *Aldus* *ante* προφάςιος *add.* φανερῆς *ex Hipp. ab Aldo edd.* 4 εἴωθ᾽ V 6 ἐξαίφνης *corr. ex* ἐξέφνης P² 7. 8 τῶν χυμῶν *ex corr.* P 8 *post* ὥςπερ *inser.* γε F τὰ *corr. ex* τὸ V² θερμαςία (*superscr. man. 2* αν) P τις *corr. in* τῆς P² ἐν PF: ἐπὶ VRP² 9 ἐπι φανής *corr. in* ἐπιφανείας P² χυμόν γε VRP: γε χυμόν F τὸν *(alt.)* VRP: *om.* F 10 *ante* οἷς *add.* ἐν R: *eras.* V οἷςι P: οἷς VRF δ᾽ *superscr.* V¹ τι R: *om.* VPF 11 περὶ VRF: *ex corr.* P: κατὰ *edd.* *post* ὑποχόνδριον *rasura* P τοῦ φλέγματος] φλέγματα *ex corr.* P *post* φλέγματος *superscr.* τι V² ἐγγένηται VRPF: ἐγγίνηται *Chartier*: ἐγγίνεται *Aldus Basil.* 12 τῆς *omissum superscr.* P² 13 ἐρυςίπελας F: *corr. ex* ἐρυςιπέλατα V²: *corr. in* ἐρυςιπέλατα P²: ἐρυςιπέλατα R *post* ἢ *add.* διὰ P: *superscr.* V² 14 *post* τοὐναντίον *inser.* μὲν F εἴη VRP: ᾖ F 16 ἄνω γενήςεςθαι VRF: γενήςεςθαι (*corr. ex* γενέςθαι *man. 2* P) ἄνω P 17 ἐς R *Hipp.*: εἰς VPF 18 τῇςιν *(alt.)* *om.* F ἐπικινδύνοιςι *corr. ex* ἐπικινδύνῃςι V¹ 19 ἄριςτοι P 20 ἐόντος ἤδη γενόμεναι P 21 γένοιτο VF *post* ἀντὶ *add.* τοῦ F πυώδους VRPF: πυώδεος *ex Hipp. ab Aldo edd.* γενομένου RP *Hipp.*: γινομένου VF 22 ἐκχωρέοντος (ἐκ *supra rasuram*) V: ἐγχωρέοντος R ἔξω P²: ἄνω P τε *om.* V

περιγένοιτο καὶ ἡ ἀπόστασις τάχιστα ἀνωδύνως ἂν παύσαιτο. εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι καλῶς μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρον ἢ πολλὰ πράγματα παρασχεῖν. |

216 Ἐπὶ τῶν ἰσχυρῶν περιπνευμονιῶν ἀποστάσεις εἰς τὰ σκέλη γίνεσθαι πάντως μὲν ἀγαθόν ἐστιν, εἴ γε δὴ παντὸς μᾶλλον ἀληθὲς ὑπάρχει τὸ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν ὑπὲρ τῶν ἀγαθῶν ἀποστάσεων εἰρημένον ʻὡς ἄρισται πασῶν εἰσιν αἱ μάλιστα κάτω καὶ πορρωτάτω τῆς νόσου’, μᾶλλον δ’ ὅταν ἅμα πέψει γένωνται. καὶ γὰρ καὶ τοῦτο ἐπήνεσεν ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν εἰπών· ʻʻπεπασμοὶ ταχυτῆτα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν’’. ἐνδείκνυται δὲ τὴν πέψιν ἥ τε μεταβολὴ τοῦ πτυέλου καὶ ἡ κένωσις ἄλυπός τε καὶ δαψιλὴς γινομένη. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν ἐπὶ τοῦ πτυέλου τοῦ ἐκχωρέοντος ἔξω· εἰ δὲ καὶ χωρὶς τοῦ πεφθῆναι τὴν νόσον ἀπόστασις εἰς τὰ σκέλη γένοιτο, ῥύσαιτο μὲν ἂν καὶ οὕτως ἐκ τοῦ κατὰ τὴν περιπνευμονίαν κινδύνου τὸν ἄνθρωπον. αὐτὸ δὲ τὸ ἄρθρον, εἰς ὃ κατέσκηψε, δυσίατον ἕξει τὸ ἀπόσκημμα καὶ τάχα ἂν ἐνίοτε χωλανθείη κατὰ τοῦθ’ ὁ ἄνθρωπος. εἴρηται δ’ αὐτῷ πάλιν ἐνταῦθα τῆς ἀπεψίας οὐχ ἓν σημεῖον ὥσπερ τῆς πέψεως, ἀλλὰ προσέθηκε τοῖς πτύσμασι καὶ
217 τὴν ἀπὸ | τῶν οὔρων διάγνωσιν. ἐπ’ αὐτῶν γε μὴν τῶν κακοήθων πτυσμάτων οὐκέτι προσέθηκε τὸ ʻμὴ πεπέφθαι’ (καίτοι γε ἀντέκειτο τοῦτο τῷ ʻπεπαίνεσθαι’), μόνῳ δ’ ἠρκέσθη τῷ μὴ ἐκχωρεῖν, ἱκανὸν εἶναι γνώρισμα αὐτὸ τῆς κακοηθείας τοῦ νοσήματος ὑπολαβών, ὡς τό γε πτύεσθαι μόνον ἢ πεπέφθαι μόνον οὐδέτερον ἱκανόν. ὅτι καὶ πτύεται

7 κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν] *II 1, 7 (V 76, 19 sq. L.)* 10 ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν] *I 2, 5 (II 634, 2 sq. L.)*

1 περιγένοιτο VRPF: περιγίγνοιτο *Hipp.* τάχιστα ἀνωδύνως ἂν (*om.* V) VF: τάχιστ’ ἂν ἀνωδύνως P: τάχιστα καὶ ἀνωδύνως R: ἀνώδυνος τάχιστα *Hipp. Aldus*: ἀνώδυνος τάχιστα ἂν *a Basil. edd.* 2 τὸ *(prius) superscr.* P^2 εἰ VRPF *Hipp.*: ἢν *ab Aldo edd.* πτύαλον F ἐκχωρέοι V: ἐκχωρέῃ PF: ἐγχωρέοι R καλῶς *add. ex Hipp. ab Aldo edd.*: *om.* VRPF *(sed cf. infra p. 321, 10)* μηδὲ VRF: μήτε P 3 ἔχειν P γενέσθαι P *Hipp. et ab Aldo edd.*: γενήσεσθαι VRP^2F, *at infra p. 321, 16* γενέσθαι *codices* γεν. χωλὸν VRPF: χωλὸν γεν. *ex Hipp. ab Aldo edd.* 4 πολλῷ πράγματι *(sic)* R 5 περὶ τῶν ἐν τοῖς σκέλεσιν ἀποστημάτων ἐκ τῶν περιπνευμονικῶν νοσημάτων γινομένων *inscrib. in mrg.* R περιπνευμονιῶν (περι *superscr. man. 2*) V εἰς VRPF: ἐς *edd.* 7 ὑπάρχῃ V τὸ *(alt.) om.* R ἀποστάσεων *corr. ex* ὑποστάσεων V 8 ἄριστοι P *post* καὶ *add.* αἱ VRF: *om.* P 9 νούσου F μᾶλλον VRF: μάλιστα P πέψει (ει *in ras.*) P γένωνται VRPF: γίνονται *Aldus Basil.*: γίνωνται *Chartier* 11 κρίσιος P *Hipp.*: κρίσεως VRF *post* κρίσιος *inser.* καὶ *Hipp.*: *om.* VRPF ἐνδείκνυται] ται *in ras.* P *post* δὲ *inser.* καὶ P 12 ἄλυπος V^2PF: ἀλύπως VRP^2 13 δαψιλὴς V^2PF: δαψιλῶς VRP^2 γενομένη VF τοῦ F: *superscr.* V^2: *om.* RP ἐκχωρέοντα R 14 ἔξω VRF: ἄνω P εἰς VR: ἐς PF 15 οὕτως VRF: οὑτωσί P 17 χωλανθείη V: χολανθείη RP: χωλωθείη F 18 κατὰ VRP: διὰ F ἐνταῦθα VRPF: ἐνταυθοῖ *edd.* 18. 19 τῆς ἀπεψίας οὐχ ἓν σημεῖον VRPF: οὐχ ἓν τῆς ἀπ. σημεῖον *edd.* 21 γε P: *add. in mrg.* V^2: *om.* RF 22 τούτῳ R τῷ] τὸ R πεπαίνεσθαι VRP: πεπέφθαι F 24 γε πεπτύεσθαι *(sic)* R μόνον . . . πτύεται *om.* F

πολλάκις αὐτάρκως ἔτι ἀπέπτου τοῦ νοσήματος ὄντος καὶ πέττεται μὲν ἐνίοτε τὸ νόσημα, πτύεται δ' οὐκ αὐτάρκως τὰ πτύελα, ποτὲ μὲν ἐπ' ἀρρωστίᾳ τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἐνίοτε δὲ διὰ πάχος ἢ γλισχρότητα τοῦ πύου καί ποτε δι' ἀμφότερα συνελθόντα, τήν τε τῆς δυνάμεως ἀρρωστίαν καὶ τοῦ πύου τὴν ποιότητα. χρὴ τοίνυν καὶ πεπέφθαι τὸ νόσημα καὶ πτύεσθαι καλῶς τὰ πτύελα κατὰ τὰς ὑγιάζεσθαι μελλούσας διαθέσεις. κατὰ μέντοι τὰς ἐναντίας ἱκανὸν γνώρισμα καὶ τὸ μὴ πτύεσθαι μόνον. ἐκ περιουσίας δ' ἂν ἐν αὐταῖς ταύταις ἡ διάγνωσις γένοιτο τῆς κακοηθείας τοῦ νοσήματος, εἰ σὺν τῷ μὴ πτύεσθαι καλῶς μηδὲ κενοῦσθαι τὰ κατὰ τὸν πνεύμονα καὶ θώρακα, προσείη | τινὰ καὶ τῆς ἀπεψίας τοῦ χυμοῦ γνωρίσματα. πρόδηλον γὰρ ὅτι χαλε- **218**
πωτέρα μέν ἐστιν ἡ διάθεσις, ἐφ' ἧς οὔτε πτύουσιν ἥ τε ἀπεψία διαμένει, μετριωτέρα δέ, καθ' ἣν πέττεται μέν, οὐχ ἱκανῶς δὲ ἀναπτύουσιν οὐδὲ καθαίρονται τελέως. ὅτι δὲ εἰς ἄρθρα μάλιστα τὰς ἀποστάσεις γίνεσθαι συμβέβηκεν, ὅπερ κἀν ταῖς Ἐπιδημίαις ἔγραψεν, ἐδήλωσε κἀνταῦθα κατὰ τὸ πάρεργον εἰπών· κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρον. αἰτία δὲ τῶν τοιούτων ἀποστάσεων ἡ εὐρυχωρία τῶν ἄρθρων ἐστὶν ὑποδεχομένη τὰ κατασκήπτοντα ῥεύματα, δύναται δέ τι καὶ ἡ κίνησις αὐτῶν συντελεῖν· πρὸς γὰρ τὰ κινούμενά τε καὶ θερμαινόμενα ῥᾷον ἀφικνοῦνται πάντες οἱ χυμοί.

II 68 [18. II 162, 1 L.] Ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, πυρετοῦ δὲ ἔχοντος, δεινόν· κίνδυνος γάρ, μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. |

Τὸ ἀφανισθῆναί τινα τῶν παρὰ φύσιν ὄγκων εἰπεῖν οὐ ταὐτὸν **219**
σημαίνει τῷ 'παύσασθαι' φάναι. γενικώτερον μὲν γάρ τι δηλοῖ τὸ παύσασθαι, τὸ δ' ἀφανισθῆναι τοῦ διὰ ταχέων παύσασθαι καὶ οἷον ἐξαίφνης

15 κἀν ταῖς Ἐπιδημίαις] *II 1, 7 (V 76, 17 sqq. L.)* 16 εἰπών] *Prognost. 18 (II 160, 14 sq. L.); cf. supra p. 320, 3*

1 ἔτι *omissum add. in mrg.* P² ἔτι τοῦ νοσήματος ἀπέπτου ὄντος V *(hiat)* πέττεται RP: πέπεπται F: πέ////πται (πε *superscr.*) V 2 τὰ πτύελα VRPF: τὸ πτύελον *edd.* 4 πύου VRF: πτύου (ου *in ras.*) P: πτυέλου *in mrg.* V² *post* ποτε *inser.* καὶ P τήν] τής *(sic)* R 5 ἀρρωστίας R 6 καλῶς *omissum superscr.* P² 8 ἂν *omissum superscr.* P² 10 *post* καλῶς *inser.* ἤγουν *Aldus* τὸν θώρακα καὶ πνεύμωνα *(sic)* R προσείη VP: προσεῖναι RF 11 γνωρίσματα (τα *superscr. man. 2*) P γὰρ *om.* F 12 μὲν ἡ διάθεσις ἐστὶν P ἥ τε] οὔτε F 13 ἣν VRPF: ὧν *edd.* πέττεται RP: *item sed supra rasuram* V²: πέπεπται FV³ *in mrg.* ἀναπτύουσιν VRF: *superscr.* P²: ἀποπτύουσιν P 15 ἔγραψεν VRF: γέγραφεν P 19 τε RF: *superscr.* P²: *eras.* V 22 μὴ VPF *Hipp.*: *om.* R 22. 23 πυρετοῦ δὲ (δ' P) VRP: τοῦ πυρετοῦ τε F: τοῦ τε πυρετοῦ *ab Aldo edd.*: καὶ τοῦ πυρετοῦ *Hipp.* 23 *post* γὰρ *inser.* ἂν R παραφρονήσει R 24 ἀποθάνει R 25 τὸ ἀφανισθῆναί τι| *corrosa suppl.* V³ 26 παύσασθαι *(prius)* VRF: παύεσθαι P 27 διὰ ταχέως (ως *in ras.* P) VRPF: *corr. Diels (cf. p. 336, 16)* ἐξαίφνης . . . διὰ *(p. 322, 1) om.* F

ἐστὶ δηλωτικόν. ἐνίοτε μὲν οὖν γίνεται τοῦτο διὰ λεπτότητα χυμοῦ καὶ ἀραιότητα μορίου καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμότητα καὶ τὴν ἰσχὺν τοῦ προσαχθέντος φαρμάκου καὶ τῆς τοῦ κάμνοντος δυνάμεως τὴν ῥώμην. ἐὰν γὰρ ἅμα πάντα συνέλθῃ τὰ εἰρημένα, διαφορηθήσεται ταχέως ὁ παρὰ φύσιν ὄγκος. ὡς τὰ πολλὰ δὲ τὸ ἀφανίζεσθαι τὰ τοιαῦτα συμβαίνειν εἴωθε μεταρρεόντων τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἤτοι γ' εἰς τοὺς αὐτοὺς τόπους, ὅθεν ὥρμησαν, ὅπερ ἰδίως ὁ Ἱπποκράτης ὀνομάζει παλινδρομεῖν, ἢ καί τινας ἄλλους ἐν τῷ βάθει τοῦ σώματος ὄντας. ὡς οὖν ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων τὸ ἀφανίζεσθαι τοὺς παρὰ φύσιν ὄγκους γινόμενον ἐναντιωτάτην ἔχει καὶ τὴν τελευτήν, ἤτοι γε ἀπαλλαγὴν ταχίστην ἐνδεικνύμενον τῶν λυπούντων ἢ χειρίστην διάθεσιν ἐπανερχομένων αὐτῶν ἐπὶ τὰ κυριώτερα μέρη.

220 ταῦτα μὲν | οὖν κοινὰ πασῶν ἀποστάσεων. ὁ διορισμὸς δὲ κοινὸς μὲν καὶ αὐτός ἐστι τῶν ἀφανιζομένων, ἐπισκέπτεσθαι δὲ χρὴ τὰ ἄλλα σημεῖα καὶ μάλιστα τὰ τῶν πεπονθότων μορίων οἰκεῖα. νυνὶ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ὁ ἴδιος εἴρηται διορισμὸς πρὸς Ἱπποκράτους ἐχόμενος δηλονότι τῶν κοινῶν. ἔφη γοῦν οὕτως· "ἢν δὲ ἀφανίζωνται αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, πυρετοῦ δὲ ἔχοντος, δεινόν". εὔδηλον γὰρ ὅτι πρὸς τὸ βάθος ἀπεχώρησαν εἰς τόπους κυρίους, ὡς, εἴ γε διεφορήθησαν, οὔτ' ἂν ἐπύρεττον ἔτι καὶ ῥᾳδίως ἔπτυον. εὔλογον οὖν ἐστιν ἐπὶ τὸν πνεύμονα τούτοις πᾶν ἀποχωρῆσαι τὸ ῥεῦμα. διὸ καὶ παραφρονεῖν αὐτοὺς εἰκός ἐστιν, ἐπειδὴ καὶ τοῦθ' ἕν τι τῶν ἐπὶ πνεύμονι τὰ τοιαῦτα πάθη πάσχοντι συμβαινόντων ἐστίν. ὅτι δὲ δυσπνοοῦντες τεθνήξονται, παρέλιπεν εἰπεῖν εἰδὼς αὐτὸ νοηθησόμενον ἡμῖν ἐκ τῶν προειρημένων. |

5 *schol.* R: ὅτι ἀφανίζονται τὰ ἀποστήματα πολλ(ά)κ(ις) τῆς ὕλης παλινδρομούσης εἰς τοὺς αὐτοὺς τόπους ὅθεν ὥρμησαν 8 ὀνομάζει] *cf. A. Foesii Oecon. Hipp. s. v.* 13 *schol.* R (*ad* διορισμός): διορισμὸν λέγει τὸν ἐκ τῆς πέψεως καὶ τῆς ἀπεψίας 17 ἔφη] *cf. supra p. 321, 21 sqq.*

1 χυμοῦ *corr. in* χυμῶν P² 4 συνέλθῃ VPRF: συνέλθοι *edd.* 6 συμβαίνειν *supra rasuram* V²: *ex corr.* P εἴωθε συμβαίνειν *edd.* ἐργαζομένων PF: ἐργασαμένων VR 8 ὀνομάζει *post* ἰδίως *(7) colloc.* P 9 *post* ὄντας *perperam add.* εἴωθε συμβαίνειν P: *item sed. eras.* V οὖν ὑπὸ τῶν ἐναντιωτάτων VRP: ὑπεναντιωτάτων οὖν F 10 γινόμενος *Chartier* καὶ VRF: *superscr.* P² 11 ἤτοι γε RF: *omissa superscr.* V²: *corr. in* τοῖς P *ante* ἀπαλλαγὴν *add.* τοῖς V ἐνδεικνύμενον (ον *supra rasur.*) V: ἐνδεικνυμένην P 12 ἢ RF: *supra rasur.* (οὐ *eras.*) V¹: οὐ (*in ras.*) P αὐτῶν *omissum add. in mrg.* P κυριώτερα VRF: *corr. ex* κύρια P²: κύρια *edd.* 13 μὲν *omissum superscr.* V² 14 δὲ *superscr.* V²: *add.* P² 15 καὶ *superscr.* P² 16 *post* ὁ *add.* μὲν F εἴρηται διορισμὸς πρὸς *resecta suppl.* V³ 17 οὗτος R 18 *ante* πυρετοῦ *inser.* τοῦ F δὲ VRP²: τε V²F ἔχοντος *adscrips. in mrg. deleto* ὄντος V² 19 εὔδηλον VRF: δῆλον P πρὸς VRF: εἰς P 20 κυρίους *corr. ex* κυρίως P οὔτ' *corr. ex* οὐκ F¹ 21 ἐστιν *om.* P πνεύμονα (ύμονα *in ras.*) V πᾶν P: *om.* VRF ἀποχωρῆσαι VRP: ἀποχωρεῖν F: ὑποχωρῆσαι *edd.* 22 ἐπειδὴ VRF: ἐπεὶ (δ *superscr. man. 2*) P: ἐπεὶ *edd.* 24 δὲ *superscr.* P² παρέλειπεν R 25 ἡμῖν RPF: *om.* V

II 69 [18. II 162, 4 L.] Τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περι- 221 πνευμονικῶν νοcημάτων οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται· ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνῄcκουcι.

Γεραιτέρουc οὐχ ἁπλῶc τοὺc γέρονταc, ἀλλὰ παραβλητικῶc ἢ cυγκριτικῶc ἢ ὅπωc ἄν τῳ φίλον ὀνομάζειν, ἀκουcτέον ἐcτὶν ὡc πρὸc τοὺc νέουc. οἱ μὲν γὰρ ἤδη προήκοντεc ἱκανῶc κατὰ τὴν ἡλικίαν οὐδ' ἐξ ἑνὸc νοcήματοc μᾶλλον τῶν νεωτέρων διαcῴζονται. τοὺc δὲ μεταξὺ τούτων τε καὶ τῶν ἀκμαζόντων, οἵπερ εἰcὶν οἱ 'μεcαιπόλιοί' τε καὶ 'ὠμογέροντεc' ὀνομαζόμενοι, διαcῳζομένουc ἔcτιν ἰδεῖν ἐνίοτε μᾶλλον τῶν ἀκμαζόντων, ὥcπερ αὐτὸc ὁ Ἱπποκράτηc ἐδίδαξεν ἐπί τε τῶν ἐν τοῖc ὠcὶ φλεγμονωδῶν διαθέcεων καὶ νῦν ἐπὶ τῶν ἐμπύων τῶν ἐκ περιπνευμονίαc. ἐν μὲν γὰρ τούτοιc ἐπειδὴ διὰ τοῦ πτύειν ἡ ἴαcίc ἐcτιν ἰcχυρᾶc δυνάμεωc δεομένη, διὰ τοῦτο μᾶλλον οἱ νέοι τῶν πρεcβυτέρων cῴζονται. | κατὰ δὲ τὰ ἄλλα cυμβαίνει φθάνειν ἀποθνῄcκειν 222 τοὺc νεωτέρουc ἐπὶ τοῖc πόνοιc τε καὶ πυρετοῖc, ὅπερ αὐτὸc εἶπεν ἐπὶ τῶν ὤτων. "οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροcύναι ἧccον αὐτοῖcιν ἐπιγίνονται καὶ τὰ ὦτα φθάνει διὰ τοῦτ' ἐκπυηθέντα". οἱ δὲ νεώτεροι, φηcί, πρὶν ἐκπυηθῆναι τὸ οὖc οἱ πολλοὶ ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥυῇ τὸ πῦον ἐκ τοῦ ὠτόc, ἐλπὶc περιγενέcθαι. κἀπὶ τῶν ἄλλων οὖν ἐμπυημάτων κατ' αὐτὸν τὸν τοῦ διαπυΐcκεcθαι χρόνον οἱ νεώτεροι φθάνουcιν ἀποθνῄcκειν ὑπὸ μεγέθουc τῶν πυρετῶν καὶ τῆc ὀδύνηc.

9 μεcαιπόλιοι] *Hom. Il.* Ν 361 10 ὠμογέροντεc] *ibid.* Ψ 791 11 ἐδίδαξεν] *18 (II 174, 1sqq. L.)* 16 εἶπεν] *Prognost. 23 (II 174, 7sq. L.); cf. infra p. 346, 22—24*

1 ὅτι οἱ προήκοντεc κατὰ τὴν ἡλικίαν οὐδ' ἐξ ἑνὸc νοcήματοc μᾶλλον τῶν νέων διαcῴζονται *inscrib. in mrg.* R ἐκ τῶν *expunx.* P περιπνευμονικῶν RF: περι *superscr. man. 2* V: πνευμονῶν (περι *expuncto*) P 2 νοcημάτων VR: *superscr.* P²: νουcημάτων *ab Aldo edd.*: *om.* F *Hipp.* 3 ἐκ RF *Hipp.*: ἐπὶ VP 6 ἐcτὶν ἀκουcτέον P 7 τοὺc VRF: *superscr.* P²: *om. edd.* 9 τε *(prius) superscr.* P² οἵπερ (οἵ *supra rasuram*) V 11 ὁ RPF: *om.* V 12. 13 ἐπὶ τῶν ἐκ περιπνευμονίαc ἐμπύων P 12 τῶν *(alt.)* RF: *om.* VP 13 γὰρ *superscr.* P² τοῦ VRPF: τὸ *edd.* ἡ *om.* VP 14 νέοι VRF: νεώτεροι P 15 cῴζονται VRPF: διαcῴζονται *edd.* τὰc ἄλλαc F ἀποθνῄcκειν VRP²F: ἀποθανεῖν P 17 αὐτοῖcιν VRF: αὐτέοιcιν P 18 ἐπιγίνονται VRP: διαγίνονται F διὰ τοῦτο φθάνει P ἐκπυηθέντα VRP: ἐκπυέοντα F 19 ἐκπυηθῆναι VRP: ἐκπυῆcαι F 20 τὸ RF: *om.* VP 21 ἐκπυημάτων F διαπυΐκεcθαι V 22 *post* ὑπὸ *add.* τοῦ F

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ

III 1 [19. II 164, 4 L.] Αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀϲφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουϲαι, ὀλέθριον κάρτα. προϲέχειν οὖν δεῖ τὸν νοῦν καὶ τοῖϲιν ἄλλοιϲι ϲημείοιϲιν, ὡϲ ἤν τι καὶ τῶν ἄλλων ϲημείων πονηρὸν ἐπιφαίνηται, ἀνέλπιϲτοϲ ὁ ἄνθρω-
223 ποϲ. | εἰ δ' ἀνιόντοϲ τοῦ νοϲήματοϲ ὡϲ πρὸϲ τὰϲ φρέναϲ καὶ τἄλλα ϲημεῖα μὴ πονηρὰ ἐπιγίνοιτο, ἔμπυον γενέϲθαι πολλαὶ ἐλπίδεϲ τοῦτον.

Τὸ τῶν φρενῶν ἅπτεϲθαι τινὲϲ μὲν ἐπὶ τοῦ παραφρονεῖν εἶπον, ὡϲ εἰ καὶ οὕτωϲ εἶπεν· αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀϲφύν τε καὶ τὰ κάτω χωρία, ἐὰν ἐπαναβᾶϲαι παραφροϲύνην ἐργάϲωνται, χαλεπαί. τινὲϲ δὲ ἄμεινον τούτων τὸ μόριον τοῦ ϲώματοϲ ἐκεῖνο

1. 2 Ἀρχὴ τοῦ τρίτου τμήματοϲ. ὑπόμνημα τρίτον (ὑπ. τρ. *om.* F) VRF: Γαληνοῦ εἰϲ τὸ τρίτον τοῦ προγνωϲτικοῦ Ἱπποκράτουϲ P *titulum scripsi formam tituli libri I secutus. In Charteriana non hinc, ut in omnibus codicibus Graecis, sed ab enarrando cap. 20 Prognostici (II 168, 6) infra p. 328, 1 tertius commentarii liber incipit* 3 περὶ τῶν πυρετωδῶν ὀδυνῶν *inscribit* F *in mrg.* ξὺν P *(Gal. infra v. 12) Hipp.*: ϲὺν VRF ὀδύναι γινόμεναι VRPF *(ut Galen. infra v. 12)*: γενόμεναι ὀδύναι *ab Aldo edd.*: γιγνόμεναι ὀδύναι *Hipp.* 5 ἅπτωνται] ἅπαντα *sed superscr. man. ead.* ἅπτονται P ὀλέθριον VRPF: ὀλέθριαι *ex Hipp. ab Aldo edd.* 6 δεῖ] χρὴ V νοῦν VRPF: νόον *ex Hipp. ab Aldo edd.* καὶ *om. cum Hipp. ab Aldo edd.* τοῖϲ V δεῖ καὶ τοῖϲιν ἄλλοιϲημείοιϲι *(sic)* τὸν νοῦν *sed transp. ipse* P 7 πονηρὸν ἐπιφαίνηται VRPF *et ab Aldo edd.*: ἐπιφαίνηται πονηρόν *Hipp.* *post* ἄνθρωποϲ *inser.* ὁκόϲοι δὲ τῶν ἐμπύων καίονται, οἷϲιν ἂν μὲν καθαρὸν τὸ πῦον ᾖ καὶ λευκὸν καὶ μὴ δυϲῶδεϲ, ϲώζονται· οἷϲι δὲ ὕφαιμόν τε καὶ βορβορῶδεϲ ἀπόλλυνται *cum deterioribus codicibus Hippocratis ab Aldo edd. Hunc aphorismum VII 45 (IV 590, 4 sqq. L.), quippe quem Galenus hic non enarraverit, seu a librario seu a lectore quodam cum in Prognosticum (II 162, 6 L.) tum in Galeni commentarium interpolatum esse vidit Cornarius* 8 εἰ VRPF: ἢν *Hipp.* ἀνιόντοϲ VRPF: ἀναΐϲϲοντοϲ *ex Hipp. ab Aldo edd.* καὶ VRP: *om.* F *Hipp.* 9 ἐπιγίνοιτο VP: ἐπιγένοιτο F: ἐπιγίνηται R: ἐπιγίγνηται *Hipp.* γενέϲθαι RPF *(ut Galen. infra p. 325, 3)*: γενήϲεϲθαι V: ἔϲεϲθαι *ex Hipp. ab Aldo edd.* 11 διδαϲκαλία μεταϲτάϲεωϲ νόϲου ἀπὸ τῶν κάτω μερῶν πρὸϲ τὸν θώρακα *in mrg.* R τὸ RP: *add. in mrg.* V²: *om.* F *post* τὸ *add., sed ipse expunx.* ἢν P ἅπτεϲθαι VRP²F: ἅπτωνται V²: ἅπτονται P εἶπον VRP: ἤκουϲαν F 13 τε *om.* P ἐργάϲωνται VRPF: ἐργάζωνται *edd.* 14 τῶν μορίων F ἐκεῖνο VRF: τοῦτο P: *om. edd.*

φρένας εἰρῆcθαί φαcιν, ὃ δὴ καὶ διάφραγμα προcαγορεύεται. μαρτύριον δὲ τῆc ἀληθείαc τοῦ λόγου τὸ κατὰ τὴν τελευτὴν εἰρημένον τοῦ λόγου, ἔνθα φηcίν· ἔμπυον γενέcθαι πολλαὶ ἐλπίδεc τοῦτον. βούλεται γὰρ ἀνελθόντοc τοῦ νοcήματοc ἐπὶ τὸν θώρακα δυοῖν θάτερον, ἢ εὐθέωc ἀπολέcθαι τὸν ἄνθρωπον ἤ, εἰ εἰc τὰ βέλτιcτα προάγει, πάντωc γοῦν ἔμπυον ἔcεcθαι, διορίζεται δὲ ταῦτα τοῖc ἄλλοιc cημείοιc. | εἰ μὲν γὰρ 224
εἴη μὴ πονηρά, γένοιτ᾽ ἂν ἔμπυοc· εἰ δὲ καί τι μοχθηρὸν ἐπιφανείη, τεθνήξεται πάντωc.

III 2 [19. II 166, 1 L.] Κύcτιεc δὲ cκληραὶ καὶ ἐπώδυνοι δειναὶ μὲν πᾶcαι καὶ ὀλέθριαι· ὀλεθριώταται δὲ ὅcαι cὺν πυρετῷ cυνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ᾽ αὐτῶν τῶν κύcτεων πόνοι ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουcιν ἐπὶ τῶν τοιούτων.

Εἴρηταί μοι πολλάκιc ὡc τὸ τῆc φλεγμονῆc ὄνομα κατὰ τῆc φλογώcεωc ὁ Ἱπποκράτηc ἐπιφέρει, λόγῳ δηλῶν, ἣν ὁ Ἐραcίcτρατόc τε καὶ οἱ μετ᾽ αὐτὸν ὀνομάζουcι μιᾷ προcηγορίᾳ ʽφλεγμονήνʼ, ὥcπερ ἀμέλει καὶ νῦν εἶπε· κύcτιεc δὲ cκληραὶ καὶ ἐπώδυνοι.

διὰ τί δὲ χαλεπὰc ἔφη τὰc τοιαύταc εἶναι διαθέcειc καὶ μάλιcθ᾽ ὅταν ὁ πυρετὸc ὀξὺc ᾖ, cαφῶc αὐτὸc ἐδήλωcε τό τε μέγεθοc αἰτιαcάμενοc τῶν πό|νων καὶ τὴν τῶν διαχωρημάτων ἐπίcχεcιν. ἐπέχεται δὲ 225
διὰ τὴν cτενοχωρίαν τοῦ ἀπευθυcμένου καὶ τὴν ὀδύνην τῆc κύcτεωc.

1 προcαγορεύεται] *cf. supra p. 238, 19 sq. et p. 245, 25 sq.* 14 πολλάκιc] *e. g. supra p. 238, 18; 247, 12 sq.; cf. etiam Galen. XVII B 121, 14 sq. K.; 878, 1 sqq. K.; XVIII B 548, 1 sqq. K.; 882, 17 K.*

1 προcαγορεύται V 2 τελευτὴν εἰρημένον τοῦ λόγου VR: τελευτὴν τοῦ λόγου εἰρημένον *edd.*: *item sed ipse transp.* P τοῦ λόγου VRP: *om.* F: *deleverim* 5 εἰ εἰc (*superscr.* P[2]) τὰ RP: εἰ τὰ *(in ras.)* V *(repet. etiam in mrg.)*: εἰc τὰ F προάγει R: προάγοι *a Basil. edd.*: προάγειν F: πράττει V: πράττειν *ex corr.* P 6 μὲν *om.* R 7 γένητ᾽ R καί P: κἂν ἓν VRP[2]F 9 περὶ κύcτεωc φλεγμαινούcηc *inscrib.* R: περὶ κύcτεων F κύcτιεc *ex corr.* P *post* cκληραί *add.* τε *ex Hipp. ab Aldo edd.* 10 πᾶcαι VRPF: παντελῶc *ex Hipp. ab Aldo edd.* καὶ ὀλέθριαι (*corr. ex* ∼ιοι R[1]) R *Hipp.*: καὶ ὀλέθριοι F: *om.* VP: *deleverim* ὀλεθριώταται] ὀλέθριαι P δὲ *omissum superscr.* P[2] ὅcαι VRPF: ὁκόcαι *ex Hipp. ab Aldo edd.* cὺν VRF: ξὺν P *Hipp.* 11 γίνονται *resectum suppl.* V[3] αὐτων VRP: αὐτέων F *Hipp.* 12 ἱκανοὶ *evanidum suppl.* V[3] κοιλίεc *(sic)* R 12. 13 ἐπὶ τῶν τοιούτων *recte* VRP *Basil.*: ἐν τῷ τοιούτῳ χρόνῳ F: ἐν τουτέῳ τῷ χρόνῳ *Hipp. Aldus*: ἐπὶ τῶν τοιούτων καὶ ἐν τουτέῳ χρόνῳ *Chartier* *deinde add.* εἰ μὴ cκληραί (cκληρά *Hipp.*: cκληρόν *Chartier*) τε καὶ πρὸc ἀνάγκην *ex Hipp. ab Aldo edd.* 14 ἐμοὶ (ε *add. man. 2*) P 15 ὁ Ἱπποκράτηc *post* ὄνομα *coll.* P[2] ἣν ὁ *om.* F 16 τε] δὲ F 18 χαλεπὰc ἔφη τὰc τοιαύταc VRF: τὰc τοιαύταc ἔφη χαλεπὰc P διαθέcειc εἶναι VR 19 ὁ *om.* P ᾖ P: εἴη VRF 19. 20 τῶν πόνων αἰτιαcάμενοc P 20 διαχωρημάτων RF: κοπρῶν P: οὔρων καὶ κόπρων *sed his inclusis superscr.* τῆc κοιλίαc V[2]: διαχωρημάτων καὶ οὔρων *a Basil. edd.* ἐπέχεται] ἕπεται F

ἀφίςτανται γὰρ οἱ κάμνοντες τῆς ἐνεργείας, ὅταν εὐθέως ἀρχομένης αὐτῆς ὀδυνᾶςθαι ςυμβῇ. καὶ τοῦτο κοινόν ἐςτιν ἁπάντων τῶν πόνων. τό γε μὴν ὀδυνᾶςθαι ποτὲ μὲν αὐτῶν τῶν ἐνεργούντων ὀργάνων φλεγμαινόντων, ἐνίοτε δὲ τῶν ςυνεχῶν αὐτοῖς γίνεται. οὕτως γοῦν ἀναπνέοντες ἀλγοῦςιν ἐπὶ φλεγμονῇ ςπληνὸς καὶ γαςτρὸς ἥπατός τε καὶ τῶν ἐν ὑποχονδρίῳ μυῶν. καὶ διὰ τοῦτο ἀναγκάζονται δυςπνοεῖν εἶδος δυςπνοίας ἐκεῖνο, καθʼ ὃ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. εἴρηται δʼ οὐ ταύτης μόνης τῆς δυςπνοίας, ἀλλὰ καὶ τῶν ἄλλων ἁπαςῶν ἑκάςτης ἡ αἰτία κατὰ τὸ Περὶ δυςπνοίας πρῶτον.

III 3 [19. II 166, 5 L.] Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν λευκὴν καὶ λείην ἔχον ὑπόςταςιν. |

226 Ὅταν ἡ τῆς κύςτεως φλεγμονὴ πεφθῇ, ςυρρέουςιν εἰς τὴν ἔςω χώραν αὐτῆς οἱ πεφθέντες χυμοί, ςυνεκκρίνονται δὲ δηλονότι τοῖς οὔροις τὸ γνώριςμα τῆς ἀγαθῆς πέψεως ἐν ταῖς ὑποςτάςεςιν ἔχοντες.

III 4 [19. II 166, 6 L.] Εἰ δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη μήθʼ ἡ κύςτις μαλάςςοιτο ὅ τε πυρετὸς ξυνεχὴς εἴη, ἐν τῇςι πρώτῃςι περιόδοιςι τοῦ νοςήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέςθαι.

Τὸ μὲν μήτε τὴν κύςτιν μαλαχθῆναι καὶ τὸν πυρετὸν διαμένειν εὔδηλον, τὸ δὲ μὴ τὸ οὖρον ἐνδοῦναι τῶν ἀςαφῶς εἰρημένων ἐςτίν. εἴωθε γὰρ ἐπί τε τῶν διαθέςεων καὶ τῶν ςυμπτωμάτων φέρειν

9 κατὰ τὸ Περὶ δυςπνοίας πρῶτον] *VII 760, 16 sqq. K.*

1 ἀρχομένοις VF 2 αὐτοῖς F: *item sed superscr.* ῆς V^2 εὐθέως *post* αὐτῆς *(2) colloc.* P ὀδυνᾶςθαι *ex corr.* V τῶν πόνων ἁπάντων ἐςτὶν P 3 αὐτῶν *omissum superscr.* V^1 4 φλεγμαινόντων *corr. ex* φλεγμαίνοντος P^2 5. 6 ςπληνὸς ἢ ἥπατος ἢ *(corr. ex* καὶ *man. 2)* γαςτρός τε καὶ τῶν ἐν ὑ. μ. *sed transp. ipse* P 5 *post* γαςτρός *inser.* ἢ *edd.* 6 ἐν RP: *superscr.* V^2: *om.* F ὑποχονδρίῳ RP: *corr. ex* ὑποχονδρίων V: ὑποχονδρίων F 7 εἶδος . . . ἐκεῖνο RF: *corr. ex* εἴδει . . . ἐκείνῳ V^1: εἴδει . . . ἐκείνῳ *edd.*: *om.* P καθὸ . . . ταύτης *(8) omissa superscr.* P^2 καὶ πυκνὸν *om.* F 8 δʼ οὐ VRPF: δὲ καὶ *edd.* *post* ταύτης *falso add.* δὲ P^2 μόνον] μόνον *deleto post* δυςπνοίας *add.* μόνης P δυςπνοίας *resectum suppl.* V^3 9 *post* περὶ *add.* τῆς *edd.* 10 οὐρηθὲν *ex corr.* P λευκὴν *corr. ex* λευκὸν V^2 11 *post* ἔχον *inser.* τὴν F *Hipp.*: *om.* VRP 12 ἔςω *ex corr.* P 13 ςυνεκκρίνονται δὲ VRP: καὶ ςυνεκκρίνονται F *post* δηλονότι *superscr.* καὶ P^2 14 *post* ταῖς *add. sed ipse del.* ἀγαθαῖς P ἴςχοντες F 15 εἰ VRPF: ἢν *ex Hipp. ab Aldo edd.* τὸ *ex corr.* P τῷ οὔρῳ *Aldus* μηδὲν *superscr.* P^2 ἐνδιδοίη VRF: *superscr.* P^2: ἐνδώςει P 16 κύςτις *ex corr.* V μαλάςςοιτο V^2 *Hipp.*: μαλθάςςοιτο F: μαλαχθήςεται VRP ςυνεχὴς P εἴη VR: *in ras.* P: ᾖ F *Hipp.* 16. 17 τοῖςι πρώτοιςι R 17 νουςήματος *ex Hipp. a Basil. edd.* 20 εὔδηλον RF: εὔδηλα (α *in ras.*) V: εὐδῆ$^{\lambda}$ *ambigue* P μὴ RF: *om.* VP τὸ *(alt.)* VRP: τὸν F: *om. edd.* *post* δὲ *inser.* μὴ RF *post* οὖρον *inser.* μηδὲν *edd.* 21 τε *om.* F

τοὔνομα, καθάπερ καὶ οἱ ἄλλοι πάντες οἱ μετ᾽ αὐτόν, ἐνδοῦναι τὴν φλεγμονὴν καὶ τὸν ὄγκον καὶ τὴν σκληρότητα καὶ τὴν τάσιν καὶ τὴν ὀδύνην λέγοντες. οὐ μὴν τό γε οὖρον ἐνδοῦναί τις εἶπεν. ἴσως οὖν ἀπὸ τῶν προειρημένων ὁ Ἱπποκράτης μετήνεγκε | 227 τὴν προσηγορίαν ἐπὶ τὸ οὖρον, ἵνα τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ μετάστασιν οὕτως ἀκούσωμεν. ὅπερ εἰ συγχωρηθείη, καὶ τὴν ἐξ ἐπισχέσεως κένωσιν εἰρῆσθαι πρὸς αὐτοῦ δυνατόν ἐστιν, ἵνα συνεπινοήσωμεν ἐπὶ τῆς φλεγμαινούσης κύστεως ἐπεσχῆσθαι τὸ οὖρον. εἴωθε γὰρ καὶ τοῦτ᾽ ἐνίοτε συμβαίνειν, ὁπότε καὶ δεινῶς ὀλέθριόν ἐστι τὸ νόσημα, καὶ σπανίως ἐξ αὐτοῦ διασῴζονται. αὕτη μὲν ἡ γραφὴ τῆς ῥήσεως ἔν ἄλλοις τέ τισίν ἐστι καὶ τοῖς κατὰ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκουρίδην ἀντιγράφοις, ἐν ἑτέροις δὲ ἡ λέξις οὕτως ἔχει· ἣν δὲ μήτε οὖρον ᾖ μηδὲν μήτ᾽ ἐνδιδῷ ὁ πόνος, ὥστε μηδὲν ἔχειν ζήτημα μήδ᾽ ἀμφίβολον εἶναι τὸ λεγόμενον.

III 5 [19. II 168, 3 L.] Ὁ δὲ τρόπος οὗτος μάλιστα τῶν παιδίων ἅπτεται τῶν ἀπὸ ἑπτὰ ἐτέων, ἔστ᾽ ἂν πεντεκαιδεκαετέες γένωνται.

Διὰ τὰς ἀκαίρους τε καὶ πολλὰς ἐδωδὰς ἀθροίζεται πλεῖστος ὁ καλούμενος ὠμὸς χυμὸς ἐν τοῖς τῶν παιδίων σώ|228 μασιν. οὗτος οὖν διὰ τῶν νεφρῶν ἐκκαθαιρόμενος ὁσημέραι καὶ μέντοι καὶ διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ἀθροιζόμενος ἐνίοτε μὲν [καὶ] λίθους ἐν αὐτῇ γεννᾶσθαι ποιεῖ, πολλάκις δὲ καὶ φλεγμονάς, ὅταν ποθ᾽ ἡ κύστις τύχῃ σφοδρότερον ὑπὸ τῆς συνεχοῦς τῶν τοιούτων χυμῶν διεξόδου κακωθεῖσα. |

2 καὶ τὴν σκληρότητα *om. sed add. in mrg. post* τάσιν *man. 2* P σκληρότητα VPF: σκληρίαν R 4 εἰρημένων F *post* προειρημένων *superscr.* ὡς ἔοικε P² 6 εἰ *corr. ex* η P² 7 πρὸς αὐτοῦ δυνατόν ἐστιν PF: δυνατόν ἐστι πρὸς αὐτοῦ VR συνεπινοήσωμεν VRPF: ἐπινοήσωμεν *Aldus Basil.* φλεγμονούσης *(sic)* V 8 ἐπεσχῆσθαι VPF: ἐπισχῆσθαι R: ἐπισχεῖσθαι *Aldus Basil.*: ἐπίσχεσθαι *Chartier* καὶ τοῦτ᾽ ἐνίοτε P: ἐνίοτε καὶ τοῦτο VRF 9 σπανίως] ς *prius add. man. 2* V διασῴζονται] δια *superscr.* P² 10 *post* μὲν *inser.* οὖν VRF ἐστι P: *om.* VRF 11 τε *om.* P 12 ἑτέροις VRP: ἄλλοις F *post* μήτε *inser.* τὸ F οὖρον ᾖ μηδὲν P: οὖρον εἴη μηδὲν VRF: οὐροίη μηδὲν *superscr.* V² ᾖ *falso repetitum del. ipse* P 13 ἐνδιδῷ F: ἐνδιδώῃ VR: ἐνδιδοῖ P: ἐνδιδοίη *edd.* ἀμφίβολον P: ἀμφιβολίαν VRF εἶναι P: *om.* VRF 15 μάλιστα τῶν παιδίων (*corr. ex* παίδων P²) ἅπτεται VRPF: ἅπτεται τῶν παιδίων μάλιστα *ex Hipp. ab Aldo edd.* 16 ἀπὸ ἑπτὰ ἐτέων RPF: ἑπταετέων V *Hipp.* ἔστ᾽ ἂν VRPF: ἕως ἂν *ex Hipp. Chartier post* ἂν *inser.* ἐς τὰ *ex Hipp. Chartier* πεντεκαιδεκαετέες VRP: πεντεκαίδεκα ἐτέων F: πεντεκαίδεκα ἔτεα *Hipp.*: πεντεκαιδεκαταῖα *ab Aldo edd.* 17 γένωνται VRPF *Hipp.*: γίνεται *Aldus Basil.* 18 τε *superscr.* P² 19 παιδίων VRF: *corr. ex* παίδων P²: παίδων *edd.* 21 καὶ VRF: *superscr.* P²: *om. edd.*: *inclusi* 22 φλεγμονάς *corr. ex* φλεγμονήν P² 23 ὑπὸ VRF: ἀπὸ P

229 **III 6** [20. II 168, 6 L.] Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμόν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται.

Δύο πραγματείας ἔχετε (πρὸς ὑμᾶς γὰρ λέγω τοῦτο τοὺς ἑταίρους, ὅσοι κατηναγκάσατέ με μὴ προῃρημένον ἐξηγήσεις γράψαι τῶν Ἱππο-
230 κράτους συγγραμμάτων), ἐν αἷς ἅπαντα περί | τε κρισίμων ἡμερῶν εἴρηται καὶ κρίσεων. ἴστε δ' ὅτι καὶ αὐτὰς οὐχ ὡς ἐκδοθησομένας, ἀλλ' ὡς παρ' ὑμῖν μόνοις ἐσομένας ἔγραψα. συνέβη δ' ἐκπεσεῖν αὐτὰς καὶ παρὰ πολλοῖς εἶναι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν ὑμῖν γενομένων. ὅθεν οὐδ' ἐξηγεῖσθαι προῃρούμην ἐν ὑπομνήμασιν οὐδὲν τῶν Ἱπποκράτους βιβλίων. ὅσα γὰρ εἰς τὴν τέχνην χρήσιμα παρ' αὐτοῦ μαθεῖν ἔδει, γέγραπταί μοι κατὰ πολλὰς πραγματείας ἅμα ταῖς οἰκείαις ἐξηγήσεσιν. ἐπεὶ δ' ἔνιαι τῶν λέξεων ἀσαφέστερον εἰρημέναι μοχθηρᾶς ἐξηγήσεως ἔτυχον, ὡς ἀρέσκειν ὑμῖν μηδένα τῶν γραψάντων ὑπομνήματα, βέλτιον δὲ αὐτῶν στοχάσασθαι τῆς Ἱπποκάτους γνώμης ἐδόκουν ὑμῖν ἐγώ, διὰ τοῦτό με καὶ διὰ γραμμάτων ἠξιώσατε, παρασχεῖν ὑμῖν, ἅπερ ἐν ταῖς διὰ λόγων συνουσίαις ἠκούσατε. κἀγὼ τοῦτ' αὐτὸ προεῖπον ὑμῖν, ὡς ἀναγκαῖον ἔσται τὰς ἐξηγήσεις ἀνωμάλους ἔσεσθαι μὴ πάσας ὁμοίως ἐξηγουμένου μου τὰς λέξεις, ἀλλὰ τελεώτερον μέν, ὑπὲρ ὧν οὐδαμόθι τῶν ἐμῶν πραγματειῶν ἐμνημόνευσα, διὰ κεφαλαίων δέ,
231 περὶ ὧν ἤδη τελέως ἐν ἐκείναις διῆλθον, ἵνα μὴ πολλάκις ὑπὲρ | τῶν αὐτῶν πραγμάτων ἀναγκάζωμαι γράφειν.

Ἐπεὶ τοίνυν ἅπαντα τὸν περὶ κρισίμων ἡμερῶν λόγον, ὡσαύτως δὲ καὶ τὸν περὶ κρίσεων ἐν δύο πραγματείαις διῆλθον, ἐνταυθοῖ μόνα

6 (*et* 24) Περὶ κρισίμων ἡμερῶν] *IX 769—941 K.* 7 (*et* 24) Περὶ κρίσεων] *IX 550—768 K.*

1 *ab* οἱ δὲ πυρετοὶ *tertium Galeni librum incipere recte iubent Cornarius Chartier* περὶ κρίσεως πυρετῶν *inscrib.* VRP 2 αὐτῇσιν VRPF: αὐτέῃσιν *ex Hipp. ab Aldo edd.* ἡμέρῃσι τὸν ἀριθμὸν *corr. in* τῶν ἡμερῶν P[1] τε *om.* F 4 πράγματα F γὰρ *superscr.* V[2] 5 προῃρημένον RF: ηρη *in ras.* V: προῃρημένων P ἐξηγήσεις *post* συγγραμμάτων *(6) colloc., sed transp. man. 2* P 6 αἷς PF: *corr. ex* οἷς V: οἷς R 7 *post* καὶ *(prius) inser.* περὶ F οὐχ (*superscr.* R[1]) ὡς VP: οὐκ (*omisso* ὡς) F 8 ὡς παρ' RF *(cf. v. 9)*: ὥσπερ VP μόνοις] οις *in ras.* P 9 *post* τῶν *add.* ἐν F ὑμῖν VRPF: ἡμῖν *edd.* γενομένων VRF: γινομένων P: γεγραμμένων *Chartier* 10 οὐδ'] οὐ *supra rasuram* V[2]: οὔθ' F προῃρούμην RF: *corr. ex* προῃρήμην V[2]: προηροίμην P 12 ταῖς *corr. ex* τοῖς P[2] 13 *post* ἔνιαι *inser.* καὶ *Aldus Basil.* 15 αὐτῶν *corr. ex* αὐτόν P[2] στοχάσασθαι VRP: ἐστοχάσθαι F: στοχάζεσθαι *edd.* 16 *post* ὑμῖν *inser.* καὶ διαλέγεσθαι F 17 συνουσίαις *corr. ex* συνουσίας R κἀγὼ τοῦτ' αὐτὸ VRP[2]: τοῦτ' αὐτὸ κἀγὼ F προεῖπον *corr. ex* προεῖπεν P[2] 18 κἀγὼ *post* ὑμῖν *colloc. sed transp. man. 2* P *post* ἔσεσθαι *falso inser.* ἤτοι *edd.* 19 πᾶσιν R *post* ὁμοίως *inser.* μου *sed del. ipse* P ἐξηγουμένου RF: ἐξηγούμενον V: ἐξηγουμένας P μου *superscr.* P[2]: *om. Aldus* 20 οὐδαμόθι VRF: οὐδαμόθεν P πραγματειῶν *corr. ex* πραγμάτων P[2] 22 ἀναγκάζωμαι VR: *corr. ex* ἀναγκαζώμεθα P[2]: ἀναγκαζώμεθα F 23 *post* περὶ *add.* τῶν VP: *superscr.* R[1] 24 τὸν] τῶν V *post* περὶ *inser.* τῶν P ἐν *om. edd.* δύο VRPF: τρισί *(om. Aldus)* τισι *edd.*

τὰ κεφάλαια τῶν ἐκεῖ γεγραμμένων ἀναμνήϲω τὴν ἀρχὴν ἐνθένδε ποιηϲάμενοϲ.

Ἡ κατὰ τὰ νοϲήματα κρίϲιϲ ἀπὸ τῶν ἐν τοῖϲ δικαϲτηρίοιϲ μετενήνεκται, ϲημαίνουϲα τὴν ὀξύρροπον ἐν νόϲῳ μεταβολὴν γινομένην κατὰ τέτταραϲ τρόπουϲ· ἢ γὰρ ἀπαλλάττονται τῶν νοϲημάτων εὐθέωϲ ἢ μεγάλην μεταβολὴν ἐπὶ τὸ βέλτιον ἴϲχουϲιν ἢ ἀποθνήϲκουϲιν εὐθέωϲ ἢ χείρουϲ γίνονται πολλῷ. τὰϲ μὲν οὖν πρώταϲ δύο κρίϲειϲ ἁπλῶϲ ὀνομάζουϲι κρίϲειϲ, τὰϲ δὲ δευτέραϲ δύο τὰ πολλὰ μὲν ἅμα προϲθήκῃ κακὴν κρίϲιν ἢ μοχθηρὰν κρίϲιν ἤ τι τοιοῦτο τῷ τῆϲ κρίϲεωϲ ὀνόματι προϲτιθέντεϲ, ἔϲτιν ὅτε δὲ καὶ χωρὶϲ προϲθήκηϲ ἁπλῶϲ. ἐμάθετε δὲ καί, ὡϲ αἱ κρίϲειϲ ἅπαϲαι μετά τινοϲ φανερᾶϲ γίνονται κενώϲεωϲ ἢ ἀποϲτάϲεωϲ. ἐν γὰρ τῷ ϲπανίῳ παιδία μόνα δι᾿ ὕπνων βαθέων καὶ μακρῶν ὀξείαϲ ἐποιήϲαντο μεταβολὰϲ ἐπὶ τὸ βέλτιον, ἃϲ ἔνιοι μὲν | ἀξιοῦϲι καὶ αὐτὰϲ ὀνομάζειν κρίϲειϲ, ἔνιοι δ᾿ οὐ ϲυγχωροῦϲιν, ἡμέραϲ **232** δὲ κριϲίμουϲ καλοῦϲιν, ἐν αἷϲ αἱ τοιαῦται μεταβολαὶ πιϲταί τε ἅμα καὶ πλεῖϲται γίνονται. κατὰ γὰρ τὰϲ ἄλλαϲ ἡμέραϲ οὔτε πιϲτὰϲ ὁρῶμεν γινομέναϲ τὰϲ κρίϲειϲ οὔτε πολλάϲ. κατενόηϲε δ᾿ οὐ πρῶτοϲ μόνον, ἀλλὰ καὶ μάλιϲτα τὴν τῶν κριϲίμων ἡμερῶν φύϲιν ὁ θαυμάϲιοϲ Ἱπποκράτηϲ ἐνεδείξατό τε τὴν αἰτίαν τῆϲ γενέϲεωϲ αὐτῶν, ἣν καὶ ἡμεῖϲ ἐν τῇ Περὶ τῶν κριϲίμων ἡμερῶν πραγματείᾳ διήλθομεν, ἰϲχυροτέραν μὲν ἐπιδεικνύντεϲ εἶναι περίοδον ἡμερῶν κριϲίμων τὴν ἑβδόμην, δευτέραν δὲ τῇ δυνάμει τὴν τετράδα γινομένην ἐκ τοῦ δίχα τμηθῆναι τὴν ἑβδομάδα, ϲημαίνεϲθαι δὲ τὰϲ μελλούϲαϲ ἔϲεϲθαι κρίϲειϲ ἐν ταῖϲ ἑβδομαδικαῖϲ περιόδοιϲ ὑπὸ τῶν τετράδων, τὴν μὲν γὰρ τετάρτην ἡμέραν τῆϲ ἑβδόμηϲ εἶναι δηλωτικήν, τὴν ἑνδεκάτην δὲ τῆϲ τεϲϲαρεϲκαιδεκάτηϲ· ὀνομάζει δ᾿ αὐτὰϲ ὁ Ἱπποκράτηϲ "ἐπιδήλουϲ" τε καὶ "θεωρητάϲ".

ἀριθμεῖϲθαι μὲν οὖν τὰϲ ἑβδομάδαϲ τοιῷδε τρόπῳ βούλεται, δύο μὲν ἐφεξῆϲ ἀλλήλων τὰϲ πρώταϲ κατὰ διάζευξιν, ἕπεϲθαι δ᾿ αὐταῖϲ τὴν τρίτην | κατὰ ϲυνάφειαν. διάζευξιϲ μὲν οὖν ἔϲτιν, ὅταν ἐφ᾿ ἑτέραν **233**

3 ἡ ... κρίϲιϲ κτλ.] *cf. Gal. IX 763, 1 sqq. K.* 20 ἐν τῇ Περὶ τῶν κριϲίμων ἡμερῶν πραγματείᾳ] *IX 769 sqq. K.* 26 ὀνομάζει] *e. g. Aphor. II 24 (IV 476, 11 sqq. L.); cf. Gal. XVII B 510, 8 sqq. K.; IX 811, 13 K. et saepius*

3 τί καλεῖται κρίϲιϲ *in mrg.* V: περὶ κρίϲεωϲ διδαϲκαλία *in mrg.* R *post* ἡ *inser.* γὰρ V² *edd.* μετενήνεκται] εν *superscr.* R 4 γιγνομένην VR 5 τέϲϲαραϲ V 7 γίγνονται VR 9 κακὰϲ κρίϲειϲ P ἢ μοχθηρὰν κρίϲιν *om.* F μοχθηρὰν κρίϲιν *corr. ex* μοχθηρὰϲ κρίϲειϲ P² 10 ἔϲτι δ᾿ ὅτε P *post* προϲθήκηϲ *inser.* τινὸϲ R 11 γίγνονται V 13 ὀξείαϲ *corr. ex* ὀξέαϲ V¹ ἐποιήϲαν (ν *adscrips. man. 2*) P *post* μεταβολὰϲ *inser.* ὡϲ F *edd.* ἔνιοι μέν ... κρίϲειϲ *(14) om.* P 14 *post* αὐτὰϲ *add.* καὶ F 16 γίγνονται VR γὰρ] δὲ *Aldus* 17 πρῶτον R 18 τὴν *post* ἡμερῶν *superscr.* V θαυμάϲιοϲ *om.* P 20 τῶν *om. Aldus Basil.* 21 εἶναι VPF: ἢ *Aldus*: *om.* R 22 τῇ *om. Aldus* 23 ἑβδομάδα VRP: ἑβδόμην F ἑβδοματικαῖϲ *ut saepius* F 25 ἑβδόμηϲ VRF: ἑβδομάδοϲ P δηλωτικήν] ν *add. man. 2* V 26 τε VRF: *om.* P 27 μὲν οὖν τὰϲ VRP: δὲ τὰϲ μὲν F: μὲν τὰϲ *Aldus* *ante* τοιῷδε *falso inser.* ἐν VRPF *post* τρόπῳ *add.* γε V

ἡμέραν ληξάσης τῆς προτέρας ἑβδομάδος ἡ μετὰ ταύτην ἀφ᾽ ἑτέρας ἄρξηται· συνάφεια δέ, ὅταν ἡμέρα μία κοινὴ τῶν ἑβδομάδων ἀμφοτέρων γένηται τελευτώσης μὲν εἰς αὐτὴν τῆς προτέρας, ἀρχομένης δὲ τῆς δευτέρας ἀπ᾽ αὐτῆς. καὶ διὰ τοῦτο τὴν εἰκοστὴν ἡμέραν ἐσχάτην εἶναι τῆς τρίτης ἑβδομάδος, ὡς εἴ γε καὶ αὕτη κατὰ διάζευξιν ἠριθμεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν ἡμέραν, οὐ τὴν εἰκοστὴν ἰσχυροτέραν ἐχρῆν εἶναι. φαίνεται δ᾽ οὐχ οὕτως γινόμενον. ἡ γὰρ εἰκοστὴ καὶ πλεῖστα καὶ βεβαίως ὁρᾶται κρίνουσα. τριῶν οὖν ἑβδομάδων τὰς εἴκοσιν ἡμέρας συμπληρουσῶν, εἶτα τῆς τετάρτης ἑβδομάδος ἀρχομένης κατὰ τὴν εἰκοστὴν πρώτην ἐκ τῶν ἐφεξῆς τριῶν ἑβδομάδων, εἴκοσιν ἡμερῶν συμπληρουμένων, εἰκότως ὁ Ἱπποκράτης τὴν τεσσαρακοστὴν ἡμέραν, οὐ τὴν τεσσαρακοστὴν δευτέραν κρίσιμον εἶναί φησιν, οὕτως δὲ καὶ τὴν ἑξηκοστὴν καὶ τὴν ὀγδοηκοστήν, οὐ τὴν ἑξηκοστὴν τρίτην οὐδὲ τὴν ὀγδοηκοστὴν τετάρτην. αὕτη μὲν οὖν σοι τῶν ἑβδομαδικῶν περιόδων ἡ συναρίθμησις.

234 Ἡ | δὲ κατὰ τετράδας ἀκόλουθος τῇδε. τεμνομένης γὰρ ἑκάστης ἑβδομάδος εἰς τὰς ἐν αὐτῇ δύο τετράδας ἡ τετάρτη μετὰ τὴν εἰσβολὴν τοῦ νοσήματος ἡμέρα τελευτὴ μὲν ἔσται τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας. ἡ δὲ ἐφεξῆς τῇδε τρίτη τετρὰς ἀπὸ τῆς ὀγδόης ἡμέρας ἄρξεται, διότι καὶ ἡ δευτέρα τῶν ἑβδομάδων, ὥστε συμβήσεται τὴν ἑνδεκάτην ἡμέραν τελευτὴν μὲν εἶναι τῆς τρίτης τετράδος, ἀρχὴν δὲ τῆς τετάρτης. ἡ δὲ πέμπτη τετρὰς ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας ἄρξεται, διότι καὶ ἡ τρίτη τῶν ἑβδομάδων. ἀφίξεται τοιγαροῦν εἰς τὴν ἑπτακαιδεκάτην αὐτῆς τὸ τέλος, ἥτις ἐστὶ πάλιν κοινὴ τῶν δύο τετράδων τῆς πέμπτης καὶ ἕκτης, εἰς ἃς ἡ τρίτη τῶν ἑβδομάδων ἐτμήθη. καὶ οὕτως ἡ εἰκοστὴ τοῦ νοσήματος ἡμέρα τέλος μὲν τριῶν ἑβδομάδων, ἓξ δὲ τετράδων.

Αὗται μὲν οὖν αἱ κατὰ περιόδους εἰσὶ κρίσιμοι, παρεμπίπτουσι δ᾽ αὐταῖς καὶ ἕτεραι κατὰ τὰς ὀξείας νόσους, ὧν τὴν αἰτίαν τῆς παρεμπτώσεως ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν εἶπον. εἰσὶ δ᾽ αὗται τρίτη
235 καὶ πέμπτη καὶ ἐνάτη. παρεμπίπτει δέ | ποτε καὶ ἡ ἕκτη κακὴ κρίσιμος οὖσα τῷ τε μετὰ συμπτωμάτων ἐνίοτε ποιεῖσθαι τὴν κρίσιν ἐπισφαλῶν εἴς τε τὴν καλουμένην ὑπέρκρισιν ἐκπίπτειν καὶ μέντοι καὶ τῷ μὴ

30 ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν] *IX 869 sqq. K.*

1 προτέρας VRF: πρώτης P μετὰ ταύτην VRF: μετ᾽ αὐτὴν P 4 τοῦτο *superscr.* P 5 αὕτη VRP: αὐτὴ F ἠριθμοῖτο *corr. ex* ἠρίθμηται P 7 καὶ πλεῖστα *om.* F 8 βεβαίως] βιαίως F 10 *post* ἐκ *add.* τε F: *superscr.* V^{2} τριῶν *om.* P εἴκοσιν] εἰκὸς F 11 τεσσαρακοστην] τεσσακοστὴν *(sic)* P 12 κρισίμων F καὶ τὴν *superscr.* V 13 καὶ τὴν *superscr.* V^{1} οὐ . . . ὀγδοηκοστὴν *(14) omissa add.* P^{2} *in mrg.* οὐδὲ] καὶ *in mrg.* P^{2} 14 ἑβδοματικῶν *(ut saepius)* F 16 *post* κατὰ *inser.* τὰς V ἀκολούθως F τῇδε F: τῆσδε VRP 17 αὐτῷ R 19 *post* τῇδε *eras.* τῇ F 21 ἡμέραν] ν *adscrips.* P^{2} 22 τεσσαρεσκαιδεκάτης . . . ἄρξεται *(23) plerumque corrosa* V 23 ἡμέρας VF: *om.* RP 24 αὐτῆς] αὖ (*i. e.* αὐτοῦ) R ἔσται F 25 *ante* ἕκτης *add.* τῆς *edd.* 26 ἡ VRPF: *om. edd.* 29 ἕτεροι R 31 παρεμπίπτη P 32 τῷ *corr. ex* τῶν V 33 ὑπέρκρισιν *correxisse videtur ex* ὑπόκρισιν V^{2} τῷ VF: τὸ RP

τελέως ἀπαλλάττειν τῶν νοσημάτων, ἀλλ᾽ ἐλλιπῶς ἢ εἴ ποτε καὶ τελέως, ὑποστροφὰς πάντως ποιεῖσθαι. εἴρηται δὲ καὶ ταῦτα καὶ ἄλλα πολλὰ περὶ κρισίμων ἡμερῶν ὑφ᾽ ἡμῶν, ἃ σύμπαντα σχεδὸν Ἱπποκράτης ἔγραψεν ἄλλα κατ᾽ ἄλλο βιβλίον, ὑπ᾽ ἐμοῦ δ᾽ εἰς ἓν ἤθροισται κατὰ τὴν Περὶ κρισίμων ἡμερῶν πραγματείαν ἅμα τῷ καὶ διορισθῆναι τὰ μὴ διωρισμένα καὶ τελέως ῥηθῆναι τὰ δοκοῦντα ἐλλιπέστερον ὑφ᾽ Ἱπποκράτους γεγράφθαι.

Τῷ μὲν οὖν ἐθέλοντι προγινώσκειν ἀκριβῶς ἀναγνωστέον ἐστὶ τὰς δύο πραγματείας ἐκείνας, τήν τε Περὶ κρισίμων ἡμερῶν καὶ τὴν Περὶ κρίσεων. ἐν δὲ τῷ παρόντι τὴν λέξιν μόνην ἐξηγήσασθαι πρόκειται τῶν εἰρημένων Ἱπποκράτει κατὰ τὸ προκείμενον βιβλίον ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται. τὸ μὲν ἐξ ὧν ἤτοι τῶν κρίσεων ἢ τῶν ἡμερῶν λέγει καὶ βέλτιον μὴ τῶν ἡμερῶν ἀκούειν, ἀλλὰ τῶν | κρίσεων. εἰ γὰρ καὶ ὅτι μάλιστα δυνατόν ἐστι κἀπὶ τῶν **236**
ἡμερῶν λέγεσθαι τὸ ἐξ ὧν, ἀλλὰ πρώτως ταῖς κρίσεσιν ὑπάρχει καὶ δι᾽ ἐκείνας καὶ ταῖς ἡμέραις. τὸ δὲ ἐκ τούτων ἤτοι περιγίνεσθαι τὸν ἄνθρωπον ἢ ἀπόλλυσθαι δηλωτικόν ἐστι τοῦ τὴν κρίσιν ὀνομάζειν αὐτὸν ἐπὶ πάσης τῆς ὀξυρρόπου μεταβολῆς, οὐ μόνης τῆς ἐπὶ σωτηρίαν.

III 7 [20. II 168, 8 L.] Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν.

Εὐήθεις ἄνθρωποι λέγονται μὲν καὶ οἱ κακοήθεις ἐν ὑποκορίσει τινί, καθάπερ καὶ ὁ πίθηκος καλλίας, λέγονται δὲ καὶ οἱ ἐπαινετὸν ἔχοντες τὸ ἦθος. ἀλλὰ τοῦ μὲν προτέρου παμπόλλη χρῆσίς ἐστι παρὰ τοῖς Ἕλλησι, τοῦ δὲ δευτέρου σπανιωτέρα. λέγουσι δ᾽ οὖν ποτε καὶ

5 κατὰ τὴν Περὶ κρισίμων ἡμερῶν πραγματείαν] *IX 769—941 K. passim* 19 οἵ . . . πρόσθεν *(22)*] *affert Galen. IX 619, 1—5 K.* 24 ὁ πίθηκος καλλίας] *cf. Dinarchi fragm. (Baiteri et Sauppii Oratores Att. II p. 327) apud Suid. II 1 p. 42 Bernh. et Bekkeri Anecd. p. 190, 20 et 275, 6*

1 τελέως *(prius)* F: τελείως VRP ἢ εἴ ποτε] εἰ δέ ποτε F τελέως *(alt.)* VRF: τελείως P 2 πάντως ὑποστροφὰς F 3 *ante* περὶ *inser.* ἐν τοῖς R *post* σχεδὸν *inser.* ὁ F 4 ἄλλα VF: ἄλλο RP: ἄλλοτε *edd.* *post* βιβλίον *inser.* ἃ F ἐμοῦ] μοῦ *suppl. in mrg. man. 2* V δ᾽ *om.* F ἤθροισται] ροιστ *in ras.* P 5 *post* τὴν *inser., sed ipse seclus.* τῶν V *post* περὶ *inser.* τῶν RF πραγματείαν *corr. ex* πραγματων P[1] καὶ τῶ *colloc.* P 8 ἐθέλοντι VRF: θέλοντι P 9 τε] τῶν *sed uncinis seclus.* V 10 λέξιν RPF: λύσιν V μόνον VP 11 Ἱπποκράτει VRF: Ἱπποκράτη P: ὑφ᾽ Ἱπποκράτους *edd.* 15 πρώτως *corr. ex* πρῶτον P ὑπάρχει/// P 16 ἤτοι *corr. ex* ἤδη V[2] περιγίνεσθαι P: *corr. ex* περιγενέσθαι V: περιγενέσθαι RF 16. 17 τὸν ἄνθρωπον *corr. in* τοὺς ἀνθρώπους V[1] 18 πάσης VRF: *om.* P τῆς PF: *om.* VR σωτηρία P 21 τε V[2]F *Hipp.*: δὲ VR: δὲ *in ras.* P σημείων . . . κτείνουσιν ἢ *(22) om.* P 22 κτείνουσιν VRP: ἐκτείνονται F 23 περὶ κρίσεως πυρετῶν *in mrg.* R ὑποκορίσει *coni. Cornarius (cf. p. 332, 9)*: ὑποκρίσει VRPF 24 καὶ *(prius)* RP: *om.* VP 25 *post* ἀλλὰ *inser.* περὶ R μὲν τοῦ R προτέρου VRPF: πρώτου *edd.*

237 οὕτως οὐ τὸν | εὐήθη μόνον, ἀλλὰ καὶ τὴν εὐήθειαν ἐπὶ τῆς εὖ τὸ ἦθος ἐχούσης διαθέσεως. Δείναρχος μὲν οὖν ἐν τῷ πρὸς Δάωνα οὕτως εἶπε· "διοικῶν δὲ τὴν οὐσίαν ἑαυτοῦ Κεφαλίων μειρακιωδέστερον φύσει χρηστὸς ἦν καὶ εὐήθης". ὁ δὲ Δημοσθένης ἐν τῷ Κατ' Αἰσχίνου τοῖς δικασταῖς διαλεγόμενος ἔφη· "νῦν δὲ διὰ τὴν ἡμετέραν εὐήθειαν καὶ πρᾳότητα εὐθύνας δίδωσι καὶ ταῦτα, ὁπηνίκα βούλεται." Πλάτων δ' ἐν τῷ τρίτῳ τῆς Πολιτείας φησίν· "εὐλογία ἄρα καὶ εὐαρμοστία καὶ εὐσχημοσύνη καὶ εὐρυθμία καὶ εὐήθεια ἀκολουθεῖ, οὐχὶ ἄνοιαν οὖσαν, ἣν ὑποκοριζόμενοι καλοῦμεν εὐήθειαν, ἀλλὰ τὴν ὡς ἀληθῶς εὖ τε καὶ καλῶς τὸ ἦθος κατεσκευασμένην διάνοιαν." οὕτως οὖν καὶ τὸν εὐήθη κατὰ τὸν Εὐθύδημον εἶπεν ἐπὶ τοῦ τὸ ἦθος ἔχοντος ἁπλοῦν καὶ κεκοσμημένον "καὶ ὃς ἐθαύμασεν· οὕτως ἔτι νέος τε καὶ εὐήθης ἐστίν". ἀρκεῖ ταῦτα παραδείγματος ἕνεκα πρὸς τὸ γνῶναί σε τὴν τῶν Ἑλλήνων
238 συνήθειαν ἐπί τε τῷ τῆς | εὐηθείας ὀνόματι καὶ τοῦ εὐήθους κατὰ διττὸν σημαινόμενον γεγενημένην.

Καὶ νῦν οὖν ὁ Ἱπποκράτης κατὰ τὸ ἕτερον αὐτῶν εἶπε τοὺς πυρετοὺς εὐηθεστάτους ἐν ἴσῳ τῷ ἐπιεικεστάτους καὶ ἁπλουστάτους καὶ μηδὲν ἔχοντας κακόηθες. καί, ὅταν τὰ τῆς ἀσφαλείας σημεῖα παρῇ, τῆς πρώτης τετράδος οὐκ ἂν ἐξωτέρω προέλθοιεν, ἀλλ' ἤτοι κατ' αὐτὴν ἢ θᾶσσον παύσονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ οἱ κακοήθεις πυρετοὶ καὶ μετὰ σημείων ὀλεθρίων γενόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. εὔδηλος οὖν ἐστι καὶ τὴν τρίτην ἡμέραν ἐν ταῖς κρισίμοις τάττων ἐν τῷ φάναι τεταρταῖοι παύονται ἢ πρόσθεν.

2 Δείναρχος ἐν τῷ πρὸς Δάωνα] *Dinarchi fragm. ap. Baiteri et Sauppii Oratores Att. II p. 337; sed num hoc fragmentum Dinarchi* κατὰ Δάου *orationi, cuius Dionysius mentionem fecit, sit tribuendum, iure dubitaverunt editores* 4 Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου] *De falsa legat. c. 102 p. 374* 5 *schol.* P (*ad* εὐήθειαν): ση(μείωσαι) ὅτι, εἰ καὶ σπανίως, ἀλλ' ο⟨ὖν⟩ τὸ τῆς εὐηθείας ὄν⟨ομα⟩ λαμβάνεται καὶ ἐ⟨πὶ⟩ τοῦ καλὸν ἦθος ἔ⟨χοντος⟩ 6 *Platon. Polit. p. 400* E 11 *Platon. Euthydem. p. 279* D 16 Ἱπποκράτης] *cf. etiam II 306, 11 (320, 6 L.)* εἶπε] *20 (II 168, 8 L.); supra p. 331, 19* 17 εὐηθεστάτους] *cf. etiam Gal. IX 619, 6 sq. K.; XV 590, 9 K. (supra V 9, 1 p. 199, 21); 617, 14 K. (supra V 9, 1 p. 213, 17)*

1. 2 τοῦ ἤθους P 3 ἑαυτοῦ VRPF: αὑτοῦ *Chartier*: αὐτοῦ *Aldus Basil.* μειρακιωδέστερον VP: μειρακιωδέστερος RF 4 *ante* φύσει *inser.* καὶ P φύσει *corr. ex* φήσει F[1] ἦν] ὢν F 5 ἡμετέραν VPF: *corr. ex* ὑμετέραν R[2]: ὑμετέραν *edd.* 8 καὶ εὐήθεια VRPF: εὐηθείᾳ *Platon.* 9 ἣν RF *Platon.*: *superscr.* V[2]: *om.* P ὑποκοριζόμενοι RF: *corr. ex* ∼νος V[1]: ὑποκοριζόμενος P *post* ὑποκοριζόμενος *inser.* τὴν *edd.* καλοῦμεν R *Platon*: *corr. ex* καλουμένην V[1]: καλουμένην P: καλοῦσι μὲν F 10 κατεσκευασμένην *corr. ex* ∼νον V[1] οὖν *om.* P 11 κατα *superscr.* V[2]: καὶ V εὐθύδημον VP: εὐήθη δῆμον (*sic*) R: εὔδημον F: εὔθυμον *in mrg. sed del. ipse* V[2] τοῦ] τὸν *superscr.* P[2] ἔχοντα P καὶ *superscr.* P[2] 12 ὃς P *Platon*: *corr. in* ὡς V[2]: ὡς RF οὕτως VP *Platon*: οὗτος RF ἔτι VRF *Platon*: ἐστὶν P εὐήθεις P ἐστίν VF *Platon*: *om.* RP 13 ἕνεκα P: ἕνεκεν VRF Ἑλλήνων VRPF: ἀλλήλων *Aldus Basil.* 14 τῷ] τοῦ P ὀνόματος P 15 γεγε//νημένην P 16 οὖν VRPF: *om. edd.* 17 ἐπιεικεστάτους] ους *in ras.* P 18 μηδὲν] ν *superscr.* V[2] παρῇ ... ἐξωτέρω *(19) plerumque corrosa* V παρῇ] τὰ παρὰ F 19 προέλθοιεν RPF: προέλθη V ἤτοι ///// V 20 παύονται *Aldus Basil.* δὲ *om.* F κακοήθεις] εις *in ras.* V 21 γενόμενοι PF: γινόμενοι VR 22 ἐκτείνουσιν F

οὕτω δὲ κἀν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν ἐγίνωcκεν ἐν ταῖc κριcίμοιc ἡμέραιc πρώτην γράψαc τὴν τρίτην. ἀcφαλέcτατα δὲ cημεῖα λέγει τὰ κατὰ μέροc ἐπῃνημένα πρὸc αὐτοῦ μεγάλωc, ὧν καὶ μετ᾽ ὀλίγον ὀνομαcτὶ μνημονεύcει παραδείγματοc ἕνεκα. |

III 8 [20. II 168, 11 L.] Ἡ μὲν οὖν πρώτη ἔφοδοc αὐτῶν οὕτω τελευτᾷ. 239

Πολλάκιc εἰρημένην εὑρήcειc παρὰ τοῖc Ἕλληcιν ἔφοδον πολεμίων ἢ ληcτῶν, ἀφ᾽ οὗ νῦν οὕτωc ὁ Ἱπποκράτηc μετενήνοχε τὴν προcηγορίαν ἐπὶ τὰc τῶν κριcίμων ἡμερῶν περιόδουc. τὰ δ᾽ ἐφεξῆc πάντα καὶ καθ᾽ ἑαυτὰ μέν ἐcτι caφῆ, πολὺ δὲ μᾶλλον τοῖc μεμνημένοιc ὧν ἄρτι προεῖπον.

III 9 [20. II 168, 16 L.] Οὐ δύναται δὲ ὅληcιν ἡμέρηcιν οὐδὲν τουτέων ἀτρεκέωc ἀριθμεῖcθαι. οὐδὲ γὰρ ὁ ἐνιαυτόc τε καὶ οἱ μῆνεc ὅληcιν ἡμέρῃcιν πεφύκαcιν ἀριθμεῖcθαι. |

Ἐπειδὴ τὰc τρεῖc ἑβδομάδαc εἰc τὴν εἰκοcτὴν ἡμέραν περιήγαγε, 240
διὰ τοῦτ᾽ ἔφη οὐ δύναται πλήρεcιν ἡμέραιc ἀριθμεῖcθαι τὰ τοιαῦτα (μηδὲ γὰρ τὸν ἐνιαυτὸν μηδὲ τοὺc μῆναc ὅλαιc ἡμέραιc ἀριθμεῖcθαι) καὶ ἀληθῶc γε ταῦτ᾽ εἶπεν. ὁ μὲν γὰρ ἐνιαυτὸc οὐ

1 ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν] *I 12 (II 680, 2 L.)* 2 λέγει] *20 (II 168, 8 L); supra p. 331, 19* 4 μνημονεύcει] *20 (II 170, 13 sq. L.); cf. infra p. 338, 19* 5 *schol.* R (*ad* πρώτην ἔφοδον): καλῶc εἶπεν ἔφοδον τὴν πρώτην ἀντὶ τοῦ κατὰ τὴν πρώτην τετράδα. ἡ λύcιc γίνεται τῶν νοcημάτων ἀcφαλέcτατα ἐχόντων τὰ cημεῖα κἄν τε c(ωτή)ρια ᾖ κἄν τε ὀλέθρια 15 *sqq.*] *cf. etiam Galen. IX 929, 3 sqq. K.* 18 ἐνιαυτὸc κτλ.] *cf. Galen. VII 508, 7 sqq. K.; IX 643, 2 sqq. K.; XVII A 22 K.*

1 ἐπιδημείων P ἐγίνωcκειν] ἔγραψεν F 2. 3 λέγει τὰ] λέγεται F 4 μνημονεύcει *corr. in* μνημονεύcω P² 5 ἡ] εἰ P πρώτη RPF: προτέρα V αὐτῶν VRPF: αὐτέων *ex Hipp. ab Aldo edd.* 6 *post* τελευτᾷ *add.* ἡ δὲ δευτέρη ἐc τὴν ἑβδόμην περιάγεται, ἡ δὲ τρίτη ἐc τὴν ἑνδεκάτην, ἡ δὲ τετάρτη ἐc τὴν τεccαρεcκαιδεκάτην, ἡ δὲ πέμπτη ἐc τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη ἐc τὴν εἰκοcτήν. αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νοcημάτων διὰ τεccάρων ἐc τὰc εἴκοcιν ἐκ προcθέcιοc τελευτῶcιν *ex Hippocrate ab Aldo edd.*: *om.* VRPF 7 ἔφοδον πολεμίων *post* εὑρήcειc *colloc.* R 8 οὕτωc P: *superscr.* R: *post* Ἱπποκράτηc *colloc.* V: *om.* F ὁ VRPF: *om. edd.* 10 αὐτὰ V *ante* πολὺ *inser.* καὶ VRF πολὺ δὲ P: πολὺ δὴ VR: πολυειδῆ *(sic)* F 12 περὶ τῆc τῶν κριcίμων ἡμερῶν ἀπαριθμήcεωc *inscrib. in mrg.* R *post* δὲ *inser.* ἐν PF ὅληcιν] ὀλίγηcιν F οὐδὲν] ν *superscr. man. 1* V 13 ἀτρεκέεc P ἀριθμεῖcθαι VRF: ἀριθμέεcθαι P *Hipp.* ἀριθμ. *post* τουτέων *colloc. cum Hipp. ab Aldo edd.* οὐδὲ γὰρ . . . ἀριθμεῖcθαι *(14) om.* P 14 ἀριθμεῖcθαι VRF: ἀριθμέεcθαι *Hipp.* 16 δύναται *edd.*: δύναcθαι VRPF 17 μηδὲ *(utroque loco)*] οὐδὲ P *post* γὰρ *perperam inser.* οὐδὲ P 18 ἀληθῶc . . . ἐνιαυτὸc *perierunt in* V ταῦτ᾽ RPF: αὐτὰ *edd.* μὲν RPF: *om. edd.*

τριακοσίων ἑξήκοντα πέντε μόνον ἡμερῶν ἐστιν, ἀλλὰ καὶ τετάρτου μέρους ἡμέρας, ἔτι δὲ πρὸς αὐτῷ μορίου τινὸς ἐγγύς πως ἑκατοστοῦ. τῶν μηνῶν δ' ἕκαστος ἐλάττων μέν ἐστι τριάκοντα ἡμερῶν, μείζων δ' ἐννέα καὶ εἴκοσιν. ὀνομάζεται δὲ παρὰ τοῖς παλαιοῖς Ἕλλησι μήν, ὡς καὶ νῦν ἔτι κατὰ πολλὰς τῶν Ἑλληνίδων πόλεων, ὁ μεταξὺ χρόνος δυοῖν συνόδοιν ἡλίου καὶ σελήνης, καὶ ὅστις βούλεται τοῦτον τὸν χρόνον ἀκριβῶς ἐκμαθεῖν ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ὁπηλίκος ἐστίν, ὅλον ἔχει βιβλίον Ἱππάρχῳ γεγραμμένον ὥσπερ γε καὶ Περὶ τοῦ ἐνιαυσιαίου χρόνου σύγγραμμα ἡμέτερον.

οὕτως οὖν καὶ τὴν ἑβδομάδα φησὶν ὁ Ἱπποκράτης (καὶ δηλονότι καὶ τὴν τετράδα) μὴ εἶναι τελείων ἡμερῶν, ἀλλ' ἐνδεῖν τι μόριον τη-
241 λικοῦτον, ὡς τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέραις περιγρά|φεσθαι. τίς δέ ἐστιν αἰτία τούτων, πεπειράμεθα ἡμεῖς εἰπεῖν ἐν τῷ τρίτῳ τῶν Περὶ κρισίμων ἡμερῶν οὐδενὸς τῶν ἔμπροσθεν οὐδ' ἐπιχειρήσαντος εἰπεῖν.

III 10 [20. II 170, 2 L.] Μετὰ δὲ ταύτας ἐν τῷ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων, ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέων, ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων.

Οὐ τοῦτο λέγει νῦν ὁ Ἱπποκράτης, ὅτι μετὰ τὴν εἰκοστὴν ἡμέραν ἄχρι τῆς τριακοστῆς τετάρτης οὐδεμία παρεμπίπτει κρίσιμος

3 τῶν μηνῶν ἕκαστος κτλ.] *cf. Galen. IX 907, 14 sqq. K.* 8 βιβλίον Ἱππάρχῳ γεγραμμένον] *est Hipparchi* περὶ ἐνιαυσιαίου μεγέθους *(cf. Ptolem. Synt. III 206, 24) vel potius, ut ipse (ap. Ptolem. Synt. III 207, 20) inscribit,* περὶ τοῦ ἐνιαυσιαίου χρόνου βιβλίον ἕν *nunc quidem deperditum, quod idem Galenus spectare videtur IX 907, 16 K. (aliter Rehm, Pauly-Wissowa-Kroll VIII 2 col. 1670)* 8. 9 Περὶ τοῦ ἐνιαυσιαίου χρόνου σύγγραμμα ἡμέτερον] *Galenum ea de re libellum conscripsisse ipse solus hoc loco testis est (cf. Ilberg, Mus. Rhen. N. S. 52, 1897, 621), nisi forte totam hanc sententiam ex scholio titulum libri Hipparchei exhibente interpolatum esse suspiceris; [Galen.] In Hippocr. De septimanis p. 35 Bergsträßer (infra XI 2, 1) num re vera hunc libellum afferat, prorsus dubium est* 13 ἐν τῷ τρίτῳ τῶν Περὶ κρισίμων ἡμερῶν] *III 9 (IX 929, 6—933, 17 K.)*

1 *ante* πέντε *inser.* καὶ P ἐστιν] ν *add. man. 2* P 2 μέρους τετάρτου *colloc.* F ἡμέρας RF: *om.* VP δὲ P: τε VRF πως ἐγγύς P πως PF: που VR ἕκαστος *corr. ex* ἕκαστον P 3 μείζων *corr. ex* μεῖζον V^2 *post* δ' *inser.* ἢ F 4 ὀνομάζεται VRP: ὠνομάζετο F *post* δὲ *inser.* καὶ *edd.* 5 ἑλληνίδων VRF: ἑλλήνων P 6 συνόδοιν RP: *corr. ex* συνόδων V: συνόδων F τοῦτον τὸν χρόνον VRF: τὸ τὸν χρόνον P: τὸν χρόνον τοῦτον *edd.* 7 ζήτ⟨ει⟩ *in mrg.* V 9 ἐνιαυσιαίου RPF: ἐνιαυσίου V 10 φησὶν] ν *add.* P^2 12 ἡμέραις VRPF: ἡμέρας *edd.* 13 *post* ἐστιν *inser.* ἡ R 14 περὶ P: *om.* VRF οὐδ' PF: οὐδὲν VR 15 περὶ τῆς τῶν περιόδων ἀπαριθμήσεως *inscrib. in mrg.* R ταύτας VRF: ταύτην P: ταῦτα *ex Hipp. ab Aldo edd.* αὐτῷ VRPF: αὐτέῳ *ex Hipp. ab Aldo edd.* 16 καὶ VRPF: *om. cum Hipp. ab Aldo edd.* αὐτὴν VRPF: αὐτέην *ex Hipp. ab Aldo edd.* πρόσθεσιν VRP *Hipp.*: πρόθεσιν F μὲν VRPF: *om. Hipp.* τεττάρων P 17 τριήκοντα F *Hipp.*: τριάκοντα VRP ἡμερέων VP *Hipp.*: ἡμερῶν RF δευτέρα F 19 ὁ RP: *om.* VF μετὰ] ἐπὶ *Aldus* 20 ἄχρι . . . παρεμπί| *totus fere versus periit in* V

(ἑαυτῷ γὰρ οὕτω μάχεται μεταξύ τινων ἡμερῶν κρινουςῶν ἐν Ἐπιδημίαις μεμνημένος τά τε φαινόμενα κατὰ τοὺς ἀρρώςτους ἐξελέγχει τὸν λόγον αὐτοῦ), ἀλλ' ἐπειδὴ τριῶν ἑβδομάδων ἄχρι τῆς εἰκοςτῆς ἡμέρας ἐφεξῆς ἀλλήλαις ἠριθμημένων οὐχ ἡ αὐτὴ γέγονε ςύνθεςις. ἡ μὲν γὰρ δευτέρα διεζεύχθη τῆς πρώτης καὶ κατὰ τοῦτ' | εἰς τὴν τεςcαρεςκαιδεκάτην ἡμέραν ἐτελεύτηςεν, ἡ τρίτη δὲ ταύτῃ ςυνήφθη καὶ κατὰ τοῦτο τὴν εἰκοςτὴν ἔςχε τέλος. διὰ τοῦτο καὶ τὰς μετὰ τὴν εἰκοςτὴν ἑβδομάδας ὁμοίως προϊέναι βουλόμενος, ὡς ἐκ δυοῖν μὲν διεζευγμένων, τῆς τρίτης δὲ ςυνημμένης εἴκοςιν ἡμέρας ςυμπληροῦςθαι, τὴν μὲν τεςςαρακοςτὴν ὅρον ἔςχατον ἔθετο τῶν δευτέρων τριῶν ἑβδομάδων· ἐν ταύταις δὲ ταῖς δυςὶ περιέγραψε τὴν τριακοςτὴν τετάρτην καὶ κατὰ τοῦτο ταύτης ἐμνημόνευςε πρὸ τῆς τεςςαρακοςτῆς κατά τε τὸν αὐτὸν λόγον αἱ μετὰ ταύτας τρεῖς ἑβδομάδες εἰς τὴν ἑξηκοςτὴν περιάγονται. 242

καὶ τὴν ὀγδοηκοςτὴν δὲ κρίνουςαν οἶδεν, οὐ τὴν ὀγδοηκοςτὴν τετάρτην, ἐν τοῖς τῶν Ἐπιδημιῶν. οὕτως αἱ τρεῖς ἑβδομάδες εἴκοςιν ἡμερῶν ἀριθμὸν ςυμπληροῦςι καὶ γίνεται τοῦτο τῶν δύο μὲν πρώτων ἐν ταύταις κατὰ διάζευξιν ἀριθμουμένων, ὡς εἰς τὴν τεςςαρεςκαιδεκάτην ἡμέραν τελευτᾶν, τῆς τρίτης δὲ ςυναπτομένης τῇ δευτέρᾳ, ὡς καὶ ταύτην εἰς τὴν εἰκοςτὴν ἡμέραν περιάγεςθαι. |

III 11 [20. II 170, 5 L.] Τουτέων δ' ἐν ἀρχῇςίν ἐςτι χαλεπώτερα προγινώςκειν τὰ μέλλοντα ἐν πλείςτῳ χρόνῳ κρίνεςθαι. ὁμοιόταται γὰρ αὐτῶν αἱ ἀρχαί εἰςιν. ἀλλὰ χρὴ ἀπὸ 243

1 ἐν Ἐπιδημίαις] *e. g. I 8 (II 646, 7 L.)* 15 ἐν τοῖς τῶν Ἐπιδημιῶν] *I 3 (II 612, 6 L.); III 3, 12 (III 92, 13 sq. L.)* 22 ἀλλά ... τρέψεται *(336, 2)*] *cf. infra p. 340, 4 sqq.; affert idem Galen. IX 621, 11 sqq. K.*

1 *post* ἑαυτῷ *inser.* τε F μάχεται PF: μαχεῖται VR 3 αὐτοῦ *omissum superscr.* V² 4 ἀλλήλαις VRP: ἀλλήλων F ἠριθμημένων RF: *corr. ex* ∼μένον V: ἠκριβωμένων P οὐχ ἡ VRF: οὐχὶ P 5 κατὰ VPF: διὰ R τὴν *om.* P τεςςαρεςκαιδεκάτην ἡμέραν *corr. ex* τεςςαρεςκαιδεκάτης ἡμέρας P²
7 κατὰ P: διὰ VRF τὰς ... ἑβδομάδας *(8)* VRF: τὴν ... ἑβδομάδα P 8 *ante* ἑβδομάδας *inseri iubet* τρεῖς *Cornarius* ἐκ *corr. ex* ἐν P¹ ἐζευγμένων F 9 ἡμέραις P πληροῦςθαι F 10 ἔςχατον ὅρον P ἔθετο *ex corr.* V 11 ταύταις VRPF: αὐταῖς *edd.* ταῖς δυςὶ P: ταῖς δύο R: τὰς δύο VF περιέγραψε *corr. ex* προέγραψε V *post* περιέγραψε *inser.* ἐν VF
ante τὴν *inser.* τὸν ὅρον *edd.* τῇ τριακοςτῇ τετάρτῃ VF 12 *ante* κατὰ *inser.* καὶ R τε VPF: γε R 13 ταύτας RPF: ταῦτα V 14 δὲ] τε F
16 μὲν VRF: ἡμερῶν *Aldus Basil.*: ἑβδομάδων *coni. Ermerins*: *om.* P *post* μὲν *repet.* τῶν R πρώτων VRPF: πρῶτον *Aldus Basil.* 17 ἐν ταύταις VRPF: ἐν αὐταῖς *sed post* διάζευξιν *colloc. edd.* 18 ταύτην *corr. ex* ταύτης R¹ 19 περιάγεςθαι *in mrg.* V²P: περιέρχεςθαι F: περιέχεςθαι VR
20 πρόγνωςις τῶν ἐπ' ἀγαθῷ ἢ κακῷ κρινομένων *in mrg.* R *post* ἐςτι *inser.* καὶ *Aldus* χαλεπώτερα VRF: χαλεπω^τρ´ *ambigue* P: χαλεπώτερον *a Basil. edd.*: χαλεπώτατον *Hipp.*: χαλεπώτατα *Aldus* 21 προγινώςκειν VRPF: διαγιγνώςκειν *melior. codd. Hipp.*: γινώςκειν *Aldus* πλείςτῳ VRF *Hipp.*: πλείονι F 22 αὐτῶν VRF: αὐτέων P, *item sed post* εἰςιν *colloc. cum Hipp. ab Aldo edd.*

τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι καὶ οὐ λήσει, ὅπῃ τρέψεται.

Κἀνταῦθα πάλιν ἐπ' ἀμφοτέρων ἔταξε τὸ κρίνεσθαι τῶν τ' ἐπ' ἀγαθῷ καὶ τῶν ἐπὶ κακῷ τὴν μεταβολὴν ποιουμένων. καί φησιν ἐν ἀρχῇ τῶν νοσημάτων, ὅσα μὲν ὀλιγοχρονίως μέλλει κριθήσεσθαι, ῥᾴστην εἶναι τὴν διάγνωσιν αὐτῶν εἰς ὅ τι τελευτήσει, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη περὶ τῶν ἐν τῇ πρώτῃ τετράδι μελλόντων κρίνεσθαι· τῶν τε γὰρ πυρετῶν αὐτῶν ὁ μὲν ἀπαλλάττεσθαι μέλλων ἐπιεικέστερός ἐστιν, ὁ δὲ ἀναιρεῖν τὸν κάμνοντα κακοηθέστερος ὅσα τε σύνεστιν ἑκα-
244 τέρῳ σημεῖα τὰ μὲν ἐν τῷ προτέρῳ πάντ' εἶναι κάλλιστα, τὰ δ' | ἐν τῷ δευτέρῳ χείριστα. συμβήσεται γὰρ οὕτω μηδέτερον αὐτῶν ὑπερβῆναι τὴν τετάρτην ἡμέραν, ἐπειδὴ μεμαθήκαμεν ἀεὶ γίνεσθαι τὴν κρίσιν ἤτοι τῆς φύσεως ἐπικρατούσης τοῦ νοσήματος ἢ νικηθείσης ὑπ' αὐτοῦ. τῶν μὲν οὖν ἐπιεικεστάτων νοσημάτων ἡ φύσις τάχιστα κρατεῖ, νικᾶται δ' ὑπὸ τῶν χαλεπωτάτων τάχιστα. κατὰ τοῦτ' οὖν ἐναντιώτατα μὲν ἀλλήλοις ἐστὶ τὰ διὰ ταχέων κρινόμενα, παραπλήσια δὲ τὰ παμπόλλου χρόνου δεόμενα πρὸς τὴν λύσιν. ὥσπερ γὰρ ἐν τοῖς ὀλιγοχρονίοις ὑπεροχὴ μεγάλη ποτὲ μὲν τῆς φύσεώς ἐστι, ποτὲ δὲ τοῦ νοσήματος, οὕτως, ὅταν μηδέτερον ὑπερέχῃ μεγάλως, ἀλλ' ὥσπερ ⟨ἂν⟩ ἀνταγωνισταί τινες ἰσόρροποι διαμάχωνται, χρόνου δεῖ πλείονος εἰς τὴν ἑκατέρου νίκην, οὕτω καὶ τοὺς παλαίοντας οἱ παλαιστρικῆς ἔμπειροι διαγινώσκουσιν, εἰ μὲν ὑπεροχὴν θεάσονται πολλήν, αὐτίκα νικήσειν τὸν ἕτερον ἐλπίζοντες, εἰ δὲ μηδέτερος ὑπερέχει μεγάλως, ὅτι μὲν ἐν χρόνῳ πλείονι διαπαλαίουσι βεβαίως εἰδότες, ὅστις δ' ὁ νικήσων ἔσται μηδέπω γινώ-
245 σκοντες, ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι καὶ τοῦτο | πρότεροι τῶν ἰδιωτῶν καταμανθάνουσιν, ὡς ἂν καὶ τῶν μικρῶν ὑπεροχῶν ὄντες διαγνωστι-

4 φησιν] *20 (II 170, 5 L.)* 7 ἔφη] *supra p. 331, 19 sq.* 12 μεμαθήκαμεν] *Galen. IX 703, 7 sq. K.*

1 ἡμέρης *Hipp. et ab Aldo edd.*: ἡμέρας VRPF ἐνθυμέεσθαι V *in mrg.* RF *(Gal. IX 621, 12 K.) Hipp.*: ἀριθμεῖσθαι V: ἀριθμέεσθαι P 2 σκέπτεσθαι P *(ut Gal. IX 621, 13 K. infra p. 340, 5) Hipp.*: ἐπισκέπτεσθαι VRF λήσει VP: λήσῃ R: λήσεις *Gal. IX 621, 13 K.*: λήσεται F *Hipp.* *post* τρέψεται *inser.* τὸ νόσημα (νούς. *Hipp.*) *ex Hipp. ab Aldo edd. (ut Gal. IX 621, 14 K.)* 4 ποιουμένῳ V 5 μὲν *om.* P μέλλει ὀλιγοχρονίως P ὀλιγοχρονίως RPF: ὀλιγοχρόνια V κριθήσεσθαι VRPF: διακριθήσεσθαι *edd.* 7 ἔφη *om.* P τετράδα *(sic)* R 8 ἐπιεικέστερός PF: ἐπιεικέστατός VR 9 κακοηθέστερος P: κακοηθέστατος VRF *post* κακοηθ. *inser.* ἐστιν F σύνεστιν] συνέστηκεν F ἑκατέρα *(sic)* F 10 ἐν *om.* P δὲ (*omisso* ἐν) P 13 ἐπιεικεστάτων . . . κρατεῖ *(14) totus fere versus deletus est in* V 14 τάχιστα VRP: ταχέως *Aldus*: μάλιστα F 17 τοῖσι V ὀλιγοχρονίοις] γο *superscr. man. 2* V 19 μηδέτερος *Chartier* ὑπερέχει RP *post* μεγάλως *inser.* οὐδετέρου *edd.* ἂν *add. Diels* 20 διαμάχωνται P: διαμάχονται VF: *item sed superscr.* ω R[1] *ante* χρόνου *inser.* καὶ *Aldus* ἑκατέρου VRP: θατέρου F 21 *post* οὕτω *inser.* σοι F διαγιγνώσκουσιν VR 22 θεάσονται F: θεάσωνται R: θεάσαιντο VP νικήσειν VRPF: νικῆσαι *Aldus Basil.* 23 ἐλπίζουσιν *Aldus* ὑπερέχῃ V πλέονι F 24 διαπαλαίουσιν RF: *corr. ex* διαπαλαίουσιν V[2]: διαπαλαίουσι P δ' *add.* V[2] νικήσας F γιγνώσκοντες V 25 ἀλλὰ (*omisso* ἐν) F πρότερον R

κώτεροι. ᾧ γὰρ ὁ τεχνίτης ἀτέχνου διαφέρει μάλιστα, τοῦτ᾽ ἔστιν αὐτὸ τὸ μικρῶν αἰcθάνεcθαι διαφορῶν. ἀλλ᾽ ἐπεί τινες οὐδ᾽ ὅλωc εἰcὶν αἰcθηταὶ διὰ cμικρότητα τῶν τοιούτων, οὐδ᾽ ὁ τεχνίτης ἐcτὶ γνωριcτικόc. ὅταν οὖν πρῶτον αἰcθηταὶ γένωνται, τηνικαῦτα γνωρίζονται. διὰ ταῦτ᾽ οὖν ὁ Ἱπποκράτηc ἐκέλευcε καθ᾽ ἑκάcτην τετράδα διαcκοπεῖcθαι τὴν μεταβολήν. οὐ γὰρ λήcει, ὅπῃ τρέψεται, τουτέcτι πότερον εἰc ὑγείαν τε καὶ cωτηρίαν τοῦ κάμνοντοc ἐπικρατηcάcηc τῆc φύcεωc ἢ κρατηθείcηc ἐπὶ θάνατον. τουτὶ μὲν τοῦ λόγου τὸ κεφάλαιον. ὅπωc δ᾽ ἄν τιc αὐτὸ πράττοι κάλλιcτα, διὰ τῶν Περὶ κρίcεων ὑπ᾽ ἐμοῦ γεγραμμένων ἔcτι cοι μαθεῖν.

III 12 [20. II 170, 10 L.] Γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάcταcιc ἐκ τουτέου τοῦ κόcμου. |

Ἠγνόηται καὶ τοῦτο τοῖc πλείcτοιc καὶ διὰ τοῦτο θαυμάζουcιν ἐκ **246**
μαντικῆc τέ τινοc οἴονται προλέγεcθαι πολλάκιc ὑφ᾽ ἡμῶν, ὡc οὔτε τιc τεταρταῖον ἔχων πυρετὸν ἀπαλλαγήcεται μεθ᾽ ἡμέραc εἰ τύχοι πεντεκαίδεκα. καίτοι γε ἐπὶ τῶν τριταίων οὐ θαυμάζουcι τὴν πρόρρηcιν. ἔcτι δὲ κοινὸc ἀμφοῖν ὁ λόγοc. ὥcπερ γὰρ ἐπὶ τῶν cυνεχῶν πυρετῶν ἀριθμοῦμεν ἁπάcαc ἐφεξῆc τὰc ἡμέραc εἰc πρόγνωcιν τῆc ἐcομένηc κρίcεωc, οὕτωc ἐπὶ τῶν διαλειπόντων τὰc ἐπιcημαcίαc, ἵν᾽ ὅπερ ἐπὶ τῶν cυνεχῶν ἡ ἑβδόμη τῶν ἡμερῶν, τοῦτ᾽ ἐπὶ τῶν διαλειπόντων ἡ ἑβδόμη περίοδοc ἐργάcηται. κατὰ τοῦτό γέ τοι καὶ ὁ ἀκριβὴc τριταῖοc ἐν ἑπτὰ περιόδοιc, οὐχ ἡμέραιc ἑπτὰ κρίνεcθαι πέφυκε. καὶ μὲν δὴ καί, ὅπερ ἡ τετάρτη τῶν ἡμερῶν ἀπ᾽ ἀρχῆc ἀριθμοῦντι πρὸc τὴν ἑβδόμην ἐcτί, τοῦθ᾽ ἡ τετάρτη περίοδοc ὡc πρὸc τὴν ἑβδόμην περίοδον. ἐπίδηλοc μὲν γὰρ ἡ τετάρτη τῶν ἡμερῶν ἐcτι τῆc ἑβδόμηc, ἐπίδηλοc δὲ καὶ ἡ τετάρτη περίοδοc τῆc ἑβδόμηc περιόδου. λέλεκται δὲ καὶ περὶ

5 ἐκέλευcε] *20 (II 170, 8 L.); supra p. 336, 1* 9 διὰ τῶν Περὶ κρίcεων] *IX 702 sqq. K.*

1 ᾧ] ὃ R αὐτὸ VR: αὐτῷ PF 2 τῷ F *ante* μικρῶν *superscr.* καὶ τῶν V τινὲc *corr. in* τινὰ P εἰcὶν *om.* P αἰcθητά P 3 μικρότητα F γνωριcτικόc VRF: γνωcτικόc P 4 αἰcθητά P γένωνται VRF: γίνωνται P: γίνονται *Aldus Basil.* ταῦτ᾽ VRPF: τοῦτ᾽ *edd.* 5 διαcκοπεῖcθαι PF: cκοπεῖcθαι VR 6 τρέψηται R πότερον V: *item sed post* cωτηρίαν *colloc.* F: *corr. ex* πρότερον P: πρότερον R 7 καὶ *falso repet.* P 8 κρατηθείcηc] κραθείcηc *Aldus Basil.* ἐπὶ VRF: εἰc P 9 πράττει R *post* πράττοι *inser.* μάλιcτα P *ante* κάλλιcτα *distinguit* P κάλλιcτα] μάλιcτα F 10 ἔcτι PF: ἔνεcτι VR 11 περὶ τεταρτ(αίων) *inscr. in mrg.* V δὲ *om.* P καὶ *om. Hipp.* τῶν τεταρταίων ἡ VRPF: ἡ τῶν τεταρταίων *ex Hipp. ab Aldo edd.* 12 τουτέου τοῦ κόcμου VRF: *ex corr.* P (*volebat* τε τοῦ): τοῦ τοιούτου *ex Hipp. ab Aldo edd.* 13 *post* ἠγνόηται *inser.* δὲ F 14 πολλάκιc ὑφ᾽ ἡμῶν F: ὑφ᾽ ἡμῶν πολλάκιc VRP 15 τύχοι VP: τύχῃ R: τύχειε F 16 τῶν VRF: *om.* P 18 τὰc VRF: *om.* P 19 cημαcίαc P 21 καὶ VRF: *om.* P τριταῖοc] τριτ͡ F 23 *post* ἀρχῆc *inser.* τῶν νόcων P ἀριθμοῦνται F *post* ἀριθμοῦντι *inser.* ὡc V 24 ἐcτὶ *om.* P ὡc *om.* P 25 δὲ *omissum superscr.* V[2]

τῶν τοιούτων ἁπάντων ἐν τοῖς Περὶ κρίσεων. ὅθεν ἀρκέσει νῦν ἀκη-
247 κοέ|ναι τό γε τοσοῦτον, ὡς καὶ τῶν τεταρταίων πυρετῶν αἱ κρίσεις κατὰ τὸν ἀριθμὸν γίνονται τῶν περιόδων, οὐ τῶν ἡμερῶν.

Ἐκ τουτέου τοῦ κόσμου. κόσμον εἴρηκε τὴν τάξιν τῶν κρινουσῶν ἡμερῶν. ὥσπερ γὰρ ἀκοσμίας ἴδιόν ἐστιν ἀταξία, οὕτως ἡ τάξις τοῦ κόσμου. κατὰ τοῦτό γέ τοι καὶ τόδε τὸ πᾶν ὠνόμασαν οἱ ἄνθρωποι κόσμον, ἐπειδὴ τέτακται τὰ κατ᾽ αὐτόν, ἐν μέσῳ μὲν αὐτῶν τῆς γῆς κειμένης, ἔξωθεν δὲ ταύτης περικεχυμένης τῆς θαλάττης, περιέχοντος δὲ ταύτην ἀέρος, ἐκεῖνον δ᾽ αἰθέρος, εἶτ᾽ οὐρανοῦ πᾶσι τούτοις κύκλῳ περιβεβλημένου. καὶ μὲν δὴ καὶ αἱ κινήσεις τῶν μὲν ἀπλανῶν ἀστέρων τί δεῖ καὶ λέγειν εἰς ὅσον ἥκουσι κόσμου διὰ παντὸς ὡσαύτως ἔχουσαι; τῶν πλανωμένων δ᾽ εἰ καὶ μὴ καθ᾽ ἑκάστην ἡμέραν εἰσὶν ἴσαι, τό γε τεταγμένον ἔχουσιν ἐν ἴσαις χρόνου περιόδοις, ἀεὶ τοὺς αὐτοὺς τόπους τοῦ ζῳδιακοῦ διεξερχομένων αὐτῶν. |

248 **III 13** [20. II 170, 11 L.] Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι εὐπετέστερα προγινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ᾽ ἀρχῆς αὐτοῖσίν εἰσιν. οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι καὶ κοιμώμενοι τὰς νύκτας καὶ τὰ ἄλλα σημεῖα ἔχοντες ἀσφαλέστατα. οἱ δὲ ἀπολούμενοι δύσπνοοι, ἀλλοφάσσοντες, ἀγρυπνέοντες τά τ᾽ ἄλλα σημεῖα κάκιστα ἔχοντες.

Τὸ μὲν εὐπετῶς ἐρρέθη καὶ πρόσθεν ἑτοίμως τε καὶ ῥᾳδίως σημαῖνον, τὸ δ᾽ εὐπετέστερα ῥᾴονα δηλονότι λέγει καὶ πρὸς τὴν διάγνωσιν ἑτοιμότερα. πρὸ ὀλίγου μὲν οὖν εἶπεν "οἵ τε γὰρ εὐηθέστατοι

1 ἐν τοῖς Περὶ κρίσεων] *IX 658 sqq. K.* 4 εἴρηκε] *20 (II 170, 11 L.); supra p. 337, 12* 22 ἐρρέθη] *supra p. 269, 5 sq.* 24 πρὸ ὀλίγου] *20 (II 168, 8 sqq. L.); supra p. 331, 19 sqq.*

2 γε PF: *corr. ex* τε V: τε R 4 τουτέου VRF: τούτου P: τοιούτου *edd.* 5 γὰρ *superscr.* V ἐστιν VRF: *om.* P *ante* ἀταξία *inser.* ἡ P 7 τέτακται] τετάρακται *(sic)* R αὐτοῦ R 8 γῆς] γ *in ras.* P *post* περικεχυμένης *inser.* ἀεὶ F 9 ταύτην VPF: αὐτὴν R 11 δεῖ VF: *corr. ex* δὴ R: δὴ P κόσμου VRP: κόσμον F 12 καὶ μὴ VRF: μὴ καὶ P 13 εἰσὶν] ἴσην *(sic)* F γε F: γοῦν P: γοῦν *superscr.* V²: *om.* R 15. 16 κρίνεσθαι μέλλοντα P 16 προγινώσκεσθαι RPF: προγιγνώσκεσθαι V: γινώσκεσθαι *ex Hipp. Aldus* μέγιστα *corr. ex* μάλιστα V 17 αὐτοῖσιν VR *(ut infra p. 339, 11)*: αὐτοῖς P: αὐτέων F *Hipp.*: αὐτέοισιν *ab Aldo edd.* εἰσιν . . . τε *(18) perierunt in* V εἰσιν VRP: ἐστίν *ex Hipp. ab Aldo edd.*: *om.* F 18 τε *om.* P εἰσι *post* τε *colloc.* F κοιμώμενοι VR *(ut infra p. 339, 5)*: κοιμῶνται PF *Hipp.* 19 καὶ τὰ VRPF: τά τε *ex Hipp. ab Aldo edd.* σημεῖα *om. Aldus* ἔχοντες VR *(ut infra p. 339, 7)*: ἔχουσιν PF ἀσφαλέστερα P ἀπολλόμενοι P 20 *post* δύσπνοοι *add.* γίνονται *ex Hipp. ab Aldo edd.*: *om.* VRPF ἀγρυπνέοντες (ἀγρυ *in ras.* V) ἀλλοφάσοντες *(add.* V¹ *in mrg.) colloc.* VR τά τ᾽] τ᾽ ἄλλα τε *(sic)* P 21 ἔχοντες κάκιστα F 22 εὐπετῶς VRPF: εὐπετέως *edd.* 23 εὐπετέστερον RF ῥᾴονα V: ῥᾷον RPF *post* ῥᾷον *inser.* ἀπαυδίσει R λέγει RF: *omissum superscr.* V: σημαίνει P τὴν *om.* P

τῶν πυρετῶν καὶ ἐπὶ cημείων ἀcφαλεcτάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόcθεν”, ἀλλὰ νῦν ἐπανέλαβεν αὐτὸ χάριν τοῦ διὰ παραδειγμάτων ἐνδείξαcθαι cαφέcτερον, ὁποῖα τὰ cημεῖα τὰ κάλλιcτά ἐcτιν. αὐτὸc γοῦν ἐπιφέρων φηcὶν οἱ μὲν γὰρ περιεcόμενοι εὔπνοοι καὶ ἀνώδυνοι καὶ κοιμώμενοι τὰc νύκταc, | οἱ δ᾽ ἀπολούμενοι 249 δύcπνοοι, ἀλλοφάccοντεc, ἀγρυπνέοντεc. εἶθ᾽ ἑκατέρῳ τῷ λόγῳ προcέθηκε τῷ μὲν πρώτῳ καὶ τὰ ἄλλα cημεῖα ἔχοντεc ἀcφαλέcτατα, τῷ δὲ δευτέρῳ καὶ τὰ ἄλλα cημεῖα κάκιcτα ἔχοντεc, ἐνδεικνύμενοc cαφῶc, ὅτι παραδειγμάτων ἕνεκεν ἐμνημόνευcεν ἐξ ἑκατέρου γένουc τριῶν cημείων. εἰκότωc δὲ καὶ τοῦτο προcέθηκε τῷ λόγῳ· μέγιcτα γὰρ τὰ διαφέροντα αὐτοῖcιν ἀπ᾽ ἀρχῆc ἐcτιν, ὅπερ εἴρηταί μοι καὶ πρόcθεν, ὡc παμπόλλη τίc ἐcτιν ἡ διαφορὰ πρὸc ἄλληλα τῶν μελλόντων ἐν ἐλαχίcτῳ χρόνῳ κρίνεcθαι νοcημάτων ἐπ᾽ ὀλέθρῳ τε καὶ cωτηρίᾳ, καθάπερ τῶν εἰc πλεῖcτον χρόνον ἐκτεινομένων, ὅτι παραπλήcια κατὰ τὴν ἀρχήν ἐcτι τὰ cημεῖα. τὸ δὲ ἀλλοφάccοντεc (εἴρηται γὰρ καὶ τοῦτο τοὔνομα κατὰ τὴν ῥῆcιν) οὐ πάνυ τι cύνηθεc ὂν ἤτοι τοὺc παραφρονοῦνταc ἢ τοὺc μεταρριπτοῦνταc ἑαυτούc, ὅπερ ἔcτιν ἀcωμένουc, ἐνδείκνυται. βέλτιον δ᾽ ὅcον ἐξ αὐτῆc τῆc φωνῆc οἷόν τε τεκμαίρεcθαι τὸ πρότερον, ἵν᾽ ᾖ γενόμενον τοὔνομα τὸ ἀλλοφάccοντεc ἐκ τοῦ ἄλλοτε φάcκειν ἄλλα, τινὲc δὲ ἀπὸ τοῦ μεταβάλλειν ἄλλοτε εἰc ἄλλο cχῆμα | τὰ φάη, τουτέcτι τοὺc ὀφθαλμούc, γεγονέναι 250 φαcὶ τὴν προcηγορίαν.

III 14 [20. II 170, 16 L.] Ὡc οὖν τούτων οὕτω γινομένων ξυμβάλλεcθαι χρὴ κατὰ τὸν χρόνον καὶ κατὰ τὴν πρόcθεcιν ἑκάcτην ἐπὶ τὴν κρίcιν ἰόντων τῶν νοcημάτων.

4 ἐπιφέρων φηcί] *20 (II 170, 13 sqq. L.); cf. supra p. 338, 17 sq.* 10 προcέθηκε] *supra p. 338, 16 sq.* 11 εἴρηται καὶ πρόcθεν] *supra p. 336, 3 sqq.* 15 ἀλλοφάccοντεc] *cf. Erotian. p. 39, 9 sqq. Klein et A. Foesii Oecon. Hipp. p. 31*

1 cημείου P ἀcφαλέcτατα P 2 *post* νῦν *inser.* γε F ἐπανέλαβεν VPF: ἐπανέλωμεν R 5 *ante* κοιμώμενοι *inser.* οἱ R ἀπολλόμενοι P 6 τῶν λόγων P τῷ λόγῳ *perperam repititum del.* V 7 πρώτω VP: προτέρῳ RF καὶ τὰ VRF: τά *(superscr.)* τ᾽ P 8 ἔχοντι (ι *in ras.*) κάκιcτα P καὶ τὰ VRF: τά τ᾽ P ἐνδεικνύμενοc VRPF: ἐπιδεικνύμενοc *edd.* 9 *post* ἑκατέρου *inser.* τοῦ F 10 τριῶν VRPF: τῶν *edd.* *post* προcέθηκε *inser.* ἐν F 11 αὐτοῖcιν VR: αὐτοῖc PF ἐcτιν ἀπ᾽ ἀρχῆc F ἀπ᾽] ἐξ P ἐcτιν *om.* P 12 πρὸc ἄλληλα VRF: ἀλλήλων (πρὸc *omisso*) P 13 τῶν . . . ἐλαχίcτῳ *plerumque corrosa* V 14 τῶν] τὸν R πλεῖcτον] πλείονα *Aldus* 15 κατὰ . . . ἐcτι *om. Aldus* κατ᾽ ἀρχὴν (*omisso* τὴν) P 19 τε] τοι F τεκμήραcθαι RF *post* τεκμαίρεcθαι *inser.* cημαίνειν τὸ P πρότερον . . . ἐκ τοῦ *(20) om.* P πρότερον *corr. ex* πρῶτον R[1] *ante* ἀλλοφ. *inser.* δ᾽ *Aldus* 20 ἀπὸ VRF: ἐπὶ P 22 φηcὶ F 23 τούτων VRF: τουτέων P *Hipp.* 24 cυμβάλλεcθαι F *post* κατὰ *(prius) inser.* τε *ex Hipp. ab Aldo edd.* καὶ κατὰ VRPF: κατά τε *ex Hipp. ab Aldo edd.* τὴν *om.* R πρόcθεcιν] c *prius superscr.* V[2]: πρόθεcιν F 25 ἰόντων] ὄντων P

῞Ωςπερ, ὅςα περὶ τῆς πρώτης τετράδος εἶπε κατὰ τὴν ἀρχήν, ἐπανέλαβε μετὰ τοῦ προςθεῖναι καὶ παραδείγματα, κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐν τῇ ῥήςει τῇδε διέρχεται τὰ κατ᾽ ἐκείνην αὐτῷ γεγραμμένα, δι᾽ ἧς φηςιν "ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμέεςθαι καὶ καθ᾽ ἑκάςτην τετράδα προςτιθεμένην ςκέπτεςθαι καὶ οὐ λήςει, ὅπῃ τρέψεται."

III 15 [20. II 172, 2 L.] Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῇςι γυναιξὶν αἱ κρίςιες ἐκ τῶν τόκων γίνονται. |

251 Καθ᾽ ἣν ἂν ἡμέραν ἀποκυήςῃ, ἡ ἀρχὴ τῆς ἐξαριθμήςεως γινέςθω ςοι, μὴ καθ᾽ ἣν ἤρξατο πυρέττειν. ἔνιαι γοῦν ἤτοι περὶ δευτέραν ἢ τρίτην ἡμέραν ἄρχονται μετὰ τὸν τόκον, ἀφ᾽ ἧς ἀριθμοῦςιν οἱ πολλοὶ τὴν ἐςομένην κρίςιν. ἔχει δ᾽ οὐχ οὕτως, ἀλλ᾽, ἀφ᾽ ἧς ἀποκυήςει, τὴν ςυναρίθμηςιν δεῖ γίνεςθαι τῶν ἡμερῶν. ὁπότ᾽ οὖν ταῦτα ἅπαντα περὶ τῶν κριςίμων ἡμερῶν ἐπὶ κεφαλαίων διῆλθεν ὁ Ἱπποκράτης, ἀναμνῆςαί ςε βούλομαι τοῦ πολλάκις ἐν πολλοῖς ὑπ᾽ ἐμοῦ λεγομένου. τί δ᾽ ἐςτὶ τοῦτο; τὸ τῶν ζητουμένων ἔνια μηδὲν εἰς τὰ τῆς τέχνης ἔργα ςυμβαλλόμενα λογικὴν ἔχειν τὴν ςκέψιν. ἡ μὲν γὰρ χρεία τῆς προγνώςεως ἔςτιν ἐν τῷ γνῶναι τὴν ἡμέραν, ἐν ᾗ κριθήςεται τὸ νόςημα, τὸ δ᾽ εἴτε ὀξὺ κλητέον εἴτε κάτοξυ τὸ τοιοῦτον εἴτε χρόνιον εἴτε ὀξὺ παρηυξημένον εἴτε ἐκ μεταπτώςεως ὀξύ, περὶ ὀνομάτων ἐςτὶ μᾶλλον ἢ περὶ πραγμάτων ζητεῖν. εἰ δὲ καὶ περὶ πραγμάτων ἐθέλοι τις εἶναι τὴν τοιαύτην ζήτηςιν, ἀλλ᾽ οὔτι γε περὶ τοιούτων πραγμάτων ἐςτίν, ἐξ οἵων ἄν τις ὁρμώμενος ἢ προγνοίη τὸ γενηςόμενον ἢ θεραπεύςειεν
252 ὀρ|θῶς.

4 φηςὶν] *supra p. 335, 22 sqq.*

1 περὶ *om.* P 2 καὶ *om.* F 3 τῇ ῥήςει τῇδε VRP: τῇδε τῇ ῥήςει F διεξέρχεται V γεγραμμένα VP: προςγεγραμμένα R: προγεγραμμένα F 4 δι᾽ ἧς *omissa suprascr.* V² ἡμέρης R ἐνθυμέεςθαι VRPF: ἐνθυμεῖςθαι *edd.* 5 ἐπιςκέπτεςθαι προςτιθεμένην F ςκέπτεςθαι VRP: ἐπιςκέπτεςθαι F 6 τρέψεται] έψε *in ras.* P *post* τρέψεται *add.* τὸ νόςημα RF 7 κατὰ . . . γυναιξὶν *(8) perperam repetitum del.* R δὲ *post* αὐτὸν *colloc.* R 8 κρίςεις V γίνονται *post* κρίςιες *colloc.* F 9 καθ᾽ . . . ἀποκυήςῃ *perperam lemmati Hippocratico tribuunt* VRF ἡμέρην RF γινέςθω RF: γιγνέςθω P: γενέςθω V 10 ἔνιαι RF: αι *in ras. man. 2* P: *corr. ex* ἐνίαις V: ἐνίαις *edd.* δευτέραν VF: δευτέρην R: δευτέρας P 11 τρίτης ἡμέρας P 12 ἀπεκύηςεν F 13 ἀρίθμηςιν V γίνεςθαι RP: γενέςθαι VF ἅπαντα ταῦτα R *post* ἅπαντα *inser.* τῇ F 14 τῶν *om.* F κεφαλαίων F: κεφαλαίῳ VRP ὁ *om.* P 15 λελεγμένου F τί VRPF: τὸ *a Basil. edd.* 16 τοῦτο VRPF: τοιοῦτο *a Basil. edd.* 17 ἔχειν VRP: ἔχει F 18 γνῶναι] προγνῶναι P ἐν *om.* P 20 εἴτ᾽ ἐκ μεταπτώςεως VRP *(cf. etiam infra p. 341, 9)*: εἴτε κατὰ μετάπτωςιν F 21 ἐθέλει V 22 τὴν *om.* F γε *om.* P 23 *post* οἵων *inser.* δ᾽ P² ἢ *(prius)*] εἰ F ἢ *(alter.) om.* F θεραπεύςειεν VR: θεραπεύςαιεν F: θεραπεύςῃ P 24 *ante* ὀρθῶς *inser.* ἂν F ὀρθῶς VPF: καλῶς R

Ὑποκείcθω γὰρ ἡμῖν ἀληθῶc προεγνῶcθαι τὸν νοcοῦντα κατὰ τὴν εἰκοcτὴν ἡμέραν ἀπαλλαγήcεcθαι τοῦ νοcήματοc, εἶτα γενομένου τοῦ πράγματοc ὡc ἠλπίcθη τὸν μέν τινα λέγειν ὀξὺ νόcημα γεγονέναι τἀνθρώπῳ, τινὰ δ' οὐκ ἐπιτρέπειν ὀξὺ προcαγορεύειν αὐτό (πέραc γὰρ εἶναι τῶν ὀξέων τὴν τεccαρεcκαιδεκάτην ἡμέραν), εἶτ' αὖθιc πάλιν ἀλλήλοιc διαφέρεcθαι, τοῦ μέν τινοc, ἐπειδὴ τῶν ὀξέων ἐξέπεcεν ἡ νόcοc, ἄντικρυc αὐτὴν ὀνομάζοντοc χρονίαν (εἶναι γὰρ ἄλλην τρίτην οὐδεμίαν διαφορὰν ἀπὸ χρόνου ποcότητοc ἐν τοῖc νοcήμαcιν ὑποληπτέον), ἑτέρου δὲ ἐκ μεταπτώcεωc ὀξὺ τὸ τοιοῦτον νόcημα καλοῦντοc, ἄλλου δὲ παρηυξημένον ὀξὺ προcαγορεύοντοc, ἄλλου δ' οὐχ ἁπλῶc οὕτωc, ἀλλὰ παρηυξημένον ἐπ' ὀλίγον ὀξὺ καλοῦντοc. ἵν' οὖν τιc ἀκούcῃ, πρῶτον μέν, ἐκ τίνων πιθανῶν ἕκαcτοc τῶν διαφωνούντων ὁρμᾶται, διακρίνῃ δ' ἐφεξῆc, ὅcτιc ἄμεινον αὐτῶν ἢ χεῖρον γινώcκει, κατατρίψει μὲν οὐκ ὀλίγον χρόνον, ὀνήcεται δ' οὐδὲν εἰc τὴν τέχνην. οὕτω δὲ καὶ ὅcτιc μὲν οἶδε προγνῶναι κατὰ τὴν εἰκοcτὴν ἑβδόμην λυ|θηcόμενον τὸ νόcημα, μὴ δύναται δ' ἀποφαίνεcθαι πότερον ὀξὺ 253 κλητέον ἢ χρόνιον ἢ παρηυξημένον ὀξὺ ἢ ἐκ μεταπτώcεωc ὀξύ, βέβλαπταί τι πρὸc τὴν τέχνην οὐδὲ οὗτοc οὐδέν. ἄριcτον γάρ ἐcτιν ἐν ταῖc κατὰ χρόνον διαφοραῖc τῶν νοcημάτων τοcοῦτον αὐτῶν ὑπολαμβάνειν εἶναι τὸν ἀριθμὸν ὅcον περ καὶ τῶν κρινουcῶν περιόδων, ὡc εἶναι τὸν μὲν ὀλιγοχρονιώτατον ἐν τῇ πρώτῃ τετράδι περιγραφόμενον, ἐφεξῆc δὲ τούτῳ τὸν κατὰ τὴν δευτέραν, εἶθ' ἑξῆc τὸν κατὰ τὴν τρίτην, εἶτα τὸν κατὰ τὴν τετάρτην καὶ μετὰ τοῦτον τὸν κατὰ τὴν πέμπτην, ἐφεξῆc δὲ τούτῳ τὸν κατὰ τὴν ἕκτην, ἥτιc εἰc τὴν εἰκοcτὴν ἡμέραν ἀφικνεῖται, μετὰ δὲ ταύτην ἐκλύεcθαι μὲν τὰc τετράδαc,

9 μεταπτώcεωc κτλ.] *cf. supra p. 340, 20* 21 ὀλιγοχρονιώτατον κτλ.] *schol.* R: ὅτι ὁ ὀλιγοcτὸc χρόνοc τῶν κρίcεων περιγράφεται ἐν τῇ πρώτῃ τετράδι, ἐφεξῆc δὲ ταύτῃ τῇ κατὰ τὴν δευτέραν, εἶθ' ἑξῆc τῇ κατὰ τὴν τρίτην, εἶτα τῇ κατὰ τὴν τετάρτην ἄχρι τῆc κʹ. εἶτα ἐκλύονται μὲν αἱ κατὰ τετράδα, εἰc ἑβδομάδαc δ' αἱ κρίcειc γίνονται, εἶτα καὶ αὗτα ἐκλύονται, τοῦ χρόνου δὲ προιόντοc δι' εἴκοcι ἡμερῶν λύονται, εἶτ' εἰc ἀριθμὸν μηνῶν.

1 προεγνῶcθαι (μὲν *inser.* R) ἀληθῶc VRPF: *transposui* 2 ἀπαλλαγήcαcθαι *Aldus Basil.* 3 τὸν] ν *superscr.* V¹ λέγειν *in ras.* P 5 τὴν *corr. ex* τῶν V² εἶτ' αὖθιc P: εἶτ' αὐτοὺc VR: ἐπ'αὐτοῖc δὲ F 6 ἀλλήλοιc VR: ἄλλουc V²PF 7 *post* ἄντικρυc *inser.* εἰcιν F ὀνομάζοντεc F ἄλλην τρίτην οὐδεμίαν VRP: οὐδεμίαν ἄλλην τρίτην F 8 ὑποληπτέον RPF: *om.* V 9 δὲ] μὲν γὰρ F τὸ τοιοῦτον νόcημα VR: νόcημα τὸ τοιοῦτον P: *om.* F 10 ἄλλου . . . προcαγορεύοντοc *om. Kuehniana* παρηυξημένον *ex corr.* V ἄλλου δ'] ἀλλ' οὐδ' R 11 ἵν' οὖν P: ἵνα γοῦν VR: ἵνα γὰρ F 12 μὲν πρῶτον F τίνων *corr. ex* τήνων P 13 διακρίνῃ P: διακρίνει V: διακρίνεὶ *(sic)* R: διακρίνειν F χεῖρον *corr. ex* χειρῶν P 14 κατατρίψει *corr. ex* καταρίψει P² 15 ὅcτιc VRF: ὃc P οἶδε] εἶδε R 17 βέβλαπταί VRF: βλάπτεταί P 18 *post* ἄριcτον *inser.* μὲν RF 19 αὐτῶν *om.* F 20 ὅcον VRP: ὅcῳ F: ὅcoc *edd.* τῶν] ν *superscr.* V¹ 21 τὸν] τὸ P ὀλιγοχρονιώτατον] ὀλίγον χρόνον F 22 τούτων F τὸν *(utroque loco)* VRF: τὸ P 23 τὸν *(prius)* VR: τὸ PF τοῦτον VR: τοῦτο PF τὸν *(alt.)* VR: *corr. in* τὸ P: τὸ F 24 τὸν VR: τὸ PF τὴν *(tert.) superscr.* P 25 ταῦτα R

ἑβδομαδικὰς δὲ γίνεσθαι κρίσεις, εἶτα καὶ ταύτας ἐκλύεσθαι τοῦ χρόνου προϊόντος, ὡς δι᾽ εἴκοσιν ἡμερῶν τὰς λύσεις τῶν νοσημάτων ἀποτελεῖσθαι καὶ μετὰ ταύτας εἰς ἀριθμὸν μεταβαίνειν μηνῶν. δύο γὰρ προθεσμίαι χρόνων εἰσὶ τοῖς νοσήμασιν, ὡς τὰ μὲν ὀξέα, τὰ δὲ χρόνια λέγεσθαι, ἀλλ᾽ ἕνεκα σαφοῦς διδασκαλίας πολλάκις οὕτως ὀνομάζομεν, εἶθ᾽ ὑπὸ τῶν πραγμάτων αὐτῶν ἀναγκαζόμεθα μεταξὺ πάλιν αὐτῶν
254 ἕτερα | τιθέναι τὰ ἐκ μεταπτώσεως ὀξέα καὶ ποιεῖν τρεῖς τὰς πάσας διαφοράς, αὖθις δὲ τούτων ἑκάστην τέμνειν, οἷον εὐθὺς ἐπὶ πρώτων τῶν ὀξέων τὸ μὲν ἁπλῶς "ὀξύ", τὸ δὲ "κάτοξυ" πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὠνόμασται, κάτοξυ μὲν τὸ τῆς ἑβδόμης ἡμέρας οὐκ ἐξωτέρω προϊόν, ἀλλ᾽ ἤτοι κατ᾽ αὐτὴν ἢ καὶ πρωϊαίτερον κρινόμενον, ὀξὺ δὲ τὸ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἐκτεινόμενον. εἶτα καὶ τούτῳ πάλιν αὐτῷ βραχύ τι προστιθέμενον ὁρῶντες ἀπορούμεθα, προσηγορίαν ἰδίαν οὐκ ἔχοντες θέσθαι τῷ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν κρινομένῳ νοσήματι, καθάπερ οὐδὲ τῷ κατὰ τὴν εἰκοστὴν τῆς καλουμένης σωριτικῆς ἀπορίας κατὰ τὸ πρᾶγμα φαινομένης, ὥστ᾽ ἐνίοτε πιθανὸν ἡμῖν δοκεῖ τὴν εἰκοστὴν ἡμέραν ὅρον θέσθαι τῶν ὀξέων, οὐ τὴν τεσσαρεσκαιδεκάτην οὔσης καὶ ἄλλης οὐ σμικρᾶς ἀπορίας κατὰ τὸ πρᾶγμα. τὸ γὰρ ὀξὺ νόσημα μετὰ μεγέθους τινὸς νοεῖται καὶ συνεχείας πυρετοῦ. τὸ γάρτοι μὴ τοιοῦτον εἴτε καὶ περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν
255 ἢ καὶ θᾶττον λυθείη, | τῆς αὐτῆς προσηγορίας οὐκ ἀξιοῦμεν.

Αὗται μὲν οὖν αἱ διαφοραὶ καὶ τοσαῦται περὶ τῶν ὀξέων νοσημάτων εἰσὶ τῆς προθεσμίας, ἄλλαι δὲ περὶ τῶν μετὰ τὴν εἰκοστὴν ἡμέραν κρισίμων εἰς πλάτος ἱκανὸν ἐκτεταμένων. κἀκείνων δ᾽ εὔλογον οἶμαι τὰ μὲν ἄχρι τεσσαράκοντα ἡμερῶν προϊόντα κατά τινα διαφορὰν ἰδίαν τίθεσθαι, τὰ δ᾽ ἀπὸ τούτων ἄχρι μηνῶν ἑπτὰ κατ᾽ ἄλλην διαφοράν, ὥσπερ γε καὶ τὰ ἐνιαύσια κατ᾽ ἄλλην αὖ πάλιν καὶ ταῦτα καὶ πρός γε τούτοις ἔτι τὰ συναριθμήσεις ἐτῶν, οὐ μηνῶν ἔχοντα. ὅπερ οὖν ἀεὶ λέγω, τὰ μὲν τοιαῦτα παραλειπτέον ἐστίν, ἀσκητέον δ᾽ αὐτὸν ἱκανὸν εἶναι προγινώσκειν, ὁπότε λυθήσεται τὸ νόσημα. φαίνεται γοῦν ὁ Ἱπποκράτης ἐφ᾽ ἑνὸς εἴδους νοσήματος, ὃ καλεῖν εἴωθεν ἐμπύημα, τισὶ μὲν αὐτῶν τὴν εἰκοστὴν ἡμέραν ὅρον τῆς ῥήξεως τιθέμενος, ἐνίοις

10 ὠνόμασται] *cf. Aphor. I 7 (IV 462, 12 L.) et Gal. XVII B 373, 11 et 668, 13 sq. K.* 31 ἐμπύημα] *cf. Foesii Oecon. Hipp. s. v.*

1 τοῦ (*ante* χρόνου) *falso repetitum del.* V 3 ταύτας VRP: ταῦτα F 7 τρεῖς τὰς πάσας R: τὰς πάσας τρεῖς F: τὰς τρεῖς πάσας V: τρεῖς πάσας P 8 οἴων R *post* ἐπὶ *inser.* τῶν VP 14 τῷ . . . οὐδὲ *(15) om.* P 15 τῷ] τὸ PF 17 θέσθαι ὅρον P 18 σμικρᾶς RF: μικρᾶς VP 19 γάρ] γε F συνέχειαν R 20 εἴτε VRP: εἴ γε F καὶ *om.* R τὴν R: *om.* VPF 21 καὶ *in ras.* V 22 καὶ τοσαῦται RF: *om.* VP 23 εἰσὶ *om.* P μετὰ] κατὰ F 24 πλάτος] ος *in ras.* P ἐκτεταμένον V 25 μὲν RPF: *superscr.* V²: γὰρ V τεσσαράκοντα ἡμερῶν VRP: τῆς τεσσαρακοστῆς ἡμέρας F 26 ἰδίαν *omissum add. in mrg.* V¹ ἄχρι] ἀρχὴν (ν *add. man. 2)* P ἑπτὰ] ιήτὰ *(sic)* F 27 καὶ *(alt.) om.* F 28 τὰ VRF: τὰς V²P ἐτῶν] ἐκ τῶν *(sic)* P 29 αὐτὸν VF: αὐτῶν R: αὐτὸ/// P 30 γοῦν] οὖν F 31 εἴωθα R 32 ὅρον *om.* P τίθεσθαι P ἐνίοις RPF: ἐνίοτε V

δὲ τὴν τριακοστὴν ἢ τεσσαρακοστὴν ἢ ἑξηκοστήν. ἐπιτρέψας οὖν τὰς προσηγορίας ἑτέροις ἐπ᾽ αὐτῶν τίθεσθαι τοῖς τὰ τοιαῦτα δεινοῖς αὐτὸς σπούδαζε προγινώσκειν, εἰς ἥντινα τῶν προειρημένων ἡμερῶν ἡ προθεσμία τῆς | ῥήξεως ἀφίξεται. τοῦτο δ᾽ εὑρήσεις διὰ δυοῖν ὥσπερ ὀργάνοιν 256, ἐμπειρίας τε καὶ λόγου, τῆς μὲν ἐμπειρίας ἓν καὶ δεύτερον ἐμπύημα διδαξάσης ἐρρωγὸς ἑκάτερον ἰδίᾳ προθεσμίᾳ, τοῦ λόγου δὲ γινώσκοντος τήν τε τῆς ὕλης τῶν ἐμπυημάτων οὐσίαν τό τε δραστικὸν αἴτιον αὐτῆς τά τε τούτῳ συνεργοῦντα. θεασάμενος γάρ τις τὸ πρῶτον ἐμπύημα κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν, εἰ τύχοι ῥαγέν, ὑπὸ τοῦ τοιοῦδε χυμοῦ γεγονός, οἷον ὅτι μετρίως ψυχροῦ καὶ καθ᾽ ὥραν ὡσαύτως μετρίως ψυχράν, ἡλικίαν τε καὶ χώραν καὶ φύσιν ὅλου τε τοῦ σώματος καὶ τοῦ πεπονθότος μορίου καὶ πάλιν ἕτερον θεασάμενος ἑξηκοσταῖον ἐρρωγός, ἐπὶ ψυχροτέροις ἅπασι τοῖς προειρημένοις ἢ εἰ οὕτως ἔτυχεν εἰκοσταῖον ἐπὶ θερμοτέροις, ἐκ τούτων ὁρμώμενος ἱκανὸς ἔσται περὶ τῶν ἄλλων ἐμπυημάτων στοχάζεσθαι, σκοποῖς μὲν χρώμενος τοῖς ἐμπείρως ὁραθεῖσι, παραβάλλων δ᾽ ἐκείνοις τὰ νῦν γινόμενα κατὰ θερμότητα καὶ ψῦξιν αὐτῶν τε τῶν μεταβαλλομένων χυμῶν καὶ τῆς ἀλλοιούσης αὐτοὺς αἰτίας δραστικῆς, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμόν, ὅσα τἄλλα | ταύτῃ συνεργεῖ κατὰ χώραν καὶ ὥραν καὶ κατάστασιν, αὐτῆς 257 δὲ τῆς δραστικῆς αἰτίας τὸ μέγεθος ἔκ τε τῆς ἡλικίας τεκμαιρόμενος ἔτι τε τῆς ἰδίας φύσεως αὐτοῦ καὶ τοῦ μορίου, καθ᾽ ὃ συνέβη τὴν ἐκπύησιν γενέσθαι, καὶ τῶν ἄλλων σημείων, ὅσα ῥώμην τε καὶ ἀρρωστίαν ἐνδείκνυται τῆς κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας δυνάμεως. ὁ γὰρ μηδὲν τούτων ἐπιστάμενος, ἀλλὰ περιμένων ἐκ παρατηρήσεως διδαχθῆναι περὶ πάντων τῶν ἐμπυημάτων, ἐτῶν εἰς τοῦτο χιλίων δεῖται, ὥσπερ αὖ πάλιν ὁ πρὸς τὴν ἔμφυτον ἀποβλέπων θερμασίαν ὁπόση τίς ἐστι καὶ ταύτῃ παραβάλλων τὴν φύσιν τῶν πεφθησομένων χυμῶν ὁδὸν ἔχει τῆς εὑρέσεως οὗ ζητῶν τυγχάνει πράγματος. οὗτος οὖν ἐστιν ὁ δυνάμενος, ἐξ ὧν εἶδε καὶ περὶ ὧν οὐκ εἶδε, τεκμαίρεσθαι τεχνικῶς.

1 δὲ *om.* P ἢ *(prius)* . . . ἑξηκοστήν *om.* F ἐπιτρέψας *corr. ex* ἐπιστρέψας V οὖν *corr. ex* οὐ R *post* οὖν *inser.* cυ F 2 ἐπ᾽ αὐτῶν ἑτέροις F ἐπ᾽ αὐτῶν *om.* P *post* τοῖς *inser.* περὶ *a Basil. edd.* 3 σπούδαξε V ἡμερῶν *om.* F 4 ὀργάνοιν VRP: ὀργάνων F 8 αὐτῆς αἴτιον R 9 κατὰ τὴν τεσσαρακοστὴν] κατὰ τὴν ιδ´ *(superscr.* τεσσαρακοστὴν *man. 3)* V: γρ(άφε) καὶ κατὰ τὴν μ´ *in mrg.* V¹ ἡμέραν PF: *om.* VR τύχῃ P τοῦ *om.* F 10 τοιοῦδε VR: τοιοῦδε αὐτοῦ F: αὐτοῦ *Aldus*: τοιούτου P ὅτι] ἔτι F 11 τε *(alt.)* VRPF: *om. edd.* τοῦ *om.* P 12 τοῦ *om.* F θεασόμεθα *(sic)* F 13 ἐρρωγός VRPF: διερρωγός *edd.* ψυχροτέροις VRF: ψυχροτέραν P *obscura correctione* ἢ VRP: εἶτ᾽ *edd.*: εἶθ᾽ F εἰ *om.* R 14 ἐκ *ex corr.* V ἱκανὸς *corr. ex* ἱκανῶς P 16 ἐμπείροις F γινόμενα PF: γιγνόμενα VR: γενόμενα *edd.* 21 *post* συνέβη *inser.* καὶ F ἐμπύησιν V 22 γενέσθαι VRPF: γίνεσθαι *edd.* 23 ἐνδείκνυνται *Aldus Basil.* τῆς *ex corr.* R τὰς *(prius) omissum superscr.* P¹ ἀρτηρίας] ας *in ras.* P τὰς *(alt.)* VPF: *om.* R 25 περὶ PF: *superscr.* V²: παρὰ V: *om.* R *post* χιλίων *inser.* χρόνος *ab Aldo edd.* δεῖται χιλίων *colloc.* F δεῖται VRPF: οὐκ ἐξαρκέσει *ab Aldo edd.* 27 τὴν φύσιν RPF: *superscr.* V²: τῇ φύσει V 28 ἔχειν F οὗτος P: οὕτως VRF 29 εἶδε *(prius)* VP: *corr. ex* οἶδε R: οἶδε F εἶδε *(alt.)* VRP: οἶδε F

οὗτοϲ ἐρεῖ μόνοϲ, ὡϲ περὶ μὲν τὴν εἰκοϲτὴν ἡμέραν ἐκπυήϲει τόδε τι, περὶ δὲ τὴν τριακοϲτὴν τόδε τι καὶ ἐπὶ τῶν ἄλλων ὁμοίωϲ, οὐδὲν ἔτι προϲτιθέναι δεόμενοϲ, εἴτ᾽ ὀξὺ χρὴ καλεῖν εἴτε χρόνιον εἴτ᾽ ἐκ μετα-
258 πτώ|ϲεωϲ ὀξὺ τὸ νόϲημα. ταῦτα γὰρ ἔργον ἐϲτὶ διακρίνειν οὐκ ἰατρῶν εἰϲ τὰ τῆϲ τέχνηϲ ἔργα ϲπευδόντων, ἀλλὰ ϲοφιϲτῶν λόγοιϲ ϲχολαζόντων. καὶ διὰ τοῦτο περὶ μὲν τῶν τοιούτων προβλημάτων ἐφ᾽ ὑψηλοῦ θρόνου καθήμενοι ϲεμνῶϲ πάνυ καταντλοῦϲι λόγοιϲ οἱ πολλοὶ τοὺϲ μαθητάϲ, ὁποῖον δέ τι γενήϲεται τῷ κάμνοντι, "μᾶλλον αὐτοὺϲ λέληθεν ἢ οἱ τῆϲ θαλάττηϲ χόεϲ". ἕτεροι δὲ ἔμπαλιν ἱκανοὶ μέν εἰϲι καὶ διαγνῶναι τὰ νοϲήματα καὶ προγνῶναι τὰ γενηϲόμενα, λέγειν δ᾽ οὐδὲν ἔχουϲιν εἰϲ τὰ λογικὰ ζητήματα καὶ ἐκ ταύτηϲ τῆϲ αἰτίαϲ ἄλλοι μὲν ἰατροὶ νομίζονται παρὰ τοῖϲ ἀνθρώποιϲ, ἕτεροι δὲ ϲοφιϲταὶ καὶ λογιατροί. καλοῦϲι γὰρ αὐτοὺϲ οὕτω, κἂν θεάϲωνταί τινα βιβλίον ἀναγινώϲκοντα καὶ λόγῳ χρώμενον εἰϲ ἑρμηνείαν τῶν χρηϲίμων φαρμάκων, ὑποπτεύουϲι τοῦτον ἐκ τῶν λογιατρῶν εἶναι.

III 16 [21. II 172, 5 L.] Κεφαλῆϲ δὲ ὀδύναι ἰϲχυραί ⟨τε⟩ καὶ ξυνεχέεϲ ϲὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων ϲημείων
259 προϲγένηται, ὀλέθριον | κάρτα. εἰ δὲ τοιούτων ἄτερ ϲημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοϲιν ἡμέραϲ καὶ ὁ πυρετὸϲ ἔχοι, ὑποϲκέπτεϲθαι χρὴ αἵματοϲ ῥῆξιν διὰ ῥινῶν ἢ ἄλλην ἀπόϲταϲιν ἐϲ τὰ κάτω χωρία. ἔϲτ᾽ ἂν δὲ ἡ ὀδύνη νεαρὰ ᾖ, προϲδέχεϲθαι

8 μᾶλλον . . . χόεϲ] *Hanc sententiam Galenum ex Platonis Theaeteto 173 D excerpsisse adnotant Gottingenses ad Corpus Paroemiograph. Graec. II p. 80, 3 sq. (cf. etiam ibid. p. 173, 5 et notam)*

1 *post* οὗτοϲ *ex p. 343, 28 sq. repet.* οὖν ἐϲτιν ὁ δυνάμενοϲ *sed del. ipse* P μόνον F ἡμέραν . . . τριακοϲτὴν *(2) om.* P 3 χρὴ καλεῖν PF: καλεῖν χρὴ VR 4 *post* ἰατρῶν *inser.* νὴ Δία *edd.* 5 εἰϲ VRPF: περὶ *edd.* ϲχολαζόντων RPF: ϲπουδαζόντων V 6 *post* διὰ *add., sed ipse del.* τῶν τοιούτων P ἐφ᾽ *ex corr.* V 7 πάνυ *supra ras.* V²: πάλιν V *post* λόγοιϲ *add., sed ipse del.* πολλοῖϲ V 8 ποῖον F 9 οἱ . . . χόεϲ VRP: αἱ *(om. a Basil. edd.)* . . . χοαί F *et a Basil. edd.* τῆϲ *ex corr.* R θαλάϲϲηϲ F 10 γενηϲόμενα VRF: νοϲήματα P οὐδὲν VR: οὐδαμῶϲ *(ex corr.)* P: οὐκ F 11 καὶ ἐκ VP: καὶ κἀκ *(sic)* R: κἀκ F 12 λογιατροί] λογιώτεροι P 14 λόγουϲ *(sic)* R εἰϲ . . . φαρμάκων *om.* P 15 εἶναι *om.* R 16 περὶ τῶν κατὰ τὴν *(om.* V*)* κεφαλὴν καὶ ϲτόμα καὶ φάρυγγα παθημάτων *inscrib.* VR: περὶ ὀδύνηϲ κεφαλῆϲ *in mrg.* F ὀδύναι ἰϲχυραὶ καὶ ξυνεχέεϲ P¹: ὀδύναιϲ ἰϲχυραῖϲ . . . ξυνεχέϲι *superscr.* P² τε *add. ex Hipp. ab Aldo edd. et Galenus infra p. 345, 4: om.* VRPF 17 ϲὺν VRF: ξὺν P ἢν P: εἰ VRF 18 προϲγένηται VRPF: προϲγίγνοιτο *ex Hipp. ab Aldo edd.* εἰ VRF *Hipp. et ab Aldo edd.*: ἢν P τοιούτων ἄτερ ϲημείων VR: τοιούτων ἄνευ ϲημείων P: ἄνευ ϲημείων τοιουτέων F: ἄτερ τῶν τοιούτων ϲημείων *ex Hipp. ab Aldo edd.* 19 ὑπερβάλλοι VF *Hipp. et ab Aldo edd.*: ὑπερβάλλει R: ὑπερβάλλη P καὶ ὁ VRP: ὅ τε F *Hipp. et ab Aldo edd.* ἔχοι PF *Hipp. et ab Aldo edd.*: ἔχει VR ἐπιϲκέπτεϲθαι F 20 *post* ἄλλην *inser. ex Hipp.* τινὰ *ab Aldo edd.* 21 ἐϲ RF: εἰϲ VP *post* δὲ *inser.* καὶ *ab Aldo edd.* νεαρὰ *(ex corr.* V*)* ᾖ VRPF: ᾖ νεαρά *cum Hipp. ab Aldo edd.*

χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἐκπύησιν, ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ τὸ μέτωπον ᾖ.

Ἀτακτότερον ἡρμήνευται χρησιμώτατον εἰς πρόγνωσιν ὂν πρᾶγμα· κατὰ τάξιν δ' ἂν οὕτως ῥηθείη· κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ συνεχεῖς σὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδῶν σημείων προσγένηται, τελέως ὀλέθριον. εἰ δ' ἐξ ὧν ἔμαθες ἐλπίζεις τι περὶ τοῦ νοσοῦντος ὡς σωθησομένου, κατ' ἀρχὰς μὲν ἄχρι τῆς ἑβδόμης ἡμέρας αἱμορραγίαν διὰ ῥινῶν προσδέχου, προελθόντος δὲ τοῦ χρόνου καὶ τοῦτο μὲν ἔτι· πῦον δ' ἂν ἔλθοι διὰ ῥινῶν ἢ δι' ὤτων ἐπὶ σωτηρίᾳ τοῦ κάμνοντος. εἰ δ' ἄχρι τῶν εἴκοσιν ἡμερῶν ἐκτα|θείη τὸ σύμπτωμα τῆς κεφαλαλγίας, 260 ἔτι καὶ τότε τὴν αἱμορραγίαν σπανιώτερον ἔλπιζε, μᾶλλον δὲ ἐκπύησιν ἢ ἀπόστασιν εἰς τὰ κάτω χωρία προσδέχου. κατ' ἐκεῖνον δὲ τὸν χρόνον, καθ' ὃν ἂν τὴν αἱμορραγίαν ἐλπίσῃς, αὐξήσει σου τὴν ἐλπίδα κατὰ τοὺς κροτάφους τε καὶ τὸ μέτωπον ὀδύνη σφοδρὰ παραμένουσα.

III 17 [21. II 172, 12 L.] Μᾶλλον δὲ χρὴ τοῦ μὲν αἵματος προσδέχεσθαι τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν.

Ἀπὸ τῆς ἡλικίας ὁ διορισμὸς εἰς τὸ μᾶλλον ἐλπίζειν τὴν διὰ ῥινῶν αἱμορραγίαν. ἡ δ' αἰτία πρόδηλος εἰρημένη πολλάκις, ὡς ἡ μέχρι πέντε καὶ τριάκοντα ἐτῶν ἡλικία πλεῖστον αἷμα γεννᾷ. πρόσεστι δὲ τούτῳ καὶ τὸ θερμότερόν τε εἶναι καὶ χολωδέστερον ἐν ταύτῃ τῇ ἡλικίᾳ τὸ αἷμα. λέλεκται δὲ καὶ πρόσθεν εἰς τὰς ὑπὸ τῆς φύσεως γινομέ|νας 261

11 σπανιώτερον κτλ.] *cf. Galen. supra V 9, 1 p. 312, 7* 19 πολλάκις] *e. g. supra p. 250, 13; De temperam. I 583, 11 sqq. K. (p. 47, 13 sqq. Helmr.)* 22 λέλεκται καὶ πρόσθεν] *supra p. 250, 11*

1 *post* χρὴ *inser. ex Hipp.* ὡσαύτως *ab Aldo edd.* ἐκπύησιν P *Hipp. et ab Aldo edd.*: *corr. ex* ἐμπύησιν V[1]: ἐμπύησιν RF ἢν R *Hipp.*: κἂν V: κἢν P: καὶ ἢν F ἡ VP *Hipp. Chartier*: *om.* RF *Aldus Basil.* 2 *post* κροτάφους *inser.* τε *ab Aldo edd.* ᾖ *post* κροτάφους *colloc.* F 3 ἡρμήνευται RF: ἑρμηνεύεται VP: ἡρμόνευται *(sic) superscr.* V[2] *ante* χρησιμ. *inser.* ὅ ἐστι VP χρησιμώτερον P πρόγνωσι *(sic)* R ὂν RF: *del.* V: *om.* P 4 ἂν F: *superscr.* V[2]: *om.* RP 5 ξυνεχεῖς F ξὺν V ἢν P: εἰ VRF θανατωδέων F προσγένοιτο F 6 περὶ *ex corr.* V 7 σωθῆναι RP κατ' ἀρ[χ] *(ambigue)* P ἡμέρας F: *om.* VRP αἱμορραγίας V 8 μὲν *corr. in* μένει P[1] 9 ἔλθοι VR: ἔλθῃ PF 10 κεφαλγίας *(sic)* V 11 ἔτι (δὴ *add.* F) καὶ τότε VRPF: ἔκτοτε *in mrg.* V[2] σπανιώτερον RF: σπανιωτέραν *edd.*: σπανιω[τρ´] *(ambigue)* VP ἐκπύησιν *corr. ex.* ἐμπύησιν P 12 ἐς F 13 καθ' ὃν *add. in mrg.* V[2]: *rasura in textu* V ὃ R 13. 14 ἐλπίδα κ. τ. κρ. τε κ. τ. μ. ὀδύνη σφοδρὰ παραμένουσα F: ἐλπίδα ὀδύνη (*post* η *eras.* ν P) σφοδρὰ (ν *eras.* P) παραμένουσα (*post* -νουσα *eras.* ν P) κ. τ. κρ. τε κ. τ. μ. VP: ἐλπίδα ὀδύνη σφοδρὰ κ. τ. κρ. τε κ. τ. μ. παραμένουσα R 15 μὲν *post* αἵματος *colloc. ab Aldo edd.*: *om.* F 16 προσδέχεσθαι *post* χρὴ *colloc. cum Hipp. ab Aldo edd.* τριάκοντα P 18 ἐλπίσαι F τὴν VRF: *om.* P *edd.* *post* διὰ *inser.* τῶν R 21 τούτῳ VRPF: καὶ τοῦτο *edd.* εἶναι *post* χολωδέστερον *colloc.* P 22 γινομένας PF: γιγνομένας VR: γενομένας *edd.*

αἱμορραγίας τὸ τοιοῦτον ἐπιτήδειον εἶναι. [ἐπὶ ⟨δὲ⟩ τῶν γεραιτέρων τῶν περαιτέρω τῶν τριάκοντα καὶ πέντε ἐτῶν μᾶλλον προσδοκῆσαι τὴν ἐκπύησιν.]

III 18 [22. II 174, 1 L.] Ὠτὸς δὲ ὀδύνη ὀξείη σὺν πυρετῷ συνεχεῖ τε καὶ ἰσχυρῷ δεινόν. παραφρονῆσαι γὰρ κίνδυνος τὸν ἄνθρωπον καὶ ἀπολέσθαι. ὡς οὖν σφαλεροῦ ἐόντος τουτέου τοῦ τόπου ταχέως δεῖ προσέχειν τὸν νόον καὶ τοῖσιν ἄλλοισι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης.

Οὔτε ποτὲ γίνεται ὀδύνη σφοδρὰ τῶν φαινομένων τούτων ὤτων οὔτ᾿, εἰ καὶ γένοιτο, κίνδυνος ἀκολουθήσει, μήτ᾿ αὐτοῦ τι τοῦ μορίου κύριον ἔχοντος μήτε κυρίῳ τινὶ συνεχοῦς ὄντος, ἀλλ᾿ εἰώθασιν ὠταλγίας ὀνομάζειν, ὅταν ἐν τῷ βάθει κατὰ τὸν ἀκουστικὸν πόρον ἡ τῆς ὀδύνης αἴσθησις γένηται. τηνικαῦτα γὰρ αὐτὸ πάσχει τὸ ἀκουστικὸν ὀνομαζό-
262 μενον νεῦρον, οὐ διὰ μακροῦ συνά|πτον τῷ ἐγκεφάλῳ. εἰκότως οὖν ἀπόλλυνται πολλοὶ κατὰ τὰς σφοδρὰς ὠταλγίας εἰς συμπάθειαν ἐρχομένου τοῦ ἐγκεφάλου. διὸ καὶ παραφρονοῦσι τῶν καμνόντων ἔνιοι καὶ μέντοι καὶ ἀποθνῄσκουσί τινες αὐτῶν ἐξαίφνης, ὃν τρόπον οἱ ἀπόπληκτοι, ὅταν ἐπὶ τὸν ἐγκέφαλον ἀθρόως ἀφίκηται τὸ τὴν ὠταλγίαν ἐργαζόμενον ῥεῦμα.

III 19 [23. II 174, 4 L.] Ἀπόλλυνται δ᾿ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι καὶ ἔτι θᾶσσον ὑπὸ τοῦ νοσήματος τούτου, οἱ δὲ γέροντες πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται καὶ τὰ ὦτα φθάνει διὰ τοῦτο ἐκπυέεσθαι, ἀλλὰ ταύτῃσι μὲν

1 εἶναι VR: ὑπάρχον F: ὑπάρχειν *edd.*: *om.* P ἐπὶ (δὲ *inser. edd.*) . . . ἐκπύησιν R *edd.*: *om.* VPF: *inclusi* 4 περὶ ὀδύνης ὠτός (ὤτων F) *inscrib.* VRF ὀδύνη ὀξείη (*omissum superscr.* V¹) VRPF: ὀξείη ὀδύνη *ex Hipp. ab Aldo edd.* *post* ὀξείη *inser.* καὶ F σὺν VRF: ξὺν P *Hipp.* 5 συνεχεῖ VRF: ξυνεχεῖ P *Hipp.* παραφρονῆσαι γὰρ κίνδυνος VRPF: κίνδυνος γὰρ παραφρονῆσαι *ex Hipp. ab Aldo edd.* παραφρονήσειν *scribi iubet Cornarius* 6. 7 σφαλεροῦ ἐόντος τουτέου τοῦ (*superscr.* V²) τόπου VRPF: τουτέου τοῦ τόπου (τρόπου *ab Aldo edd. Hipp. vulg.*) σφαλεροῦ ἐόντος *cum Hipp. ab Aldo edd.* 7 τὸν νόον] τῷ νῷ F 8 ἡμέρας RF 9 οὔτε ποτὲ VRP: οὔτε ὅτε F: οὐδέποτε *edd.* ὀδύνη/// P *post* σφοδρὰ *inser.* ἐπὶ *edd.* τούτων *omissum superscr.* V²: ν *add. man. 2* P 10 ἀκολουθήσειν F 13 αὐτὸ *corr. ex* αὐτῷ P 14 μικροῦ *Aldus* 17 τινες αὐτῶν VRP: αὐτῶν τινες F ὃν τρόπον οἱ ἀπόπληκτοι] ἀποπληκτικὸν τρόπον F 18 ἀφίκηται ἀθρόως VRPF: *transposui* ὠταλγίαν] λ *superscr.* P 21. 22 τοῦ νοσήματος τούτου (τουτέου *ab Aldo edd.*) VRP *ab Aldo edd.*: τουτέου τοῦ νουσήματος (νοσ. F) F *Hipp.* γέροντες VP *Hipp. Aldus*: γεραίτεροι RF *a Basil. edd.* 23 ἧσσον *Galen. supra p. 323, 23*: ἧττον VRPF αὐτοῖσιν VF: αὐτέοισιν P αὐτοὶ συνεπιγίγνονται *(sic)* R 24 φθάνει (αὐτοῖς *add.* VRP) διὰ τοῦτο VRP *(cf. supra p. 323, 24)*: διὰ τοῦτο φθάνει *ex Hipp. ab Aldo edd.* διὰ τοῦτο *om.* F ἐκπυέεσθαι P: ἐκπυΐσκεσθαι *ex Hipp. ab Aldo edd.*: ἐκπυηθῆναι *supra p. 323, 24*: ἐκπυέοντα VR: ἐκπυῆσαι *superscr.* R²F

τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι ἀποκτείνουσι τοὺς πλείους. οἱ δὲ νεώτεροι πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥεύσῃ πῦον ἐκ τοῦ ὠτός, ἐλπὶς περιγενέσθαι τὸν νέον, ἤν τι καὶ ἄλλο χρηστὸν αὐτέῳ ἐπιγένηται σημεῖον. |

Τοῖς νέοις τῶν ἀνθρώπων οἵ τε πυρετοὶ καὶ αἱ παραφροσύναι 263
μᾶλλον γίνονται διὰ τὸ χολῶδες καὶ θερμὸν τῆς κράσεως. εἰκότως οὖν ἀπόλλυνται θᾶσσον ἢ ἐκπυῆσαι τὰ ὦτα. τοῖς δὲ πρεσβυτέροις ὅσον μὲν ἐπὶ τούτοις ἧττον ὑπάρχει κινδυνεύειν, ὑποστροφαὶ δὲ αὐτοῖς γίνονται τῶν παθημάτων, ὅτι μὴ τελέως ἐκπέττεται διὰ τὴν ψυχρότητα τῆς κράσεως ὁ τὴν ὀδύνην ἐργαζόμενος χυμός. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως ἱκανῶς ἐστι σαφῆ.

III 20 [23. II 174, 14 L.] Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ δεινόν, ἀλλ᾽ ἤν τι καὶ ἄλλο σημεῖον ἐπιγένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν, ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

Ἡ ἑλκουμένη φάρυγξ σημεῖόν ἐστι κακοχυμίας διαβρωτικῆς, αἴτιον δὲ δυσκολίας οὐ σμικρᾶς διὰ τὸ μετὰ πόνου καταπίνειν. ἐπιβλέπειν οὖν χρὴ καὶ τὰ ἄλλα σημεῖα πρὸς ἀκριβεστέραν γνῶσιν τοῦ γενησομένου. κοινὸν δ᾽ ἐπὶ | πάντων ἔστω σοὶ παράγγελμα, μάλιστα 264
δ᾽ ἐπὶ τῶν μήτ᾽ ἀκριβῶς ἀρίστων μήτε χειρίστων, ἐφ᾽ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης εἴωθεν ἀξιοῦν συνεπισκέπτεσθαι καὶ τὰ ἄλλα σημεῖα.

III 21 [23. II 176, 2 L.] Αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτ᾽ ἐν τῷ αὐχένι μήτ᾽ ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν ἐμποιέουσι πλεῖστόν τε πόνον

1 ταῖς VR 2 πλείους VRP: πλείστους F *Hipp.* 3 ἐπεὶ ἤν VRPF: πλὴν ἀλλ᾽ ἢν *codd. meliores Hipp.*: ἐπήν *cum Hipp. vulg. ab Aldo edd.* ῥεύσῃ RPF: *ex corr.* V: ῥυῇ *ex Hipp. ab Aldo edd.* *ante* πῦον *inser.* τὸ F πῦον *om.* P 4 τὸν νέον VP: τῷ νέῳ RF: τῷ νεωτέρῳ *idque ante* περιγενέσθαι *colloc. Hipp.* 5 σημεῖον VRP: νόσημα *(sic)* F 8 ἐκπυῆσαι VRPF: ἐκπυίσκονται *edd.* πρεσβυτέροις VRP: πρεσβύταις F 9 ἧσσον P αὐτοῖς *corr. ex* αὐτῆς P² 13 περὶ φάρυγγος *inscrib. in mrg.* F φάρυγξ VRF: λάρυγξ *(sic)* P σὺν VRF: ξὺν P *Hipp.* 14 ἤν VRPF: ἄν *Aldus Basil.* σημεῖον *in ras.* V ἐπιγένηται VRPF: γένηται *ex Hipp. Aldus* προκεκριμένων V *Hipp.*: *ex corr.* P: προειρημένων V²R: προκειμένων F 15 *post* προλέγειν *inser.* δεῖ *Hipp.* ἐν *omissum superscr.* P² 17 ἑλκουμένη F: *corr. ex* ἑλκομένη V²: ἡλκωμένη R: ἡλκομένη P 18 αἴτιον δὲ] ὃν δὲ αἴτιον F *post* δὲ *perperam inser.* τὰς P *post* δυσκολίας *superscr.* ἔχον P² οὐ *omissum superscr.* P μικρᾶς PF 21 ἀκριβῶς] ἄκρως F 22 συνεπισκέπεσθαι P 23 περὶ κυνάγχης *inscrib. in mrg.* F 24 ἀναιροῦσιν VRPF: ἀναιρέουσιν *Hipp.* ὁκόσα *(sic)* R μήτ᾽ ἐν τῷ αὐχένι μήτ᾽ ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν (μηδ᾽ P) ἐμποιέουσι (ἐκποιέουσι *ex corr.* P) VRPF: μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι μήτε ἐν τῷ αὐχένι *ex Hipp. ab Aldo edd.* 25 τε VRP: δὲ F *Hipp.*

παρέχουςι καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουςι καὶ δευτεραῖαι καὶ τριταῖαι καὶ τεταρταῖαι.

Ὅτι φάρυγγα τὴν προκειμένην χώραν στομάχου τε καὶ λάρυγγος ὀνομάζει, δῆλόν ἐςτι κάξ ὧν νῦν ἔγραψεν, ἐκείνας τὰς κυνάγχας δεινοτάτας εἶναι λέγων, ὅςαι μήτ᾽ ἐν τῇ φάρυγγι μήτε κατὰ τὸν αὐχένα διάθεςίν τινα παρὰ φύςιν ἐνδείκνυνται, κατὰ χροιάν τε καὶ θερμότητα καὶ ὄγκον. αὐχένα μὲν γὰρ τὸν τράχηλον λέγει, φά-
265 ρυγγα δὲ τὴν ἐν | τῷ διανοῖξαι τὸ στόμα καὶ πιλῆςαι τὴν γλῶτταν κάτω φαινομένην εὐρυχωρίαν, ἐν ᾗ τὰ δύο στόμιά ἐςτι, τό τε τοῦ στομάχου καὶ τὸ τοῦ λάρυγγος. ὅταν οὖν ἐν μηδετέρῳ τούτων ἐπίδηλον ᾖ τι παρὰ τὸ κατὰ φύςιν, ἡγεῖςθαι χρὴ τῶν ἔνδον τοῦ λάρυγγος ςωμάτων εἶναι φλεγμονήν, ἐφ᾽ ᾗ πνίγονται. ςτενῆς δ᾽ οὔςης φύςει τῆς ὁδοῦ τοῦ πνεύματος ἀναγκαῖόν ἐςτι πνίγεςθαι κλειομένης αὐτῆς τελέως διὰ τὴν φλεγμονὴν τῶν περιεχόντων ςωμάτων. ἀναγκάζονται τοιγαροῦν ὀρθοῦντες τὸν τράχηλον ἀναπνεῖν ὑπὲρ τοῦ διοῖξαι κἂν ἐπὶ βραχὺ τὸν πόρον. αἱ γὰρ ὕπτιαι κατακλίςεις αὐτὸν ἐςχάτως ἀποκλείουςι καταπιπτόντων μᾶλλον τῶν πρόςω ςωμάτων, ὡς ἐπὶ τοὺς τοῦ τραχήλου ςπονδύλους. διά τε οὖν τοῦτο καὶ ὅτι φλεγμαίνουςιν οἱ κατὰ τὸν λάρυγγα μύες εἰκότως ὀδυνῶνται.

III 22 [23. II 176, 7 L.] Ὁκόςαι δὲ ταῖς μὲν ἄλλαις παραπληςίως πόνον παρέχουςιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν
266 τῇ φάρυγγι ποιέουςιν, | ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δ᾽ ὀλίγον τῶν πρόςθεν.

Δευτέρας διαφορᾶς μέμνηται κυνάγχης, ἐν ᾗ ςυνεπαίρεται μὲν τὰ κατὰ τὸν αὐχένα καὶ ἡ φάρυγξ ἐρυθαίνεται, πονοῦςι δ᾽ ὁμοίως τοῖς προειρημένοις, οὐ μὴν ὀρθόπνοιά τις αὐτοῖς ἐςτιν, ὅπερ ἔςτιν οὐ

3 φάρυγγα ... ὀνομάζει *(4)*] *cf. Galen. in Hipp. Aphor. XVII B 704, 1 sqq. K. et Foesii Oecon. Hippocr. s. v.*

4 ἔγραψα P ςυνάγχας F 6 ἐνδείκνυνται VF: ν *prius superscr.* P²: ἐνδείκνυται R χροιάν P: χρόαν VRF τε *superscr.* P 8 γλῶςςαν F 9 δύο *omissum add. in mrg.* P¹ ςτόμα VRP: ςτόματα F τε *superscr.* P¹ 10 τὸ VF: *om.* RP 12 δ᾽ VRF: γὰρ P 13 ἐςτι VRF: ἦν P κλειομένης] μένης *(sic)* R τελείως P 14 φλεγμονὴν] λ *superscr.* P² 15 κἂν ἐπὶ] κατὰ F 16 αὐτὸν ἐςχάτως ἀποκλείουςι VR: ἐςχάτως αὐτὸν ἀποκλείουςι P: ἀποκλείουςιν ἐςχάτως αὐτόν F 17 τῶν ςωμάτων πρόςω μᾶλλον *colloc.* F πρόςω *corr. ex* προςώπων P τοὺς *corr. ex* τοῦ P² τοῦ *superscr.* P² 18 ὅτι] ὅτε R 19 λάρυγγα VR: φάρυγγα PF 20 ὅςαι *Hipp.* ταῖς μὲν ἄλλαις VRP: τὰ μὲν ἄλλα F *Hipp.* 21 παράςχουςιν R δὲ] τε F ἐ//ρυθήματα V 21. 22 ἐν τῇ φάρυγγι ἐρυθήματα *colloc.* P

22 *post* φάρυγγι *inser.* καὶ R ποιοῦςιν V ὀλέθρια R χρονιώ^{τρ} *(ambigue)* R δ᾽ ὀλίγον VRPF: δὲ μᾶλλον *ex Hipp. ab Aldo edd.* 23 πρόςθεν VRF: ἔμπροςθεν P *post* πρόςθεν *inser. ex Hipp.* ἢν τὸ ἐρύθημα μέγα γένηται *ab Aldo edd.* 24 κυνάγχης] ςυναγχικῆς F 25 τὰ VP: τι F: *om.* R φάρυξ P: *item, sed* γ *superscr.* V ἐρυθαίνεται VRPF: ἐρυθραίνεται V² 26 ταῖς προειρημέναις R *ante* τις *inser.* γε F αὐταῖς R

δυcπνοοῦcι cφοδρῶc, ὅτι μηδὲ φλεγμαίνουcιν ἰcχυρῶc οἱ κατὰ τὸν λάρυγγα μύες. εἰκότωc οὖν αὐτὰc ὀλεθρίαc εἶναί φηcιν, οὐ μὴν ὁμοίωc ταῖc πρὸ αὐτῶν ἀναιρεῖν ὀξύταται.

III 23 [23. II 176, 10 L.] Οἷcι δὲ cυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχήν, αὗται χρονιώτεραι καὶ μάλιcτα ἐξ αὐτέων περιγίνονται, ἢν ὁ αὐχήν τε καὶ τὸ cτῆθοc ἐρύθημα ἔχῃ καὶ μὴ παλινδρομέῃ τὸ ἐρυcίπελαc ἔcω. |

Τρίτην ταύτην ἑρμηνεύει κυνάγχηc διαφοράν, ἣν ἔνιοι διὰ τοῦ c̄ 267 γράμματοc ὀνομάζουcι cυνάγχην, οὐ διὰ τοῦ κ̄ κυνάγχην. ἐφ' ᾗ γὰρ ἰcχυρῶc μὲν πνίγονται καὶ ὀδυνῶνται, φαίνεται δ' οὐδὲν οὔτε φλεγμονῶδεc οὔτ' ἐρυcιπελατῶδεc ἤτοι κατὰ τὸν τράχηλον ἢ τὴν φάρυγγα, κυνάγχην διὰ τοῦ κ̄ τὴν τοιαύτην διάθεcιν ὀνομάζουcιν. ἀλλ' ὅπερ ἀεὶ λέγων εἰμί, φαίνεται καὶ ὁ Ἱπποκράτηc ποιῶν, οὐ μικρολογούμενοc ἐν ὀνόμαcιν, ὡc δ' ἂν ἐπέλθοι καλῶν. ἀμέλει καὶ γέγραπται κατά τινα τῶν παλαιῶν ἀντιγράφων ἡ ἀρχὴ τῆc ῥήcεωc διὰ τοῦ c̄ γράμματοc "αἱ δὲ cυνάγχαι", ᾧ καὶ δῆλον, ὡc οὐδὲν ὠφελεῖ τὸ περὶ τοῦ κ̄ καὶ c̄ διαφέρεcθαι, καθάπερ οἱ νεώτεροι πράττουcι τῶν ἰατρῶν. ὅπου γὰρ ὡμολόγηται τὸ πρᾶγμα, μάταιόν ἐcτι τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν. ὡμολόγηται δὲ τὸ πρᾶγμα τοῖc γινώcκουcι τὰ τῆc τέχνηc ἔργα. τῶν γὰρ ἰcχυρῶc πνιγομένων ὡc ἀνακαθίζειν ἀναγκάζεcθαι χείριcτα διάγουcιν οἱ cφοδρῶc μὲν ὀδυνώμενοι, μηδὲν δ' ἔχοντεc ἐν τῷ τραχήλῳ καὶ τῇ φάρυγγι cύμπτωμα. τούτων | δ' ἐφεξῆc οἱ μὴ δυcπνοοῦντεc 268 μέν, ὀδυνώμενοι δὲ cφόδρα μετὰ τοῦ cυνεξῆρθαι μὲν αὐτοῖc τὸν τράχηλον, ἐρυθροτέραν δὲ φαίνεcθαι τὴν φάρυγγα. τρίτοι δ' ἐπ' αὐτοῖc

8 κυνάγχηc κτλ.] *cf. Galen. XV 790, 8 sqq. K. (supra V 9, 1 p. 300, 15 sqq.; cf. etiam p. 299, 1 sqq.)*

1 δυcπνοοῦcι *ex corr.* R   1. 2 τὸν φάρυγγα F   2 *post* εἰκότωc *inser.* μὲν F   ὀλεθρίαc VP: ὀλεθρίουc RF   εἶναι *om. Aldus Basil.*   3 πρὸ αὐτῶν VPF: πρὸc αὐτὸν R   ἀναιρεῖν *omissum add. in mrg.* V²   4 οἷcι VRPF: ὁκόcοιcι *ex Hipp. ab Aldo edd.*   cυνεξερευθείη P: cυνεξερευθεῖ/// (η *eras.*) V: cυνεξευρεθείη R: cυνεξαιρεθῇ F: ξυνεξερευθείη *melior. codd. Hipp.*: ξυνεξαιρεθῇ *a Basil. edd.*: ξυνεξερεθείη *Aldus*   ἡ VRP: ὁ F: *om. Aldus*   φάρυγξ] γ *superscr.* V²   5 *post* αὗται *inser.* δὲ F: δὴ *Hipp.*   *post* αὐτέων *inser.* τινὲc *Hipp.*   περιγίνονται RPF: περιγίγνονται V: περιφεύγουcιν *ex Hipp. ab Aldo edd.*   6 ὁ αὐχήν τε VR: ὅ τε αὐχὴν P *Hipp.*: τε ὁ αὐχὴν F   ἐρύθημαθημα *(sic)* R: ἐρυθήματα F   7 παλινδρομέῃ F *Hipp.*: παλινδρομέοι VRP   ἐρυcίπελον R   ἔcω VRP *Hipp.*: εἴcω F   8 τρίτη *Aldus*   *post* τρίτην *inser.* δὲ P   ἑρμηνεύει κυνάγχηc διαφοράν VR: ἑρμηνεύει κυνάγχην (*omisso* διαφοράν) P: διαφορὰν ἑρμηνεύει κυνάγχηc F   κυνάγχην *Basil.*   9 cυνάγχην ὀνομάζουcι R   οὐ *om.* R   ἧc F   *post* ᾗ *inser. sed ipse eras.* μὲν V   10 μὲν *superscr.* V²   11 ἐρυcιπελατῶδεc *corr. ex* ἐρυcιπελῶδεc P   13 λέγων εἰμί VRP: λέγω F   ὁ VRF: *om.* P   14 ὀνόματι R   ἐπέλθοι *edd.*: ἐπέλθῃ VPF: ἐπελ θ, *(ambigue)* R   16 αἱ δὲ VRF: ἀεὶ P   17 *ante* c̄ *inser.* τοῦ V   ὅποι P   18 ὡμολόγηται VRPF: ὁμολογεῖται *edd.*   μάταιον VRP: εἰ καὶ F: cκαὶ *superscr.* F¹: cκαιόν *edd.*   ὀνομάτων] νοcημάτων F   19 *post* πρᾶγμα *inser.* καὶ F   *post* τοῖc *inser.* τε F   22 μὴ *om.* R   23 cφοδρῶc F   24 φαίνεcθαι *corr. ex* φαίνεται P   τρίτοιc R   αὐτῶν F

εἰcι, περὶ ὧν κατὰ τὴν προκειμένην ῥῆcιν ὁ Ἱπποκράτης διῆλθεν, οἵ μήτ᾽ ὀδυνώμενοι μήτε δυcπνοοῦντεc cφοδρῶc ἀπαθοῦc μὲν αὐτοῦ διαμένοντοc τοῦ λάρυγγοc ἤτοι δ᾽ εἰc τὴν φάρυγγα τοῦ ῥεύματοc ἢ εἰc τὸν τράχηλον ἢ εἰc ἄμφω ταῦτα τραπέντοc. ἔcτι δὲ τοὐπίπαν τὸ ῥεῦμα τοῦτο χολωδέcτερον, ὡc ἤτοι γε ἄντικρυc ἐρυcίπελαc ἢ φλεγμονὴν ἐρυcιπελατώδη ποιεῖν, ὅθεν καὶ αὐτὸc ἔφη ἢν μὴ παλινδρομέῃ τὸ ἐρυcίπελαc εἴcω. φλεγματῶδεc δὲ εἴ ποτ᾽ αὐτοῖc γένοιτο τὸ οἴδημα, τάχιcτα θεραπεύεται κατὰ τὴν ἀρχήν. οὐδὲ γὰρ τῶν ὀξέων εἰcὶ τὰ τοιαῦτα παθήματα. τὰ δ᾽ ἄλλα τῆc ῥήcεωc δῆλα.

III 24 [23. II 178, 2 L.] Ἢν δὲ μήτε ἐν ἡμέρῃcι κριcίμοιcιν ἀφανίζηται τὸ ἐρύθημα μήτε φύματοc cυcτραφέντοc ἐν τῷ
269 ἔξω χωρίῳ | μήτε πῦον ῥηϊδίωc ἀποβήccῃ, ἀπόνωc δ᾽ ἔχειν δοκέῃ, θάνατον cημαίνει ἢ ὑποcτροφὴν τοῦ ἐρυθήματοc.

Τὸ μὲν ἄνευ φύματοc ἢ πτυcμάτων εὐπετῶc ἀναγομένων ἀφανιcθῆναι τὸ ἐρυcίπελαc ἢ τὸ ἔρευθοc (ἑκατέρωc γὰρ γέγραπται), πρόδηλον ὅπωc ἔcται μοχθηρόν· τὸ δὲ μηδ᾽ ἐν ἡμέραιc κριcίμοιc ἄξιον ἐπιcκέπτεcθαι πότερον οὕτωc ἀκουcτέον ἐcτίν, ὡc ἂν ἐν κριcίμοιc ἡμέραιc ἀφανίζηται μηδενὸc ἐcομένου μοχθηροῦ cημείου αὐτῷ ἢ οὔ (ἐξηγήcαντο γὰρ αὐτὸ οὕτω τινέc), ἢ cυνάψαι χρὴ τοῦτο τοῖc ἐφεξῆc ὡc κἀκεῖνα βουλομένου τοῦ Ἱπποκράτουc ἐν ἡμέρᾳ γενέcθαι κριcίμῳ χάριν τῆc βεβαίαc πίcτεωc, ὅπερ ἀληθέcτερόν ἐcτιν. ἐὰν γὰρ ἐν κριcίμοιc ἡμέραιc ἡ μετάcταcιc εἰc τὸν πνεύμονα γένηται παλινδρομοῦντοc ἔcω τοῦ ἐρυcιπέλατοc οὐ διαφορουμένου κατὰ τὴν ἐκτὸc ἐπι-

2 *post* ὀδυνώμενοι *inser.* περιττὸν cφοδρῶc *(gloss.)* R cφοδρῶc *post* ὀδυνώμενοι *colloc.* F *post* μὲν *inser.* γὰρ F αὐτοῦ VRF: αὐτῶν *ex corr.* P: αὐτοῖc V² 3 εἰc *in ras.* P τὴν] ν *in ras.* P 4 ἔcτι VRPF: ἔcται *edd.* 5 γε VPF: δ᾽ R: *om. edd.* ἐρυcιπέλατα VR φλεγμονὴν ἐρυcιπελατώδη PF: φλεγμονὰc ἐρυcιπελατώδειc VR 6 ὅθεν] εἴωθεν F ἢν VRPF: εἰ *edd.* παλινδρομέῃ F: παλινδρομέοι VRP 7 εἴcω VRF: ἔcω P δὲ] γὰρ F γένοιται *(sic)* R 8 τὸ *om.* P οἴδημα *superscr.* F¹: ἄλγημα F κατὰ VRPF: καὶ V² *post* ἀρχὴν *inser.* δὲ F γὰρ VRP: *om.* F 9 εἰcὶ VRP: ἐcτὶ F τὰ τοιαῦτα παθήματα VRPF: τὸ τοιοῦτον πάθημα *edd.* 10 κριcίμοιcι VRP: κριcίμῃcι F *Hipp.* 11 ἀφανίζεται VR ἐρύθημα VRPF: ἐρυcίπελαc *ex Hipp. ab Aldo edd.* cυcτραφέντοc R: cυντραφέντοc VPF: ξυcτραφέντοc *ex Hipp. ab Aldo edd.* ἐν *om.* P 12 ῥηϊδίωc ἀποβήccῃ, ἀπόνωc δ᾽ VRP: ἀναβήξῃ ῥηϊδίωc ἀπόνωc δ᾽ F: ἀποβήccῃ (ἀποφήccῃ *Aldus*) ῥηϊδίωc τε καὶ ἀπόνωc *ex Hipp. ab Aldo edd.* ἔχειν δοκέῃ *om. Aldus* 13 δοκέει P *Basil.* ἀποcτροφὴν F 14 εὐπετέωc F ἀναγομένων VRP: ἀναγόμενον F 16 μηδ᾽ VRP: μήτ᾽ *edd.*: μὲν F ἡμέραιc κριcίμοιc VRPF: ἡμέρῃcι κριcίμοιcι *edd.* ἐπιcκέπτεcθαι PF: ἐπιcκέψαcθαι VR *edd.* 17 ἂν] ἐὰν R 18 ἀφανίζηται *corr. ex* ἀφανίζεται V¹ ἐcομένου *corr. ex* ἑπόμενον V²: *corr. ex* ἐcόμενον P² cημεῖον V αὐτὸ V *Aldus* αὐτῷ cημείου F ἢ οὔ *om.* F 19 τινέcι *(sic)* F τοῖc *corr. ex* τῆc P² 20 κἀκεῖνα VR: *corr. ex* κἀκεῖνο P: κἀκεῖνο F ἡμέραιc . . . κριcίμοιc *(22)* P γίνεcθαι P 23 διαφορουμένου *corr. ex* διαφερουμένου V²

φάνειαν, οὐ μόνον οὐκ ἀγαθόν ἐcτι τὸ τοιοῦτον, ἀλλὰ καὶ μέγιcτον
κακόν, ἐκ τοῦ τῆc ἡμέραc πιcτοῦ τὸ βέβαιον τῆc κακίαc προcλαμβάνον.
εἰ δὲ μετὰ τοῦ φῦμα μὲν ἐκτὸc γενέcθαι | ῥᾳδίωc δ' ἀποβήττειν, ἀπόλ- 270
λυται τὸ ἐρυcίπελαc ἢ τὸ ἐρύθημα. τηνικαῦτα θάνατον οὐκέτι προc-
δοκᾶν χρὴ τῷ κάμνοντι γενέcθαι.

III 25 [23. II 178, 6 L.] Ἀcφαλέcτατον δὲ τὸ ἐρύθημα, ὡc μάλιcτα ἔξω τρέπεcθαι.

Καὶ ταῦτα καὶ τὰ τούτων ἐφεξῆc δῆλα τοῖc μεμνημένοιc τῶν ἔμπροcθεν.

III 26 [23. II 178, 9 L.] Οἱ δὲ γαργαρεῶνεc ἐπικίνδυνοι
καὶ ἀποτέμνεcθαι καὶ ἀποcχάζεcθαι, ἔcτ' ἂν ἐρυθροί τε ὦcι
καὶ μεγάλοι. καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοιcι καὶ
αἱμορραγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖcιν ἄλλοιcι μηχανή-
μαcι πειρᾶcθαι κατιcχναίνειν ἐν τούτῳ τῷ χρόνῳ. | ὁπόταν 271
δὲ ἀποκριθῇ πᾶν, ὃ δὴ cταφυλὴν καλέουcι, καὶ γένηται τὸ
μὲν ἄκρον τοῦ γαργαρεῶνοc μεῖζόν τε καὶ περιφερέc, τὸ δ'
ἀνωτέρω λεπτότερον ἐν τούτῳ τῷ καιρῷ ἀcφαλὲc διαχειρί-
ζειν. ἄμεινον δὲ καὶ ὑποκενώcαντα τὴν κοιλίην τῇ χειρουργίᾳ
χρῆcθαι, ἢν ὅ τε χρόνοc cυγχωρέῃ καὶ μὴ ἀποπνίγηται ὁ
ἄνθρωποc.

2 προcλαμβάνον VPF: προcλαμβανόμενον R 3 *post* δὲ *inser.* καὶ V φύματοc *corr. ex* φῦμα V^2 ἀποβήττειν VP: ἀναβήττειν RF ἀπόλλυται RPF: ἀπόλεται V: ἀπόληται V^2 6 ἀcφαλέcτατον VRPF: ἀcφαλέcτερον *ex Hipp. ab Aldo edd.* *post* δὲ *inser.* τὸ οἴδημα καὶ *ex Hipp. ab Aldo edd.* 7 *post* τρέπεcθαι *add.* καὶ τὰc ἑτέραc ἀποcτάcιαc ἑκατέραc *(sic)* V: *add. item, sed in dubium vocat in mrg.* (δοκεῖ μοι ἀπὸ τῆc ῥήcεωc περιττόν) R: ἢν δὲ ἐc τὸν πνεύμονα τράπηται, παράνοιάν τε ποιέει ἔμπυοι ἐξ αὐτέων τινὲc γίνονται ὡc τὰ πολλά *add. ex Hipp. ab Aldo edd.* 8 μεμνημνημένοιc *(sic)* R 10 περὶ γαργαρεῶνοc *inscrib.* VR δὲ VRF: γὰρ *superscr.* P^2 11 ἀποτέμνεcθαι VRPF: ἀποτάμνεcθαι *ex Hipp. ab Aldo edd.* ἀποcχάζεcθαι *in mrg.* V^2F *Hipp. Galen. infra p. 352, 3*: ἀποκαίεcθαι VP: ἀποcχάζεcθαι καὶ ἀποκαίεcθαι R: διὰ ἀποcχίζεται *(sic) Aldus* ὦcι VRPF: ἔωcι *Hipp.* 12 τουτέοιcιν RF *Hipp.*: τούτοιcι P: τούτοιc V 13 μηχανήμαcι τοῖcιν (*supra* τοῖ *scrips.* τι P^1) ἄλλοιcι P 14 πειρᾶcθαι (πειρῆcθαι *Hipp.*) κατιcχναίνειν VRPF *Hipp.*: κατιcχναίνειν πειρᾶcθαι *ab Aldo edd.* τούτῳ VRP: τουτέῳ F *Hipp. et ab Aldo edd.* ὁπόταν VRP: ὁκόταν F *Hipp. et a Basil. edd.* 15 ἀποκριθῇ] ἀποκρεμαcθῇ F *post* ἀποκριθῇ *inser.* ἤδη R *et ab Aldo edd.* 16 μεν VRPF *Hipp.*: καὶ *Aldus*: *om. Basil.* περιφερέc *Hipp. et ab Aldo edd. Galen. infra p. 352, 6*: *corr. ex* πελιδνόν V^2: πελιδνόν RPF 17 τούτῳ VRPF: τουτέῳ *ex Hipp. ab Aldo edd.* τῷ *suprascr.* P^2 καιρῷ *Galen. (infra p. 352, 7) Hipp. et ab Aldo edd.*: χρόνῳ VRPF 18 ὑποκενώcαντα PF *Hipp.*: ὑποκενώcανταc VR τὴν κοιλίην *ante* ὑποκεν. *coll. Hipp.* κοιλίαν P τῇ *corr. ex* τὴν P χειρουργίᾳ VRPF: χειρουργίῃ *ex Hipp. ab Aldo edd.* 19 χρῆcθαι VRP: χρέεcθαι F *Hipp.* cυγχωρέῃ V: cυγχωρέει R: ἐγχωρέῃ PF: ἐκχωρέῃ *suprascr.* F^1: ξυγχωρέῃ *ex Hipp. ab Aldo edd.* πνίγηται P

Προγνωστικῷ θεωρήματι μέμικται θεραπευτικόν τι cμικρόν, οὗ χωρὶc οὐχ οἷόν τε ἦν ἀcφαλῶc διδαχθῆναι τὸ προγνωcτικόν. τοὺc γάρτοι γαργαρεῶναc εἰ φλεγμαίνονταc ἀποτέμνοιc ἢ ἀποcχάζοιc, ἀκολουθήcουcιν αἱμορραγίαι τε καὶ φλεγμοναί· ὅταν δ' ἀποκριθῇ, ὃ δὴ cταφυλὴν καλοῦcι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνοc μεῖζόν τε καὶ περιφερέc, τὸ δὲ ἄνω λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀcφαλὲc διαχειρίζειν καὶ μάλιcτα τῆc κοιλίαc προυπελθούcηc δαψιλῶc εἴτ' οὖν αὐτομάτωc εἴτε κατὰ πρόνοιαν τοῦ ἰατροῦ. |

272 **III 27** [24. II 180, 6 L.] Οἷcι δ' ἂν οἱ πυρετοὶ παύcωνται μήτε cημείων γενομένων λυτηρίων μήτ' ἐν ἡμέρῃcι κριcίμοιcιν, ὑποcτροφὴν προcδέχεcθαι χρὴ τούτοιcιν.

Ὅταν μηδέτερον ὧν εἶπε γένηται, τότε χρὴ προcδέχεcθαι τὴν ὑποcτροφήν, οὐχ ὅταν τὸ μὲν ἕτερον αὐτῶν γένηται, τὸ δ' ἕτερον μή. τὰ γὰρ ἀλόγωc ῥᾳcτωνήcαντα φιλυπόcτροφα, κἂν ἐν κριcίμοιc ἡμέραιc γένηται τοῦτο. δῆλον δ' ὅτι ταῦτ' ἀλόγωc ῥᾳcτωνῆcαι λέγοιτ' ἄν, ὅcα μήτε μετὰ cημείων λυτηρίων μήτ' ἐν κριcίμοιc ἡμέραιc ἔδοξε πεπαῦcθαι.

III 28 [24. II 180, 8 L.] Ὅcτιc δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεcτικῶc διακειμένου τοῦ ἀνθρώπου μήτε ὀδύνηc ἐχούcηc διὰ φλεγμονὴν μήτε δι' ἄλλην τινὰ πρόφαcιν ἐμφανέα μηδε-

19 ὅcτιc . . . ἐμφανέα *(21)*] *affert Galen. etiam infra p. 354, 20—22*

1 μέμεικται P τι F: *om.* VRP 2 προγνωcτικόν *ex corr.* (*volebat* προειρημένον) R 2. 3 γάρτοι *post* γαργαρεῶναc *colloc.* VR: *om. Aldus Basil.* 3 ἀκολουθήcωcιν *Aldus Basil.* *post* ἀκολουθήcουcιν *perperam inser.* αἱ *edd.* 6 περιφερέc VPF: πελιδνόν R 8 δαψιλῶc *suprascr.* R[1]: ἰcχυρῶc *ante* R *ante* κατὰ *inser.* καὶ F 10 cημεῖα καὶ cυμπτώματα χωρὶc τοῦ τὸν πεπονθότα τόπον ὡρίcθαι *inscrib.* V οἷcι VRPF: ὁκόcοιcιν *ex Hipp. ab Aldo edd.* δ' ἂν *om. Aldus Basil.* παύcωνται VRPF: παύωνται *Hipp.*: παύονται *ab Aldo edd.* 11 γενομένων VRPF *Hipp.*: γινομένων *ab Aldo edd.* κριcίμοιcιν VP: κριcίμῃcιν F *Hipp.*: κριcίμοιc R 12 ὑποcτροφὴν] ὑποcτρέφειν *Aldus* χρὴ *om.* F τούτοιcιν R: τ////τοιcιν (ού *suprascr.*) V: τουτέοιcιν F *Hipp.*: *om.* P 14 μὲν ἕτερον P: ἕτερον μὲν VRF αὐτῷ F 15 ῥαcτωνήcοντα *Aldus* κριcίμοιc ἡμέραιc VRP: κριcίμοιcιν ἡμέραιc F: ἡμέρῃcι κριcίμοιc *edd.* 16 ταῦτ'] τῶ τὰ *(sic)* P ῥᾳcτωνῆcαι VP: ῥᾳcτωνήcαντα RF λέγοιτ' VP: λέγοιντ' F: λέγειν R 17 *post* ἐν *inser.* ταῖc R ἡμέραιc *om.* R 19 *post* πυρετῶν *spatium (rasura) viginti fere litterarum* V μηκύνει R: η *suprascr.* R[1] 20 περιεcτικῶc F *Hipp.*: *corr. ex* περιεcτηκὼc V[1]: περιεcτηκὼc RP μήτε VRPF *ab Aldo edd.*: μηκέτι *Hipp.* ἐχούcηc] ἐούcηc F *post* ἐχούcηc *inser.* ἢ P 21 μήτε F *(ut Galen. infra p. 354, 21) Hipp.*: ἢ VRP τινὰ *post* φλεγμονὴν *colloc. cum Hipp. ab Aldo edd.* διὰ πρόφαcιν ἄλλην μηδεμίαν ἐμφανέα *ex Hipp. ab Aldo edd.*

μίαν, τούτῳ προσδέχεσθαι ἀπόστασιν μετ᾽ οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων καὶ οὐχ ἧσσον τῶν κάτω. |

Ἃ διὰ τῶν ἔμπροσθεν εἶπε κατὰ μέρος περὶ πρώτων μὲν τῶν καθ᾽ ὑποχόνδρια, δευτέρων δὲ τῶν κατὰ θώρακα καὶ πνεύμονα, ταῦτα νῦν ἐπαναλαβὼν ἀπεφήνατο καθ᾽ ὅλου. τριττῆς γὰρ οὔσης τῆς αἰτίας τοῦ μηκύνειν τοὺς πυρετούς (ἢ διά τι μόριον πεπονθὸς δυσιάτως ἢ διὰ χυμοὺς ὠμοὺς καὶ παχεῖς καὶ ἀπέπτους ἢ διά τι τῶν ἡμαρτημένων), ἐὰν μήτε μόριον ᾖ πεπονθὸς ἢ ἄλλο τι μηδὲν αἴτιον ἤτοι τοῦ κάμνοντος ἁμαρτάνοντος ἢ τῶν θεραπευόντων αὐτὸν ἢ διά τι τῶν ἔξωθεν, οἷον ὥραν, χώραν, κατάστασιν, οἴκησιν μοχθηράν, ὀχλήσεις, φροντίδας, λύπας, ἀπολείπεται τοῦτον ἐπὶ χυμοῖς ὠμοῖς καὶ δυσπέπτοις μηκύνειν. τούτους οὖν εἴωθεν ἡ φύσις εἰς τὴν τῶν ἀκυροτέρων μορίων ἀποτίθεσθαι χώραν, ὅταν μὴ δυνηθῇ δι᾽ ἐκκρίσεως ἔξω τοῦ σώματος ἀπώσασθαι. λέλεκται γὰρ ἤδη πολλάκις ὡς οἱ θερμότεροί τε καὶ λεπτότεροι ταῖς σωματικαῖς οὐσίαις χυμοὶ πρὸς τὰς ἐκκρίσεις εἰσὶν ἐπιτηδειότατοι, τοὺς δ᾽ ὠμοὺς καὶ παχεῖς ἤτοι δι᾽ ἀποστάσεως ἢ κατὰ σύμπεψιν ἡ φύσις ἰᾶται. καὶ | αὐτὸ δὲ τοῦτο τὸ κατὰ σύμπεψιν ἔκκρισίς τίς ἐστι δι᾽ οὔρων γινομένη τὰ πολλά, σπανίως δέ ποτε καὶ κατὰ γαστέρα. 273 274

III 29 [24. II 180, 13 L.] Μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

Εἴρηται πολλάκις, ὡς αἱ μὲν ἐκ θερμοτέρων χυμῶν νόσοι μετὰ τῆς τοῦ κάμνοντος δυνάμεως ἰσχυροτέρας δι᾽ ἐκκρίσεως κρίνονται. ταύ-

14 λέλεκται πολλάκις] *cf. e. g. 308, 21 sqq.*
22 εἴρηται πολλάκις] *e. g. supra p. 288, 1 sq.*

1 τούτῳ VF: τουτέῳ P *Hipp.*: τοῦτο R μετ᾽] μήτ᾽ F 2 εἴς VRP: ἔς F *Hipp.* ἧσσον VRP: ἧττον F *post* ἧττον *inser.* ἐκ F *Hipp.*: *om.* VRP 3 ἃ VRF: *om.* P εἶπε *corr. in* εἰπὼν P² 4 ὑποχόνδρια *corr. ex* ὑποχόνδριον F δεύτερον F 5 τριττῆς VRPF: τριτῆς *Chartier*: τρίτης *Aldus Basil.* τῆς *om.* F 6 δυσιάτως VRF: δυσίατον P 8 ἢ] μήτ᾽ P τι VR: τε F: *om.* P *post* ἤτοι *inser.* αὐτοῦ F 9 αὐτῶν R 10 καὶ *post* ὥραν, χώραν, κατάστασιν *inser.* P ὀχλήσεις VRP: ἐνοχλήσεις F 11 ἀπολείπεται VRP *Aldus Basil.*: ἀπολείπεσθαι F: λείπεται *Chartier* τούτοις F 12 εἰς PF: ἐς VR τὴν] τι F μορίων *post* ἀποτίθεσθαι *colloc.* F 12. 13 ἀποτίθεσθαι χώραν *edd.*: χώραν ἀποτίθεσθαι VRP 13 χώραν *om.* F ἐκκρίσεως P: ἐκκρίσεων VRF ἔξωθεν F τοῦ σώματος *resecta in* V ἀπώσασθαι *add. in mrg.* V³ 14 θερμοί F τε VF: *om.* RP λεπτότεροι P: λεπτοί VRF
15 ταῖς σωματικαῖς οὐσίαις VRPF: τοῦ σώματος *edd.* ἐπιτηδειότατοι P: ἐπιτηδειότεροι VRF 16 παχεῖς *corr. ex* παχὺς P 17 *post* κατὰ *inser.* τὴν F *post* σύμπεψιν *inser.* κατὰ τὰς F ἐκκρίσεις F τις VR: πως F: *om.* P 18 ποτε VRF: *om.* P *post* κατὰ *inser.* τὴν V 19 ἐλάττονι F
22 αἱ] οἱ F ἐκ . . . νόσοι] θερμότεροι τῶν χυμῶν ὅσοι *(sic)* F *post* ἐκ *inser.* τῶν *edd.* θερμοτέρου χυμοῦ P μετὰ VRP: κατὰ F 23 *post* ἰσχυροτέρας *inser.* οὔσης F κρίνονται VRP: ἐκκρίνονται F

ταις δ' εἰcὶν ἐναντίαι διαθέcειc, ἐφ' ὧν ἥ τε δύναμιc ἀcθενὴc οἵ τε
χυμοὶ ψυχροί, μήτ' ἐκκρίcει μήτ' ἀποcτάcει κρινόμεναι, ἀλλ' ἤτοι δια-
φθείρουcαι τοὺc κάμνονταc ἢ χρόνῳ παμπόλλῳ μόλιc πεττόμεναι. μέcαι
δ' ἀμφοῖν εἰcιν αἱ δι' ἀποcτάcεωc κρινόμεναι, καθ' ἃc τῶν εἰρημένων
ἀντιθέcεων δυοῖν τὸ μὲν ἕτερον ἐκ τῆc ἑτέραc ἐcτί, τὸ δ' ἕτερον ἐκ
τῆc λοιπῆc. αἱ μὲν γὰρ ἀντιθέcειc αἱ δύο κατὰ μὲν τὴν τῶν χυμῶν
275 φύcιν ἐcτὶν ἡ ἑτέρα, κατὰ δὲ τὴν δύναμιν ἡ ἑτέρα, καθ' ἑκάτε|ρον δὲ
αὐτῶν ἀλλήλοιc ἀντίκεινται δύο, κατὰ μὲν τὴν τῶν χυμῶν οἱ θερμοὶ
τοῖc ψυχροῖc, κατὰ δὲ τὴν τῆc δυνάμεωc ἡ ἀcθενὴc τῇ ἰcχυρᾷ. ἐὰν
μὲν οὖν οἱ χυμοὶ θερμοὶ τύχωcιν ὄντεc, οὐ χρὴ τὴν δύναμιν ὑπάρχειν
ἰcχυράν, εἰ μέλλει γενήcεcθαί τιc ἀπόcταcιc, εἰ δὲ ψυχροί, δυνάμεωc
ἰcχυρᾶc αὐτοῖc δεῖ πρὸc τὰc ἀποcτάcειc. ἡ διάγνωcιc δὲ τῆc δυνάμεωc
ἡ μὲν οἰκειοτάτη καθ' ἑκάcτην αὐτῶν εἴρηται πρόcθεν ἀπὸ τῶν ἐν-
εργειῶν, ἡ δ' ἀπὸ τῆc ἡλικίαc κατὰ νεότητά τε καὶ γῆράc ἐcτι, περὶ
ἧc νῦν ὁ Ἱπποκράτηc διορίζεται καί φηcι μᾶλλον δὲ γίνεcθαι
καὶ θᾶccον τὰc τοιαύταc ἀποcτάcειc τοῖc νεωτέροιc ἐτῶν
τριάκοντα, τοῖc δὲ τούτων πρεcβυτέροιc, οὐ μὴν ἤδη που γέρουcιν
ἧττόν τε γίνονται καὶ χρόνῳ πλείονι. τοῖc δὲ γέρουcιν ἥκιcτα γίνονται
μεμνημένων ἡμῶν τῆc ἀρχῆc ὅλου τοῦ λόγου, καθ' ὃν ὁ Ἱπποκράτηc
εἶπεν "ὅcτιc δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεcτικῶc τοῦ ἀνθρώπου
διακειμένου μήτε ὀδύνηc ἐχούcηc διὰ φλεγμονὴν μήτε δι' ἄλλην πρό-
φαcιν ἐμφανέα". τούτων οὖν ἡμᾶc ἀναμιμνήcκων ἔφη τὰc τοιαύταc
ἀποcτάcειc γίνεcθαι τοῖc νεωτέροιc μᾶλλον. |

276 **III 30** [24. II 180, 14 L.] Ὑποcκέπτεcθαι δὲ χρὴ τουτέοιcιν εὐθέωc τὰ περὶ τῆc ἀποcτάcιοc, ἣν εἴκοcιν ἡμέραc ὁ πυρετὸc ἔχων ὑπερβάλλῃ.

13 εἴρηται πρόcθεν] *supra p. 353, 20* 20 εἶπεν] *cf. supra p. 352, 19 sqq.* 22 ἔφη] *supra p. 353, 20 sq.*

1 ταύταιc P: ταυτ$^{\text{αι}}$////c V: ταύτῃ R: ταύτηc F δ' *om.* F 2 ἐκκρίcεcι P ἀποcτάcεcι P κρινόμεναι VRP: ἐcκρινόμενοι *(sic)* F διαφθείρουcαι RP: διαφθείρουcι F: διαφέρουcαι V 3 μέcαι . . . αἱ *(4) om.* F 4 ἀποcτάcεωc VP: ἀποcτάcεων RF κρινόμεναι *om.* F 5 τῆc ἑτέραc] τοῦ ἑτέρου P 7 ἐcτιν *om.* P 8 αὐτῶν *superscr.* V: αὐτοῖc *ante* V ἀντίκεινται VP: ἀντίκειται RF 9 τοῖc *ex corr.* R ἀcθενιὴc *(sic)* P 10 ὑπάρχειν] ειν *in ras.* P 11 μέλλοι P 11. 12 |μεωc ἰcχυρᾶc αὐτοῖc δεῖ *resecta suppl. in mrg.* V^{3} 12 πρὸc ἀπόcταcιν *(omisso articulo)* F 13 εὕρηται F 14 τε *om.* P 16 ἀποcτάcειc *ex corr.* F *ante* νεωτέροιc *inser.* γε F 17 τριήκοντα V που VP: πω F: *om.* R 19 ὃν VRP: ἣν F 20 ὅc τι *(sic)* R μηκύνει R περιεcτικῶc F: περιεcτηκώc V: περιεcτηκῶc R: περιεcτηκόc P 20. 21 τοῦ ἀνθρώπου διακειμένου VRP: διακειμένου τοῦ ἀνθρώπου F 21 μήτε VRPF: ἢ *edd.* δι' P: *om.* VRF 23 ἀποcτάcιαc F γίνεcθαι P: ἔcεcθαι VRF 24 ὑποcκέπτεcθαι VRF: *corr. in* ἐπιcκέπτεcθαι P τουτέοιcιν VRF: τούτοιc P: *om. cum Hipp. Aldus Basil.*: *deleri iubet Ermerins* 25 εὐθὺc F τὰ περὶ τῆc P *Hipp.*: περὶ τὰ τῆc *Chartier*: περὶ τῆc VRF: τὰ τῆc *Aldus Basil.* ἀποcτάcιοc VR: ἀποcτάcεωc PF ἡμέραc VR: ἡμέραιc PF *post* ὁ *inser.* τε F 26 ἔχων *om.* F ὑπερβάλλῃ F *Hipp.*: ὑπερβάλλοι VRP

Καὶ διὰ τῶν ἔμπροσθεν ἤδη περὶ τῶν χρονιζόντων νοσημάτων διαλεγόμενος ἐμνημόνευσε τῆς εἰκοστῆς ἡμέρας ὡς ἄχρι ταύτης μηδέπω χρονίων ὑπαρχόντων αὐτῶν. εἴρηται δὲ πρόσθεν ἡ αἰτία τοῦ μὴ δύνασθαί τινα βέβαιον ὅρον ἕνα θέσθαι νοσημάτων ὀξέων, ὥστε οὐδὲν θαυμαστόν ἐστιν ἐν τεσσαρεσκαίδεκά τε λέγειν αὐτὸν ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων αὖθίς τε τῆς εἰκοστῆς μνημονεύειν. καὶ γὰρ καὶ κατὰ τοὺς Ἀφορισμούς, ἔνθα τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὅρον ἔσχατον ἔθετο τῆς τῶν ὀξέων νοσημάτων κρίσεως, ἐμνημόνευσε καὶ τῆς ἑπτακαιδεκάτης. ἔστι δὲ ἀρχὴ μὲν ἐκείνου τοῦ ἀφορισμοῦ "τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι", τελευτὴ δέ "θεωρητὴ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης". |

III 31 [24. II 180, 16 L.] Τοῖσι δὲ γεραιτέροισιν ἧσσον γί- 277
νονται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

Δεόντως, ἐπειδὴ καὶ τοῖς ἀποστάσει τινὶ μέλλουσι κρίνεσθαι τὴν δύναμιν τόνον ἔχειν τινὰ προσήκει καὶ μὴ παντάπασιν εἰς ἐσχάτην ἀτονίαν καταπεπτωκέναι. διὰ τοῦτ᾽ οὖν, εἰς ὅσον ἂν ἡλικίας προήκοιεν, τὰς ἀποστάσεις ἧττον γενέσθαι συμβαίνει, τοῖς γέρουσι δ᾽ οὐχ ἧττον, ἀλλ᾽ ὡς ἥκιστα. νυνὶ δ᾽ οὐ τοὺς γέροντας ἁπλῶς εἶπεν, ἀλλὰ τοῖς τριακονταετέσι παραβάλλων γεραιτέρους ὠνόμασε τοὺς τούτων πρεσβυτέρους. ὅτι δ᾽ οὕτω χρῆται τῇ τοῦ γεραιτέρου προσηγορίᾳ, καὶ διὰ τῶν ἔμπροσθεν ἐδείχθη καὶ διὰ τῶν ἐφεξῆς οὐδὲν ἧττον φαίνεται.

III 32 [24. II 182, 1 L.] Χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι ξυνεχέος ἐόντος τοῦ πυρετοῦ· ἐς δὲ τεταρταῖον

1 διὰ τῶν ἔμπροσθεν] *cf. supra p. 248, 7; 344, 19* 7 κατὰ τοὺς Ἀφορισμούς] *II 23. 24 (IV 476, 9 sqq. L.)* 21. 22 διὰ τῶν ἔμπροσθεν ἐδείχθη] *cf. supra p. 354, 17*

1 τῶν *(alt.) om.* R 2 ταύτης] τοιαύτης *Aldus* 4 ἕνα θέσθαι VRP: ἔσεσθαι F 5 ἐν τεσσαρεσκαίδεκά τε VRP: τὴν ιδ′ F τε *ex corr.* V αὐτὸν . . . ὀξέα τῶν *(6) plerumque corrosa* V 6 τε VR: δὲ PF τῆς εἰκοστῆς] τὴν κ′ F 7 κατὰ VP: κατ᾽ αὐτοὺς RF 8 ἔσχατον ὅρον F ἔθετο ἔσχατον *sed transp. ipse* R νοσημάτων *om.* P κρίσεως *post* τῆς *colloc. edd.* 9 ἔστι δὲ R: ἔστιν (μὲν *add.* P) οὖν VP: οὗ ἐστιν F *ante* ἀρχὴ *superscr.* ἡ V[2] μὲν *om.* P 10 *ante* τελευτὴ *inser.* καὶ ἔστι F 11 δὲ *post* θεωρητὴ *colloc.* RF γὰρ *ex corr.* V 13 δὲ VRP: *om.* F γίνονται VR: γένονται *(sic)* P: γίνεται F *Hipp.* 14 πολυχρονιωτέρου] πολυ *ex ras.* V 15 τοῖς *corr. ex* τῶν V[2] ἀποστάσει] ει *in ras.* P 16 *post* δύναμιν *inser.* γε F τόνον VRP: ἰσχυρὰν *(sic)* F 17 ἂν ἡλικίας VPF: ἀνηλικίας R προήκοιεν VRP: προσίῃ F 18 *post* ἀποστάσεις *inser. sed ipse del.* εἶναι P γίνεσθαι F συμβαίνει γενέσθαι R 19 ὡς VRP: *om.* F δὲ τοὺς γερ. οὐχ ἁ. F τοῖσι *edd.* 20 τριακονταετέσι VRPF: τριάκοντα ἔτεσι *edd.* *post* γεραιτέρους *perperam inser.* γὰρ F ὠνόμασε] ε *in ras.* P 22 φαίνεται VRPF: φανεῖται *edd.* 23 χρὴ VRF: ἐχρῆν P *post* δὲ *inser.* καὶ *ab Aldo edd.* μὲν *omissum suprascr.* R 24 ξυνεχέος VRPF *Hipp.*: συνεχέος *ab Aldo edd.*

278 καταςτήςεςθαι, ἢν διαλείπῃ τε καὶ ἐπιλαμβάνῃ πεπλα|νημένον τρόπον καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ πελάςῃ.

Εἴρηται κἀν τοῖc Περὶ τῆc διαφορᾶc τῶν πυρετῶν, ὡc ἐπὶ τῷ μελαγχολικῷ χυμῷ γίνονται τεταρταῖοι. λέλεκται δὲ καὶ περὶ τῆc γενέcεωc τοῦ χυμοῦ τοῦδε διττῆc ὑπαρχούcηc, ἔκ τε τοῦ παχέοc αἵματοc, ὅπερ ἀνάλογόν ἐcτιν ἐν ταῖc φλεψὶ τῇ κατὰ τοὺc πίθουc τῶν οἴνων τρυγὶ καὶ τῆc ξανθῆc ὑπεροπτηθείcηc. αὕτη μὲν οὖν ἡ μέλαινα χολὴ τά τε ἄλλα κακοήθηc ἐcτὶ καὶ διαβιβρώcκει τὰ μόρια καθάπερ ἂν τύχοι πλείων ἀθροιcθεῖcα, ἡ δ᾿ ἑτέρα μέλαινα πρᾳοτέρα τε ταύτηc ἐcτὶ καὶ μάλιcτα, ἐπειδὰν μήπω τύχῃ κεχρονικυῖα κατὰ τὸ ζῷον ἤ τινι θερμαcίᾳ πλείονι παρὰ φύcιν ὡμιληκυῖα.

τούτων οὖν οὕτωc ἐχόντων ὅταν μὲν ὁ πυρετὸc ᾖ cυνεχήc, ὅπερ ἔcτι μὴ παυόμενοc εἰc ἀπυρεξίαν, εἰc τὰc προειρημέναc ἀποcτάcειc τρέπεται χρονίζων. ἐὰν δὲ διαλείπῃ (καὶ τοῦτο αὐτὸ μάλιcτα γίνεται κατὰ τὴν τελευτὴν τοῦ θέρουc), εἰκόc ἐcτι μεταπεcεῖcθαι τὴν νόcον
279 εἰc | τεταρταίαν περίοδον. ὅcον γὰρ τῶν χυμῶν ζέcαν ὥρᾳ θέρουc ἐν cυνεχέcι πυρετοῖc ἐτελεύτηcεν εἰc μέλαιναν χολήν, ἐcβέcθη τρόπον τινὰ καὶ κατὰ τοῦτο τῆc πυρετώδουc θερμότητοc ὁ κάμνων ἀπηλλάγη καὶ μάλιcθ᾿ ὅταν ἱδρῶτεc ἐπιγίνωνται. ἀλλ᾿ ἐὰν μὴ φθάcῃ πωc ἡ φύcιc ἐκκρίναcα τὴν οἷον τέφραν τῶν ὑπεροπτηθέντων χυμῶν, αὐτὴ πάλιν μένουcα κατὰ τὸ cῶμα καὶ θερμαινομένη τινὰ cηπεδονώδη διάθεcιν ἐπικτᾶται καὶ τοῦθ᾿ ὅταν αὐτῇ γένηται ζέcαcα πυρετὸν ἤγειρεν. ἐφ᾿ ᾧ πάλιν ἱδρῶτοc γενομένου cυνδιέπνευcε τούτῳ τὸ ζέcαν τῆc μελαίνηc, εἶτ᾿ αὖθιc ἕτερον ὑπόλειμμα ζέcαν ἤγειρε πυρετόν. ἅτ᾿ οὖν μήπω μίαν παντὸc τοῦ cώματοc ἔχοντοc διάθεcιν, ἀλλ᾿ ἔν τιcι μὲν μορίοιc κινουμένηc ἔτι τῆc μελαίνηc, ἔν τιcι δ᾿ ἀκινήτου μενούcηc, ἐν

3 ἐν τοῖc Περὶ τῆc διαφορᾶc τῶν πυρετῶν] *II 5 (VII 343, 10 sqq. K.); cf. etiam VII 376, 13 sqq. K.; XVII B 659, 14 sqq. K.* 4 λέλεκται] *VII 345, 1 sqq. K.*

1 καταςτήςεςθαι] ης *in ras.* P διαλείπῃ τε VP: *corr. ex* διαλείπηται F: διαλείπει τε R ἐπιλαμβάνῃ VPF *Stephan.*: ἐπιλαμβάνει R: καταλαμβάνῃ *ex Hipp. ab Aldo edd.* πεπλανημένων (-μένῳ F) τρόπῳ PF 2 *post* ταῦτα *inser.* πάντα F φθινοπώρῳ] θ *add.* P² πελάcῃ PF: πελάcει VR: προcπελάcῃ *ex Hipp. ab Aldo edd.* 3 ὡc VRF: *om.* P 3. 4 τῷ μελαγχολικῷ χυμῷ VRP: τῶν μελαγχολικῶν χυμῶν F 4 καὶ VRF: *om.* P 5 *post* γενέcεωc *inser.* τε καὶ δυνάμεωc F τοῦ *(alt.) om.* F 8 χολὴ R: *om.* VPF 9 τύχοι R: τύχῃ VPF πλείων VP: πλεῖον R: πλέων F μέλαινα *corr. ex* μελαίνεται F² 10 τύχῃ VF: τύχει R: *om.* P ἢ] ἢ καί P 11 *post* πλείονι *inser.* καὶ F ὡμιληκυῖα *corr. ex* ὡμηλικυῖα V² 14 γίνηται P 15 μεταπεcεῖcθαι VRPF: μεταπεcεῖν *edd.* 16 *post* εἰc *inser.* τὴν P τετάρτην P *post* γὰρ *perperam inser.* ἂν RP 17 ἐc F μελαιν^α^ *(sic)* R: μέλαινα P *post* χολὴν *inser.* καὶ F ἐcβέcθη ... πυρετώδουc *(18) perierunt* V 18 τῆc *om.* P πυρετώδου *(sic)* R 19 *post* ἐὰν *inser.* μὲν F φθάcει R 20 ἐκκρίναcα VP: ἐκκρίνουcα RF αὐτὴ VRP: αὕτη F 23 πάλιν VRF: πάντωc P cυνδιέπνευcε VRP: cυνέπεcε F 24 ὑπόλειμμα VRP: ὑπολίcθημα F *post* ζέcαν *inser.* αὖθιc ἕτερον F ἤγειρε VRPF: ἀνήγειρε *edd.* 25 παντὸc τοῦ cώματοc ἔχοντοc P: παντὸc ἔχοντοc τοῦ cώματοc VR: ἔχοντοc ἅπαντοc τοῦ cώματοc F 26 κινουμένηc R: ////////μένηc (κινου *suprascr.*) V: κοινουμένηc *Aldus*: γεννωμένηc (*corr. ex* -οιc) P: γινομένηc F *post* μελαίνηc *inser.* χολῆc P μενούcηc VRP: κειμένηc F

ἄλλοις δὲ σηπομένης ἢ ζεῖν ἀρχομένης, ἀτάκτους ἀναγκαῖον γίνεσθαι τοὺς πυρετούς. ὅταν δ' ἐν ἁπάσαις ταῖς φλεψὶν ἡ αὐτὴ διάθεσις γένηται, κρατούσης τῆς μελαίνης ὁ τεταρταῖος συνίσταται πυρετός, καὶ μάλισθ' ὅταν εἰς τὸ φθινόπωρον ἐκ τοῦ θέ|ρους ἡ μεταβολὴ γινομένη **280** τῆς μὲν ἔξω φορᾶς τε καὶ διαπνοῆς ἐπίσχῃ τοὺς χυμούς, ἔσω δ' ἀποστρέφῃ πρὸς τὸ βάθος, ἥν τινα διάθεσιν ὁ χειμὼν διαδεξάμενος ὡς ἂν ἐπιτείνων διὰ τὸ κρύος τὴν ἔσω φορὰν τῶν χυμῶν ἄχρι πάλιν ἑτέρας μεταβολῆς γενομένης ἐπὶ τὸ θερμότερον, ἐν ᾧ κατέλαβε νοσήματι, φυλάττει τὸ σῶμα.

III 33 [24. II 182, 5 L.] Ὥσπερ δὲ τοῖσι νεωτέροισι τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριηκονταετέσι καὶ γεραιτέροισι.

Περὶ τῆς καθ' ἡλικίαν μεταβολῆς εἴρηται μὲν ἐπὶ πλέον ἑτέρωθι, διὰ κεφαλαίων δὲ νῦν εἰπεῖν ἀρκέσει. τὰ μὲν παιδία πλεῖστον ἔχει τὸν τοῦ αἵματος χυμὸν καὶ μόνον γε τοῦτον εἶχεν ἄν, ὅσον ἐπὶ τῇ κατὰ τὴν ἡλικίαν κράσει. πολλὰ δ' ἐσθίοντα καὶ μέντοι καὶ ἀτακτότερα ὑπάρχοντα ὑποτρέφει τι καὶ τῶν καλουμένων ὠμῶν χυμῶν. | ὁπόταν δ' **281** εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἀφίκηται, τινὰ μὲν ἤδη καλῶς διαιτᾶται βελτίονος ἀγωγῆς εὐτυχήσαντα καὶ οὕτως αὐτοῖς αἷμα πλεονάζει μόνον, ἔνια δὲ τῶν μειρακίων πολὺ χεῖρον ἢ οἱ σμικροὶ παῖδες. καὶ τοίνυν καὶ νοσεῖ ταῦτα συνεχῶς τε ἅμα καὶ σφοδρῶς ἀθροίζοντα πλῆθος ὠμῶν χυμῶν. ἐφεξῆς δὲ τῇδε τῇ ἡλικίᾳ καὶ μάλιστα τοῖς κακῶς διαιτωμένοις ὁ πικρόχολος ὑποτρέφεται χυμός, ὥστε πλεονάζειν τούτοις οὐχ αἷμα μόνον, ἀλλὰ κἀκεῖνον ὅσπερ ὠχρά τε καὶ ξανθὴ χολὴ προσαγορεύεται, καὶ γίνεται τοῦτό τισι μὲν ἄχρι τριάκοντα ἐτῶν, ἐνίοις

13 ἑτέρωθι] *Galen. De temperam. I 577, 3 sqq. K. (p. 43, 10 Helmr.); XIX 373 K.; cf. F. Boll, Die Lebensalter, Neue Jahrbücher für das klass. Altertum XXXI, 1913, 105*

1 ζεῖν *edd.*: ζέειν VRP: ξηρανθείσης F ἀρχομένη F *post* ἀναγκαῖον *inser.* ἐστι F 2 γένηται διάθεσις P 4 γενομένη F 5 ἐπίσχῃ *ex corr.* P *post* ἐπίσχῃ *add.* τε F ἀποστρέφει R 7 κῦρος *Aldus* τῶν χυμῶν *om.* F 8 γενομένης VRP: γινομένης *sed post* θερμότερον *add. in mrg.* F²: *om. Aldus* νοσήματι VRPF: νοσήματα *Aldus*: νόσημα *a Basil. edd.* 9 φυλάττειν F σῶμα VRF: νόσημα P 10 ὅπερ F τοῖς F νεωτέροισι *om.* F *post* νεωτέροισι *inser.* τῶν *ex Hipp. ab Aldo edd.* 11 ἐτῶν F ἀποστάσεις R 12 τοῖς F τριηκονταετέσι *(ut Galen. certe legit; cf. p. 358, 6) ab Aldo edd.*: τεσσαρακονταετέσι *falso* VRPF: τριήκοντα ἐτέων *Hipp.* γεραιτέροις F 13 περὶ . . . μεταβολῆς *omissa add. in mrg.* V¹ 14. 15 τοῦ αἵματος τὸν χυμόν P 15 *ante* μόνον *inser.* εἰ F γε] δὲ F 16 ἐσθίοντα *corr. ex* αἰσθίοντα V² ἀτακτότερον F ὑπάρχοντα *om.* F 17 τι VRP: τε F τὸν καλούμενον ὠμὸν χυμόν F 19 βελτίω ἀγωγὴν *Aldus* *post* μόνον (αὐτοῖς F) *inser.* ἢ κατὰ μειράκιον VRF πλεονάζειν F 21 καὶ *(prius)* VRPF: *om. edd.* 22 *ante* ἐφεξῆς *inser.* τοῖς *edd.* τῇδε VR: *om.* PF κακῶς VRP: καλῶς F 23 ὑποτρέφεται] τρ *ex corr.* V 24 αἷμα] ἕνα F *post* κἀκεῖνον *inser.* τὸν χυμόν P ὅσπερ VRP *Aldus Basil.*: ὅπερ F: ὥσπερ *Chartier* τε *superscr.* P² 25 τριήκοντα V

δὲ ἄχρι πέντε καὶ τριάκοντα. πρῶτος μὲν γὰρ ὅρος ἐστὶ τῆς ἐπὶ τὸ ψυχρὸν μεταβολῆς ὁ τῶν τριάκοντα ἐτῶν, ἔσχατος δὲ ὁ τῶν πέντε καὶ τριάκοντα. πολλοῖς δὲ τῷ μεταξὺ διά τε τὴν ἐξ ἀρχῆς φύσιν, ὅσα τε κατὰ τὰς περιστάσεις ἢ ἐθῶν ἢ προαιρέσεων διαφορὰς ὑπαλλάττεται, τὴν ἀκμαστικὴν ἡλικίαν περιέγραψε. διὰ τοῦτ᾽ οὖν καὶ ὁ Ἱπποκράτης ἐνίοτε μὲν τοῦ τριακοστοῦ μνημονεύει, καθάπερ ἄρτι, πολλάκις δὲ
282 πέμπτου καὶ | τριακοστοῦ. τῷ γὰρ ἄλλας ἄλλοις γίνεσθαι μεταβολὰς οὐχ οἷόν τε ὁρίσαι βεβαίως ἓν ἐφ᾽ ἅπασι μέτρον κοινόν, ἀλλὰ τούτου μὲν ἀεὶ μέμνησο λελεγμένου καὶ πρόσθεν ἐν τῷ περὶ τῶν κρισίμων ἡμερῶν λόγῳ, μεμνημένος γε μὴν αὐτοῦ καὶ προσθεὶς τοῖς προειρημένοις οὐ χαλεπῶς εὑρήσεις τὴν αἰτίαν, ὧν κατὰ τήνδε τὴν ῥῆσιν ὁ Ἱπποκράτης ἔγραψεν. ὥσπερ γὰρ ἐν ταῖς ὥραις τοὺς ἐν τῷ θέρει θερμανθέντας ἐπὶ πλέον χυμοὺς καὶ ὡς ἂν εἴποι τις ζέσαντας ἀναγκαῖον ἦν γεννῆσαι τὸν μελαγχολικὸν χυμόν, ὃν διαδεξάμενον ἠθροισμένον ἐν τῷ σώματι τὸ φθινόπωρον ἅτε ψυχρὸν ὂν οὐκ ἐπιτρέπει διαπνεῖν ὁμοίως ἐκτὸς οὐδὲ κενοῦσθαι ῥᾳδίως, οὕτως ἐν ταῖς ἡλικίαις ἡ παρακμή, ὅσον ἐν τῇ ἀκμῇ ζέσαν τῶν χυμῶν εἰς μέλαιναν χολὴν μετέβαλε, τοῦτο δυσκόλως αὐτὴ διαφοροῦσα τοὺς τεταρταίους μᾶλλον ἐργάζεται πυρετούς. καὶ χρόνου γε πλείονος δεῖται τοῖς κατὰ τὴν ἡλικίαν ταύτην πρὸς τὸ καθαρθῆναι τὸ σῶμα τῆς τοιαύτης χολῆς, ὅθεν ἄχρι τοῦ γήρως ἐν τῷ μεταξὺ τὰ μελαγχολικὰ πάντα νοσήματα τοῖς
283 μὲν μᾶλλον πλεονάζει, | τοῖς δ᾽ ἧττον ἐλέφαντες, καρκίνοι, λέπραι, μελαγχολίαι καὶ τεταρταῖοι πυρετοί.

III 34 [24. II 182, 8 L.] Τὰς δ᾽ ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας χρονιώτερόν τε παυομένας ἧσσόν τε παλινδρομεούσας.

9. 10 ἐν τῷ περὶ τῶν κρισίμων ἡμερῶν λόγῳ] *cf. supra p. 355, 3*

1 τριήκοντα V *ante* πρῶτος *add.* καὶ P γὰρ *om.* P 2 μεταβολῆς . . . πέντε *perierunt* F 3 πολλοῖς RF: *superscr.* V^{1}: πολλῷ VP δὲ τῷ P: δὲ τὸ V^{2}R: δ᾽ ἐν τῷ VF φύσιν F^{2} *in mrg.*: κρίσιν F 4 τὰς *om.* R περιστάσεις VPF^{2}: περίστασιν R: προαιρέσεις F *post* ἢ *(prius) inser.* τῶν F ἐθῶν VRPF: ἐτῶν *edd.* ὑπαλλάττεσθαι F 5 περιέγραψε VRF: προέγραψε *corr. ex* προέγραψα P: περιεγράφη *Aldus* καὶ *om.* P 6 τοῦ] ἔτους F 7 τῷ] τὸ RF ἄλλας ἄλλοις VP: ἄλλοις ἄλλας R: ἄλλως ἄλλοις F *post* γίνεσθαι *inser.* τὰς F 8 οὐχ VRP: οὐδὲ F ἓν *om.* F μέτριον F τούτου VR: *corr. ex* τοῦτο P: τοῦτο F 9 *post* ἀεὶ *inser.* μοι F μεμνῆσθαι F λελεγμένον F ἐν *superscr.* V^{2} *ante* περὶ *inser. falso* τρίτῳ P: γ′ *superscr.* V^{2}: ῥητῷ τῷ *(sic)* F: *recte om.* R τῶν VF: *om.* RP 10 λέγω *(sic)* F μὴν] μὴ F προσθεὶς VRP: πρόσθεν F 11 εὑρήσεις τὴν *corrosa add. in mrg.* F^{2} 13 εἴπη R 14 ὃν *om.* F *post* διαδεξάμενον *inser.* δὲ F 15 ὂν *om.* F 16 οὐδὲ] δὲ *superscr.* V^{2} 17 *post* ὅσον *perperam inser.* δὲ V: γὰρ R τῇ ἀκμῇ R: ἐκείνῃ VPF ζεσάντων F τὸν χυμόν P μέλαιναν] ν *alt. superscr.* V^{2} 18 μετέβαλε VP: μετέβαλλε R: μεταβάλλῃ F δύσκολον P αὐτὴ VRPF: αὕτη *edd.* 19 δεῖ F 20 καθαρθῆναι F^{2} *in mrg.*: καθᾶραι F 22 λέπραι καρκίνοι F 23 καὶ *add. in mrg.* V 24 τοῦ *om.* F 26 παλινδρομεούσας F *Hipp.*: παλινδρομούσας VRP

Τρεῖϲ ἀποφάϲειϲ ἐποιήϲατο περὶ τῶν ἀποϲτάϲεων ὁ Ἱπποκράτηϲ κατὰ τὸν ἐνεϲτῶτα λόγον, μίαν μὲν καὶ πρώτην, ὅτι γίνονται μᾶλλον ἐν χειμῶνι, δευτέραν δ' ὅτι χρονιώτερον παύονται, καὶ τρίτην ὅτι παλινδρομοῦϲιν ἧττον. ὅτι μὲν οὖν ἐν χειμῶνι γίνονται μᾶλλον, ὁ πλεονάζων ἐν αὐτῷ χυμὸϲ ἐνδείκνυται. λέλεκται γὰρ πρόϲθεν ἤδη δι' ἐκκρίϲεων μὲν τοὺϲ θερμούϲ, δι' ἀποϲτάϲεων δὲ τοὺϲ ψυχροὺϲ κινεῖϲθαι χυμούϲ. ὅτι δὲ καὶ χρονιώτερον παύονται, τήν τε τοῦ χυμοῦ φύϲιν αἰτιατέον ἐϲτὶ καὶ τὴν τοῦ περιέχοντοϲ ψυχρότητα. διαφορηθῆναι μὲν γὰρ δεῖ πάντωϲ τὸν καταϲκήψαντα χυμόν, ἵνα θεραπευθῇ τὸ ἀπό|ϲτημα. δυϲδιαφορητότεροι δ' εἰϲὶν οἱ παχεῖϲ καὶ 284
ψυχροὶ καὶ μάλιϲθ' ὅταν ᾖ καὶ τὸ περιέχον ψυχρόν. διὰ δὲ τὰϲ αὐτὰϲ αἰτίαϲ καὶ παλινδρομοῦϲιν ἧττον, ἐπειδὴ κίνηϲίν τινα τοῖϲ παλινδρομοῦϲι προϲεῖναι χρή, δυϲκίνητοι δ' οἱ ψυχροί.

III 35 [24. II 182, 9 L.] Ὅϲτιϲ δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν ἢ καὶ ὀρφνῶδέϲ τι πρὸ τῶν ὀφθαλμῶν φαίνεϲθαι ἢ καρδιωγμὸϲ τουτέῳ προϲγένηται, χολώδηϲ ἔμετοϲ παρέϲται. ἢν δὲ καὶ ῥῖγοϲ ἐπιλάβῃ καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερον ἔτι ὁ ἔμετοϲ παρέϲται. ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέωϲ ἐμεῖται.

Περὶ τῶν αὐτομάτωϲ γινομένων ἐμέτων κρίϲεωϲ λόγῳ διδάϲκει νῦν ὁ Ἱπποκράτηϲ. ἔϲτι δ' αὐτῷ πρῶτοϲ μὲν διοριϲμὸϲ ἀπὸ τοῦ μὴ θανατῶδεϲ εἶναι τὸ νόϲημα (κέκληκε δὲ περιεϲτικὸν οὐκ ὀλιγάκιϲ τὸ

5 λέλεκται πρόϲθεν] *cf. supra p. 287, 20 sqq.; cf. etiam p. 353, 22 sqq.* 14 ὅϲτιϲ . . . ἀλγέειν *(15)*] *affert Galen. infra p. 363, 19 sq.; cf. etiam XVI 572, 9 sqq. K.* 23 οὐκ ὀλιγάκιϲ] *e. g. Prognost. II 132, 16 L. (supra p. 268, 14); 160, 2 L. (supra p. 316, 12)*

1 *post* ἀποφάϲειϲ *inser.* ἃϲ F 2 μία F πρώτη F μᾶλλον F: μάλιϲτα VRP 3 ἐν *supra ras.* V[2] δευτέρα F *post* καὶ *inser.* τὴν *edd.* 4 τρίτη F *post* τρίτην *inser.* δ' V ὅτι . . . ἧττον *(12) om.* P 5 *post* ἐν *inser.* τῷ *edd.* 5. 6 πρόϲθεν ἤδη VR: ἤδη καὶ (*om.* F) πρόϲθεν F *edd.* 6 δι' ἐκκρίϲεων VR: ἐκκρίϲεϲι F δι' ἀποϲτάϲεων VR: ἀποϲτάϲεϲι F 7 κινεῖϲθαι F: κενοῦϲθαι V: ἐκκενοῦϲθαι R: κρίνεϲθαι *coni. Cornarius conl. p. 353, 23* δεῖ VF: χρὴ R 10 δ' RF: *corr. ex* τ' V[2]: τέ *edd.* 11 μάλιϲθ' *ex corr.* V ᾖ *post* περιέχον *colloc.* F αὐτὰϲ VRF: τοιαύταϲ *edd.* 12 *post* καὶ *inser.* οὐ *Aldus* ἧττον . . . παλινδρομοῦϲι *om. Aldus* 15 φῇ VRP *Hipp.*: φηϲὶ F τὴν *om.* F 16 φαίνεϲθαι VRF *Hipp.*: προφαίνεϲθαι P *(ut Galen. infra p. 360, 2 et 375, 5)* ἢ F *Hipp.*: ἢν VRP: εἰ *a Basil. edd.* *ante* καρδιωγμὸϲ *inser.* καὶ F *et ab Aldo edd.* προϲγένηται . . . παρέϲται *(17) corrosa suppl.* V[3] 17 ἢν] εἰ F ἐπιλάβῃ VF *Hipp.*: ἐπιλάβοι R: λάβῃ P: προϲγένηται *ab Aldo edd.* 18 μέρη VRPF *Chartier*: μέρεα *Hipp.*: *om. Aldus Basil.* ψυχραὶ *(sic)* F ᾖ VRPF *Hipp.*: ἔχῃ *ab Aldo edd.* ταχύτερον VRP: ταχέωϲ F: καὶ θᾶϲϲον *ex Hipp. ab Aldo edd.* ἔτι *om.* F ὁ *om.* P 19 ἢν P: εἰ VRF δέ τι] τινα (*suprascr.* R[1]) δὲ R καὶ VRPF: *om. cum Hipp. ab Aldo edd.* ἢ RP: καὶ V *post* κάρτα *inser.* τοῦτο *ex Hipp. Chartier* 20 ἐμεῖται VRF: ἐμέεται P *Hipp.* 22 ἀπὸ VRF: ὑπὸ P 23 *post* δὲ *inser.* ἤδη F περιεϲτικὸν *recte* F *(cf. supra p. 268, 14; 316, 12)*: περιεϲτηκὸϲ VRP

285 τοιοῦτον), δεύτερος δὲ ¦ ἀπὸ τοῦ τὴν κεφαλὴν ἀλγοῦντι τῷ κάμνοντι προφαίνεσθαί τι πρὸ τῶν ὀφθαλμῶν ὀρφνῶδες, ὅπερ σημαίνει τὸ μέλαν ἐξ ἀναθυμιάσεως χολῆς ἀκράτου ξανθῆς γινόμενον. αὕτη γὰρ ἐπὶ πλέον θερμανθεῖσα καὶ ὡς ἂν εἴποι τις ὑπεροπτηθεῖσα μέλαιναν ἀναθυμίασιν οἷον λιγνύν τινα πρὸς τὴν κεφαλὴν ἀναπέμπει, δι᾽ ἣν αἱ κεφαλαλγίαι γίνονται. ὅσον δ᾽ ἂν αὐτῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ἀφίκηται, θολερώτερον ἐργάζεται τὸ κατ᾽ αὐτοὺς ὑγρόν, λαμπρὸν φύσει καὶ καθαρὸν ὑπάρχον, ὡς γίνεσθαί τινα κατάστασιν ὁμοίαν τῇ περὶ τὸν καθαρώτατόν τε καὶ φανότατον ἀέρα, δεχόμενον ἐξαίφνης εἰς ἑαυτὸν ἤτοι καπνώδη τινὰ ἢ λιγνυώδη μελανότητα. ταύτης οὖν τῆς ἀναθυμιάσεως αἰσθανόμενον τὸ ἀπὸ ἐγκεφάλου παραγινόμενον εἰς τοὺς ὀφθαλμοὺς ὀπτικὸν πνεῦμα καθάπερ ἐπὶ τῶν ὑποχεομένων τὴν φαντασίαν ὧν εἶπεν ὀρφνωδῶν ἀποτελεῖ. γινομένης δὲ ἐνίοτε κἀκ τῶν τοῦ πνεύμονος τόπων ἀναθυμιάσεως τοιαύτης, διακρινοῦμεν αὐτὴν τῆς ἀπὸ στομάχου τῇ καρδιαλγίᾳ. πνεύμονα μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λανθάνουσιν ἤτοι δυσαίσθητον ἢ ¦
286 παντελῶς ἀναίσθητον ὄντα. τὸ δὲ τῆς γαστρὸς στόμα (καλεῖται δέ, ὡς ἴσμεν, τοῦτο καὶ καρδία) διὰ τὸ μέγεθος ὧν ἔχει νεύρων αἰσθητικῶν οὐδὲν λανθάνει τῶν καθ᾽ ἑαυτό. δακνόμενον οὖν ὑπὸ τοῦ πικροχόλου χυμοῦ τὸν καλούμενον οὕτω καρδιωγμὸν ἐργάζεται. διὸ καὶ χολώδης ἔμετος αὐτοῖς γίνεται. τοιοῦτον γάρ τι καὶ ὁ Θουκυδίδης ἐδήλωσεν, ἔνθα φησί ʽʽκαὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ γε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς ὁπόσαι παρὰ τῶν ἰατρῶν ὠνομασμέναι εἰσὶν ἐπῄεσαν'' τὸ γὰρ ʽʽἀνέστρεφεν'' ἐπὶ τῆς πρὸς ἔμετον ὁρμῆς εἶπεν εὐθέως γε καὶ καρδίαν ὀνομάσας τὸ στόμα τῆς γαστρός. διὸ δὴ καὶ τὰς δήξεις αὐτοῦ καρδιωγμοὺς καὶ καρδιαλγίας ὀνομάζουσιν. ἑτέρωθι δ᾽

16. 17 ὡς ἴσμεν] *cf. e. g. Galen. De plac. Hipp. et Plat. V 274, 15 sq. K. (p. 238, 8 sqq. Müller); De alim. fac. VI 604, 13 sq. K. (ed. Helmreich Progr. Onold. 1906 p. 9, 24 sq.) et quae Foesius Oecon. Hipp. s. v.* καρδιαλγία *congessit*
20 ὁ Θουκυδίδης] *De Bello Pelop. II 49; cf. etiam schol. et quae Poppo adnotavit; affert eundem locum Galen. V 275, 5 sqq. K. (p. 238, 16 sqq. Müller)*
25 ἑτέρωθι] *fortasse Epid. III 5 (III 48, 3 L.)*

1 δεύτερος *corr. ex* δεύτερον P¹: δεύτερον VF: δευ^τρ/ *(ambigue)* R 2 ὀφνῶδες *(sic)* F 3 ἀναθυμιάσεως *corr. ex* ἀθυμιάσεως P²: ἀναθυμήσεως F ἀκράτου *corr. ex* εὐκράτου P ἀκράτου ξανθῆς VRP: ξανθῆς ἀκράτου F γινόμενον RPF: γιγνόμενον V: γενόμενον *edd.* αὕτη VRPF: αὐτὴ *edd.* 4 εἴπῃ R ὑπεροπτηθεῖσα *edd.*: *corr. ex* περιοπτηθεῖσα V: περιοπτηθεῖσα RF: ὀπτηθεῖσα P μέλαιν^α *(sic)* R 5 ἀναπέμπει *corr. ex* ἀνάπτει P² 6 ὅσῳ F θολερώτερον *corr. ex* θολώτερον V² 7 αὐτὴν P 8 ὁμοίως *Aldus* 9 καμνώδη *Aldus Basil.* 10 λιγνώδη F μελανότητα VRPF: μελαινότητα *Aldus Basil.* τῶν ἀναθυμιάσεων P 11 παραγινόμενον PF: παραγενόμενον VR τοὺς *om.* F ὀφθαλμὸν F 12 ἐπὶ VRP: ὑπὸ F ὑποχεομένων] ὑ *in ras.* P 13 ἀποτελεῖ . . . ἐνίοτε *corrosa suppl. in mrg.* V³ δὲ *post* ἐνίοτε *colloc. sed eras.* F γενομένης V³ τοῦ πνεύμονος VRP: κατὰ τὸν πνεύμονα F 14 διακρινοῦμεν VRPF: διακρίνομεν *edd.* τῆς *supra ras.* V¹ μὲν *om.* P λαμβάνουσιν F 16 τοῦτο *ante* ὡς *colloc. edd.* 18 οὐδὲν] ν *suprascr.* V² καθ᾽ ἑαυτὸ VP: κατ᾽ αὐτὸ RF *edd.* οὖν *falso bis scriptum del. ipse* V 20 γάρ τι VPF: γάρ τοι R: γὰρ *edd.* ὁ *om.* P 21 εἰς R ἐς τὴν] ἐστι F στηρίξαι VPF *(ut Thucydidis codices)*: ἐστήριξεν V²: στήριξεν R: στηρίξειεν *Hude* *post* στήριξεν *inser.* χυμός R γε VR: τε PF αὐτὰ V 22 ὑποκαθάρσεις R παρὰ VRP: ὑπὸ F 23 ἐπῄεσαν V²P: ὑπῄεσαν V: ὑπίεσαν RF πρὸς *omissum add. in mrg.* P² 24 γε *om.* F 25 δήξεις] ή *in ras.* V *post* καρδιωγμοὺς *inser.* τε F

Ἱπποκράτης ἔγραψε καὶ ὡς τὸ κάτω χεῖλος ἐπισημαίνει τοῖς οὕτως ἔχουσιν οὐχ ἡσυχάζον, ἀλλὰ διασειόμενόν πως, ἐπειδὴ δακνόμενος ὑπὸ τῆς χολῆς ὁ ἔνδον τοῦ στομάχου χιτὼν τὴν τοιαύτην λαμβάνει κίνησιν. ἐμάθομεν γὰρ ἐκ τῆς ἀνατομῆς ἕνα τοῦτον ὅλον εἶναι τὸν χιτῶνα συνεχῆ κατὰ πᾶν ἑαυτῷ τῆς θ' ὅλης γαστρὸς καὶ τοῦ στομάχου καὶ γλώττης καὶ οὐρανίσκου καὶ ὑπερῴας ὅλου | τε τοῦ στόματος. οὗτος 287 οὖν αὐτός ἐστιν ὁ καὶ τὰ χείλη διασείων, ὅταν ὑπὸ δριμείας χολῆς ἠθροισμένης ἐν τῷ στόματι τῆς γαστρὸς δάκνηται. πέφυκε γὰρ ἐπιπολάζειν ὁ χυμὸς οὗτος ὑπὸ κουφότητος καὶ διὰ τοῦτ' ἐπὶ τὸν στόμαχον ἀνέρχεται καταλιπὼν τὸν πυθμένα τῆς γαστρὸς ἐμεῖταί τε ῥᾳδίως. ἂν δὲ καὶ ῥῖγος ἐπιλάβῃ τηνικαῦτα τὸν ἄνθρωπον, ἔτι δὴ καὶ μᾶλλον ὁ ἔμετος οὐ θᾶττον μόνον, ἀλλὰ καὶ πλείονος ἔσται χολῆς, εἰωθότος ὡς τὰ πολλὰ τοῦ ῥίγους ἔμετον χολῆς ἐργάζεσθαι, καθότι κἀν τῷ περὶ αὐτοῦ δέδεικται λόγῳ. καὶ μὲν δὴ καὶ εἰ πίῃ τι καὶ φάγῃ κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ ἄνθρωπος, ἔτι δὴ καὶ μᾶλλον ἐμεῖται ταχέως, ἐπειδὴ συνδιαφθείρεται τὰ ληφθέντα τῇ κατὰ τὴν γαστέρα χολῇ.

III 36 [24. II 184, 1 L.] Τούτων δ' οἷσιν ἂν ἄρξηται πόνος τῇ πρώτῃ ἡμέρῃ, τεταρταῖοι πιεζεῦνται μᾶλλον καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτέων ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἑνδεκα- 288 ταῖοι. οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι καὶ τἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γένηται, εἰς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος.

4 ἐμάθομεν] *cf. Galen. XVI 571, 13 sqq. K.* 7 ὁ καὶ τὰ χείλη διασείων κτλ.] *cf. Gal. in Prorrh. XVI 572, 1 sqq. K. (supra p. 43, 13)* 14 δέδεικται] *Galen. De rigore VII 632, 7 sqq. K. et XVII B 736, 10 sqq. K.*

1 καὶ VRPF: *om. edd.* *post* χεῖλος *inser.* τὸ αὐτὸ *edd.* 2 οὐχ ἡσυχάζον VPF: *om.* R 3 *post* τοιαύτην *inser.* τὸ χεῖλος *edd.* τοῦτον *ex corr.* P 5 καθ' ἅπαν PF: κατὰ πάνθ' V: καθάπαξ F ἑαυτὸ R τοῦ *om.* F 6 καὶ οὐρανίσκου *om.* P αὐτός *om. Aldus* 8 ἠθροισμένης . . . πέφυκε *corrosa suppl.* V³ ἐπιπολάζειν VPF: ἐπισχολάζειν R ἐπιπολάζειν *post* οὗτος *(9) colloc. edd.* 9 ὑπὸ RPF: *supra ras.* V²: ἐπὶ V κουφότητα R *post* ἐπὶ *inser.* τε F 10 τε *omissum suprascr.* V² 11 ἐπιλάβοι R 13 ἐργάζεσθαι] εσθ *in ras.* P 14 καὶ *(prius) falso bis scriptum del. ipse* P καὶ *(sec.)* RP(F): ἢ V καὶ εἰ] κἂν F 16 τῇ VRPF: *om. edd.* 17 τούτων VRF: τουτέων P *Hipp.* οἷσιν R *Hipp.*: οἷς VPF ἂν *om.* R *post* ἄρξηται *inser.* ὁ *ex Hipp. ab Aldo edd.*: *om.* VRPF 18 ἡμέρα P *post* ἡμέρῃ *add.* γίνεσθαι *ex Hipp. ab Aldo edd.* πιεζεῦνται V *Hipp.*: πιεζοῦνται RPF μᾶλλον VRPF: μάλιστα *ex Hipp. ab Aldo edd.* 19 ἐς RF *Hipp.*: εἰς VP ἐς . . . ἀπαλλάσσωνται *(sic) add. in mrg.* R¹ ἑβδόμην *corr. ex* ἑβδομάδα V 20 πλεῖστοι VRPF: πλείονες *ex Hipp. Chartier*: πλεῦνες *Aldus Basil.* τριταῖοι . . . πονέεσθαι *(22) om.* P 21 μάλιστα πεμπταῖοι *coll. Hipp. et ab Aldo edd.* 23 αὐτοῖσι VRF: αὐτέοισι P *Hipp.* τὸν πρόσθεν VR: πρόσθεν F: τὸν πρῶτον V² *in mrg.* P γένηται VR: γίγνηται *Hipp.*: γίνονται V² *in mrg.* P: γίγνονται F εἰς VRPF *(sed cf. v. 19)*: ἐς *ex Hipp. ab Aldo edd.* *post* εἰς *inser.* δὲ P²

Τρεῖc διαφορὰc εἴρηκε κατὰ χρόνον ἀλγήματοc κεφαλῆc καὶ τρεῖc προθεcμίαc τῆc κρίcεωc αὐτῶν. πρώτη μὲν οὖν ἐcτι διαφορὰ τῆc κατὰ τὴν πρώτην ἡμέραν τοῦ νοcήματοc ἀρχομένηc κεφαλαλγίαc, δευτέρα δὲ τῆc κατὰ τὴν τρίτην, τρίτη δὲ τῆc κατὰ τὴν πέμπτην, ἁπάcαιc γε μὴν αὐταῖc κοινόν ἐcτιν εἰc τὴν ἑβδόμην πωc ἡμέραν, ἀφ᾽ ἧc ἤρξαντο τελευτᾶν. ἡ μὲν οὖν κατὰ τὴν πρώτην ἀρξαμένη τὴν ἑβδόμην αὐτὴν ἔχει κρίνουcαν, ἡ δὲ κατὰ τὴν τρίτην, ὅcον ἐπὶ τῷ τῆc ἑβδόμηc ἀριθμῷ τὴν δεκάτην. ἐπεὶ δ᾽ οὐκ ἔcτιν αὕτη κρίcιμοc, εἰc τὴν ἐνάτην ἢ ἑνδεκάτην ἡ κρίcιc ἀφικνεῖται τῆc ἑβδομαδικῆc προθεcμίαc ἤτοι πρωϊαίτερον ἢ ὀψιαίτερον ἡμέραν μίαν. καί μοι μέμνηcο πάλιν, ὅτι καὶ τῆc ἐνάτηc ἡμέραc ὡc κρινούcηc ἐμνημόνευcε νῦν καθάπερ καὶ πρόcθεν, |
289 ὡc ἔδειξα, τῆc τρίτηc, οὐ κατὰ τετράδων ἢ ἑβδομάδων περίοδον ἐχουcῶν τὸ κρίνειν, ἀλλὰ τῷ λόγῳ τῶν παρεμπιπτουcῶν, ὡc ἐν τοῖc Περὶ κριcίμων ἐδείχθη.

καὶ μὲν δὴ καὶ ἡ τρίτη διαφορὰ τῆc κεφαλαλγίαc ἡ κατὰ τὴν πέμπτην ἡμέραν ἀρχομένη μέχρι τῆc τεccαρεcκαιδεκάτηc ἐκτείνεται διά τε τὸ μὴ πάνυ θερμή τιc εἶναι καὶ κατεπείγουcα. δηλοῖ δὲ ἐκ τοῦ κατὰ τὴν πέμπτην ἡμέραν ἄρξαcθαι καὶ διὰ τὸ τῆc ἑβδομάδοc προcτεθείcηc ταῖc πρώταιc πέντε τὰc πάcαc γίνεcθαι δυοκαίδεκα, κρίcιμον δ᾽ οὐκ εἶναι τὴν δωδεκάτην, οὐ μὴν οὐδὲ προλαβεῖν οἷόν τ᾽ ἐcτιν αὐτὴν μίαν ἡμέραν. ἐδείχθη γὰρ τοῦτο τῶν ὀξύτατα κινουμένων ἴδιον. εἰκότωc οὖν εἰc τὴν τεccαρεcκαιδεκάτην ἐξέπεcε.

III 37 [24. II 184, 8 L.] Γίνεται δὲ ταῦτα τοῖcι μὲν ἀνδράcι καὶ τῇcι γυναιξὶν ἐν τοῖcι τριταίοιcι μάλιcτα. τοῖcι δὲ νεωτέροιcι γίνεται μὲν καὶ ἐν τουτέοιcι, μάλιcτα δὲ ἐν τοῖcι cυνεχεcτέροιcι πυρετοῖcι καὶ ἐν τοῖcι γνηcίοιcι τριταίοιcιν. |

11 νῦν] *supra p. 361, 21* πρόcθεν] *supra p. 305, 8* 12 ὡc ἔδειξα] *cf. supra p. 330, 30 sqq.* 13. 14 ἐν τοῖc Περὶ κριcίμων] *IX 868, 15 sqq. K.*

1 τρεῖc . . . κατὰ *perierunt* V χρόνον . . . κεφαλῆc *suppl.* V[3] χρόνον] ρόν *in ras.* P 3 *post* ἀρχομένηc *inser.* τῆc *edd.* 4 *ante* τρίτη *inser.* ἡ VRP 5 ἐcτιν] ν *add.* P[2] ἡμέραν] αν *add.* P[2] 6. 7 αὐτὴν ἔχει P: ἔχει αὐτὴν VRF *(hiat)* 7 κρίνουcαν VRPF: κρίcιμον *edd.* ἑβδόμηc VRP: ἑβδομάδοc F 10 ἡμέρα μία *(sic)* F 12 ὡc VRF: *om.* P περιόδων *Aldus* 13 κρίνειν *corr. ex* κρίνον P[1] τῶν VRPF: *om. edd.* 14 κριcίμοιc *(sic)* P 15 ἡ *(alt.)*] ἢ F 16 *post* πέμπτην *rasura* P μέχρι VRPF: ἄχρι *edd.* τε VRF: *om.* P 17 τιc] τε R καὶ *superscr.* F[2] 18 ἡμέραν] ν *add.* P[2] διὰ τὸ] δι᾽ αὐτὸ F προcτεθείcηc] c *(prius) superscr.* V[2] 19 δώδεκα P 20 δωδεκάτην] ιβ′ *corr. ex* ια′ R[1] προλαβεῖν VRP: προcλαβεῖν F: *om. Aldus* *ante* οἷον *inser.* εἰc τὴν ἑνδεκάτην *Aldus* τ᾽ PF *a Basil. edd.*: *add.* V[2]: *om.* R *Aldus* αὐτὴν VRPF: τὴν *edd.* 21 ὀξύτατα *corr. in* ὀξυτάτωc R[1] 22 οὖν . . . ἐξέπεcε *corrosa suppl.* V[3] 23 ἀνδράcι] ἀναβάcι *(sic) Aldus* 24 *post* γυναιξὶ *ras.* P ἐν *in ras.* P τοῖcι *(prius)*] τοῖc R 25 τουτέοιcι VRPF *Hipp.*: τούτοιcι *ab Aldo edd.* μάλιcτα VRPF: μᾶλλον *ex Hipp. ab Aldo edd.* *post* δὲ *inser.* καὶ V τοῖc VRF cυνεχεcτέροιcι VRPF: ξυνεχεcτέροιcι *ex Hipp. ab Aldo edd.* 26 ἐν *om.* P

Τοῖς μὲν ἤδη τελείοις, ἐφ᾽ ὧν εἴωθε φέρειν τὴν τῶν ἀνδρῶν 290 καὶ γυναικῶν προσηγορίαν, ἐν πᾶσι τοῖς τριταίοις πυρετοῖς γίνεται τὰ τοιαῦτα διὰ τὸ χολωδεστάτην εἶναι τὴν ἡλικίαν, τοῖς δὲ νεωτέροις αὐτῶν οὐκ ἐν πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἀκριβέσι τριταίοις, οἵπερ εἰσὶ χολωδέστατοι. γίνεται δὲ κἀν τοῖς ὀξυτάτοις νοσήμασι (χολωδέστατα γὰρ καὶ ταῦτα) καὶ δηλονότι καὶ τοῖς τελείοις πολλῷ μᾶλλον. ἀκόλουθον γὰρ τοῖς προειρημένοις ὂν τοῦτο οὐδὲ προσέγραψεν ὡς καὶ πρὸς ἡμῶν νοεῖσθαι δυνάμενον.

III 38 [24. II 184, 12 L.] Οἷσι δ᾽ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνηται ἢ μαρμαρυγαὶ προφαίνωνται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ ἢ ἐπὶ δεξιὰ ἢ ἐπ᾽ ἀριστερὰ συντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν ῥυῆναι τούτοισι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου, μᾶλλον δὲ ἐνταῦθα τοῖσι νέοισι | τοῦ αἵμα- 291 τος τὴν ῥῆξιν προσδέχεσθαι, τοῖσι δὲ τριηκονταετέσι καὶ γεραιτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

Τοιουτότροπον εἴρηκε πυρετὸν οἷον κατὰ τὴν ἀρχὴν τοῦ λόγου διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν "ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν." τοῦτ᾽ οὖν κοινὸν ἀμφοτέροις φυλάξας τοῖς πυρετοῖς, κοινὸν αὐτοῖς ἔτι ἔσεσθαι τὸ κριθῆναι δι᾽ ἐκκρίσεως ἔφη, ἴδιον δ᾽ ἑκατέρῳ προσέθηκε τῷ τῆς ἐκκρίσεως εἴδει χολώδη μὲν ἔμετον τῷ προτέρῳ, αἱμορραγίαν δὲ τῷ δευτέρῳ. τὰ δὲ

19 ἐδήλωσεν] *24 (II 182, 9 sq. L.); supra p. 359, 14 sq.*

3 τὰ τοιαῦτα RPF: ταῦτα V τοῖς δὲ P: ἐν δὲ τοῖς VRF 4 ἀλλὰ VRPF: ἀλλ᾽ ἐν *edd.* 5 χολωδέστερα F 6 τοῖς *om.* R πολὺ F 7 ὂν τοῦτο *post* γὰρ *colloc.* F οὐδὲ P: ε *in ras.* V: οὐδὲν R: οὐκέτι F προσέγραψεν *corr. in* προσέγραψα R[1] 8 πρὸς] πρὸ F ὑμῶν R δυναμένων *Aldus* 9 οἷσι] ὅσοι F 10 ὀρφνώδους V πρ̊ (*i. e.* πρὸς) P 11 γίνηται VP: γίγνηται R: γίνεται F *Hipp.* προφαίνωνται VR: προφαίνονται PF *Hipp.* 12 καρώσσειν *(sic)* F ἢ VRPF *ab Aldo edd.*: *om. Hipp.* 13 συντείνηται VRF: ξυντείνηται P: ξυντείνεται *ex Hipp. ab Aldo edd.* σὺν *(utroque loco)* VRF: ξὺν P *Hipp.* 14 τῶν VRF *Hipp.*: *om.* P ῥυῆναι τούτοισι (τουτέοισι RP) VRPF: τουτέοισι ῥυῆναι *ex Hipp. ab Aldo edd.* 15 δὲ ... νέοισι *corrosa suppl. in mrg.* V[3] *post* δὲ *inser.* καὶ *ex Hipp. ab Aldo edd.* τοῦ *om.* F 16 *post* δὲ *inser. sed ipse expunx.* καὶ P τριηκονταέτεσι VRF *Hipp. vulg.*: τριακονταέτεσι P: πέντε καὶ τριήκοντα ἔτεσι *Stephani lectionem tuetur Littré* 17 τούτοισι VRPF: τουτέοισι *Hipp.* 18 τοιουτοτρόπω P πυρετῶ P οἷον VP: ὃν RF κατὰ τὴν ἀρχὴν VRP: κατ᾽ ἀρχὰς F 20 φῇ VRPF: φησὶ *edd.* τὴν P *(ut Galen. supra p. 359, 15)*: *om.* VRF 21 ἔτι F: *om.* VRP ἔσεσθαι *post* κοινὸν *colloc.* VRP 22 ἔφη *post* αὐτοῖς *(21) colloc.* VRP *ante* ἴδιον *inser.* τὸ F *post* προσέθηκεν *inser.* ἐν F τῷ ... εἴδει RPF: τὸ ... εἶδος *ex corr.* V *post* τῷ *inser.* μὲν P: *eras.* V 22. 23 χολώδη ἔμετον *corr. in* χολώδεις ἔμετοι P 23 αἱμορραγίαν *an* αἱμορραγίας *incertum* P *ante* τῷ *(alt.) inser.* ἐν *edd.*

τούτων δηλωτικὰ cημεῖα τῷ μὲν προτέρῳ τά τε φανταζόμενα θεάματα ὀρφνώδη καὶ τὸν καρδιωγμόν, τῷ δὲ δευτέρῳ ἀμβλυωπίαν τε καὶ μαρμαρυγὰc καὶ cύντααιν ἐν ὑποχονδρίῳ χωρὶc ὀδύνηc καὶ φλεγμονῆc γνώριcμα μέγιcτον τῆc ἄνω ῥοπῆc τῶν χυμῶν. εἰρήκει δὲ καὶ ἔμπροcθεν αἱμορραγίαc ἑπομέναc κριcίμωc ταῖc καθ' ὑποχόνδρια φλεγμοναῖc καὶ μᾶλλον τοῖc νεωτέροιc, ἐφ' ὧν αἷμα
292 πλεονάζει καὶ νῦν αὖθιc αὐτό τε τοῦτο προcέγραψε καὶ ὡc οἱ χολώδειc ἔμετοι τοῖc ἀκμάζουcι γίνονται. κατὰ δὲ τὸ πρῶτον τῶν Ἐπιδημιῶν καὶ 'δακρύειν ἀκουcίωc' ἔφη 'αἱμορραγήcειν μέλλονταc ἐκ ῥινῶν.' ταῦτ' οὖν cυνθεὶc πάντα ἔτι τε προcθεὶc αὐτοῖc ἃ δι' ἑτέρων εἶπον, ἀεὶ προγνώcῃ γενηcομένην αἱμορραγίαν καὶ μάλιcτα, ἐὰν ἐναργῶc cοι φανῇ τότε τὸ κατὰ τοὺc cφυγμοὺc cημεῖον ἐκκρίcεωc, ὃ πανταχοῦ προηγεῖται τῶν κριcίμων αἱμορραγιῶν.

III 39 [24. II 186, 6 L.] Τοῖcι δὲ παιδίοιcι cπαcμοὶ γίνονται, ἢν ὅ τε πυρετὸc ὀξὺc ᾖ καὶ ἡ γαcτὴρ μὴ ὑποχωρέῃ ἀγρυπνέωcί τε καὶ ἐκπλαγέωcι καὶ κλαυθμυρίζωcι καὶ τὸ χρῶμα μεταβάλλωcι καὶ χλωρὸν ἢ πελιδνὸν ἴcχωcιν ἢ ἐρυθρόν. γίνεται δὲ ταῦτα ἐξ ἑτοίμου μὲν τοῖcι παιδίοιcι τοῖcι νεωτάτοιcιν εἰc τὰ ἑπτὰ ἔτεα, τὰ δὲ πρεcβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρεc οὐκέτ' ἐν τοῖcι πυρετοῖcιν ὑπὸ τῶν cπαcμῶν
293 ἁλίcκονται, ἢν μὴ τῶν cημείων τι προcγένηται τῶν ἰcχυροτάτων τε καὶ κακίcτων, οἷά περ ἐν τῇcι φρενίτιcι γίνεται.

Περὶ cπαcμῶν αὐτῷ νῦν ὁ λόγοc ἐcτίν, οὐ τῶν ἐν ἑνὶ μέρει τοῦ cώματοc γινομένων, ἀλλὰ τῶν ὅλον αὐτὸ καταλαμβανόντων, οἵ τινεc

4 εἰρήκει] *7 (II 126, 12 sqq. L.); supra p. 248, 6 sqq.* 8 κατὰ τὸ πρῶτον τῶν Ἐπιδημιῶν] *I 9 (II 658, 13 sqq. L.)* 10 δι' ἑτέρων] *e.g. XVI 475, 12 sqq. K.; VII 233, 1 sqq. K.; XVII A 169, 11 sqq. K.*

1 *post* μὲν *rasura* V 3 ὑποχονδρίοιc P *post* ὀδύνηc *inser.* τε F 4 γνώριcμα μέγιcτον VPF: γνωρίcματα μέγιcτα R 5 καὶ *om.* R ἑπομέναc VRP: ἐcομέναc F κριcίμωc *corr. ex* κριcίμουc V ὑποχόνδριον F 7 νῦν *ante* προcέγρ. *colloc.* P αὐτῷ γε τούτῳ P προcέγραψε VP: προcεγραψα R: cυνέγραψε F ὡc οἱ VRP: ὅcοι F χολώδεεc P 8 γίνονται R: γίγνοιντο VPF 9 ἑκουcίωc R αἱμορραγήcειν . . . cυνθεὶc *(10) plerumque corrosa suppl.* V[3] *post* ἔφη *inser.* τοὺc *edd.* μέλλοντα *ex corr.* P μέλλονταc αἱμορραγήcειν F 10 πάντα *om.* F τε *om. Aldus* εἶπον VRPF: εἶπεν *edd.* 11 μάλιcτ' ἂν F 12 φανῇ VR: φανήcεται P: φανείη F τότε VPF: ποτὲ R τὸ] τὰ *Aldus* cφυγμούc] ούc *in ras.* P ὃ πανταχοῦ] ὁπόταν πῶc F 13 προηγῆται F 15 τε VRPF: *om. cum Hipp. ab Aldo edd.* ὑποχωρέῃ VPF: ὑποχωρέει R: διαχωρέῃ *ex Hipp. ab Aldo edd.* *post* ὑποχωρέῃ *inser.* καὶ F 16 κλαθμυρίζωcιν V 17 πελιδνὸν VRPF: πελιὸν *ex Hipp. ab Aldo edd.* ἴcχωcι *post* ἐρυθρὸν *colloc.* F 18 ταῦτα] τὰ *Aldus* ἑτοίμου VRPF (*sed cf. p. 365, 1. 8* ἑτοιμότατα): ἑτοιμοτάτου *ex Hipp. ab Aldo edd.* 19 *ante* νεωτάτοιcιν *inser.* δὲ P *Aldus* εἰc VRPF: ἐc *ex Hipp. ab Aldo edd.* παιδίων VR *Hipp.*: παίδων PF 20 οὐκέτ' RPF: οὐκ V cπαcμῶν] c *alter. superscr.* V[2] 21 τι *post* μὴ *coll. Hipp. et ab Aldo edd.* 22 ἐν VRPF *Hipp.*: ἐπὶ *ab Aldo edd.* γίνεται *corr. in* γίνονται F[1] 23 cπαμῶν V ὁ λόγοc νῦν VRPF: *propter hiatum transposui (cf. infra p. 365, 14)* 24 καταλαβόντων V

ἐπὶ μὲν τῶν παιδίων ἑτοιμότατα γίνονται καὶ μᾶλλον ἐπὶ θηλαζόντων, οὐχ ἥκιστα δὲ καὶ δι᾽ αὐτὸ τὸ γάλα καὶ μᾶλλον, ὅταν ᾖ παχύ, καὶ ὅτι πλείστῃ τε χρῶνται καὶ ἀκαίρῳ τροφῇ μηδὲν τῶν κατὰ τὸν βίον ἄλλο περὶ πλεῖcτον τιθέμενα πλὴν τοῦ ἐcθίειν. πᾶν γὰρ τὸ νευρῶδεc αὐτῶν γένοc ἀcθενέc ἐcτι. τριῶν γὰρ οὐcῶν κατὰ γένοc δυνάμεων, ὑφ᾽ ὧν διοικεῖται τὸ cῶμα, ταῖc δυcὶ μέν ἐcτιν ἰcχυρότερα τὰ παιδία τῶν ἄλλων, ἀcθενέcτερα δὲ τῇ μιᾷ τῇ κατὰ τὰ νεῦρα, διὸ καὶ cπᾶται μὲν ἑτοιμότατα. πάλιν δὲ εἰc τὸ κατὰ φύcιν ἐπανέρχεται ῥᾳδίωc. τοῖc δὲ τελείοιc οὔτε γίνεται ῥᾳδίωc οὔτε καθίcταται τὰ cπαcμώδη πάθη διὰ τὴν ἰcχὺν τῆc κατὰ τὰ νεῦρα δυνάμεωc. γίνεται μὲν | οὖν cπαcμὸc 294 καὶ χωρὶc πυρετῶν ἐπὶ ταῖc πάνυ cφοδραῖc ψύξεcι καὶ πλήθει χυμῶν ἀπέπτων τε καὶ παχέων, ἔτι τε φλεγμοναῖc ἐν νεύροιc καὶ τένουcιν ὅταν εἰc cυμπάθειαν ἀγάγωcι τὴν ἀρχήν.

ἀλλὰ νῦν ὁ λόγοc αὐτῷ περὶ τῶν ἐν πυρετοῖc γινομένων cπαcμῶν ἐcτιν, ὥcπερ ἐξ ἀρχῆc ὑπέθετο διελθεῖν προγνώcειc ἐπί τε τῶν ὀξέων νοcημάτων καὶ ὅcα τούτων μεταπιπτόντων γίνεται. τοὺc οὖν ἐν τοῖc τοιούτοιc νοcήμαcι cπαcμοὺc ἐπὶ μὲν τῶν ηὐξημένων ἐκεῖνα δηλώcει τὰ cημεῖα τὰ μάλιcτα ταῖc χαλεπαῖc ἐπιφαινόμενα φρενίτιcι καὶ μάλιcτ᾽ αὐτῶν ὅcα διαcτρεφομένων γίνεται τῶν ἐν τῷ προcώπῳ μορίων ἢ ὀδόντων πριομένων ἢ ὀφθαλμῶν ἀcτηρίκτων ἢ διεcτραμμένων. ἐπὶ δὲ τῶν παίδων ἀρκεῖ καὶ τὸ ἀγρυπνῆcαι μόνον, ἐνίοτε δὲ καὶ φοβηθῆναι cφοδρῶc, ὅπερ ὠνόμαcεν ἐ κ π λ α γ ῆ ν α ι, καὶ τὸ κλαῦcαι μετ᾽ ἐντάcεωc cφοδροτέραc καὶ τὸ τ ὴ ν γ α c τ έ ρ α μ ὴ δ ι α χ ω ρ ῆ c α ι. ταῦτα μὲν οὖν ὡc αἴτια, cημεῖα δὲ τοῦ cπαcθήcεcθαι πρὸc τοῖc τοιούτοιc αἰτίοιc τὰ παρὰ φύcιν χρώματα δη|λοῦντα τῶν χυμῶν τὴν μοχθηρίαν, 295 ἐφ᾽ οἷc εἴωθε cπᾶcθαι.

7 κατὰ τὰ νεῦρα κτλ.] *cf. Stephan. 226, 9 sqq.* 15 ἐξ ἀρχῆc] *cf. supra p. 209, 7* 22 ὠνόμαcεν] *supra p. 364, 16*

1 παιδίων VR: παίδων PF 2 δὲ VF: *eras. et add. in mrg.* μὲν V^2: μὲν RP δι᾽ VRP: *om.* F *post* ᾖ *inser.* λίαν F *post* παχὺ *add. in mrg.* μάλιcτα V^1 καὶ *(tert.) seclus.* V *post* καὶ *(tert.) inser.* μάλιcτα F ὅτι RP: *ex corr.* V: διότι F 3 πλείcτῃ *corr. ex* πλεῖcτα P *post* μηδὲν *inser.* εἰδότεc *edd.* 4 περὶ πλεῖcτον τιθέμενα *om.* F πλεῖcτον *corr. ex* πλείcτων P τοῦ *om.* F 5 δυνάμεων *corrosum* V ὑφ᾽ V^3RPF: ἐφ᾽ *edd.* ὑφ᾽ . . . cῶμα *(6) corrosa suppl. in mrg.* V^3 6 cῶμα VRP: ζῶον F δύο VRF ἐcτιν VRPF: εἰcιν *edd.* 8 τὸ] τὰ R 9 πάθη *om.* P 10 cπαμὸc V 11 καὶ *(prius) ante* cπαcμὸc *colloc.* P πυρετοῦ P ἐπὶ VPF: ἐν V^2R πάνυ cφοδραῖc VR: cφοδραῖc πάνυ F cφοδραῖc *om.* P 12 τε VRF: γε P *post* νεύροιc *inser.* τε P 13 ἀγάγωcι VRP: ἄγωcι F 15 διελθὼν R προγνώcειc VR: πρόγνω (*i. e.* πρόγνωcιν) P: προγνώcεωc F τε *om.* F 16 γίγνεται *corr. ex* γίγνονται R^1 τοὺc *corr. ex* τοῖc V^2 *post* τοὺc *inser.* μὲν *edd.* 17 cπαcμοὺc] c_2 *superscr.* V^2 δηλώcει *post* cημεῖα *(18) colloc.* F 18 ἐπιφαινομέναιc F 19 μάλιcτ᾽ αὐτῶν *ex corr.* V 20 πριομένων] ι *in ras.* P διεcτραμμένων VRP: παραcπωμένων F 21 δὲ *(prius) superscr.* P^2 ἀγρυπνῆcαι VRF: ἀγρυπνεῖν P δὲ *(alt.) om.* F 22 ὠνόμαcαν R 23 ἐντάcεωc *corr. ex* ἐνcτάcεωc V 24 ὡc VRP: ὅcα F δὲ *post* τοῦ *colloc. Aldus Basil.* *post* δὲ *inser.* πρὸc *sed ipse del.* P cπαcθήcεcθαι RF: cπαθήcεcθαι VP 25 *post* αἰτίοιc *inser.* τὸ F

χλωρὸν μὲν γὰρ ἢ πελιδνὸν μοχθηρὸν τῇ ποιότητι δηλοῖ τὸν χυμόν, ἐρυθρὸν δὲ πλῆθος αἵματος ἐνδείκνυται.

III 40 [24. II 188, 1 L.] Τοὺς δὲ περιεσομένους τε καὶ ἀπολουμένους τῶν παίδων καὶ τῶν ἄλλων τεκμαίρεσθαι χρὴ τοῖσι σύμπασι σημείοισιν, ὡς ἐφ᾽ ἑκάστοισιν ἕκαστα διαγέγραπται.

Τοῦτο καὶ πρόσθεν εἴρηκε καὶ νῦν ἀναμιμνῄσκει καὶ μετ᾽ ὀλίγον αὖθις ἐρεῖ, διότι χρησιμώτατόν ἐστι καὶ ὅμως οὐκ ἀκούουσιν αὐτοῦ πολλοὶ τῶν ἰατρῶν, ἀλλ᾽ ἐνίοτε θεασάμενοί τι τῶν κακῶν σημείων, ἐφ᾽ ᾧ συνέβη ζῆσαι τὸν ἄνθρωπον, ἐπεγκαλοῦσιν ὡς ψευσαμένῳ, καθάπερ αὖθις ἀγαθῶν φανέντων ἀπολλυμένου τοῦ κάμνοντος οὐκ ἀληθεύειν φασὶ τὸν Ἱπποκράτην μηκέθ᾽ ὁρῶντες ὡς ἐνίοτε μὲν ὑπὸ πολλῶν ἀγαθῶν σημείων ἓν νικᾶται κακὸν ἰσχυρόν, ἐνίοτε δὲ ἔμπαλιν ὑπὸ πολλῶν κακῶν ἓν ἀγαθὸν ἰσχυρόν. |

296 **III 41** [24. II 188, 4 L.] Ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τουτέων γίνεται.

Καὶ τοῦτο καθάπερ καὶ τὸ πρότερον ἔγραψεν ὁ Ἱπποκράτης ἀπομαντευσάμενος τῆς ἀμελείας τε ἅμα καὶ προπετείας τῶν ἀναγνωσομένων αὐτοῦ τὰ βιβλία καὶ ζητησόντων ὅπως ἂν ἐν αὐτῷ μνημονεύῃ τεσσαρακοστῆς τε καὶ ἑξηκοστῆς ἡμέρας, ἐμπύων τε καὶ ὑδερικῶν καὶ τεταρταίων πυρετῶν. ὅπου γὰρ καὶ γράφαντος αὐτοῦ σαφῶς ὅτι μὴ περὶ μόνων τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἐκ μεταπτώσεως τούτων εἰς χρόνου μῆκος ἐκτεινομένων ὁ λόγος ἐν τῷ βιβλίῳ γέγονεν, ὅμως τοιαῦτα ζητοῦσι. τί ποτε ἔπραξαν ἄν, εἰ μηδὲ τοῦτο ἐποίησεν;

6 εἴρηκε] *cf. supra p. 328, 1 sqq.* 7 ἐρεῖ] *infra p. 367, 1 sq.* 14 *sq.*] *cf. supra p. 259, 14 sq.*

1 χλωρὸν . . . πελιδνόν *plerumque corrosa* V γὰρ *om.* R 3 περιεσομένους τε καὶ ἀπολουμένους (ἀπολομένους F) VRPF: ἀπολουμένους (ἀπολλυμένους *ab Aldo edd.*) τε καὶ περιεσομένους *Hipp. et ab Aldo edd.* 4 παίδων RP: παιδίων VF *Hipp.* *post* παίδων *inser.* ἢ R: τε ἢ F: τε *Hipp.* χρὴ VRP: *om.* F *Hipp.* σύμπασι VRPF: ξύμπασι *ex Hipp. ab Aldo edd.* 5 ἑκάστοις F 6 εἰρήκει F ἀναμιμνήσκει] ν *alt. superscr.* V² 7 αὐτῶν R 9 ᾧ VRP: ὧν F ἐπεγκαλοῦσιν VRP: ἔτ᾽ ἐγκαλοῦσιν F 10 ἀπολλυμένου RPF: ἀπολλομένου V 12 σημεῖον P ἔμπαλιν] ἐμ *superscr.* V² 14 *post* περὶ *inser.* τε *ex Hipp. ab Aldo edd.* 15 καὶ *omissum superscr.* V² ὁκόσα R τουτέων VR *Hipp.*: τούτων PF 16 ὁ VRP: *om.* F 17 τε VRF: τῆς *sed ipse del.* P καὶ . . . μνημονεύῃ *(18) corrosa* V 18 ζητησόντων *corr. ex* ζητησάντων P ἂν *post* ζητησόντων *coll.* RPF: *transposui* μνημονεύῃ VPF: μνημονεύει R 19 καὶ *(tert.) superscr. omissum* V² ὑστερικῶν F 20 τεταρταίου πυρετοῦ P 21 ἐκ] ἐν *Aldus* 22 ἐν τῷ βιβλίῳ VRPF: αὐτῷ *edd.* 23 ἔπραξαν VRF: ἐξεπράξαν τ᾽ *edd.*: ἔδρασαν P μηδὲ VRPF: μὴ *edd.* ταῦτα F ἐποίησαν F

III 42 [25. II 188, 6 L.] Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ ἀποθανουμένους, οἷσί τε μέλλει τὸ νόσημα πλείονας | ἡμέρας παραμένειν καὶ 297 οἷσιν ἂν ἐλάσσονας, τὰ σημεῖα ἐκμανθάνοντα πάντα κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων καὶ τῶν οὔρων καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ τε πῦον καὶ χολὴν ἀναβήσσῃ.

Ὅτι μὲν ἀεὶ χρὴ πάντα θεᾶσθαι τὰ σημεῖα καὶ μὴ πιστεύειν ἑνί, καὶ διὰ τῶν ἔμπροσθεν εἶπεν, ἀλλὰ νῦν γε προσέθηκε τὸ χρησιμώτατον τοῦ λόγου. φημὶ δ' εἶναι τοῦτο τὸ τῶν σημείων τὰς δυνάμεις ἐκλογίζεσθαι, οὐχ ἁπλῶς οὐδὲ ταύτας, ἀλλὰ μετὰ τοῦ παραβάλλειν ἀλλήλαις. ἔστι μὲν γὰρ ἔνια τῶν σημείων καὶ αὐτὰ καθ' ἑαυτὰ μοχθηρὰ μᾶλλόν τε καὶ ἧττον, ὧν τὰς δυνάμεις ἐκμετρῆσαι χρὴ τοῖς ῥήμασιν, ὡς καὶ πρόσθεν ἐδείκνυεν, ἢ "θανατῶδες" εἰπὼν ἢ "θανατωδέστερον" ἢ "ὀλέθριον κάρτα" καί που καὶ προσθεὶς τὸ "ἤδη" κἀπὶ τῶν ἀγαθῶν πάλιν ὁμοίως ἢ "σωτήριον" ἢ "περιεστικὸν" ἁπλῶς ἢ "μεγάλην δύναμιν ἔχον" ἢ καὶ μετὰ τοῦ "κάρτα". πλέον γάρ ἐστι τὸ φάναι τὸ "κάρτα με|γάλην δύναμιν ἔχειν εἰς σωτηρίαν" ψιλοῦ καὶ μόνου τοῦ 298 "μεγάλην δύναμιν ἔχειν".

Ἀλλὰ νῦν γε πρὸς ἀλλήλας φησὶ χρῆναι παραβάλλειν τὰς δυνάμεις οὐ τῶν ὁμογενῶν μόνων σημείων, οἷον ἀγαθῶν πρὸς ἀγαθὰ καὶ κακῶν πρὸς κακά, ἀλλὰ καὶ τῶν ἀγαθῶν πρὸς κακά. διὰ γὰρ τῆς

4 τὰ σημεῖα . . . ἀλλήλας *(5)*] *affert Galen. IX 608, 4 sq. K.* 9 εἶπε] *cf. supra p. 366, 5* 14 θανατῶδες] *supra p. 259, 5; 344, 17* θανατωδέστερον] *supra p. 277, 17; 286, 1* 15 ὀλέθριον κάρτα] *supra p. 324, 5; 344, 18; 348, 22* ἤδη] *supra p. 233, 2; 238, 13* 16 σωτήριον] *supra p. 282, 17* περιεστικὸν] *supra p. 268, 14; 301, 3* 16. 17 μεγάλην δύναμιν ἔχον] *supra p. 239, 9*

2 τε VRPF: *om. cum Hipp. ab Aldo edd.* *post* καὶ *inser.* τοὺς *ex Hipp. ab Aldo edd.* ἀποθανουμένους VP *Hipp.*: ἀπολουμένους R: ἀπολλομένους F οἷσι VRPF: ὅσοισι *ex Hipp. ab Aldo edd.* 3 *post* τε *inser.* ἂν *ex Hipp. ab Aldo edd.*: *om.* VRPF μέλλει V πλείονας VRPF: πλέονας *ex Hipp. ab Aldo edd.* τὸ νόσημα *post* παραμένειν *colloc. cum Hipp. ab Aldo edd.* 4 οἷσι VRP: οἷς F: ὅσοισι *ex Hipp. ab Aldo edd.* ἂν VRF *Hipp.*: *om.* P ἐλάσσονας VRP: ἔλασσον F: ἐλάσσους *ex Hipp. ab Aldo edd.* *post* πάντα *inser.* δύνασθαι *Hipp.* κρίνειν VRPF *Hipp.*: διακρίνειν *a Basil. edd.* 5 ἐκλογιζόμενον VRPF *(infra v. 11)*: εἰσλογιζόμενον *Stephanus*: λογιζόμενον *ex Hipp. ab Aldo edd.* δυνάμιας *Hipp.* αὐτῶν VRF: αὐτέων P *Hipp.* 6 τῶν *(tert.) om.* F 7 ὅταν . . . χολὴν ἀναβήσσῃ *del. Wilamowitz et Gompertz* τε *post* πῦον *colloc. Hipp. et ab Aldo edd.* ἀναβήσσῃ *ante* καὶ χ. *colloc. cum Hipp. ab Aldo edd.* 8 θεᾶσθαι P: *corr. ex* θεάσασθαι V: θεάσασθαι F: τεθεᾶσθαι R 10. 11 τὰς δυνάμεις ἐκλογίζεσθαι τῶν σημείων *colloc.* F 12 αὐτὰ . . . τε *(13) plerumque corrosa* V 13 ἐκμετρῆσαι VP: ἐκμετρεῖσθαι R: ἐμέτρησε (χρὴ *omisso*) F 14 ἐδείκνυεν VRF: ἐδείκνυμεν P 15 καὶ *(alt.)* RF: *om.* VP τὸ] τῷ R ἤδη *corr. ex* εἴδει R[1] 16 ὁμοίως VRF: *om.* P περιεστικὸν PF: περιεστηκὸς VR 17 ἢ καὶ *om.* P μετὰ] με *in ras.* P τὸ φάναι VRF: *om.* P 18 *post* σωτηρίαν *inser.* τοῦ R: *eras.* V ψιλοῦ *ex corr.* V τοῦ VRPF: *om. Aldus Basil.* 21 ὁμογενῶν VPF: ὁμοιογενῶν R μόνων VR: μόνον P: *om.* F ἀγαθὰ] ἀ *in ras.* P 22 ἀλλὰ . . . κακὰ *om.* R

παραβολῆς ταύτης καὶ τὰ παρὰ λόγον γινόμενα ἠνίξατο. πρῶτον μὲν γὰρ γνωριοῦμεν, ὅτι παρὰ λόγον ἐγένετο, δεύτερον δ' οὐ καταπλαγηcόμεθα καὶ τρίτον ἐπιcκεψόμεθα, διὰ τί γέγονεν ἢ τί δηλοῦν πέφυκεν. εἴρηται μὲν οὖν ἅπαντα ταῦτα κατὰ τὰς ἡμετέρας πραγματείας καὶ μάλιςτα τὰς Περὶ κρίσεων. οὐ χεῖρον δὲ καὶ νῦν ἕνεκα παραδείγματος ἀναμνῆcαί τινων ἀπὸ κοινῆς ἀρχῆς ἀρξαμένους ἁπάσης τῆς προγνωστικῆς τέχνης. ἐπιcκέπτεcθαι γάρ cε χρὴ πρῶτον ἁπάντων, εἴθ' ἕν ἐξαιρέτως πέπονθε μόριον εἴτε τῶν ἐν τοῖς ἀγγείοις χυμῶν ἐστι τὸ νόσημα, δεύτερον δὲ κατὰ τίνα μάλιςτα δύναμιν ὁ κίνδυνός ἐστι τῷ κάμνοντι (προείρηται δ' ὅτι τρεῖς εἰσιν), εἶθ' ἑξῆς τὰ τῆς δυνάμεως
299 ἐκείνης ἀγαθά τε καὶ κακὰ γνωρίσματα. φέρε γὰρ ἀπαθῆ | μὲν εἶναι τὴν ἀπ' ἐγκεφάλου δύναμιν, ἀπαθῆ δὲ καὶ τὰ μόρια τοῦ σώματος, ἐπὶ τοῖς χυμοῖς δὲ μόνοις σηπομένοις ἔχοντος τὴν ὑπόθεσιν ὅλου τοῦ νοσήματος ὅπερ ἐστὶ πυρετώδους ὄντος, εἶτα τούτων οὕτως ἐχόντων ἀπ' ἀρχῆς φαίνεσθαι πάντα ἐν τοῖς οὔροις ἀγαθὰ σημεῖα, τοῦτον τὸν ἄνθρωπον ἀδύνατον ἀποθανεῖν, ὥστε κἂν ἐπιφαίνηταί τι σύμπτωμα φοβερόν, οὐ μόνον οὐ καταπλαγήσῃ, καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ καὶ κρίσεως αὐτὸ μηνυτικὸν ἡγήσῃ. καὶ γὰρ ὀδυνῶνται κεφαλὴν καὶ παρανοοῦσιν, ὀρφνώδη τε καὶ ξανθὰ βλέπουσι καὶ ἀμβλυώττουσι καὶ καρδιαλγοῦσι καὶ δυσπνοοῦσιν, ὑποχόνδριά τε συντείνονται λόγῳ κρίσεως, αὖθις δὲ διαχωρήματα κακοήθη καὶ πτύσματα καί τινες ἔμετοι γινόμενοι καὶ μόρια μελαινόμενα καὶ σηπόμενα καὶ νεκρούμενα τὸν ἄνθρωπον ἀποφαίνει κατὰ πάντα βελτίω. καὶ γὰρ εὐπνούστεροι καὶ εὐορεκτότεροι καὶ εὐϋπνότεροι καὶ ἀνωδυνότεροι καὶ κατὰ τὰς ἐξαναστάσεις κουφότεροι καὶ τὸ σύμπαν εὐφορώτεροι πολλάκις ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσιν οἱ κάμνοντες ἐγένοντο, φανερῶς ἐνδεικνυμένων
300 τῶν | κενουμένων ἐκκαθαίρεσθαι τὸ σῶμα, τῆς φύσεως ἐκ παραδόξου τὴν ἔμπροσθεν ἧτταν ἀναμαχομένης. ἅπαντα δὲ ταῦτα δυνάμει προείρηταί τε καὶ διώρισται κατὰ τὸ βιβλίον τοῦτο καὶ μόνα τὰ περὶ τῶν σφυγμῶν αὐτοῖς σε χρὴ προσθεῖναι γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ Περὶ

5 Περὶ κρίσεων] *IX 550 sqq. K.* 10 προείρηται] *supra p. 365, 5*
30 ἐν τῇ Περὶ τῶν σφυγμῶν πραγματείᾳ] *IX 431—549 K.*

1 ἠνίξατο *omissum add. in mrg.* F[2] 2 γὰρ VRP: *om.* F ἐγίνετο P 5 τὰς VRP: τὴν F οὐ χεῖρον] οὐχ οἷόν τε F καὶ] τοῦ *Aldus* 6 ἀρξαμένους PF: ἀρξάμενον *corr. ex* ἀρξαμένων V: ἀρξαμένων R 7 σε γὰρ *colloc.* F εἴθ' ἕν VRP: ὅθεν F 8 *post* ἐξαιρέτως *inser.* τι F χυμῶν] ῶν *in ras.* P 11 κακὰ *om.* P 13 δὲ *post* ἐπὶ *superscr.* P[2] μόνοις VPF: *om.* R ἔχοντα *Aldus* 15 πάντως F *ante* ἐν *inser.* τὰ F 16 ἀδύνατον VRF: οὐ δυνατὸν P ἐπιφαίνηται VRF: ὑποφαίνηται P 17 καταπλαγῇς R οἱ VRPF: *om. edd.* 19 *post* παρανοοῦσι *inser.* καὶ F βλέπουσι *ante* ὀρφνώδη *colloc.* F ἀμβλυωποῦσι F 20 καὶ δυσπνοῦσιν VPF: *om.* R ὑποχόνδρια R: ὑποχον (δρ' superscr.) P: ὑποχόνδριον VF 23 εὐϋπνότεροι VRF: *corr. ex* ἀϋπνότεροι P: ἐνυπνότεροι *coni. Cornarius* 24 ἐξαναστάσεις PF: ἀναστάσεις VR 28 ἧττον *Aldus* τε *om.* F 29 περὶ RP: περὶ *supra ras. corr. in* παρὰ V[2]: παρὰ F 30 σε VRP: γε *edd.*: *om.* F χρὴ] ἔχει F

τῶν cφυγμῶν πραγματείᾳ caφῶc πάντα μηδαμόθι παρεγκειμένων Cφιγγὸc αἰνιγμάτων, οἷα μυρία γεγράφαcιν οἱ περὶ τὸν Ἀρχιγένην.

ταῦτ᾿ οὖν ἅπαντα πρόχειρα τῇ μνήμῃ φυλάττων ἐπίβλεπε παραβάλλων ἀλλήλοιc· ἐξ αὐτῶν γὰρ δυνήcῃ προλέγειν καὶ τὰ παραλειπόμενα πρὸc τῶν ἀρρώcτων ἐνίοτε μηδ᾿ αὐτοῖc τοῖc οἰκείοιc αὐτῶν ἀκριβῶc γινωcκόμενα, ὡc ἐμὲ πολλάκιc ἐθεάcαcθε τοῦτο μὲν ἐπὶ τῶν πριόντων τοὺc ὀδόνταc εἰπόντα φύcει τὸ cύμπτωμα τοῦθ᾿ ὑπάρχειν αὐτοῖc, ὡc νομίcαι τοὺc ἀκούονταc οἰκείουc οὐκ ἐξ ἰατρικῆc, ἀλλ᾿ ἀπὸ μαντικῆc τέχνηc γεγονέναι τὴν πρόρρηcιν, ἐνίοτε δ᾿ ἐπὶ τῶν κοιμωμένων παρηνεῳγμένοιc τοῖc ὀφθαλμοῖc, ὅτι καὶ τοῦθ᾿ ὑπάρχει φύcει, καί τινοc ἐπὶ γαcτέρα κατακειμένου καὶ τοῦτ᾿ ἀναγκαῖον ὑπάρχειν αὐτῷ | φύcει. γυναικὸc δέ τινοc ὤφθη ποθ᾿ ἡμῖν εἰcελθοῦcιν ὁ δεξιὸc ὀφθαλμὸc 301 ὑπερέχειν θατέρου παμπόλλῳ δή τινι, περὶ ἧc ἔφην ἔμπροcθεν γεγονέναι τῆc νόcου τὴν προπέτειαν. ἐπ᾿ ἄλλου δὲ κοιλότητα τῶν κροτάφων μεγίcτην, ὁρωμένου κἀκείνου πρῶτον τότε κατὰ φύcιν ἔφην ὑπάρχειν αὐτήν, ἄλλου δ᾿ ὑφαίμουc τοὺc ὀφθαλμοὺc εἶναι φύcει. παρεcπαρμένον δ᾿ ἐφ᾿ ἑτέρου μέροc ὀφρύων ἢ ὀφθαλμῶν ἢ χειλῶν, ἔνια δὲ καὶ πρὸ τοῦ νοcήματοc ἔκ τινοc ἔξωθεν αἰτίαc γεγονέναι, καὶ μὲν δὴ καὶ διαλείποντα cφυγμὸν ἑτεροcφυξίαν τε καὶ τοιαῦτα ἕτερα φύcει τιcὶν ὑπάρχειν εἶπον ἀγνοούμενα καὶ τοῖc κάμνουcιν αὐτοῖc ἐνίοτε καὶ cωθέντων αὐτῶν ὤφθηcαν παραμένοντα καὶ φωνὰc τραχείαc ἢ βραγχώδειc ἢ κλαγγώδειc τῷ μὲν φύcει, τῷ δὲ πρὸ τῆc νόcου γεγονυίαc, περὶ ὧν ἐπὶ πλέον ἐν τῇ Περὶ τοῦ προγινώcκειν πραγματείᾳ διεληλυθὼc οὐδὲν δέομαι νῦν ἐπαναλαμβάνειν, ἀλλ᾿ ἀρκεῖ τὸ κεφάλαιον τῆc τῶν τοιούτων εὑρέcεωc εἰπόντα καταπαῦcαι τὸν λόγον. ὅταν γὰρ ἐκ

7 εἰπόντα] *supra p. 233, 22 sqq.* 13 ἔφην ἔμπροcθεν] *supra p. 218, 21 sqq.* 23 ἐν τῇ Περὶ τοῦ προγινώcκειν πραγματείᾳ] *XIV 599—673 K.*

1 μηδαμόθι VPF: μηδαμόθεν R παρεγκειμένων VRPF: παρακειμένων *edd.* cφιγγὸc VPF: cφυγμὸc *(sic)* R 3 *post* οὖν *falso inser.* ὑπάρχει *Aldus* 4 προλέγειν VRP: εὑρεῖν P² *in mrg.* F παραλειπόμενα *corr. ex* προλειπ. V 5 ἀρρώcτων VRP: ἀρίcτων F 6 προγινωcκόμενα F *ante* ὡc *inser.* ἵνα F *post* πολλάκιc *inser.* καὶ P θεάcαcθαι P 7 τοὺc *om.* F τοῦθ᾿ F: *om.* VRP 10 παρανεωγμένοιc F ὑπάρχειν *Aldus Basil.* φύcει VRPF: φάναι V² *in mrg.* 11 γαcτέρα VRF: γαcτέροc *Aldus*: τὰ cτέρνα P, *item superscr.* F¹ ὑπάρχειν *om. Aldus* αὐτῷ VR: αὐτὸ F: τῇ *(corr. ex* τῷ*)* P 12 εἰcελθοῦcιν *om.* P 14 γεγονέναι *post* νόcου *colloc.* F νούcου R *post* δὲ *inser.* τὴν R κοιλότητοc F 15 κροταφιτῶν F μεγίcτηc F ὁρωμένου VR: ὁρωμένηc F: ὀρωρυγμένου *(sic, ex corr.)* P τότε] τε F *ante* κατὰ *inser.* καὶ F 15. 16 ἔφην ὑπάρχειν VP: ὑπάρχειν ἔφην R: ὑπάρχειν ἔφηcεν F 16 ἄλλου RF: ἄλλων VP παρεcπαρμένον VP: παρεcπαcμένον F: παρειμένον R 17 δ᾿ ἐφ᾿ ἑτέρου VRP: τέ τινοc F *post* ἑτέρου *inser.* τινὸc *a Basil. edd.* χειλῶν VRP: χειρῶν F *post* χειλῶν *inser.* εἶπον *edd.* 18 τῶν νοcημάτων F ἔκ τινοc ἔξωθεν αἰτίαc VF: ἔξωθεν ἔκ τινοc αἰτίαc P: ἔκ τινοc αἰτίου ἔξωθεν R 19 ἑτεροcφυγξίαν R 20 τιcὶν ὑπάρχειν F: ὑπάρχειν τιcὶν VRP εἶπον VRPF: ἔφην *edd.* 21 ὤφθη F καὶ φωνὰc VRP: φωνάc τε F 22 τῷ *(utroque loco)* VRP: τῶν F πρὸ VF: *corr. ex* πρὸc P: πρὸc R γεγονυίαc VRF: γινομέναc P: γενομέναc *edd.* 24 νῦν ἐπαναλαμβάνειν F: ἐπαναλαμβάνειν νῦν (νυνὶ *in ras.* V: νῦν *in mrg.* V¹) VRP ἀρκεῖ *post* κεφάλαιον *colloc.* F

302 τῶν | ἄλλων ἁπάντων ἀκίνδυνον φαίνηται τὸ νόσημα, τὸ τοιοῦτον φοβερὸν σύμπτωμα φύσει παρεῖναι γίνωσκε ἢ πάντως γε πρὸ τῆς νόσου γεγονέναι διὰ φανεράν τινα αἰτίαν, ὥστε καὶ ἐμοὶ καὶ Ἱπποκράτει πιστεύσαντες ἐπισκέπτεσθε, καθότι προείρηται, τὰς τῶν σημείων δυνάμεις ἐκλογιζόμενοι, καθάπερ, φημί, προεῖπεν. αὐτὸς γὰρ ἐμνημόνευσε τοῦ παραδείγματος "ὅταν ὁμοῦ τε πῦον ἀναβήσσῃ καὶ χολήν". εἴρηται δ' αὐτῷ τοῦτο κατά γε ἐκείνην τὴν ῥῆσιν, ἧς ἡ ἀρχὴ "τῶν δὲ ἐμπυημάτων ὅσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκονται, ὀλέθρια κάρτα", εἴτ' ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀποπτύοιτο εἴτε ὁμοῦ. κατὰ ταύτην γὰρ τὴν ῥῆσιν ἠξίωσε θεωρεῖν ἀκριβῶς ἅπαντα τὰ τῷ κάμνοντι συνυπάρχοντα καὶ διῆλθέ γε ἔνια αὐτῶν, τῶν μὲν ἀγαθῶν οὕτως ἀρξάμενος "ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα· εὐπετέως φέρειν τὴν νοῦσον, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηιδίως ἀναβήσσειν." εἶθ' ἑξῆς αὐτὰ διελθὼν πάντα τῶν κακῶν αὖθις ἀρχόμενός φησι "κακὰ δὲ τὰ ἐναντία τούτων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα
303 καὶ πυκνὸν γίνεσθαι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον ἀναβήσσειν μόγις, διψῆν κάρτα, τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι." αὕτη σοι καὶ ἡ τῶν μοχθηρῶν σημείων ἀρχὴ τῆς διδασκαλίας ἔμπροσθεν ὑπ' αὐτοῦ γεγενημένης κατὰ τὴν προειρημένην ἐπὶ τῶν πτυσμάτων ὧν ἔγραψεν ὑπόθεσιν. "ὡς οὖν," φησίν, "ἐπὶ τούτων εἶπον, οὕτως ἐπὶ πάντων πρᾶττε μηδὲν παραλείπων, ἀλλὰ κατὰ μέρος ἐκλογιζόμενος ἑκάστου σημείου τὴν δύναμιν, εἶθ' οὕτως παραβάλλων ἀλλήλοις αὐτά."

5 ἐμνημόνευσε] *supra p. 367, 7* 7 ἡ ἀρχή] *15 (II 148, 3 sq. L.); cf. supra p. 304, 16 sq.* 11. 12 οὕτως ἀρξάμενος] *Prognost. 15 (II 148, 9 sqq. L.); cf. supra p. 307, 20* 14 φησί] *Prognost. 15 (II 150, 1—5 L.)*

1 ἁπάντων] ἁ *superscr.* P φαίνηται *corr. ex* φαίνεται V 2 τῇ φύσει F ἢ *post* πάντως *colloc.* (γε *omisso*) F 3 διά τινα φανερὰν F *post* αἰτίαν *perperam repet.* μυρία *(p. 369, 2)* . . . αὐτῶν *(5)* F ἱπποκράτει *corr. ex* ἱπποκράτης V 4 πιστεύσαντες VR: πιστεύσαντα P: πιστεύοντες F ἐπισκέπτεσθαι RP προείρηνται P 5 ἐκλογιζόμενοι *corr. in* ἐκλογιζόμενον P² φημί RP: *corr. in* φησὶ V²: φησὶ F προεῖπεν RP: *corr. ex* προεῖπον V: προεῖπον F αὐτοῦ *corr. ex* αὐτὸς P 6 τε VRP: περὶ F ἀναβήσσῃ RF: ἀναβήσῃ *(sic) corr. ex* ἀναβύσῃ V: ἀναβήττῃ P χολὴν] ὴν *in ras.* P 7 τὴν ῥῆσιν ἐκείνην F 8 χολώδους P τοῦ πτυέλου . . . ὀλέθρια *omissa add. in mrg.* V² ὀλέθριον P 9 ἀποπτύοιτο VR: ἀποπτύηται P: ἀναπτύοιτο F 10 γὰρ VRP: δὲ F 11 καὶ . . . αὐτῶν *om.* P 12 τὴν νοῦσον VR: τὴν νόσον PF: τὸ νόσημα *edd.* 13 εὔπνουν F 14 εἶθ' ἑξῆς VRP: εἶτα ἐφεξῆς F 15 τἀναντία P τούτων VRF: τουτέων P τὴν νοῦσον RF: τὴν νόσον P: τὸ νόσημα V 16 γίνεθαι VRP: εἶναι F *post* τό *inser.* τε F 16. 17 μόγις ἀναβήσσειν F 19 γεγενημένης *edd.*: γεγενημένη VR: γενομένη P: γεγραμμένη F *post* τὴν *duas vel tres litteras* (νῦν?) *eras.* V προειρημένην VRF: προκειμένην P ἐπὶ VRF: ὑπὸ P 20 *post* οὕτως *perperam repet.* οὖν R 21 *post* πρᾶττε *inser.* τε *(ex corr.)* P παραλείπων VRP: λιπών F κατὰ μέρος VR: κατὰ μόνας PF 22 σημει//// (ου *superscr.*) V

III 43 [25. II 188, 12 L.] Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν.

Εἰς τὸ προγνῶναι τὰ γενησόμενα τοῖς κάμνουσι συμπτώματα
μέγιστα συντελεῖ καὶ ἡ τῶν ἐπιδημούντων νοσημάτων γνῶσις ἤδη τε
ἐνεστώτων καὶ γενήσεσθαι μελλόντων. διείλεκται δ' αὐτὸς ἐν κεφαλαίοις
βραχέσι κατὰ τοὺς Ἀφο|ρισμοὺς τά τε καθ' ὥραν ἑκάστην πλεονάζοντα 304
καὶ τὰ τῇ παρούσῃ τε καὶ προγεγονυίᾳ καταστάσει συνεπόμενα. "τοῦ
μὲν γὰρ ἦρος" ἔφη πλεονάζειν "τὰ μελαγχολικὰ καὶ τὰ μανικά" καὶ
τἄλλα ὅσα ἐφεξῆς κατέλεξεν, ἃ τοῦ τε ἦρός εἰσιν ἴδια καὶ τῶν ἄλλων
ὡρῶν, ὅταν δηλονότι φυλάττωσι τὰς οἰκείας φύσεις. εἰ δὲ μὴ φυλάττοιεν, 'ἐπιδημήσειν' φησὶν 'ἕτερα νοσήματα τῇ γενομένῃ καταστάσει
προσήκοντα.' καὶ τούτων ἐδίδαξε, τίνα μὲν ἐξ ὑστέρου γενήσεται, τίνα
δ' εὐθὺς ἅμα τῇ πρώτῃ καταστάσει.

Περὶ μὲν οὖν τῶν ὕστερον ἐπιγινομένων ὧδέ πως ἐδίδαξεν. "ἢν
μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ
νότιον" καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς φησι, περὶ δὲ τῶν ἐν αὐταῖς
ταῖς παρούσαις καταστάσεσιν, ἐν οἷς φησι "τῶν δὲ καταστάσεων τοῦ
ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι"
καὶ τἄλλα, ὅσα τούτων ἐφεξῆς. ἐν Ἀφορισμοῖς μὲν οὖν διὰ κεφαλαίων
ἐδίδαξε περὶ τῶν ἐπιδημίων νοσημάτων, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν
βιβλίοις ἐπὶ τὰ κατὰ μέρος ἧκεν. ὁπόση δ' ἐστὶ καὶ τούτων αὐτῶν |
ἡ χρεία καίτοι δοκούντων ἐν τοῖς καθόλου περιέχεσθαι λεχθήσεται κατὰ 305
τὰ τῶν Ἐπιδημιῶν ὑπομνήματα τούτοις ἀκολούθως γραφησόμενα.

7 κατὰ τοὺς Ἀφορισμοὺς] *III 11 et 15 (IV 490, 2 sqq. et 492, 7 sq. L.)* 9 ἔφη] *Aphor. III 20 (IV 494, 16 sqq. L.)* 15 ἐδίδαξεν] *Aphor. III 11 (IV 490, 2 sq. L.)* 18 6 φησι] *Aphor. III 15 (IV 492, 7 sq. L.)* 20 ἐν Ἀφορισμοῖς] *IV 458—608 L.* 21 ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις] *II 598—711 L.; V 72—139 L.; III 24—469 L.* 23. 24 κατὰ τὰ τῶν Ἐπιδημιῶν ὑπομνήματα] *XVII A 1—XVII B 344 K.* 24 τούτοις ἀκολούθως γραφησόμενα] *cf. Ilberg, Mus. Rhen. N. S. XLIV, 1890, 235*

2 ἀεὶ τῶν VRP: τῶν ἀεὶ F: ἀεὶ (*omisso* τῶν) *Hipp.* ἐπιδημεόντων VRPF: ἐπιδημεύντων *Hipp.* ἐνθυμέεσθαι VRPF *Hipp.*: ἐνθυμεῖσθαι *ab Aldo edd.* καὶ . . . λανθάνειν *(3) om. Hipp.* 3 λανθάνειν] ειν *in ras.* P τῆς (τε *add.* F) ὥρης (ὥρας P) τὴν κατάστασιν VRPF: τὴν (τε *add. Hipp.*) τῆς ὥρης κατάστασιν *ex Hipp. ab Aldo edd.* 4 συμπτώματα *in ras.* V 5 μέγιστα RP: μέγιστον VF καὶ *om.* F ἐπιδημεόντων F 6 ἐνεστώτων *scripsi*: ἑστώτων P: ἐνεστῶτα VRF μελλόντων P: μέλλοντα VRF δὲ *superscr.* P²: ὅδ' P 8 τε VRP: γε F συνεπόμενα *edd.*: ἑπόμενα VRPF 10 *post* τἄλλα *inser.* τὰ F ὅσα ἐφεξῆς R: ἐφεξῆς ὅσα VPF ἃ τοῦ τε *Diels*: ἅτε VRP: αὐτοῦ δὲ F εἰσιν *om.* F 11 *post* φύσεις *inser.* καὶ κράσεις F φυλάττοιεν VF: φυλάττειεν R: φυλάττει P 12 γενομένῃ RPF: γενησομένῃ V 15 οὖν *om.* V ὕστερον *om.* R ἐπιγενομένων F *post* ἐδίδαξεν *repet.* τίνα *(v. 13)* . . . καταστάσει *(14) sed del. ipse* F 16 *post* μὲν *inser.* οὖν R *post* αὐχμηρὸς *inser.* ἢ VP καὶ *(alt.)*] ἢ P 17 τούτων VRP: τούτοις F φησίν VRP: λέγει F 18 ταῖς *om.* P 20 τούτων VRP: τούτοις F 21 ἐπιδήμων RF τοῖς . . . βιβλίοις *(22)* PF: ταῖς . . . βίβλοις VR 22 τὰ κατὰ *corr. ex* τὰ P *post* ἐστὶ *inser.* τις F καὶ *om.* F 24 γραφησόμενα VPF: γραφόμενα R

Νυνὶ δὲ τὸ κεφάλαιον ἐρῶ τῆς ὅλης προγνώσεως, ὑπὲρ οὗ τὸν λόγον ὁ Ἱπποκράτης ἐποιήσατο κατὰ τὴν προκειμένην ῥῆσιν. οἷς γὰρ εἴρηκε σημείοις ἐν τῷ Προγνωστικῷ τούτῳ βιβλίῳ τῶν νοσημάτων αὐτῶν ἰδίοις, τούτοις ἀξιοῖ προστίθεσθαι τὰ διὰ τὸ περιέχον γινόμενα. φέρε γὰρ ὦφθαί τινα σημεῖα κατὰ τὸν λόγον τοῦ νοσήματος αἱμορραγίας, εἶναι δὲ καὶ τὴν ὥραν ἐαρινήν, ἔτι μᾶλλον ἐλπίσεις ἔσεσθαι τὴν αἱμορραγίαν. εἰ δὲ καὶ ἡ παροῦσα κατάστασις εἴη θερμὴ καὶ ὑγρά, πολλῷ δὴ μᾶλλον καὶ τῶν προγεγενημένων δυοῖν ἢ τριῶν ὡρῶν ἡ κατάστασις, εἰ αἵματος εἴη γεννητική, ἔτι καὶ μᾶλλον ἐλπὶς ἔσεσθαι τὴν αἱμορραγίαν. ὥσπερ οὖν ὁ λόγος ἐπὶ τῆς αἱμορραγίας, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀρκέσει δ' εἰπεῖν ἕν τι παράδειγμα γενησομένων
306 ἱδρώτων. "ἐν καύμασιν ἀμυδροῖς | πυρετοὶ ἀνίδρωτες τὰ πλεῖστα. τοῖσι δὲ ἐπὶ ψεκάσιν ἱδρωτικώτεροι γίνονται." δῆλον οὖν ὅτι πρὸς τοῖς ἄλλοις σημείοις, ὅσα τοῦ νοσήματός ἐστιν ἴδια, δηλωτικὰ γενησομένων ἱδρώτων ἔτι καὶ τοῦ περιέχοντος ἡ κατάστασις προσερχομένη τὴν ἐλπίδα τοῦ γενησομένου βεβαιοτέραν ὑπογράφει.

III 44 [25. II 188, 14 L.] Εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ τῶν σημείων καὶ μὴ λανθάνειν ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ τά τε κακὰ κακόν τι σημαίνει καὶ τὰ χρηστὰ ἀγαθόν.

Οὐ παρὰ τοῖς ἰατροῖς μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ῥήτορσιν ἐζήτηται, τίνι διαφέρει σημείου τεκμήριον, οὐκ ἐν σημαινομένοις μόνον, ὡς ἄλλοθι, τοῦ προβλήματος ἔχοντος τὴν σύστασιν, ἀλλὰ καὶ

11 παράδειγμα] *Epidem. II 1,2 (V 72,8 sq. L.)* 14 *schol.* R (*ad* σημείοις): . . . ἐν σημαινομένοις ἔ⟨χ⟩ωσι τὴν ζήτησιν τὰ ⟨π⟩ολ[λ]ύονυμα ὡς τὸ ξίφος. λέγεται γὰρ καὶ ⟨δ⟩όρυ καὶ σπαθὶν καὶ ⟨μά⟩χαιρα καὶ ἀκόντιον ⟨κα⟩ὶ ἕτερα τοιαῦτα. 22 *schol.* R (*ad* τεκμήριον): τεκμήριόν ἐστι τὸ ἀεὶ ὡσαύσως ἔχον ὡς, εἰ ὑπὲρ γῆν ὁ ἥλιός ἐστι, καὶ ἡμέρα ἐστὶ καί, εἰ ἡμέρα ἐστί, καὶ ὑπὲρ γῆν ἐστιν ὁ ἥλιος καί, εἰ τέτοκεν ἡ γυνή, ἐξ ἀνάγκης γάλα ἔχει καί, εἰ καπνός ἐστι πόρρω, καὶ πῦρ ἐξ ἀνάγκης ἐστί ⟨κ⟩αὶ ἡ τετοκυῖα γυνὴ ἐξ ἀνάγκης ὠχριᾷ. σημεῖον δὲ τὸ οὐκ ἀεὶ ὡσαύτως ἔχον, οἷον εἰ γάλα ἔ⟨χ⟩ει ἡ γυνή, οὐκ ἐξ ἀνάγκης τέτοκεν

1 ἐρῶ] ὁρῶ *Aldus* προγνώσεως VRP: πραγματείας F 2 ὁ *om.* F 4 αὐτῶν *om.* F ἰδία R ἀξιοῖ VRP: ἄξιον F τὸ περιέχον VRP: τῶν περιεχόντων F 6 *post* ἔτι *inser.* καὶ P ἐλπίσεις VP: ἐλπίσης R: ἐλπὶς F 8 πολλῷ VRP: πολὺ F ἡ *om.* F 9 εἰ VRP: εἴπερ F τοῦ αἱμ. R *post* γεννητική *inser.* καὶ κατὰ τοῦτο τὴν αἱμορραγίαν F ἐλπὶς VRP: ἐλπίσεις F 9. 10 τὴν αἱμορραγίαν RP: *corr. ex* τὰς αἱμορραγίας V²: *om.* F 10 ὥσπερ *corr. in* εἴπερ V καὶ F: *om.* VRP 11 τι VRP: ἔτι F 12 ἀμυδροῖς VRPF: μύδροις *superscr.* V²: ἀνυδρίης *Hipp.*: ἀνύδροις *Chartier* 13 τοῖσι VRPF: ἐν τουτέοισι *Hipp.* δὲ VRP: δεῖν F ἐπὶ ψεκάσιν VRPF: ἢν ἐπιψεκάσῃ *Hipp.* 15 *post* προσερχομένη *inser.* δὲ F 16 βεβαιότερον R 17 *post* περὶ *inser.* τε F 18 *ante* σημείων *inser.* ἄλλων F *Hipp. et ab Aldo edd.* παντὲ *(sic)* P 19 ὥρα (η *superscr.*) *(sic)* R τι VRP *(cf. infra p. 377, 4)*: *om.* F *Hipp.* 20 ἀγαθόν] χρηστόν V 21 παρὰ *(prius) corr. ex* περὶ V² 22 ἐζήτηται VR: ἐξήγηται PF 23 ἄλλοθι PF: *corr. ex* ἄλλοθεν V²: ἄλλοθεν R ἔχον F

